ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

HOMERI ILIAS.

CUM BREVI ANNOTATIONE

CURANTE

C. G. HEYNE.

ACCEDUNT

SCHOLIA MINORA

PASSIM EMENDATA.

VOL. II.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXIV.



ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Ν.

ARGUMENTUM.

TROJANIS, qui in castra Achivorum irruperant, sua fortuna uti jussis a Jove ad alias curas averso, Neptunus opportunitatem speculatus, ad Trojam proficiscitur, et assumta Calchantis specie primo Ajaces, tum ceteros Achivos, ad pugnandum hortatur et nova virtute incendit 1—125. Ita circa Ajacem copiæ constipatæ phalange facta Hectori occurrunt. Oritur grave prælium, in quo exponendo totus liber consumitur. Primo Hector a phalange repulsus, suos ad vires exerendas hortatur 142—155. Meriones hasta in Deiphobum frustra conjecta ad tentorium abit hastam aliam petiturus—169. Interea variæ fiunt cædes, in his Amphimachi; nepotis sui cæde exacerbatus Neptunus Idomeneum adit, et Thoantis persona assumta eum hortatur ad pugnandum—239. Idomeneus armatus cum Merione in pugnam redit, et quidem versus lævam—329. Pugna recrudescit—362. Idomeneus necat Othryoneum—382. inde Asium—401. Deiphobus ab eo aberrans hasta ferit Hypsenorem—423. Idomeneus Alcathoum; inde ferociens Deiphobum superbis dictis vellicat—454. quem Ænea arcessito in se procedere videns, Merionen cum aliis advocat,—488. Ita circa Deiphobum et Æneam in unum conveniunt fortissimi ex Trojanis. Certatur acerrime de Alcathoi corpore abducendo et spoliando 496. sq. ad 673. Congrediuntur Idomeneus et Æneas, cæduntur Œnomaus 506—Ascalaphus 518 et, nova super hujus exuviis pugna exorta, Aphareus 541—Thoon 545—Adamas 560—Deipyrus 576—Deiphobus a Merione vulneratus pugna excedit 526—539. Helenus vulneratur a Menelao 581—600. nec non Pisander et Harpalion 601—659. Euchenor a Paride 660—673. Hector ignarus quid in sinistro navium cornu ageretur, interea acriter pugnat; non minus fortiter resistunt Ajaces; etiam in eo res erat, ut Hectori esset cedendum:—724. cum Polydamantis consilio fortissimos a Trojanis ad se arcessit; qui conglobati Achivos adoriuntur:—808. nec tamen vel sic Ajaces loco cedunt—ad f. Ceterum rhapsodiæ præcipua pars est ἡ τοῦ Ἰδομενέως ἀριστεία. Cum eo tamen nec minus Meriones eminet, et e Trojanis Deiphobus cum Ænea. Inscripta tamen ea olim erat vulgo: ἡ ἐπὶ νηυσὶ μάχη.

Attendendum est in toto libro ad situm castrorum et navium Achivorum, quem poeta ubique a parte Achivorum declarare videtur. Trojani in castra irruerant a læva parte, non sui agminis, sed Achivorum; nam ipsi dextro suo cornu lævam castrorum partem adorti erant. Cum irrupissent Trojani, pluribus locis pugnatur; acerrime tamen qua Hector

incedebat, cui Ajaces obstiterunt, (126. 136. sq. 679. sq.) paullo remotius a lævo cornu, versus mediam aciem; at in extremo lævo cornu altera fortissimorum virorum pugna fiebat circa Deiphobum, Helenum, Paridem, Idomeneo cum Merione eo profecto ἐπ' ἀριστερὰ νηῶν (326. 675. 765.) cujus vocis respectu alter locus, in quo Hector contra Ajaces cum quibus hic erant Bœoti, Athenienses—681. 685. sqq. pugnat, ἐν μέσσῃσι νηυσὶ (312.) fuisse declaratur: Singulatim exposita videbis ad 46. 310. 330. 675. 681. 765.

Deorum ministerium hoc libro non nisi per episodia interponitur. Jove, qui in Ida sedebat inde a Λ. 182, ad alias terrarum partes converso, furtiva Neptuni profectio splendide ornata in ipso libri exordio. Neptunus Calchantis speciem mentitus Ajaces hortatur ad pugnam; abeuntem deum agnoscunt Ajaces 43—83. inde Neptunus hortatur alios—125. et Amphimacho cæso Idomeneum, Thoantis specie indutus 206—239. Ita Neptunus clam pugnantium Achivorum ardorem incendit; Alcathoum stupore defixum tradit occidendum Idomeneo, 434, 5. constitutum tamen a Jove erat, ut hac pugna superiores essent Trojani 345—360.

῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ν. ῾ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΔΙΑΡΡΗΞΑΣ τὰς πύλας τοῦ τείχους τῶν Ἑλλήνων Ἕκτωρ, μετὰ βάρους τε εἰσελθὼν, εἰς φυγὴν αὐτοὺς τρέπει· καὶ Ζεὺς μὲν ἀποστρέψας τὰς ὄψεις ἐπὶ τὰ πέρατα τῆς γῆς, ἀλλοφύλους θεωρεῖ ἀνθρώπους. Ποσειδῶν δὲ καθεζόμενος ἐπὶ Σαμοθρᾴκης, θεασάμενος ἡττημένους τοὺς Ἕλληνας, παραγίγνεται εἰς Αἰγὰς, ἔνθα ἦν αὐτῷ τέμενος· λαβὼν δὲ συνήθη κόσμον, καὶ ὑποζεύξας ἵππους, παραγίγνεται εἰς τὸ πεδίον· καὶ τὸ μὲν ἅρμα καθιστᾷ ἐν τῷ πελάγει, αὐτὸς δὲ, ὁμοιωθεὶς Κάλχαντι, παρορμᾷ τοὺς ἀρίστους τῶν Ἑλλήνων· οἳ καὶ τρόπον τινὰ ἐμπνευσθέντες παρὰ τοῦ θεοῦ, γενναίως ἀγωνίζονται· ἐν οἷς καὶ Ἰδομενεὺς καὶ Μηριόνης εὐδοκιμοῦσι. Συμβολῆς δὲ γενομένης, ἑκατέρων τῶν στρατευμάτων ἐξαίσιος βοὴ αἴρεται.

Νῦ δὲ Ποσειδάων Δαναοῖς κράτος ὤπασε λάθρῃ.

ΖΕΥΣ δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε,

Ingenium poetæ ex his æstima. Res nunc eo erat adducta, ut vallo a Trojanis disjecto et castris captis, aut arcessendus esset Achilles, aut discessus a Troja parandus. Prius illud consiliis Jovis parari noramus; placato igitur, ut arma jungeret, Achille omnia erant ad finem perducta. Enimvero antequam ad illud deventum esset, quanta rerum varietas interposita est! Primo averso Jove Neptunus, Achivis studens, pugnam restituit: quod antea ausus non erat facere, Il. Θ. 208—211. ex Jovis interdicto Il. Θ. 7. sq. Quod autem sublime aliquid in eo esse videtur, Jove tantum oculos avertente res aliter cedere, ad nostros sensus statuitur, non ex Homeri sensu: qui ad humanum morem res deorum attemperavit.

1—9. Rebus eo adductis, ut, quod voluerat, Trojani in castra irrupissent, Jupiter

1. Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα.] Κεχώρικε τῶν λοιπῶν Τρώων τὸν Ἕκτορα κατ' ἐξοχήν. Μετὰ τὴν Ἰλίου πόρθησιν Ἕκτωρ ὁ Πριάμου, καὶ μετὰ θάνατον, τὴν ἀπὸ θεῶν εὐτύχησε τιμήν. Οἱ γὰρ ἐν Βοιωτίᾳ Θηβαῖοι, πιεζόμενοι κακοῖς, ἐμαντεύοντο περὶ ἀπαλλαγῆς. Χρησμὸς δὲ αὐτοῖς ἐδόθη, παύσεσθαι τὰ δεινὰ, ἐὰν ἐξ Ἀφνείου τῆς Τρῳάδος τὰ Ἕκτορος ὀστᾶ διακομι-

τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν
νωλεμέως· αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ,
νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν,
Μυσῶν τ' ἀγχεμάχων, καὶ ἀγαυῶν Ἱππημολγῶν

ad alias curas avertitur. Hoc suo more poeta ita narrat, ut alia terrarum loca memoret, ad quæ Jupiter se converterit prospicienda. In animum revocandum est ex Il. Λ. 181. sq. Jovem in Idæ vertice sedentem pugnam adhuc esse moderatum: prospexerat ille versus mare, nunc *deflexit oculos*, (hoc est πάλιν τρέπε νόσφιν ut Γ. 427. Φ. 415. (non, *retro*) ab occidente versus septentrionem: occurrunt adeo oculis *Thraces*, *Mysi*, *Sarmatæ*. Jam locus nobilitatus est memoratione horum populorum, eorumque sedium. *Thraces* utique late tenebant oram continentis Europæ. *Mysi* illo tempore tenuerunt loca supra eos versus, forte cis et trans, Istrum. Fuerunt illi et ipsi e Thracum stirpe, et utrinque in Asiæ et Europæ oris habitarunt, ut sup. Β. 858. Supra eos in borealibus terris habitarunt populi, quos quo nomine proprio designarit, in controversiam abiit, aliis *Agavos*, aliis *Hippemolgos*, aliis *Abios* dictos contendentibus. At *nomen proprium nullum* ex his esse potuit; sunt mera epitheta et prædicata barbarorum, quos suo nomine non designat, quorum forte nec erat illo tempore nomen illud commune *Sarmatarum;* ad nomina, quæ totum genus designant, serius processum est inter homines. Barbari enim habitant per tribus; nomina singulis sua imposita; eaque horrida. Solent itaque exteri aut a primis incolis, quos adiere, auditum nomen, plerumque corruptum, toti populo ac terræ imponere, aut ex vitæ cultusque memorabili aliqua parte nomen fingere: ut h. l. Vix quoque nomen Sarmatarum ab ipsis populis usurpatum fuit, sed *inter accolas* primo usu frequentatum. At declarantur *barbari* nominibus a *vitæ usu* petitis: et γαλακτοφάγοι sunt, Ἱππημολγοὶ quod *lacte equino* aut etiam pulte vel farina equino lacte admixto (ut Plin. XVIII. 11. s. 24. cf. Strabo VII. p. 478 C.) vescebantur, noto more; quem antiquissimum gentis fuisse ex h. l. constat. porro ἄβιοι, quod, cum notionem certam non haberet, varie interpretati sunt veteres. Probabile fit, designari *vitæ simplicitatem*, quæcunque tandem illa fuit; sive ut communibus omnes bonis uterentur, sive quod agris saltem pascuisve communibus, sive propter paupertatem, cum nec certas sedes haberent et in plaustris viverent: εὐτελεῖς τοὺς βίους, ἀπ' ὀλίγων εὐτελῶς ζῶντας. *justitia* celebrantur, δικαιότατοι ἀνθρώπων. laus ea Sarmatarum, ut aliorum barbarorum, etiam e Scythis, et Germanis; partim a comparatione ductum, partim in invidiam populorum mitiore cultu utentium dictum, qui bonarum rerum copiis ad cupiditates et injurias pellici solent; cum contra in ista vitæ simplicitate ac

σθῶσιν ἐς τὸν παρ' αὐτοῖς καλούμενον τόπον Διὸς γονάς. Οἱ δὲ τοῦτο ποιήσαντες, καὶ τῶν κακῶν ἀπαλλαγέντες, διὰ τιμῆς ἔσχον Ἕκτορα. Κατά τε τοὺς ἐπείγοντας καιροὺς ἐπικαλοῦνται τὴν ἐπιφάνειαν αὐτοῦ. Ἡ ἱστορία παρ' Ἀριστοδήμῳ. Ἐπεὶ οὖν.] Ἐπειδή. Πέλασσε.] Προσεπέλασεν. ἐγγίσαι ἐποίησε. 2. Παρὰ τῇσι.] Παρὰ ταύταις. Πόνον.] Τὴν κατὰ τὸν πόλεμον ταλαιπωρίαν. Ὀϊζύν.] Ταλαιπωρίαν. 3. Νωλεμέως.] Ἀδιαλείπτως. Πάλιν τρέπε.] Τὴν ἀπὸ τοῦ εὐθέος μεταστροφὴν δηλοῖ· Ὄσσε πάλιν κλίνασα. Οἱ δὲ ἀνὰ μέρος· Μυσίαν καὶ Θρᾴκην ὁρῶν. Ἔστι δὲ καὶ τοῦτο σύνηθες Ὁμήρῳ. Πάλιν ποίησε γέροντα. Καί· Εἰς τοὐπίσω πάλιν ἐρύσασα. Καί· Ἐναντίον οὐδὲ πάλιν ἐρέει. Ὄσσε φαεινώ.] Ὀφθαλμοὺς παρεχομένους τὸ φῶς. ἤ, στιλπνούς. 4. Ἱπποπόλων.] Περὶ ἵππους πολούντων. ἐξ οὗ, πολεμικῶν. Αἶαν.] Γῆν. 5. Ἀγχεμάχων.] Τῶν συστάδην καὶ ἐκ τοῦ πλησίον μαχομένων. Ἀγαυῶν.] Λαμπρῶν, καὶ ἐνδόξων. Ἢ ὄνομα ἔθνους οὕτω καλουμένων, Ἀγαυῶν. Ἱππημολγῶν.] Ἵππους ἀμελγόντων. γαλακτοφάγοι γάρ εἰσιν. ὅθεν καὶ γαλακτοφάγους αὐτοὺς εἶπεν. ἤ, οἱ ἀρκούμενοι γάλακτι καὶ λιτῇ διαίτῃ. Καλῶς εἴρηται δικαιότατοι. ἐπιθυμίᾳ γὰρ πλειόνων, ἐπ' ἀδικίαν ἄγει. Τοῦτο συνιδὼν καὶ Λυκοῦργος, κοινὴν καὶ οὐ περιττὴν Λακεδαιμονίοις δίαιταν εἰσήνεγκεν. 6. Ἀβίων.] Ἤτοι, βιοῖς μὴ χρωμένων, ὅ ἐστι, τόξοις. Ἢ, τὸ α, κατ' ἐπίτασιν, ἵν' ῇ, πολυβίων καὶ πολυετῶν.

γλακτοφάγων, ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.
ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
οὐ γὰρ ὅγ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμὸν
ἐλθόντ', ἢ Τρώεσσιν ἀρηγέμεν, ἢ Δαναοῖσιν.
Οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων Ἐνοσίχθων·
καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλις, καὶ νῆες Ἀχαιῶν.
ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος,
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,

8. τιν' ἐϜέλπετο Ϝὸν nisi fuit τινὰ Ϝέλπετο Ϝόν. 17. antea κατεβήσατο.

tenuitate ne quidem sit quod cupiditates hominum stimulet.—8. *οὐ γὰρ ἐέλπετο ὃν κατὰ θυμὸν, non verebatur.*

10. *οὐδ' ἀλαοσκοπιήν. Neque tamen hoc non vidit Neptunus.* h. e. bene Jovem ad alia esse intentum observavit Neptunus.—11. Sedebat ille *spectans* pugnam: quandoquidem dii ex sensu istorum hominum delectari dicuntur spectaculo virtutis pugnantium. Non necesse erat poetæ monere de ejus discessu ex Olympo, ubi sedebat Θ. 200. ad humanum autem morem, ut alia, accommodatum et hoc, quod dii, aliis diis, inprimis potentioribus, ad alia aversis et clam iis, aliquid exsequi solent, ut in Odyssea absente apud Æthiopes Neptuno Minerva reducit Ulyssem.—12. Erat in Samothrace, opposita Troadi, mons Saos vel Saoce, e quo loca ad Trojam prospici poterant.—15. *Ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἕζετ' ἰών, consederat* jam ante, e mari egressus. Nunc autem conspecto remissiore Jovis animo, *confestim* de monte descendit. Locus qui sequitur sublimitatem habet confessione multorum: inprimis Longini c. 5. s. 9. Imitantur eum plures; etiam in singulis partibus, v. 18. *quod terra sub incessu contremiscit:* ut Apollon. II. 681. Apolline ad Hyperboreos ex Lycia proficiscente: *ἡ δ' ὑπὸ ποσσὶ σείετο νῆσος ὅλη, κλύζεν δ' ἐπὶ κύματα χέρσῳ.* Alii *trinos gressus,* quibus iter a Samothrace ad Ægas absolvitur: inprimis Pindarus, quem jam Eustath. comparavit, P. III. 75. ubi Apollo *βάματι δ' ἐν πρώτῳ* statim locum, quo tetenderat, attigit. —20. *ὀρέξατο, ὡρμᾶτο.* fecit tres gressus; quarto gressu attigerat locum, quo teten-

Ἢ, τῶν ἥμερον βίον μὴ ἐγνωκότων. Ἐπιφέρει γὰρ, δικαιοτάτων ἀνθρώπων. Ἢ, μὴ βιαζομένων. Ἔστι δὲ καὶ ἔθνος ἐν Σκυθίᾳ Ἄβιοι, οἱ καὶ Ἁμαξόβιοι, καὶ Νομάδες ὀνομαζόμενοι. 10. Ἀλαοσκοπιήν.] Ματαίαν τὴν κατασκοπήν. ὃ ἔστιν, ἐπιμελῶς ἐσκόπει. Ἀλαὸς γὰρ, ὁ τυφλός. 11. Θαυμάζων.] Θεώμενος, καθορῶν. 12. Ὑψοῦ ἀπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης.] Σάμιοι οἱ ἐν Ἰωνίᾳ, μετὰ διακοσιοστὸν καὶ ἔνατον ἔτος τῶν Τρωϊκῶν, χρησμὸν ἔλαβον παρὰ τοῦ Πυθίου, εἰς τὴν ἐν Τρωάδι Θρᾴκην μετοικῆσαι. ἀφ' ὧν ἡ Σαμοθρᾴκη προσηγορεύθη. Ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ. Σάμου Θρηϊκίης.] Τῆς Σαμοθρᾴκης. Τὸ μέν τοι ἐν αὐτῇ ὄρος, Σαώκη καλεῖται. 16. Ἐνεμέσσα.] Ἐμέμφετο. 17. Παιπαλόεντος.] Τραχέος. 18. Κραιπνά.] Κραιπνῶς, ταχέως. Προβιβάς.] Ἠρέμα προβαίνων. 20. Ὀρέξατο.] Ἐξέτεινε. διέβη. Τὸ δὲ τέτρα-

Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης,
χρύσεα, μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί·
ἔνθ' ἐλθὼν, ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσι κομόωντε.
χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ· γέντο δ' ἱμάσθλην
χρυσείην, εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου·

21. δέ Fοι. 22. ἄφθιτα αἰεί. v. Obss. 24. χρυσέῃσι Fεθείρῃσι. 26. ἑFοῦ. vulgg. ἐπεβήσατο.

derat, Ægas. Magna res et mirabilis ad sensum animi: nec tamen ei ita immorandum, ut aut gressus, aut pedum intervallum, aut soleas metiri velis; ita enim εἰς τὸ παιδαριῶδες ipsum illud ὕψος recideret; subsistendum est in primo phantasiæ impulsu ex rei miraculo.—21. Αἰγάς. sive Eubœæ, sive insulæ ad Eubœam: sive Ægæ Achaiæ quæ Θ. 203. cum Helice memorantur tanquam Neptuno sacræ. Enimvero h. l. non de urbe, in qua religioso cultu habetur, agitur, sed de loco in maris fundo, in quo dei sedes esse narratur. Itaque nisi Ægas, obscuram insulam vel cautem in mari Ægæo esse malis, assentientibus Strabone et aliis, Ægæ Eubœæ, urbs ad Euripum, videntur etiam propterea convenire, quod ipsi vortices Euripi æstuantis opinioni fidem facere potuerunt, esse dei maris domum in maris inter cautes et profunda abysso. Est Neptuni palatium sub undis, alibi indefinito, nunc definito in loco: Sic in mari Ægæo est Nerei domus: Apollon. IV. 771. sq. et Penei fluvii regia ap. Virgil. Ge. IV. 363. sq. ubi cf. Excurs.—22. ἄφθιτα αἰεί habet regia Neptuni laudem a firmitate et duratione; est enim caverna in maris fundo inter scopulos et in petris excavatis. Simili sensu Chironis antrum est ἄφθιτον ἄντρον ap. Pindar. I. VIII. 89. etsi ibi veteres accipiunt θεσπέσιον, θεῖον. v. ibi V. L. in nova edit. Ita ap. eund. quæ aurea sunt, sunt ἄφθιτα, ex duratione: vellus aureum, ἄφθιτος στρωμνὰ, P. IV. 410. et fulmen a Cyclopibus procusum, ἄφθιτον ἔργον ap. Apollon. I. 730. ipse Jupiter ἄφθιτος Pindar. P. IV. 518. Supra Β. 447. vidimus αἰγίδα ἀγήραον ἀθανάτην τε.

Quod autem, antequam a Samothrace, Ilio propiore, in Troadem statim proficiscatur, Ægas prius adit, mirationem facere potest; id equidem eo fieri censeo consilio, ut specie et habitu, qui deum deceat, armatus et curru invectus, in re tam ardua, legentium mentibus objiciatur; verbo, phantasma dei ita est splendidius et potentius. Sic supra Θ. 43. Jupiter, cum ad Idam se confert, ad prospiciendum ex monte: χρυσὸν δ' αὐτὸς ἔδυνε sq. In hoc enim poeta, non tam artifex, quam ingeniosissimus poeta est, quod ad feriendos sensus dilectu et judicio est felicissimus. Commenta veterum hac de re sunt varia et inepta.—23. τιτύσκετο ἵππω. ἔτυνε, proprie, τοὺς ἱμάντας, jungendo eos currui. v. Θ. 41. ubi et χαλκόποδε de robore, et γέντο ἱμάσθλην legitur, εἴ-

τον.] Προσληπτέον, ὀρεξάμενος. 21. Αἰγάς. ἔνθα δέ οἱ κλυτὰ δώματα.] Αἰγαὶ, πόλις Ἀχαΐας ἐν Πελοποννήσῳ. Ἔνθα τιμᾶται ὁ Ποσειδῶν. Ἄγεται δὲ καὶ Διονύσῳ ἑορτή. Ἐν ᾗ ἐπειδ' ἂν ὁ χορὸς συστὰς τὰς τοῦ δαίμονος τελετὰς ὀργιάζῃ, καὶ θαυμάσιον ἐπιτελεῖσθαί φασιν ἔργον. Ἄμπελοι γὰρ, ἃς καλοῦσιν ἐφημέρους, ἀνισχούσης ἡμέρας, καρπὸν βλαστάνουσιν· ἄχρι δὲ τῆς ἑσπέρας οἶνον ἄφθονον ἔχουσιν. Ἡ ἱστορία παρὰ Εὐφορίωνι. Ἐζήτηται δὲ, διατί εὐθέως οὐ πορεύεται ὁ Ποσειδῶν εἰς Τροίαν, ἀλλὰ τὸν χρόνον δαπανᾷ, πορευθεὶς εἰς Αἰγάς. Ῥητέον, ὅτι δυεῖν ἕνεκα πραγμάτων μεμηχάνηται ἡ ἀποδημία. πρῶτον μὲν, ἵνα ἀποπλανήσῃ τὸν Δία ὡς ἀπολελοιπὼς τὸν πόλεμον. δεύτερον δὲ, ἵνα καθοπλισθῇ εἰς τὸν Διὸς πόλεμον, ἐὰν ἄρα φωραθεὶς εἰς τὴν συμμαχίαν κινδυνεύσῃ. 23. Ὑπ' ὄχεσφι τιτύσκετο.] Ὑπεζεύγνυε τῷ ὀχήματι τοὺς ἵππους. 24. Ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.] Χρυσῷ κεκοσμημέναις, ἢ καλαῖς. Ἔθειραι δὲ εἴρηνται παρὰ τὸ ἐξ ἔθους εἴρεσθαι, ὅ ἐστι, πλέκεσθαι. Ὠκυπέτα.] Ταχέως τρέχοντας. 25. Ἱμάσθλην.] Μάστιγα. 27. Ἄταλλεν.] Ἐν νεότητι κατὰ διά-

βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
γηθοσύνῃ δὲ θάλασσα διΐστατο· τοὶ δὲ πέτοντο
ῥίμφα μάλ'· οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων·
τὸν δ' ἐς Ἀχαιῶν νῆας εὐσκαρθμοι φέρον ἵπποι.
Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων,
λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ
ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας,
ἀῤῥήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
νοστήσαντα ἄνακτα· ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.

27. vulgg. ὑπ' αὐτῷ. 28. οὐδ' ἠγνοίησε Fάνακτα.
38. νοστήσαντα Fάνακτα.

λετο.—27. ἄταλλε, ἐσκίρτα, ἔπαιζε. Nobilis est hic locus, multis poetis exemplo futurus, in his Apollonio, inprimisque Virgilio Æn. V. 818. sq. Petita res e communi antiquorum hominum opinione de effectibus et signis præsentiæ deorum; quæ postea in mera figmenta et phantasmata poetarum abiere; accedentibus quoque iis, quæ adventu principum hilaritatem publicam testari solebant. Sunt adeo etiam in his diversæ rationes, nec confundendæ.—Ipsum mare sensit dominum suum invehi, et exultando sulcum fecit sponte currui, qua ille incederet.—30. οὐδ' ὑπένερθε. Summæ cursus celeritatis notatio, a multis poetis ex h. l. et ex altero Υ. 227. sqq. petita, tanto probabilior nunc, quia de equis deorum agitur; non de hominum equis, ut ap. Apollon. I. 179. sq. et Æn. VII. 806. sq. ad quem loc. vide. Ita passim ea, quæ antiquiores recte mythica oratione extulerant, de rebus divinis mente tantum concipiendis, seriores poetæ transtulere ita, ut in hyperbolen ea verterentur, aut in meram formulam poeticam.

32. Ἔστι δέ τι σπέος. Stabulum et equile equis Neptuni in fundo maris parari, mirum non est; sed, cur inter Imbrum et Tenedum designetur locus, quæras. Suspicari licet, fuisse ibi locum in mari notum propter mirabiles aquarum vortices, altam abyssum, inter cautes latentes, testantes. Nulla tamen est suspicionis auctoritas; et potuit locus in mari contiguo temere memorari. Similis quæstio movetur de Thetidis antro inter Samothracen et Imbrum Ω. 78.—34. ἔνθ' ἵππους. Currum relinquit Neptunus, antequam Troadem pervenerat, quoniam non interesse pugnæ volebat numine manifesto, verum mutata persona et Calchantis specie assumta Achivos hortari ad pugnandum: cf. ad Ε. 775.—35. ἀμβρόσιον εἶδαρ, equi dei alicujus, etiam de divino pabulo fuit cogitandum, nihil amplius argutandum, ut Ε. 777.

θεσιν ἐγίγνετο. ὅ ἐστιν, ἐσκίρτα, καὶ ἔχαιρεν. Ὑπ' αὐτῷ.] Ἀντὶ τοῦ, δι' αὐτόν. 28. Πάντοθεν ἐκ κευθμώνων.] Ἐκ τῶν καταδύσεων καὶ φωλεῶν. 29. Γηθοσύνῃ.] Τῇ χαρᾷ. 30. Διαίνετο.] Διάβροχος ἐγίγνετο. 31. Εὔσκαρθμοι.] Εὐσκάριστοι. Ὅ ἐστιν, εὐκίνητοι, ταχεῖς. Σκαρθμὸς γὰρ, κατὰ διάλεκτον, ὁ πούς. 32. Ἔστι δέ τι σπέος εὐρύ.] Ἀφώτιστον οἴκημα πλατύ. παρὰ τὴν σβέσιν τοῦ φωτός. Λίμνης.] Νῦν θαλάσσης. 33. Τενέδοιο καὶ Ἴμβρου.] Νῆσοι πλησίον Τροίας κείμεναι. Καὶ ἡ μὲν Τένεδος κεῖται μέση τριῶν πελάγων, Αἰγαίου, Ἑλλησπόντου, Μέλανος κόλπου. Διὸ καὶ Τρίοδος ὑπ' ἐνίων καλεῖται. Ἡ δὲ Ἴμβρος ἐστὶν ἐν τῷ Μέλανι κόλπῳ. 35. Εἶδαρ.] Ἔδεσμα. τροφήν. 36. Ἔδμεναι.] Ἐσθίειν. Πέδας.] Δεσμούς. Ἤτοι παρὰ τὸ πιέζειν εἴρηνται, ἢ παρὰ τοὺς πόδας. Ὥσπερ παρὰ τὸν ὀβολὸν, τὸ ἡμιωβόλιον. 37. Ἀλύτους.] Δυσλύ-

Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες ἠὲ θυέλλῃ,
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο,
ἄβρομοι, αὐΐαχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόφι πάντας Ἀχαιούς.
ἀλλὰ Ποσειδάων γαιήοχος, ἐννοσίγαιος,
Ἀργείους ὄτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών,
εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν.
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν,
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλλῃ μὲν γὰρ ἔγωγ' οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ·
ἕξουσι γὰρ ἅπαντας ἐϋκνήμιδες Ἀχαιοί·
τῇ δὲ δὴ αἰνότατον περιδείδια, μή τι πάθωμεν,
ᾗ ῥ' ὅγ' ὁ λυσσώδης, φλογὶ εἴκελος, ἡγεμονεύει
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος πάϊς εἶναι.

39. φλογὶ Ϝῖσοι. 41. ἀϜίϜαχοι· Ϝέλποντο. 45. Ϝεισάμενος.
47. σφὼ, non σφῷ. μέν τε pro κε. 53. φλογὶ Ϝείκελος.

39. Τρῶες δὲ φλογὶ ἶσοι.—125. Pugnant Trojani circa Hectorem summa vi annisi, cum Neptunus, Calchantis formam mentitus, hortatur ut vires exserant, primo Ajaces, 43—82. tum alios ex Achivis, 83—125.—41. ἄβρομοι, ἄγαν βρομοῦντες, βρέμοντες. αὐΐαχοι, ἄγαν ἰάχοντες. Fremitum et clamorem, qui Trojanis pugnam ineuntibus sollennis erat, vidimus sup. Γ. pr.—42. παρ' αὐτόφι. παρ' αὐτῷ sc. τῷ χώρῳ.—ἀτειρέα φωνήν. fortem, validam, ut non facile vociferando deficiat aut debilitetur; h. l. tamen simpliciter ornat epitheton. Iterum Ρ. 555. et Χ. 227. De voce ἀτειρὴς v. ad Γ. 60. ἄῤῥηκτος erat Β. 490.—48. Apparet, Ajacem cum Teucro a parte valli, ad quam tuendam a Menestheo vocatus erat (Μ. 331—370.) se recepisse in castra media, qua Hector impressionem fecerat, ut ei obsisteret.

47. Vos duo soli, Ajaces, Achivos internecione eripere potestis, si hac parte, qua Hector irrupit, fortiter pugnabitis.—54. Ἕκτωρ, ὃς Διὸς εὔχεται πάϊς εἶναι. non, puto quasi hoc vociferando nunc professus sit; sed simpliciter, qui sibi videtur, plus quam humana virtute, pugnare, tanquam θεοφιλὴς aliquis. Notabilis antiqua loquendi ratio a mira animorum persuasione ducta, quicquid quacunque tandem in re emineat, dei alicujus opera et manu præstari aut effici: Ejus persuasionis usum inf. 825. videbimus: Αἲ γὰρ ἐγὼν etc. eminere enim inter omnes mortales necesse esse eum, qui Jove natus sit, facile credas. Jam pro eo, quod nos diceremus, videri aliquem

τους. 40. Ἄμοτον.] Ἀντὶ, ἀμότως, καὶ ἀπληρώτως. 41. Ἄβρομοι, αὐΐαχοι.] Ἀντὶ τοῦ, πολύβρομοι, καὶ πολύηχοι. Ἑκάστοτε θορυβώδεις τοὺς Τρῶας παρίστησιν. Αὐΐαχοι.] Ἀντὶ τοῦ, ἀνίαχοι. τοῦ γὰρ ν ἐξαιρεθέντος, ὑπεισῆλθε τὸ υ, ὡς καὶ ὅτε τὸ ἀγαυθοὶ, ἀγαυοί. Χρύσιππος δὲ ὁ Στωϊκὸς, καὶ Διονύσιος ὁ Θρᾷξ ψιλοῦ τὸ αὐΐαχοι, ἵν' ᾖ ξηρόφωνοι. 43. Γαιήοχος, ἐννοσίγαιος.] Ἐπίθετα Ποσειδῶνος. Καὶ τὸ μὲν ἓν δηλοῖ, ὁ τὴν γῆν συνέχων. τὸ δὲ ἕτερον, ὁ κινῶν αὐτήν. Καὶ γὰρ, περὶ ἰατρὸν, δύο ἐστὶν ὧν χρὴ προΐστασθαι, καὶ τὰ νοσερὰ διορθοῦσθαι, καὶ τὰ ὑγιεινὰ προφυλάσσειν. 48. Κρυεροῖο.] Φρικτοῦ, φοβεροῦ. 49. Ἄλλῃ.] Ἀλλαχοῦ, κατ' ἄλλο μέρος. 50. Ὑπερκατέβησαν.] Ὑπερέβησαν. 51. Ἕξουσιν.] Ἐφέξουσι, κωλύσουσιν. 53. Ἧι ῥ' ὅγε.] Καθ' ὃ μέρος οὗτος. Ὁ

σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ' ἑστάμεναι κρατερῶς, καὶ ἀνωγέμεν ἄλλους·
τῷ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
Ἦ, καὶ σκηπανίῳ γαιήοχος Ἐννοσίγαιος
ἀμφοτέρω κεκοπὼς πλῆσε μένεος κρατεροῖο,
γυῖα δὲ θῆκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν.
αὐτὸς δ', ὥστ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς
ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο·
ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
τοῖϊν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,

64. ὁρμήσει erat.

sibi esse ceteris mortalibus superiorem, vel facere opinionem de se, ut alii eum putent esse ultra humanam sortem aliqua in re, ut virtute bellica, præstantem, hoc ita effertur: videri eum sibi esse immortalem, a Jove natum: h. e. ultra conditionem humanam positum. Huic formæ loquendi assueti posteriores tot fabulas excogitarunt de heroibus et viris magnis e diis natis: et de ipso Hectore ex Apolline nato: v. Schol. br. ad Γ. 314. Schol. Lycophr. 266. ut monitum jam ad Apollod. Obss. ad III. 12, 5. §. 4. Ut tamen Διὸς παῖς sit idem ac Διῒ φίλος, usu non probari puto. Est h. l. nihil amplius vs. 54. quam, quod nos vulgari oratione diceremus, Hector, qui nunc videtur virtutem hominis excedere. Quanto potentiorem, et epicis phantasmatibus aptiorem putabimus fuisse priscorum hominum sermonem!—55. Notabile hoc, ποιεῖν τινι ἐν φρεσὶν, vel ἐμποιεῖν τινί τι φρεσὶν, pro ὑποθέσθαι, de monitu, quod et θέσθαι ἐν φρεσί. Sic Il. Τ. 121. ἔπος τί τοι ἐν φρεσὶ θήσω. et hoc sæpius occurrit. Etiam Eustath. h. l. θήσω εἰς νοῦν.—59. σκηπανίῳ, σκήπτρῳ. Notabilis usus scipionis seu baculi in usu perficiendi res mirandas et præternaturales solo attactu, ope scipionis: fere ut Moses baculo suo usus est. Nota est Circes virga; Mercurii caduceus: Bacchi thyrsus: Minervæ scipio Od. Ν. 429. Π. 172. ut tactu, ita alibi afflatu utuntur dii. Serior superstitio etiam obtutu fascinationem fieri credidit.—62. αὐτὸς δ' ὡς ἴρηξ. levi et celeri incessu, quo fiebat, ut confestim ille oculis se subduceret, qualis veri Calchantis non fuisset, agnitus est deus ab Ajace Oilei. Id enim, quod nos dicimus, visum seu spectrum evanuisse, si ad sensum commode reddendum est, vix aliter potest reddi quam per celeritatem discessus et motus. Itaque ex hoc ἀρίγνωτοι θεοί. vs. 72. Comparatio itaque h. l. tantum in celeritate motus ad sensum cernentis est ponenda.—

λυσσώδης.] Ὁ μεμηνώς. 57. Ἐρωήσαιτ' ἀπὸ νηῶν.] Ἀποστρέψοιτε καὶ ἀπελάσοιτε τῶν νηῶν. 59. Σκηπανίῳ.] Σκήπτρῳ. Ἀπὸ τοῦ σκηρίπτεσθαι, ὅ ἐστιν, ἐπερείδεσθαι. 60. Κεκοπώς.] Πλήξας. 62. Ἴρηξ.] Ἱέραξ. 63. Αἰγίλιπος.] Ὑψηλῆς. Περιμήκεος.] Λίαν μεγάλης, ὑπερμεγέθους. Ἀρθείς.] Ἐπαρθεὶς, ἀποπτάς. 64. Πεδίοιο.] Διὰ τοῦ πεδίου. Ὄρνεον ἄλλο.] Ἀντὶ τοῦ, ἀλλόφυλον. 66. Τοῖϊν δέ.] Τούτων δέ. Ὀϊλῆος ταχὺς Αἴας.] Αἴας Λοκρὸς μὲν ἦν τὸ γένος, ἀπὸ πόλεως Ὀποῦντος, πατρὸς δὲ Ὀϊλέως. Οὗτος, μετὰ τὴν τῆς Ἰλίου πόρθησιν, αἴτιος τοῖς Ἕλλησιν ἀπωλείας ἐγένετο. Κασάνδραν γὰρ τὴν Πριάμου, ἱκέτιν οὖσαν Ἀθηνᾶς, ἐν τῷ τῆς θεᾶς σηκῷ κατήσχυνεν, ὥστε τὴν θεὰν τοὺς ὀφθαλμοὺς τοῦ ξοάνου εἰς τὴν ὀροφὴν τρέψαι. Τοῖς δὲ Ἕλλησιν ὑποστρέφουσι, καὶ κατὰ τὴν Εὔβοιαν γενομένοις, χειμῶνας διήγειρε μεγάλους, ὥστε πολλοὺς αὐτῶν διαφθαρῆναι. Διανηξάμενος δὲ Αἴας εἰς τὰς Γυράδας καλουμένας πέτρας, ἔλεγε, χωρὶς θεῶν γνώμης, διασωθῆναι. Ποσειδῶν δὲ, ἀγανακτήσας, διέσχισε τὴν

αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
  Αἶαν, ἐπεί τις νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι—
οὐ δ' ὅγε Κάλχας ἐστὶ, θεοπρόπος οἰωνιστής·
ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ' ἔγνων ἀπιόντος, ἀρίγνωτοι δὲ θεοί περ·
καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι
μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
μαιμώωσι δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθε.
  Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
μαιμῶσι, καί μοι μένος ὤρορε· νέρθε δὲ ποσσὶν
ἔσσυμαι ἀμφοτέροισι· μενοινώω δὲ καὶ οἶος
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι.
  Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
χάρμῃ γηθόσυνοι, τήν σφι θεὸς ἔμβαλε θυμῷ.
τόφρα δὲ τοὺς ὄπιθεν Γαιήοχος ὦρσεν Ἀχαιούς,

69. *μάντεϊ Ϝειδόμενος.*

66. *ἐν τοῖϊν*, inter duo hos.—67. *αἶψα δ' ἄρ'.* statimque adeo, proinde. Clarke.—68. *ἐπεί τις*—deest apodosis: agedum pugnemus fortiter: quandoquidem deus aliquis nos hortatur ad pugnandum.—71. *ἴχνια γὰρ*—gressum levem ac celerem ex vs. 62. non, vestigia ac plantas. *ῥεῖα* jungi potest et cum *ἔγνων* et cum *ἀπιόντος.* probo prius. —75. *μαιμᾶν, ὁρμᾶν*, de pedum et manuum impetu ad animi impetum pariter sponte se moventium, præclare est ad sensum pronuntiatum. Minus potenter ad sensum, *ἐναργῶς* tamen, Virgilius Æn. IX. 186. *aut pugnam aut aliud jamdudum invadere magnum Mens agitat mihi, nec placida contenta quiete est.*—78. *καί μοι μένος ὤρορε*, pro *γίνεται, ὁρμᾶται*, animus concitatur. etiam meam virtutem concitari, inflammari, sentio.—82. *χάρμῃ γηθόσυνοι.* videtur proprius vocis *χάρμης* significatus hic esse: impatiens cupido et ardor pugnandi; unde ipsa pugna dicta *χάρμη.* Certe h. l. est *ἡ προθυμία εἰς τὴν μάχην.* Est ipsum illud *μαιμᾶν* vs. 77. Convenit Latinorum *gestire*, gestu exultationem vel cupiditatem et ardorem declarante. Convenit *τὸ παίζειν, τὸ μέλπεσθαι*, pro *μάχεσθαι.*

83—125. Neptunus ceteros quoque Achivos ad fortiter pugnandum hortatur. Oratio bene est argumentis et caussis, quæ moveant, instructa.

83. *τοὺς ὄπιθεν*, qui longius versus mare fugerant, ibique recipiebant se, *ἀνέψυχον ἑαυτούς.* Putandus autem est Neptunus hæc quoque facere sub Calchantis persona.

πέτραν, καὶ τὸν Αἴαντα τῷ κλύδωνι παρέδωκεν. Ἐκριφέντα δὲ αὐτὸν, κατάδηλον νεκρὸν, Θέτις, ἐλεήσασα, θάπτει. Ἀθηνᾶ δὲ οὐδὲ οὕτως τῆς ὀργῆς ἐπαύσατο, ἀλλὰ καὶ τοὺς Λοκροὺς ἠνάγκασεν ἐπὶ χίλια ἔτη εἰς Ἴλιον ἐκ κλήρου παρθένους πέμπειν. Ἡ ἱστορία παρὰ Καλλιμάχῳ ἐν Αἰτίοις. καὶ παρ' αὐτῷ τῷ Ποιητῇ ἐν Δ Ὀδυσσείας, παχυμερῶς.

70. Οἰωνιστής.] Οἰωνοσκόπος. Πῶς δέ φησιν ὁ Ποσειδῶν οὐκ ἔλαθε τὸν Αἴαντα; Καὶ ῥητέον, ὅτι φαντασίαν παρέχει τὸ θεῖον ἑαυτοῦ. 71. Ἴχνια.] Ἴχνη, πατήματα. 72. Ἀρίγνωτοι.] Εὐδιάγνωστοι. 75. Μαιμώωσι.] Μετὰ προθυμίας ὁρμῶσιν. 78. Ὤρορε.] Ὥρμηται. Ὑπερβιβασμὸς χρόνου. 79. Ἔσσυμαι.] Ὥρμηκα, ἐσπούδακα. 82. Χάρμῃ γη-

οἱ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ.
τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο,
καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο, δερκομένοισι
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
τοὺς οἵγ' εἰσορόωντες, ὑπ' ὀφρύσι δάκρυα λεῖβον·
οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ. ἀλλ' Ἐνοσίχθων
ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας.
Τεῦκρον ἐπὶ πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων,
Πηνέλεών θ' ἥρωα, Θόαντά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
τοὺς ὅγ' ἐποτρύνων, ἔπεα πτερόεντα προσηύδα·
Αἰδὼς, Ἀργεῖοι, κοῦροι νέοι, ὔμμιν ἔγωγε
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἀμάς·
εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ, ὑπὸ Τρώεσσι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
δεινὸν, ὃ οὔποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας· οἳ τοπάρος περ
φυζακινῇς ἐλάφοισιν ἐοίκεσαν, αἵτε καθ' ὕλην
θώων, πορδαλίων τε, λύκων τ' ἤϊα πέλονται,

94. Ϝέπεα. 98. Ϝείδεται. 102. ἐλάφοισι ϜεϜοίκεσαν.

—85. τῶν ῥα. τούτων ἄρα. hi et viribus erant exhausti et dolore animi percussi.—90. ῥεῖα malim ad ὤτρυνε referre; ad potentiam dei hoc spectat. Sic etiam faciendum inf. Γ. 285. Sic quoque Ernesti statuebat.—91. *Leitus* et *Peneleus*, Bœotorum duces, (Β. 494.) *Thoas*, Ætolorum, (Β. 638.) *Deipyrus* inter principes memoratus quoque Ι. 83. *Meriones*, Idomenei θεράπων, et *Antilochus* Nestoris f.—κελεύων, idem quod ὀτρύνων, ἐποτρύνων vs. 94.—95. αἰδὼς sc. ἔστω, αἰδεῖσθε. pudorem servate. (non, *pudeat vos!*) vos estis illi, quibus fortiter pugnantibus confido naves nos nostras servare posse. At si—96. πέποιθα. Monet Clarke, esse *confido*, non, confidebam.—100. τελευτήσεσθαι simpl. eventurum esse, locum esse habiturum.—103. λύκων ἤϊα, nunc τὰ ἐλώθόσινοι.] Χαίροντες τῇ ψυχῇ. Ἔστι δὲ ὅτε δηλοῖ ἡ λέξις καὶ τὴν μάχην. 84. Ἀνέψυχον.] Ἀνεκτῶντο, ἀνέπαυον. 88. Δάκρυα λεῖβον.] Ἐστέναζον, ἐδάκρυον. Ὑπ' ὀφρύσι δακρυα λεῖβον.] Οἱ γὰρ ὀφθαλμοὶ καθ' Ὅμηρον ὑπὸ ταῖς ὀφρύσι· Κοίμισόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ. Διὰ δὲ τούτων, ἐδάκρυον. Ἕτεροι δὲ ἤκουσαν, λεληθότως ἔκλαιον. 90. Μετεισάμενος.] Πρὸς αὐτοὺς ἀφικόμενος, μετελθὼν, ἢ μεταβληθείς. 95. Αἰδώς.] Αἰδέσθητε. 69. Ἀμάς.] Ἡμετέρας.

97. Λευγαλέοιο.] Ὀλεθρίου. 98. Νῦν δὴ εἴδεται ἦμαρ, ὑπὸ Τρώεσσι δαμῆναι.] Νῦν ἀνεφάνη ἡ ἡμέρα ἐν ᾗ ὑπὸ τῶν Τρώων ἀναιρεθήσεσθε. Εἴδεται.] Φαίνεται. 100. Ἔφασκον.] Ὑπελάμβανον, ἔλεγον. 102. Φυζακινῆς.] Φευκτικαῖς, δειλαῖς. 103. Θώων.] Πανθηρίων. Ὁ θὼς, ζῶον ἄλκιμον καὶ εὐκίνητον. Ἔνιοι δὲ, παραπλήσιον ὑαίνῃ. Παρδαλίων.] Παρδάλεων. Ἤϊα.] Βρώματα. Κυρίως δὲ, τὰ ἐν τῇ ὁδῷ ἐπιτήδεια. ἐφόδια. Λύκων τ' ἤϊα πέλονται.] Βρώματα, οὐ τὰ ἐν οἴκῳ δὲ

αὔτως ἠλάσκουσαι, ἀνάλκιδες, οὐδ' ἐπὶ χάρμῃ·
ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠβαιόν·
νῦν δὲ, ϝεκὰς πόλιος, κοίλῃς ἐπὶ νηυσὶ, μάχονται,
ἡγεμόνος κακότητι, μεθημοσύνῃσί τε λαῶν,
οἳ, κείνῳ ἐρίσαντες, ἀμυνέμεν οὐκ ἐθέλουσι
νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς.
ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλείωνα·
ἡμέας γ' οὔπως ἐστὶ μεθιέμεναι πολέμοιο,
ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.
ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδ' ἂν ἔγωγε
ἀνδρὶ μαχεσσαίμην, ὅστις πολέμοιο μεθίει,
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.

107. νῦν δὲ, ϝεκάς. vulg. νῦν δ' ἕκαθεν. 118. vulg. μεθείῃ.

ρια, præda.—104. αὔτως ἠλάσκουσαι temere vagantes, tanquam consilii inopes et pavidæ. οὐδ' ἐπὶ χάρμῃ sc. οὖσαι. οὐκ ἐπὶ, εἰς, πρὸς μάχην, οὐ μάχιμοι. non ad pugnam idonei.—108. ἡγεμόνος κακότητι, κακίᾳ, δειλίᾳ, ignavia Agamemnonis, qui virtute sua hanc fugam avertere debebat. Hoc sensu, aut de calamitate, κακότης in Homericis fere positum deprehenditur; latius dictum accipi posset, ducis vitio et culpa, ut forte Od. Ω. 454. ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένοντο.—109. κείνῳ ἐρίσαντες, μεμφόμενοι Ἀγαμέμνονι.—110. non student propulsare hostes a navibus: ἀμύνειν scil. τοὺς Τρῶας ἀπὸ τῶν νηῶν. ἀλλὰ κτείνονται ἀν' αὐτὰς, de eo dictum quod futurum erat.—111. ἀλλ' εἰ δὴ, at sane, etiamsi. Clarke.—113. οὕνεκ' ἀπητίμησε, simpl. pro ἠτίμησε, injuria affecit.—115. ἀλλ' ἀκεώμεθα θᾶσσον, injuriam Achilli factam reparando ejus iram placemus: nam hoc est ἀκεῖσθαι; θεραπεύειν τὸν θυμὸν, τὸν χόλον. placabili est animo, tanquam vir bonus ac generosus. Præclare hoc in sententiam generalem versum. Ceterum nunc inde vs. 111. sq. primo aperta conquestio occurrit de Agamemnonis stultitia et injuria, qua Achillem affecerat.—116. ὑμεῖς δὲ οὐ καλῶς μεθίετε, οὐ καλόν ἐστιν, ὑμᾶς μεθιέναι, τῆς μάχης, pro hac ponit ἀλκὴν, virtutem in pugnando.—117. Infirmiori viribus homini, caloni, gregario, equidem haud indignaturus essem, si cum remissum pugnando viderem; at vobis (scil. qui satis validi et fortes estis,) vel maxime succenseo animo meo. μαχεσαίμην. nunc μάχεσθαι est μέμφεσθαι, ἔπεσι. λυγρὸς, opp. ἄριστος vs. 117. ut et inf. 237. alibi est, miser et tristis. νεμεσσῶμαι ἐν κῆρι,

ἐσθιόμενα, ἀλλὰ τὰ ἐν ὁδῷ. Δεῦτε, φίλοι, ἤια φερώμεθα, Σιμωνίδης φησί. καὶ τὰ ἄχυρα δὲ ἤια λέγεται. Ὡς τό· Ὡς δ' ἄνεμος ζαὴς, ἠίων θημῶνα τινάξῃ. Τάχα δὲ τὰ φερόμενα, παρὰ τὸ ἰέναι. Γεννηθέντος γὰρ ἀνέμου, δεῦρο κἀκεῖσε φέρονται. 104. Ἠλάσκουσαι.] Ἐκκλίνουσαι, πλανώμεναι. 106. Οὐκ ἐθέλεσκον.] Οὐκ ἠδύναντο. 107. Ἑκάθε.] Πόῤῥωθεν. 108. Κακότητι.] Κακίᾳ, δειλίᾳ. Μεθημοσύνῃσι.] Ταῖς ἀμελείαις. 115. Ἀλλ' ἀκεώμεθα θᾶσσον.] Ἀλλ' ἰασώμεθα διὰ τάχους τὸ γεγονὸς ἁμάρτημα. Ἀκεσταί.] Εὐθεράπευτοι, εὐίατοι. Ὁ δὲ λόγος· αἱ τῶν ἀγαθῶν φρένες ῥᾳδίως πρὸς τὸ κρεῖττον μετατίθενται, εὐθεράπευτοι οὖσαι. Ἢ, θεραπευτικαί εἰσιν. 116. Οὐ καλά.] Οὐ καλῶς. 119. Λυγρός.] Χαλεπὸς, ἄδοξος. Νεμεσσῶμαι.] Μέμφομαι. Περὶ

ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
τῇδε μεθημοσύνῃ. ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερός· ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.
Ὣς ῥα κελευτιόων Γαιήοχος ὦρσεν Ἀχαιούς.
ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών,
οὔτε κ' Ἀθηναίη λαοσσόος· οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι

121. θέσθε Fέκαστος.

πέρι, περισσῶς.—120. Mox sane—certe enim—Hector nempe— Clarke. τάχα seu, mox, seu, forsan; nil refert; modo sententiam teneas: verendum esse, ne hac Achivorum inertia ad extremam perniciem et fugam res adducantur.—122. αἰδῶ καὶ νέμεσιν istum, pudorem ex interno sensu; hunc ex aliorum judicio, reprehensione, objurgatione, insectatione, profectum, volunt esse veteres. Certe νέμεσις est indignatio præ pudore.

126—155. Circa Ajaces conglobati Achivi Hectorem reprimunt irruentem. Locus est præclarus vi sententiarum et ornamentis. Redit autem poeta ad vss. 81, 2.

127. ἃς οὐδ' ἄν κεν ὀνόσαιτο, μέμψαιτο, Ἄρης καὶ Ἀθηναίη. scil. ἀλλὰ θαυμάσειεν ἄν. Iterum inf. P. 398, 9. οὐδέ κ' Ἄρης λαοσσόος, οὐδέ κ' Ἀθήνη τόν γε ἰδοῦσ' ὀνόσαιτ', οὐδ' εἰ μάλα μιν χόλος ἵκοι. quandoquidem dii oblectantur adspectu virtutis et pugnæ. De forma loquendi v. sup. ad Δ. 539. Est turma pugnatorum tam præclara, ut ipse Mars et Minerva eam esset probatura et laudatura: cf. inf. 287.—128. Minerva λαοσσόος, *quæ ad bellum aut pugnam copias excitat.* ἡ τοὺς λαοὺς σοοῦσα, ὁρμῶσα ἐπὶ πόλεμον. Inf. P. 398. est Mars λαοσσόος, et Υ. 48. Eris.

130. sqq. Versus nobiles de phalange; non tamen de Macedonica cogitandum cum Sch. B. (etsi ipse Polyb. XVIII. 12. tres hos versus ad eam commode transfert) aut cum Eustathio de πλινθίῳ; sed de ordinibus densis et bene firmatis. Infra 152. est πυργηδόν. appellant quoque συνασπισμόν —φράξαντες δόρυ δουρί. Expeditius est, quod inf. P. 268. legimus φραχθέντες σάκεσι χαλκήρεσι. Hoc loco non est, quasi alter alterius hastam sua hasta contigerit; sed φράσσειν est πυκνοῦν, quasi hastam apposita hasta alia densare; quo ordo hastarum tam densus sit, ut hastæ crebræ in ordinibus promineant. Idem mox ἐρείδειν. σάκεϊ προθελύμνῳ (vocem vidimus jam I. 537.) ita admoto et juncto altero alteri scuto, ut sibi mutuo scuta pro fundo esse, cui inniterentur, videri possent; sunt σάκη ἄλλο ἐπ' ἄλλῳ, ἐπάλληλα, adeoque πυκνά.—131. ἔρειδε. ἀσπὶς ἐπέρειδεν ἀσπίδα, fulciebat, sustinebat, pro vulgari, ἥπτετο, *attingebat;* admotus erat clipeus clipeo artissime, ut ei quasi inniteretur. Variavit poeta orationem cum posset pergere, φράξαντες—ἀσπίδα ἀσπίδι, κόρυν κόρυθι etc.—132. κόρυ-

κῆρι.] Ἐκ ψυχῆς. 125. Κελευτιόων.] Παρακελευόμενος, παρορμῶν. Γαιήοχος.] Ἤτοι ὁ ἐπὶ γῆς ὀχούμενος. Ἢ, ὁ χαίρων τοῖς ἅρμασιν. Ἵππιος γὰρ ὁ θεός. Ἢ, ὁ συνέχων καὶ βαστάζων τὴν γῆν. Φασὶ γάρ, αὐτὴν ἐπὶ ὕδατος ἐστηρίχθαι. Ἐννοσίγαιος δὲ ὁ κινῶν τὴν γῆν. Τῇ τοῦ ὕδατος γὰρ παρὰ χρόνον τινὰ μεταστάσει γίγνεται ὁ σεισμός. 127. Ὀνόσαιτο.] Μέμψαιτο. 128. Λαοσσόος.] Ἡ τοὺς λαοὺς σεύουσα, τουτέστιν, εἰς φυγὴν ἄγουσα, ἢ σώζουσα. 129. Κρινθέντες.] Διαταχθέντες. 130. Προθελύμνω.] Ἐπάλληλοι. πυκνοί. Ἀνδρόμαχος ἐν ἐτυμολογικοῖς φησι, κυρίως λέγεσθαι τὰ ἐπαλλήλους κλάδους ἔχοντα δέν-

νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
ἔγχεα δὲ πτύσσοντο θρασειάων ἀπὸ χειρῶν
σειόμεν'· οἱ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.
Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
ἀντικρὺ μεμαώς· ὀλοοίτροχος ὡς ἀπὸ πέτρης,
ὅντε κατὰ στεφάνης ποταμὸς χειμάῤῥοος ὤσῃ,
ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης,
ὕψι τ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ
ὕλη· ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, ὄφρ' ἂν ἵκηται
ἰσόπεδον, τότε δ' οὔτι κυλίνδεται, ἐσσύμενός περ·
ὣς Ἕκτωρ εἷως μὲν ἀπείλει, μέχρι θαλάσσης

134. vulg. δ' ἐπτίσσοντο. 137. ὀλοϝοίτροχος. 142. ϝισόπεδον.

θες λαμπροῖσι φάλοισι, galeæ quæ habent splendentes conos, in quorum αὐλοῖς vel αὐλίσκοις infixus erat ὁ λόφος. hæ κόρυθες ἱππόκομοι, alias ἱπποδάσειαι, equinis cristis, λόφοις, ornatæ erant; adeoque ipsæ cristæ, ψαῦον, ἥπτοντο ἀλλήλων, νευόντων (αὐτῶν.) Versus iterum leguntur Π. 215, 6, 7.—134. ἔγχεα δὲ πτύσσοντο—σειόμενα, κραδαινόμενα, *curvabant, crispabant se,* quippe teretes et longæ: nondum tamen emissæ sed motæ ac vibratæ. ἀπὸ pro διά.—135. ἰθὺς φρόνεον, pro vulgari ἐφρόνεον ἰέναι ἰθύς.—136. προὔτυψαν, *procurrebant.* Sic quoque προβάλλειν. προπεσεῖν. pro προελθεῖν. ἦρχε δ' ἄρ—duxit eos, *ut diximus,* Hector. Clarke.

137. Comparatio præclara impetus vastarum virium et animi ingentis. Est autem ea ex eo genere, quo in ipsa amplificatione aliquid subjicitur, quod novum comparationis momentum suppeditat, ut h. l. prima comparatio est ruentis cum impetu; ὀλοοίτροχος ὡς ἀπὸ πέτρης sc. ἀντικρὺ μεμαώς. subsequitur altera, sistentis impetum saxi, postquam in planitiem delatum est, itaque subjicitur: ὡς Ἕκτωρ εἷως μέν. Est autem ὀλοοίτροχος sc. πέτρος qui cum strage rerum obviarum ruit. Origo vocis dubia; convenit cum sensu deducto ab ὀλοός. exitiosus. Expressit locum Virgil. Æn. XII. 648. sq. et jam olim Hesiod. Sc. Herc. 374. sq. qui pro commentario esse potest: Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο Πέτραι ἀποθρώσκωσιν, ἐπ' ἀλλήλοις τε πέσωσι, Πολλαὶ δὲ δρῦς ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι Αἴγειροί τε τανύῤῥιζοι, ῥήγνυνται ὑπ' αὐτῶν Ῥίμφα κυλινδομένων, εἷος πεδίονδ' ἀφίκωνται· Ὣς οἱ ἐπ' ἀλλήλοισι πέσον μέγα κεκλήγοντες. Et iterum 437. Ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρῶνος θορούσῃ, Μακρὰ δ' ἀποθρώσκουσα κυλίνδεται, ἡ δέ τε ἠχῇ Ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησεν, Ὑψηλός, τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει. Add. Quint. I. 694. sq. ex imitatione Homeri.—138. κατὰ στεφάνης, *ab extrema montis ora.*—139. ἀναιδέος πέτρης, *ingentis,* unde ductum Virgilianum: *fertur in abruptum magno mons* improbus *actu.* Quod sequitur, *Exultatque solo,* est ὕψι τ' ἀναθρώσκων πέτεται, ταχέως φέρεται, Sch. br. ἔχματα, terram et alia, quibus retinetur saxum terræ affixum: τὰ συνεχόμενα et συνέχοντα.—141. ἀσφαλέως, ita ut nihil ruentem sustineat ac moretur, ἀνεμποδίστως. (ut nihil faciat eum σφάλλεσθαι, ita ut nec offendat et aberret.)—142. τότε δ' οὔτι. subsistit in motu.—143. εἷως, pro τέως. μέχρι τινός. ἀπείλει μέχρι θαλάσσης ῥεῖα δὲ (pro ῥεῖα. ῥᾳδίως) ἐλεύσεσθαι ἐπὶ κλισίας καὶ

δρα, διὰ τὸ θηλυμανεῖν. 132. Ψαῦον.] Ἠρέμα ἥπτοντο. 134. Ἐπτίσσοντο.] Εἰς τὸ αὐτὸ συνήγετο, καὶ ἐκάμπτετο κραδαινόμενα. 136. Προὔτυψαν.] Προέβαλον, προέκρουσαν. 137. Ὀλοοίτροχος.] Λίθος περιφερὴς, στρογγύλος, ὁ ἐν τῷ τρέχειν ὀλοὸς, τουτέστιν, ὀλέθριος, ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπίπτον βλάπτει. 138. Στεφάνης.] Περικεφαλαίας. Ἢ ὄρους ἐξοχῆς. Νῦν δὲ, λείας πέτρας. 139. Ἀσπέτῳ.] Πολλῷ. Ἀναιδέος.] Τραχείας. 140. Ὕψι.] Ἐφ' ὕψους. Ἀναθρώσκων.] Ἀναβαλλόμενος, αναπηδῶν. Πέτεται.] Ταχέως φέρεται. 141. Ἀσφαλέως.] Παραμόνως. 142. Ἰσόπεδον.] Ἰσώμαλον τόπον. Ἐσσύμενός περ.] Καίπερ ὁρμῇ πολλῇ χρώμενος. 143. Ἀπείλει.] Ἠπείλει, ἐπισχνεῖτο.

ῥεῖά δ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν,
κτείνων· ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι,
στῆ ῥα μάλ' ἐγχριμφθείς· οἱ δ' ἀντίοι υἷες Ἀχαιῶν,
νύσσοντες ξίφεσί τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη,
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
παρμένετ'· οὔτοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοὶ,
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες·
ἀλλ', ὀΐω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
ὦρσε θεῶν ὤριστος, ἐρίγδουπος πόσις Ἥρης.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐΐσην,
κοῦφα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων.
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσ' ἐΐσην

144. Leg. ῥέα διελεύσεσθαι. 155. Ϝειπὼν—μένος θυμόν τε Ϝεκάστου.
157. ἐϜίσην. 160. ἐϜίσην.

νῆας.—145. κτείνων, *cædendo*, cum strage Achivorum.—146. ἐγχριμφθεὶς, quasi illisus, repressus ἐσσύμενός περ, ut 142. saxum.—148. χασσάμενος πελεμίχθη, undique turba urgentium pressus hastis undique pulsatur recedendo. Vidimus jam Δ. 535.—152. πυργηδὸν, respicit phalangem, ordinibus densis ac firmatis incedentem 126. sq.—153. ὑπ' ἔγχεος ut sæpe pro διὰ, cum significatione necessitatis cui succumbitur. εἰ ἐτεόν με ὦρσε Jupiter, per omen et ostentum sup. ad M. 236.

156—205. Nunc ipsa pugna enarratur per potiora facinora ornate exposita, Merionis, Teucri, utriusque Ajacis; ex altera parte Deiphobi. Versus 156. sq. ἐναργεῖς sunt.

158. Deiphobus κοῦφα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων. dubia et controversa est verborum interpretatio. Præferam notionem incessus levis, agilis, adeoque animosi, cum alacritate, et sine trepidatione; caute tamen; itaque cernis eum pedem ante pedem ponere, ὑπασπίδια, pro ὑπασπιδίως, h. e. ὑπὸ τῆς ἀσπίδος, qua cor-

Ὁτὲ δὲ τὸ καυχᾶται καὶ ἐπιπλήσσει δηλοῖ. 145. Πυκινῇς φάλαγξι.] Ταῖς πυκναῖς τάξεσιν. Ἐνέκυρσεν.] Ἐνέτυχεν. 146. Ἐγχριμφθείς.] Ἐνερείσας. 147. Ἀμφιγύοισιν.] Ἑκατέρωθεν ἠκονημένοις, καὶ βλάπτειν δυναμένοις. 149. Ἤϋσεν δὲ διαπρύσιον.] Διὰ παντὸς τοῦ πέρατος ἀκουσθῆναι δυνάμενον. Ἢ, διαπεράσιμον εἰς ἀκοάς. Ἢ, διαπρύσιον διαφανὲς, καὶ σημαντικόν. 150. Δάρδανοι.] Οἱ ἐν Δαρδάνῳ πόλει τῆς Τροίας οἰκοῦντες. 151. Σχήσουσιν.] Ἐφέξουσι, κωλύσουσι. 152. Πυργηδόν.] Δίκην πύργου. ἐν τάξει. Ἔστι δὲ ἐπίῤῥημα παραβολοειδὲς, ὅμοιον τῷ σφαιρηδόν. 158. Κοῦφα ποσὶ προβιβάς.] Ἤτοι, μετέωρα καὶ ὑψηλὰ προβαίνων. Ἢ, ἐπ' ἄκρων τῶν ποδῶν βαδίζων, οἱονεὶ ἀκροβηματίζων. Ὑπασπίδια προποδίζων.] Ὑπὸ τῇ ἀσπίδι ἠρέμα καὶ εὐρύθμως βαίνων. Ἢ, ὑπὸ τὴν ἀσπίδα τοὺς πόδας τιθείς. τουτέστι, περικαλύπτων αὐτοὺς τῇ ἀσπίδι κατὰ τὴν πορείαν. Ἐξ οὗ πρόδηλον, ὅτι οὐκ εἶχεν ὁ Δηΐφοβος ἀμφιβρότην ἀσπίδα, οὐδὲ ὅπλα, ἐπεὶ ἂν αὐτὴν ἐκράτει. 159. Αὐτοῖο τιτύσκετο.] Κατ' αὐτοῦ ἐστοχάζετο.

ταυρείην, τῆς δ' οὔτι διήλασεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δὲ
ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο, δεῖσε δὲ θυμῷ
ἔγχος Μηριόναο δαΐφρονος· αὐτὰρ ὅγ' ἥρως
ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς
ἀμφότερον, νίκης τε, καὶ ἔγχεος, ὃ ξυνέαξε.
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
οἰσόμενος δόρυ μακρὸν, ὅ οἱ κλισίηφι λέλειπτο.
οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα
Ἴμβριον αἰχμητὴν, πολυΐππου Μέντορος υἱόν·
ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε Μηδεσικάστην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι·
ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' αὖτ' ἔπεσε, μελίη ὣς,
ἥτ', ὄρεος κορυφῇ ἕκαθεν περιφαινομένοιο,
χαλκῷ ταμνομένη, τέρενα χθονὶ φύλλα πελάσσῃ·

162. ἐν καυλῷ Fάγη. 163. ἀπὸ Fέο. 165. ἐς Fέθνος.
166. ξυνέFαξε. 168. ὅ Foι. 172. f. πρίν γ' ἐλθεῖν.
174. ἀμφιFέλισσαι. 175. ἐς FΊλιον. 176. τίε Fῖσα.
179. Fέκαθεν.

pus ille tegebat ut iterum Π. 609.—161. *ἀσπίδα ταυρείην*, corio tauri inducto, quandoquidem *βοῦν* jam sæpe pro corio dictum vidimus.—162. Meriones *οὐ διήλασε τὸ δόρυ διὰ τῆς ἀσπίδος, ἀλλὰ τὸ δόρυ ἐάγη* in hastili: sic hasta præciditur in hastili Π. 115.—163. *δεῖσε δὲ* pro *γάρ*.—165. *χώσατο*, reddunt veteres *συνεχύθη* perturbatus est, commotus: ut iterum Ξ. 406. Φ. 519. Χ. 291. *νίκης τε καὶ ἔγχεος*, l. *ἕνεκα* l. *περί*. sed eo sensu, ut sit, propter *ereptam* victoriam et *frustra emissam ac fractam* hastam.

170—181. Teucer hasta perimit Imbrium.—172. Imbrius inhabitaverat Πήδαιον· non alibi memoratum oppidum: *τόπος οὐκ ἐπίσημος περί που τὰ κατὰ Τροίαν*, ut Eustathii verbis utar. *Medesicaste* memoratur quoque ap. Apollod. III. 12, 5. Expressa illa erat in Polygnoti tabula ap. Pausan. X. 26. p. 861. f. ubi additur: *ἐξῳκίσθαι δὲ ἐς Πήδαιον πόλιν φησὶν αὐτὴν Ὅμηρος Ἰμβρίῳ, Μέντορος παιδὶ, ἀνδρὶ συνοικοῦσαν*.—177. *τόν ῥ'* "*hunc, inquam*, hunc *utique*." Clarke.

162. Καυλῷ.] Καυλὸς, τὸ ἄκρον τοῦ δόρατος, τὸ ἐμβαλλόμενον εἰς τὴν ἐπιδορατίδα. Ἐάγη.] Κατεάγη, ἐκλάσθη. 165. Χώσατο δ' αἰνῶς.] Ἐλυπήθη γὰρ κατ' ἀμφότερα, ἐπί τε τῷ τὴν νίκην ἀφῃρῆσθαι, καὶ ἐπὶ τῷ κεκλάσθαι τὸ δόρυ. 168. Οἰσόμενος.] Κομίσων, οἴσων. Διαφέρει δὲ τὸ οἴσων, καὶ τὸ οἰσόμενος. Οἴσων μὲν γὰρ ἑτέρῳ· Οἶσε θέειον, γρηῦ, κακῶν ἄκος (καὶ) Οἴσετε δ' ἄρνα Λευκόν. Οἰσόμενος δὲ ἑαυτῷ. 172. Πήδαιον.] Πήδασος, πόλις Καρίας. 178. Μελίη ὥς.] Ὡς μελία. Ἔστι δὲ εἶδος δένδρου. 179. Κορυφῇ.] Ἐξοχῇ. Ἕκαθεν περιφαινομένοιο.] Πόρρωθεν ὁρωμένου, περιόπτου. 180. Τέρενα.] Τρυφερὰ,

ὣς πέσεν· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ᾽ ὡρμήθη, μεμαὼς ἀπὸ τεύχεα δῦσαι·
Ἕκτωρ δ᾽ ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ·
ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν· ὁ δ᾽ Ἀμφίμαχον, Κτεάτου υἷ᾽ Ἀκτορίωνος,
νισσόμενον πόλεμόνδε, κατὰ στῆθος βάλε δουρί·
δούπησε δὲ πεσών, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Ἕκτωρ δ᾽ ὡρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ᾽ ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ
Ἕκτορος· ἀλλ᾽ οὔπη χρὼς εἴσατο, πᾶς δ᾽ ἄρα χαλκῷ
σμερδαλέῳ κεκάλυφθ᾽· ὁ δ᾽ ἄρ᾽ ἀσπίδος ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὁ δὲ χάσσατ᾽ ὀπίσσω
νεκρῶν ἀμφοτέρων· τοὺς δ᾽ ἐξείρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στιχίος, δῖός τε Μενεσθεύς,
ἀρχοὶ Ἀθηναίων, κόμισαν μετὰ λαὸν Ἀχαιῶν·
Ἴμβριον αὖτ᾽ Αἴαντε, μεμαότε θούριδος ἀλκῆς.
ὥστε δύ᾽ αἶγα λέοντε, κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε, φέρητον ἀνὰ ῥωπήϊα πυκνά,

181. δέ Fοι. 184. ἄντα Fιδών. 190. vulg. ἀκόντισε.
191. χρὼς Fείσατο. vulg. χροός. 196. vulg. κατά.

182—205. Cum Teucer Imbrium spoliare vellet, Hector in eum hastam emittit, quæ ab eo vitata Amphimachum ferit: quem Hector cum spoliare vellet, hasta Ajacis percussus recedit. Tunc uterque, et Imbrius et Amphimachus, ab Achivis spoliantur: Imbrii quoque corpus ab Ajace Oilei mutilatur.

185. *Amphimachus* Cteati f. Actoris nepos, v. B. 620, I. A. 749. Cum Cteatus vulgo a Neptuno natus habitus esset, paullo post 207. eundem Amphimachum *Neptuni* nepotem dici videbimus. Ducebat autem Eleos.—186. *νισσόμενον πόλεμόνδε.* a navibus in pugnam progressum.—191. *οὔπη χρὼς εἴσατο.* nusquam nuda corporis pars conspici poterat: *πᾶς δ᾽ ἄρα totus quippe, totus nempe, ut diximus.* Clarke. Scil. est *utique, δή. εἴσατο* nunc ab *εἴδομαι* ut Ω. 319. *εἴσατο δέ σφι δεξιὸς ἀΐξας.* in conspectum venit, apparuit.—192. *οὖτα,* nunc simpl. percussit.—195. *ἄρα. Scilicet.* Clarke.—*Stichius* Atheniensis. cf. inf. 691. *Menestheus* Athen. dux sup. B. 552.—197. *μεμαότε θούριδος ἀλκῆς* pro *μάχης.* ut E. 732. Juno *μεμαυῖ᾽ ἔριδος καὶ ἀϋτῆς.*—198. *κυνῶν ὑπὸ ἁρπάξαντε,* quod serius *ὑφαρπάζειν τοῖς κυσί.* Videtur de capra silvestri esse accipiendum. *ἴξαλον αἶγα* Δ. 105. dixerat.—*ὑψοῦ ὑπὲρ γαίης.* puta hunc esse morem ferarum

ἁπαλὰ, ῥᾳδίως δυνάμενα τείρεσθαι. Ἔτι δὲ, χλωρά. Ἔοικε δὲ ὥσπερ συναλγῶν τῷ δένδρῳ τοιαῦτα εἰρηκέναι. 181. Βράχε τεύχεα.] Ὠνοματοπεποίηκεν. Ἐντεῦθεν δὲ ἀπὸ τοῦ ἤχου τῶν ὑδάτων καὶ τὸ βρέχειν ὠνόμασται. Ὁ δὲ λόγος· τὰ περὶ αὐτῶν τεύχεα ἔβραχεν. 186. Νισσόμενον.] Παραγιγνόμενον. 190. Ὀρέξατο.] Ἐξέτεινε. 191. Χροὸς εἴσατο.] Διὰ τοῦ χρωτὸς διῆλθε. 198. Καρχαροδόντων.] Ὀξεῖς καὶ ἐπικαμπεῖς ὀδόντας ἐχόντων. 199. Ῥωπήϊα.] Οἱ τόποι ἐν οἷς ῥῶπες φύονται. Ῥῶπες δὲ πολύφυλλα καὶ ἱμαντώδη φυτὰ δρυῶν.

ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε·
ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ
τεύχεα συλήτην· κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς
κόψεν Ὀϊλιάδης, κεχολωμένος Ἀμφιμάχοιο·
ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου,
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
Καὶ τότε δὴ πέρι κῆρι Ποσειδάων ἐχολώθη,
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι·
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν,
ἐρχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
ἦλθε, κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ·
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖς ἐπιτείλας
ἤϊεν ἐκ κλισίης· ἔτι γὰρ πολέμοιο μενοίνα
ἀντιάαν. τὸν δὲ προσέφη κρείων Ἐνοσίχθων,
εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷϊ Θόαντι,
ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὣς τίετο δήμῳ·

204. σφαιρηδὸν Ϝελιξάμενος. v. Obss. 210. ἄρα Ϝοι.
211. ὅ Ϝοι. 216. Ϝεισάμενος. 218. Αἰτωλοῖσι Ϝάνασσε.

in præda auferenda. *γαμφηλὴ* nunc de rictu leonum.—201. *ὥς ῥα τὸν*—*sic, inquam, hunc.* Clarke.

206—239. Neptunus, nece nepotis, Amphimachi, commotus, iterum, nunc sub Thoantis persona, Achivos ad pugnandum hortatur, inque his Idomeneum sibi obvium factum.

206. *ἐχολώθη πέρι* (*περισσῶς*, valde, *ἐν*) *κῆρι*.—207. *υἱωνοῖο*. Amphimachi, e Cteato nati. Erat Actoris filius Cteatus, vulgo tamen Neptuni dictus. v. ad 185. Apparet hoc quoque exemplo, nomen, quod, antiquissimo usu, prædicatum virtutis erat, ut diceretur aliquis dei filius, jam tum abiisse in sensum mythicum, ut poeta eum, quem ipse veri patris nomine paullo ante appellaverat, mox Neptuni filium appellaret, tanquam vere ex eo genitum, ita ut ejus mortem pater deus ulcisceretur.—211. *παρ' ἑταίρου*, *præter Homericum morem*, nomen non appositum est. Omnino Idomenei nulla mentio in pugna facta inde a Λ. 510. *ὅ οἱ ἦλθε*, *qui reportatus fuerat e pugna.* ut et ex 213. patet *τὸν μὲν ἑταῖροι ἔνεικαν*. h. e. *ἐκ μάχης ἐξήγαγον*.—214. *ex amici tentorio prodiens* in eo erat ut iterum in pugnam rediret: sed antea ad petendam ex suo tentorio hastam proficiscendum ipsi erat, quo videbimus 240. eum pervenisse.—216. *Thoanti.* de quo jam B. 638 sq.—

200. Ὑψοῦ.] Ἐν ὕψει. Γαμφηλῇσι.] Γομφοῖς. Σιαγόσι. Παρὰ τὸ κεκάμφθαι. 201. Κορυστά.] Κορυσταί. Ὁπλῖται. 202. Συλήτην.] Ἡ Δώριόν ἐστιν, ἢ παρὰ τὸ συλησάτην. 204. Σφαιρηδόν.] Δίκην σφαίρας. Ἑλιξάμενος.] Ἐπιστραφείς. 207. Υἱωνοῖο.] Ἐκγόνου. 212. Ἰγνύην.] Ἀγκύλην. Ἢ, τὸ ὄπισθεν τοῦ γόνατος. 213. Ἔνεικαν.] Ἐκόμισαν. 214. Μενοίνα.] Ἐνεθυμεῖτο. 215. Ἀντιάαν.] Μεταλαμβάνειν, ἐφάπτεσθαι. 216. Εἰσάμενος.] Ὁμοιωθείς. 217. Πλευρῶνι καὶ Καλυδῶνι.] Ἀντὶ τοῦ Πλευρῶνος καὶ Καλυδῶνος. εἰσὶ δὲ πόλεις Αἰτωλίας. 218. Αἰτωλοῖσιν ἄνασσεν.] Αἰτωλὸς παῖς μὲν

Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
ὦ Θόαν, οὔτις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν·
οὔτε τινὰ δέος ἴσχει ἀκήριον, οὔτε τις ὄκνῳ
εἴκων, ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
ἀλλὰ, Θόαν· καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα,
ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
τῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅς τις ἐπ' ἤματι τῷδε ἑκὼν μεθίησι μάχεσθαι.
ἀλλ' ἄγε, τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
σπεύδειν· αἴκ' ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντε.
συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν, καὶ μάλα λυγρῶν·

229. μεθιέντα Ϝίδηαι. 230. φωτὶ Ϝεκάστῳ. 234. τῷδε Ϝεκών.

224. δέος ἀκήριον, ut Lat. *exanimans*: vita privans τὸ κέαρ adimens: jam E. 811. *nemo* ὄκνῳ εἴκων, ut Lat. *victus ignavia*, ὀκνῶν, *pugnam ærumnosam subterfugit.* ἀναδύεσθαι est ἀναφυγεῖν. ἀναχωρῆσαι. sup. Π. 217. ὑποτρέσαι οὐδ' ἀναδῦναι.—225. ἀλλά που. "*sed, ut verisimile est. sed, quantum conjicere est.*" Clarke.—226. μέλλει. ἔοικε. —230. μήτ' ἀπόληγε sc. μάχης vel μαχόμενος.—233. κυνῶν μέλπηθρα, μέλπηθρον, παίγνιον, *ludibrium.*—235. ταῦτα δ' ἅμα χρὴ σπεύδειν. χρὴ ἡμᾶς σπεύδειν ταῦτα, τοῦτο. ἅμα, *oportet hoc properari, parari, pariter ab utroque.*—236. αἴκ' ὄφελός τι γενώμεθα. an, h. e. ut, *prodesse aliquo modo possimus* sc. ad fortunam pugnæ in alteram partem inclinandam.—237. συμφερτὴ δ' ἀ. Verborum sententia est ac si oratio plena hæc esset: ἀνδρῶν, καὶ μάλα λυγρῶν, ἀρετὴ γίνεται, ἐὰν συμφερτὴ ᾖ. h. e. ἐὰν οἱ ἄνδρες συμφέρωσιν αὐτήν. *Est etiam imbellium hominum virtus aliqua, si modo illa a pluribus conjunctim adhibeatur.* Disertus locus est, si in concretum mutaveris: ἄνδρες καὶ

ἦν Ἐνδυμίωνος. Ὃς ἀκούσιον φόνον δράσας, ἔφυγεν εἰς τὴν ἀπ' αὐτοῦ προσαγορευθεῖσαν Αἰτωλίαν, κἀκεῖ τεκνοῦται Πλευρῶνα. Ἀφ' οὗ ἡ ἐν Αἰτωλίᾳ πόλις Πλευρὼν ἐκλήθη. Τούτου δὲ γίγνονται δύο παῖδες, Κούρης καὶ Καλυδών. Ἀφ' ὧν ἄλλαι δύο πόλεις ἐν Αἰτωλίᾳ προσηγορεύθησαν. 219. Ποῦ τοι ἀπειλαί.] Λείπει τὸ εἰσίν. ἔπειτα ἀπὸ ἄλλης διανοίας, Οἴχονται τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν. 222. Ὅσσον ἔγωγε Γιγνώσκω.] Ὅσον ἐγὼ γνωρίζω. 223. Ἐπιστάμεθα.] Δυνάμεθα, ἐμπείρως ἔχομεν. 224. Ἴσχει.] Ἐπέχει. Ἀκήριον.] Ἀψυχοποιόν. 225. Ἀνδύεται.] Ἀναδύεται. 226. Μέλλει.] Ἔοικε. 228. Μενεδήϊος.] Ὑπομονητικὸς ἐν τῇ μάχῃ. 233. Μέλπηθρα.] Ἐμπαίγματα, παίγνια. Εἰώθασι γὰρ οἱ κύνες κορεσθέντες τοῖς λειψάνοις ἐμπαίζειν. λέων δὲ τὸ πᾶν ἐσθίει. 236. Σπεύδειν.] Κακοπαθεῖν, ἐνεργεῖν. 237. Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν.] Ἀντὶ τοῦ, συμφορητή. Τὸ δὲ ὅλον· καὶ ἡ τῶν

νῶϊ δὲ καὶ κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε,
δύσετο τεύχεα καλὰ περὶ χροῒ, γέντο δὲ δοῦρε·
βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί·
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Μηριόνης δ' ἄρα οἱ, θεράπων ἐῢς, ἀντεβόλησεν,
ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ἤει
οἰσόμενος· τὸν δὲ προσέφη σθένος Ἰδομενῆος·
Μηριόνη, Μόλου υἱὲ, πόδας ταχὺ, φίλταθ' ἑταίρων,
τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή;

239. Fειπών. 244. δέ Fοι. 246. ἄρα Fοι.

μάλα λυγροὶ, ἄνανδροι, δειλοὶ, γίνονται ἀνδρεῖοι, faciunt quæ viri fortes, εἰ συμφέρουσι τὴν ἀνδρείαν. Videtur sic in altero membro vi oppositi esse supplendum: νῶϊ δὲ, at nos duo *conjuncta virtute usi*, cum simus viri fortes, ἀγαθοὶ ὄντες, ἐπισταίμεθά κε μάχεσθαι καὶ ἀγαθοῖς, *etiam cum viris fortibus poterimus* (adeoque audebimus) *congredi.*

239—329. In Idomeneum in pugnam redeuntem incidit Meriones ad hastam e tentorio petendam profectus; hasta recepta Meriones eum comitatur; procedunt uterque versus sinistram castrorum partem. Notabilis hic locus propter miram loquacitatem Idomenei, ad nostros sensus parum jucundam. Defendas tamen sive ad artem poetæ hæc referendo, ut senilem facundiam adumbret, sive ut interponat ea ad varianda rerum narrandarum genera, ne fastidium faciat continua pugnæ narratio; sive ut omnino ex antiquitatis sensu et judicio hæc esse judicanda contendas.

239. ἀμπόνον, ἀνὰ τὴν μάχην.—242. Incessit totus fulgens armis ex ære polito. Comparatio petita a fulmine, quod Jupiter vibrat, ἐτίναξε, pro τινάσσει, frequens nostro, ut sup. Λ. 65, 66. At nunc accedit, quod idem fulmen est σῆμα βροτοῖσι. scilicet quod missum est inexpectato, et est fulmen grave et terribile, ut Η. 478. sq. unde subjectum ἀρίζηλοι. cf. Κ. 5. sq. Itaque et supra in media pugna, cum ter tonaret, Jupiter tonuit σῆμα τιθεὶς Τρώεσσι, μάχης ἑτεραλκέα νίκην, Θ. 170, 171.—246. Μηριόνης δ' ἄρα. "*Meriones autem ut dictum est.*" Clarke. Quod alienum ab h. l. Supra 167. dictum erat, Merionem pugna excessisse ad hastam e castris petendam: ἄρα est δὴ, *utique. sane.* Idem Clarke nunc demum quærit, quis θεράπων sit. Vid. notam ad Ζ. 18.—251. ἠέ τι βέβληαι, κατὰ μέρος τι σώματος. nisi est simpliciter, *forte*: ἠέ πω:—

δειλῶν καὶ ἀνάνδρων καὶ μάλα λυγρῶν δύναμις, εἰς ταὐτὸ συνελθοῦσα, ἀρετὴν γεννᾷ. οὐδεμία πρόφασις λείπει τοῖς ἀνδρείοις, εἴγε καὶ δειλοὶ ἀλλήλοις συνιόντες, ἐνάρετα δρῶσι. καὶ μάλα λυγρῶν ἀνδρῶν συμφερτὴ γίγνεται ἀρετή· πόσῳ μᾶλλον, ὅτε καὶ ἀγαθοῖς ἡμεῖς δυνάμεθα μάχεσθαι; 238. Νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπιστάμεθα μάχεσθαι.] Ἡμεῖς δὲ καὶ ἀνδρείοις δυνάμεθα μάχεσθαι. Ἐπιστάμεθα γὰρ, τὸ δυνάμεθα. 239. Ἀμπόνον.] Ἐπὶ τὸν πόλεμον. 242. Ἐναλίγκιος.] Ὅμοιος. 243. Αἰγλήεντος.] Λαμπροῦ. 244. Ἀρίζηλοι.] Μεγάλως ἔκδηλοι. 247. Μετὰ γὰρ δόρυ χάλκεον ἤει Οἰσόμενος.] Ἀπῄει γὰρ δόρυ κομίσων. 249. Μηριόνη, Μόλου υἱὲ, πόδας ταχὺ, φίλταθ' ἑταίρων.] Δι' ἑνὸς στίχου καὶ τῆς συγγενείας ὑπέμνησε, καὶ τὴν τῶν ποδῶν ῥώμην ἐμαρτύρησε, καὶ τὸ ὑπερβάλλον αὐτοῦ τῆς φιλοστοργίας ἐνεδείξατο. 251. Ἠέ τι βέβληαι.] Ἦ τετρω-

ἠέ τευ ἀγγελίης μετ' ἔμ' ἤλυθες; οὐδέ τοι αὐτὸς
ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,
ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.
Τὸν δ' αὖ τ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
δούρατά γ', αἴκ' ἐθέλῃσθα, καὶ ἓν, καὶ εἴκοσι δήεις,
ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα,
Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι· οὐ γὰρ ὀΐω
ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
τῷ μοι δούρατά τ' ἔστι, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
καὶ κόρυθες, καὶ θώρηκες λαμπρὸν γανόωντες.
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.

252. vulg. οὐδέ τι αὐτός. 257. κατεϝάξαμεν. 260. καὶ ϝείκοσι vel καὶ ἐϝείκοσι. 263. ϝεκάς. 264. vulg. δούρατά ἐστι.

ἠέ τευ ἀγγελίης. ἢ ἀγγελίης τινὸς ἕνεκα ἦλθες μετ' ἐμέ; sc. ad revocandum Idomeneum in pugnam.—253. At et ipse sponte mea propero reditum in aciem. (sup. 162.)—256. εἴ τί τοι ἔγχος. accipitur τοι, *tibi*. Ita Meriones statim ad Idomenei tentorium tendebat. Potest tamen, et sic Koeppen acceperat, τοι esse *utique*: nam Meriones videtur ad *suum* tentorium pergere voluisse; ut ἐνὶ κλισίῃσιν sit, *in meo*. At Idomeneus copiam hastarum sibi superesse profatus, ut ex iis seligat hastam, invitare eum videtur. Meriones, etsi 467. nec sibi deesse earum copiam præfatus, Idomenei beneficium usurpat.—257. κατεάξαμεν—ἔχεσκον βαλών. enallage numeri notabilis. 260. non accipiendum est: possis hastas XXI. numero habere; sed, poteris inde petere, seu unam, seu viginti hastas requiras.—261. πρὸς ἐνώπια παμφανόωντα. paries qui lucem excipit, anterior, sive in vestibulo, sive in ipso δώματι luce per fores admissa. Dictum ad Θ. 435.—263. ait se esse ἀγχέμαχον.—265. θώρηκες λαμπρὸν γανόωντες. στίλβοντες. γανᾷν nunc *renidere*. ut μειδιᾷν. γελᾷν.

266—274. Meriones, non quod sibi ipsi desint hastæ, sed quod tentorium longius absit, adduci se ait, ut ex Idomenei tentorio statim hastam petat.—269. λελασμένον ἀλκῆς, qui non habet, qui caret: ut contra μνᾶσθαι ἀρετῆς, habere.—271. νεῖκος πολέ-

σαί τι μέρος τοῦ σώματος. 252. Ἠέ τευ ἀγγελίης μετ' ἔμ' ἤλυθες.] Ἡ περί τινος ἀγγελείας πρὸς ἐμὲ παραγέγονας. 257. Τό νυ γάρ.] Ἐκεῖνο γὰρ δή. 260. Δήεις.] Εὑρήσεις. 261. Ἐνώπια.] Οἱ ἐναντίοι κατὰ τὰς εἰσόδους τοῖχοι. Ἵν' ᾖ, δούρατα παμφανόωντα δηλονότι. Καὶ ἐν τῇ Θ οὕτως· Ἅρματα δ' ἔκλινεν πρὸς ἐνώπια παμφανόωντα. 262. Κταμένων.] Ἀναιρουμένων. Ἀποαίνυμαι.] Ἀφαιροῦμαι. 263. Ἑκάς.] Μακρὰν, πόῤῥω. 265. Γανόωντες.] Λαμπρυνόμενοι, στίλβοντες. 267. Καί τοι ἐμοί.] Καὶ ἐμοὶ δή. 268. Ἀλλ' οὐ σχεδόν ἐ-

ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀΐω.
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
ἐς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν,
ἔνθ' ὅ τε δειλὸς ἀνὴρ, ὅς τ' ἄλκιμος, ἐξεφαάνθη·
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ·
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμὸς,
ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει·
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει,
Κῆρας ὀϊομένῳ· πάταγος δέ τε γίνετ' ὀδόντων·
τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς, οὔτε τι λίην
ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ·

273. σὲ δὲ Fίδμεναι. 274. vulg. τὸν δ' αὖ 'I. 275. Fοῖδ'.
277. διαείδεται. 280. οὐδέ Fοι. 282. ἐν δέ τέ Fοι.

μοιο, φυλόπιδος, ἔριδος, pro μάχη ἐγείρεται.—273. σὲ δὲ, quia tanquam θεράπων ad ejus latus pugnare solet.

274—294. Idomeneus, ne diffidere videatur Merionis virtuti, aberrat in longum sermonem, probatam eam esse et in insidiis et in acie.

276. Nolim jungere (cum Sch. br.) λεγοίμεθα παρὰ νηυσὶν, sed πάντες ἄριστοι παρὰ νηυσί. 277—286. Insidiis, τῷ λόχῳ, virtus viri, judicio priscæ ætatis, vel maxime spectari solet. v. A. 227, 8.—διαείδεται, perspicitur, cognoscitur. φαίνεται. γνωρίζεται. mox ἐξεφαάνθη. —279. ἄλλυδις ἄλλῃ, pro ἄλλοτε ἄλλως, ut Eustath.—280, 281. οὐδέ οἱ ἀτρέμας ἧσθαι— mutat ille subinde statum corporis præ anxietate, subsidens substratis cruribus, modo in hoc modo in illud genu inclinatus. οὐδὲ θυμὸς ἐρητύεταί οἱ ἐν φρεσὶ, *non constat mens, non tranquilla manet*, (sed in varias partes incerta rapitur) (ὥστε) ἧσθαι ἀτρέμας, *ita ut sede sua se contineat quietum.* Alias οὐκ ἐρητύεται θυμὸς irascentium, uti sup. I. 458—281. μετοκλάζει *alternis genua mutando subsidit.* modo uni, modo alteri calci insidet; ominatur mortem, οἴεται κῆρας· contra vir fortis in statu corporis, etsi molesto, perseverat constanter.—285. ἐπειδὰν πρῶτον. *ex quo semel. cum primum.*

στιν ἑλέσθαι.] Ἀλλ' οὐκ ἔστι μοι ἐγγὺς ὥστε λαβεῖν. 275. Τί σε χρὴ ταῦτα λέγεσθαι.] Οἷον, οὐ χρή σε περὶ τούτων λέγειν τί. 276. Εἰ γὰρ δὴ παρὰ νηυσὶ λεγοίμεθα.] Τὸ ἑξῆς· εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα εἰς λόχον, οὐδέ κεν ἔνθα τεὸν μένος. Τὰ δὲ λοιπὰ διαμέσοι, πρὸς τὸ, δυσυπομόνητον εἶναι καὶ τοῖς ἀνδρειοτάτοις τὴν ἐνέδραν. Λεγοίμεθα.] Καταριθμοίμεθα. 277. Διαείδεται.] Δείκνυται, φαίνεται. 279. Τρέπεται.] Μετατρέπεται, μεταβάλλεται. Ἄλλυδις ἄλλῃ.] Ἀπ' ἄλλου εἰς ἄλλο κατάστημα. 280. Ἐρητύεται.] Κατέχεται. 281. Μετοκλάζει.] Μετακαθίζει ἐπ' ἀμφοτέρους πόδας. Ὀκλὰξ γάρ ἐστι τὸ, ἐπὶ γόνυ. Ὅ ἐστιν, ἐγκλίνει τὰ γόνατα, διὰ δειλίαν μετακαθίζων. 282. Πατάσσει.] Κτυπεῖ, ἢ, κινεῖται μείζονι παλμῷ ἀπὸ τοῦ πολλοῦ φόβου. 283. Κῆρας ὀϊομένῳ.] Θάνατον προσδοκῶντι. Πάταγος.] Κτύπος. 285. Ταρβεῖ.] Φοβεῖται. Ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν.] Ἐπ' ἂν ἅπαξ καθεσθῇ ἐν τῇ ἐνέδρᾳ τῶν ἀνδρῶν. 286. Ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ.] Εὔχεται δὲ ὁ γενναῖος ἀνὴρ τὴν ταχίστην

οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο·
εἴ περ γάρ κε βλεῖο πονεύμενος, ἠὲ τυπείης,
οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος, οὐδ' ἐνὶ νώτῳ,
ἀλλά κεν ἢ στέρνων, ἢ νηδύος ἀντιάσειε,
πρόσσω ἱεμένοιο, μετὰ προμάχων ὀαριστύν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὥς,
ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ·
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος.
  Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.
οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι,
τῷ δὲ Φόβος, φίλος υἱὸς, ἅμα κρατερὸς καὶ ἀταρβὴς
ἕσπετο, ὅστ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν·
τὼ μὲν ἄρ' ἐκ Θρήκης Ἐφύρους μέτα θωρήσσεσθον,
ἠὲ μετὰ Φλέγυας μεγαλήτορας· οὐδ' ἄρα τώγε

291. Ϝιεμένοιο. 300. f. ἕσπεται, ὅστε φόβησε.

ut sæpe. Sch. br. ἐπὰν ἅπαξ καθεσθῇ ἐν τῇ ἐνέδρᾳ, ἵζηται εἰς λόχον.—287. οὐκ ὄνοιτο. sc. τις. οὐ μέμφοιτο, immo vero, unusquisque probet, miretur. ut etiam Od. Θ. 239, 240. ὄνοσθαι, pro elevare, vilipendere, pro nihilo habere, I. 55. Od. P. 378. ἦ ὄνοσαι. cf. sup. ad Δ. 539.—288. βλεῖο πονεύμενος. βληθείης μαχόμενος.—289. non inhonesto vulnere percussus eris; sed—290. *adverso vulnere.* τὸ βέλος ἀντιάσειε στέρνων,—291. μετὰ προμάχων ὀαριστύν. *in conflictu*, congressu eorum qui ante primam aciem pugnant. ut ὁμιλεῖν, ὅμιλος, ὁμιλία, de pugna dicitur: sic et ὄαρος. Sic fere congressus.—293. ὑπερφιάλως, *inique*, aut simpliciter, admodum.

295—305. Idomeneus cum Merione in pugnam procedit. Res egregie ornata comparatione Martis cum Terrore in pugnam prodeuntis.—297. μέγα πτολέμοιο μεμηλώς. toto animo in pugnam intentus, de pugna sollicitus. Sic E. 708. πλούτοιο μεμηλώς.—299. Φόβος Martis f. v. ad O. 119.—ὅς τ' ἐφόβησε, φοβεῖ, terrendo in fugam conjicit.—301, 2. Ἐφύρους μέτα—ἠὲ μετὰ Φλέγυας. (Sunt et Φλέγυες, et Φλεγύαι) Comparationem constituit incessus Martis *qualis procedit Mars cum Phobo, talis Idomeneus cum*

συμβαλεῖν τοῖς πολεμίοις. Δαῒ λυγρῇ.] Τῇ χαλεπῇ μάχῃ. 287. Οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.] Οὐδ' ἂν ἐνταῦθά τις καταμέμψοιτό σου τὴν δύναμιν καὶ τὴν προθυμίαν. 288. Βλεῖο.] Βληθείης. Πονεύμενος.] Ἐνεργῶν, πολεμῶν. Τυπείης.] Ἐκ χειρὸς τρωθείης. 290. Στέρνων.] Στηθῶν. Νηδύος.] Τῆς γαστρός. Ἀντιάσειεν.] Ἀπαντήσοι, ἔλθοι. 291. Πρόσσω ἱεμένοιο.] Ἔμπροσθεν ὁρμῶντος. Μετὰ προμάχων ὀαριστύν.] Ἐν τῇ τῶν πρωταγωνιστῶν ὁμιλίᾳ καὶ συναναστροφῇ. 292. Λεγώμεθα.] Διαλεγώμεθα, ὁμιλῶμεν. Νηπύτιοι ὥς.] Ὡς νήπιοι, καὶ ἄφρονες. 293. Ὑπερφιάλως.] Ὑπερηφάνως, μεγάλως. 297. Μέγα πτολέμοιο μεμηλώς.] Μεγάλως τοῦ πολέμου ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος. 298. Πόλεμόνδε μέτεισιν.] Εἰς τὸν πόλεμον παραγίγνεται. 299. Ἀταρβής.] Ἄφοβος. 300. Ταλάφρονα.] Καρτερικὸν καὶ ὑπομονητικὸν φρόνημα ἔχοντα. ἀνδρεῖον. 301. Ἐφύρους.] Ἐπὶ τοὺς Ἐφυραίους πάλαι καλουμένους. νῦν δὲ Κραννωνίους. Ἰστέον δὲ, ὅτι Ἐφύραι εἰσὶ τέσσαρες. μία μὲν ἡ κατὰ Θεσσαλίαν. δευτέρα δὲ ἡ κατὰ τὴν Ἤπειρον. τρίτη δὲ ἡ τῆς Ἤλιδος. καὶ τετάρτη ἡ νῦν καλουμένη Κόρινθος. Νῦν οὖν λέγει τοὺς καλουμένους Κραννωνίους ἐν Θεσσαλίᾳ. ὡς Ἀπολλόδωρος ἱστορεῖ. 302. Φλέγυας.] Τοὺς

ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
τοῖσι Μηριόνης τε καὶ Ἰδομενεὺς, ἀγοὶ ἀνδρῶν,
ᾔισαν ἐς πόλεμον, κεκορυθμένοι αἴθοπι χαλκῷ.
τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπε·
  Δευκαλίδη, πῆ τ᾽ ἂρ μέμονας καταδῦναι ὅμιλον;
ἢ ἐπὶ δεξιόφι παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
ἢ ἐπ᾽ ἀριστερόφιν; ἐπεὶ οὔποθι ἔλπομαι οὕτω
δεύεσθαι πολέμοιο καρηκομόωντας Ἀχαιούς.
  Τὸν δ᾽ αὖτ᾽ Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω, Τεῦκρός θ᾽, ὃς ἄριστος Ἀχαιῶν
τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
οἵ μιν ἅδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο,

306. ἔϝειπε. 309. οὔποθι ϝέλπομαι.

Merione. Reliqua ad ornatum faciunt. Perpetua Martis sedes *Thracia,* quam tum inhabitabant barbari bellicosi. Procedunt illi, dum *pugna committenda est,* quam ad certum genus revocavit; *est pugna Ephyrorum aut Phlegyarum:* adfuturi illi et auxiliaturi sunt alterutri parti. Valet et hoc ad ornatum, quod *nondum constitutum apud se habent* Mars et Terror, *utri aciei victoriam parent:* id quod ad pugnæ initia spectat. Debet autem poeta agere de bello inter Ephyros et Phlegyas, finitimos populos Thessaliæ, moto; nam subjicit, *utrinque invocatum* Martem ad pugnam procedere.—303. ἔκλυον pro κλύουσιν, ἀλλὰ διδόασι νίκην τοῖς ἑτέροις, *etsi utrinque invocatus Mars alterutri tantum victoriam largitur.*

306—329. Deliberatione inter Merionen et Idomeneum facta, in quam pugnæ partem procedant, tandem ad lævam castrorum partem proficiscuntur. De hac colloquentium facundia monitum sup. ad 239. Quod autem dramatice, per sermones, hæc exponit, in eo poetæ laus cernitur.

308, 9. ἐπὶ δεξιόφιν pro ἐπὶ τὸ δεξιόν. et ἐπὶ τὸ ἀριστερόν.—309, 310. ἐπεὶ οὔποθι. quandoquidem in nulla alia aciei parte puto tam inferiores esse pugnando Achivos, δεύεσθαι (cf. ad P. 142.) κατὰ τοῦ πολέμοιο, ἐν τῷ πολεμίζειν, μάχεσθαι, quam in læva. nam hic Hector in castra irruperat et pugnabat; ibique Ajaces stabant: ut patet vs. 46. 80. ad eosque confluxerant alii e principibus 83. sqq. Repete animo locorum situm ex K. 112, 3. M. 118. et al. et vide Excurs. de τειχομαχία.

312. ἐν μέσσῃσι νηυσὶ, in mediis castris, ante naves, seu inter vallum et naves, quo Hector pervenerat, ex quo in castra irruperat: Occurrerant et Ajaces cum Teucro et principibus aliis, ut modo dixi. Ab hoc loco versus lævam castrorum partem pergit Idomeneus, qua maxime urgebantur Achivi.—314. ἐν σταδίῃ ὑσμίνῃ, μάχῃ, pugna stataria, in qua hastæ usus est.—315. οἵ μιν ἐλόωσιν (ἐς) ἅδην, εἰς κόρον, πολέμοιο,

ἐν Φωκίδι ἀθέους Γορτυνίους καλουμένους. οἳ ἐνέπρησαν τὸν ἐν Δελφοῖς ναὸν τοῦ Ἀπόλλωνος. Ἠὲ μετὰ Φλέγυας μεγαλήτορας.] Φλέγυες, Γόρτυναν κατοικοῦντες, παρανομώτατον καὶ ληστρικὸν διῆγον βίον, καὶ κατατρέχοντες τοὺς περιοίκους, χαλεπῶς ἠδίκουν. Θηβαῖοι δὲ, πλησιόχωροι ὄντες, ἐδεδοίκεισαν καὶ μέχρι πολλοῦ, εἰ μὴ Ἀμφίων καὶ Ζῆθος, οἱ Διὸς καὶ Ἀντιόπης, ἐτείχισαν τὰς Θήβας. Εἶχε γὰρ Ἀμφίων λύραν, παρὰ μουσῶν αὐτῷ δεδομένην. δι᾽ ἧς κατέθελγε καὶ τοὺς λίθους, ὥστε καὶ πρὸς τὴν τειχοδομίαν αὐτομάτως ἐπέρχεσθαι. Τούτων μὲν οὖν ζώντων, οὐδὲν οἱ Φλέγυες τοὺς Θηβαίους ἠδύναντο διαθεῖναι κακόν. Θανόντων δὲ αὐτῶν, ἐπελθόντες, σὺν Εὐρυμάχῳ τῷ βασιλεῖ τὰς Θήβας εἷλον. Πλείονα δὲ τολμῶντες ἀδικήματα, κατὰ Διὸς προαίρεσιν, ὑπὸ Ἀπόλλωνος διεφθάρησαν, ὡς ἱστορεῖ Φερεκύδης. 310. Δεύεσθαι.] Προσδεῖσθαι. 315. Ἅδην ἐλό-

Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους,
νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν·
ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
ὃς θνητός τ' εἴη, καὶ ἔδοι Δημήτερος ἀκτὴν,
χαλκῷ τε ῥηκτὸς, μεγάλοισί τε χερμαδίοισιν·
οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν,
ἔν γ' αὐτοσταδίῃ· ποσὶ δ' οὔπως ἐστὶν ἐρίζειν.
νῶϊν δ' ὧδ' ἐπ' ἀριστέρ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
εἴδομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.
Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
ἦρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατὸν, ᾗ μιν ἀνώγει.
οἱ δ', ὡς Ἰδομενῆα ἴδον, φλογὶ εἴκελον ἀλκὴν,
αὐτὸν καὶ θεράποντα σὺν ἔντεσι δαιδαλέοισι,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν·

317. αἰπύ Ϝοι. 327. Ϝείδομεν.
330. Ἰδομενῆα Ϝίδον, φλογὶ Ϝείκελον.

καὶ (καίπερ) ἐσσύμενον. Ut nunc legitur, verba sic, ut feci, sunt jungenda. *qui illum adducant ad tædium pugnandi, fatigent et ad incitas redigant,* etsi ἐσσύμενον (πολέμου ἕνεκα) *ruentem ad pugnandum.* Nam multo minus cum usu verborum convenit, ut ἐλᾶν sit fugare, agitare, vel κλονεῖν, qui illum satis, (κατ') ἄδην, repellant, reprimant. Alter locus similis Τ. 423. add. Od. Ε. 290.—322, 3. qui mortalis sit et vulnerari possit.—325. ποσὶ δ' οὔπως etsi ei cedat pedum velocitate. s. cui solo cursu inferior est; nam est ποδώκης Ἀχιλλεύς. spectabatur autem pedum velocitas in procurrendo ante ordines, inter promachos, ad incurrendum, ad repetendam hastam jactam, in persequendo hoste.—326. νῶϊν δ' ὧδ' ἐπ' ἀριστερὰ στρατοῦ ἔχε. tende hic ad lævam nostri, ἡμῶν, (κατὰ τοῦ) στρατοῦ, aut, quod malim: tende mihi, ἡμῖν, ad lævam castrorum. est enim νῶϊν casus secundus et tertius. ἔχειν, pro ὁρμᾶσθαι, ἰέναι.—329. ᾗ μιν ἀνώγει scil. ἰέναι, ἔχειν.

330—383. Profectus Idomeneus cum Merione versus sinistram, pugnat acerrime ab ea parte. Persequitur eam pugnam poeta usque ad vs. 673. ubi ad Hectorem redit. Narratur primo pugna ipsa, Jovisque et Neptuni interventus; tum a vs. 361—383. Othryonei cædes per Idomeneum facta.

330. οἱ δ' ὡς. sunt Trojani. φλογὶ εἴκελον ἀλκὴν, non nunc dictum, ut vs. 245. et v. c. de Hectore Ρ. 88. propter armorum coruscationem; adjectum enim est ἀλκήν· sed de virtute, motu et impetu pugnantis; solent hæc comparari cum igni late proxima vastante; ut in illo: ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο.—332. κεκλόμενοι

ωσιν.] Εἰς κόρον ἔλωσιν. ὅ ἐστι, πολέμου κορεσθῆναι ποιήσωσιν. 317. Αἰπύ.] Μέγα, φοβερόν. Ἐσσεῖται.] Γενήσεται. 320. Δαλόν.] Δαυλὸν, κεκαυμένον ξύλον. 322. Ἔδοι.] Ἐσθίοι. Δημήτερος ἀκτήν.] Τὸν σῖτον. ἐπεὶ κατασσόμενος, καὶ ἀλούμενος, ἄρτος γίγνεται. 323. Χαλκῷ τε ῥηκτός.] Σιδηρότρωτος. 324. Ῥηξήνορι.] Ἀνδρείῳ. Παρὰ τὸ ῥέζειν. Χωρήσειε.] Παραχωρήσειεν. 325. Ἔν γ' αὐτοσταδίῃ.] Ἐν τῇ συστάδην μάχῃ. 327. Εἴδομεν.] Ἀντὶ τοῦ, ἴδωμεν. θεα-

τῶν δ' ὁμὸν ἵστατο νεῖκος, ἐπὶ πρυμνῇσι νέεσσιν.
ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην·
ὡς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ
ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ·
ἔφριξε δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων,
θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν,
ἐρχομένων ἄμυδις· μάλα κε θρασυκάρδιος εἴη,
ὃς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ' ἀκάχοιτο.
Τὼ δ', ἀμφὶς φρονέοντε, δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσι τετεύχετον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδ' ὅγε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιϊκὸν Ἰλιόθι πρό·

344. *γηθήσειε Ϝιδών.* 349. *Ἀχαιϊκὸν Ϝιλιόθι πρό.* fuit Ἀχαιῶν.

καθ' ὅμιλον. mutuo se cohortando in pugna in eum irruerunt cuncti.—333. *ἐπὶ πρύμνῃσι νέεσσι.* in intervallo inter vallum et naves; ante naves, quarum puppes in terram spectabant.—334. 337. Utraque acies invicem miscentur sic, ut procellæ per ventos coguntur in turbinem, ita ut nubem pulveris erigant. Quod vs. 335, 6. pulvis concitatur, non comparationem facit, sed ad comparationem ornandam adjectum puta. *σπέρχωσιν* vel, concitant pulverem, vel, quod malim, se, h. e. ruunt. ingruunt.—336. *οἵ τ'* sc. *ἄνεμοι.*—337. *ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη,* sic horum conflictus fiebat; talis erat: *ὣς οὗτοι ἦλθον ὁμόσε, συνῆλθον, μαχόμενοι· μέμασαν δ' ἐνὶ θυμῷ,* et toto animo ruebant in cædes mutuas. cum hoc arte conjuncta sunt seqq. et, quæ post ea, quæ ad ornandam et declarandam rem interposita sunt, finem faciunt, vs. 343, 4. *μάλα κε θρασυκάρδιος εἴη*—propter has cædes et vulnera ferocissimus quisque animo commotus fuisset pugnæ adspectu.—343. *ἐρχομένων ἄμυδις, συνελθόντων. μάλα κε θρασυκάρδιος εἴη.* debet esse animo duro, inhumano, atroce, ut is adspectu vulnerum et cædium non cohorruisset; posuit generalius: *ἀκάχοιτο.* proprie enim talis aspectus movet horrore et miseratione: *ἀκαχήσεται, λυπηθήσεται,* inf. 352. *ἀχθέσεται.*

345. *τὼ δ', ἀμφὶς φρονέοντε,* diversas partes tuentes. Alias *νόσφι φρονεῖν.* Oppositum est *ὁμοφρονεῖν.*—346. *τετεύχετον ἄλγεα λυγρά· ἔτευχον* illi, pararunt mala fœda, vulnera et cædes, pugnantibus.—347. *Ζεὺς μὲν ἄρα Τρώεσσι.* Disertius nunc Jovis consilium

σώμεθα. Ἠέ τῳ.] Ἢ τινί. Ὀρέξομεν.] Παράσχωμεν. 333. Ὁμόν.] Ὅμοιον, ἰσοῤῥεπές. 334. Λιγέων ἀνέμων.] Τῶν κατὰ τὸν ἦχον ὀξέων. 336. Ἄμυδις.] Ὁμόσε, ὁμοῦ, εἰς τὸν αὐτὸν τόπον. 339. Ἔφριξε δὲ μάχη.] Ἐπικνάθη δὲ ἡ μάχη τῇ τῶν δοράτων ἀνατάσει. Φρίσσειν γὰρ, τὸ, ὀρθοῦσθαι πυκνῶς. 340. Ταμεσίχροας.] Τμητικὰς τοῦ χρωτός. Παρὰ τὸ, ταμῶ, ῥῆμα. οὗ ὁ μέλλων ταμέσω. Ἄμερδεν.] Ἐστέρησεν, ἠμαύρου. 344. Οὐδ' ἀκάχοιτο.] Οὐδὲ λυπηθείη ἄν. 345. Ἀμφὶς φρονέοντε.] Διάφορα καὶ κεχωρισμένα φρονοῦντες. διϊκῶς. 346. Τετεύχατον.] Ἔτευχον, κατεσκεύαζον. 351. Ὀρόθυνεν.] Εἰς

ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν
λάθρῃ, ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διῒ δὲ κρατερῶς ἐνεμέσσα.
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ᾽ ἴα πάτρη,
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη.
τῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινε,
λάθρῃ δ᾽ αἰὲν ἔγειρε κατὰ στρατὸν, ἀνδρὶ ἐοικώς·
τὼ δ᾽ ἔριδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο
πεῖραρ, ἐπαλλάξαντες, ἐπ᾽ ἀμφοτέροισι τάνυσσαν,

355. πλείονα Fῄδῃ. 357. ἀνδρὶ FεFοικώς. 358. f. ὁμοιΐόφι πτολέμοιο.

aperitur, quam adhuc factum erat: vid. ad A. 5.—350. κύδαινε, κυδαίνειν ἤθελε, deæ dignitatem vindicando, dum ulciscitur injuriam filio factam.

351, 2. Neptunus, non nunc demum ἐξαναδὺς ἁλὸς, sed jam sup. 31. ergo redde: Neptunus, qui eo consilio e mari emerserat, ὀρόθυνεν Ἀχαιοὺς, et retrahe huc, ut feci, λάθρῃ, nam et sequitur vs. 357. λάθρῃ δ᾽ αἰὲν ἔγειρε. ἤχθετο γάρ ῥα Τρωσὶν δαμναμένους. ἤχθετο τοὺς Ἀχαιοὺς δάμνασθαι ὑπὸ τῶν Τρώων. "ἤχθετο γάρ ῥα dolebat enim ut dixi." Clarke.—354. ἦ μὰν ἀμφοτέροισι—ἴα πάτρη. stirps, gens, eadem.—355. πλείονα ᾔδη. ex antiquo sermone et populorum rudiorum, etiamnum inter eos obtinente, judicio et usu, declaratio hæc est sollennis ætatis maturæ aut senectutis, a rerum peritia et experientia, qua juvenilem ætatem antecedit; cf. inf. Τ. 218, 219. Φ. 449. sq. Od. Β. 16. Nostra ætate præcocium ingeniorum uberior proventus contrarium usum invexisse videtur, ut pueri et juvenes plura sciant quam senes. Apud veteres res ita in usum vulgarem abierat, ut etiam is, qui major natu esset fratre, iisdem verbis declararetur, ut h. l. Jupiter.—356. τῷ ῥα καὶ non ad ultima est referendum, quod πλείονα ᾔδη, sed quod major natu frater erat: huic enim, ex more istarum ætatum, reverentia debetur; adsunt huic Erinnyes, si a fratre natu minore, injuria ei fiat: v. inf. Ο. 204.—357. λάθρῃ δ᾽ αἰὲν ἤγειρε scil. τοὺς Ἀχαιοὺς κατὰ στρατὸν, aut, quod malim, ἤγειρε μάχην, πόλεμον, μένος, νεῖκος, quæ fere solent adjungi.—358, 9. Junge: τὼ δὲ, Jupiter et Neptunus, ἐπετάνυσσαν ἀμφοτέροις πεῖραρ ἔριδος καὶ πολέμου, ἐπαλλάξαντες. πεῖραρ, πέρας, τέλος, est ora funis. h. l. pro plurali, πείρατα, aut accipe πεῖραρ simpliciter pro fune. Petitum est a duobus, de manuum vi et robore certantibus, cum tenent utrinque funem extremis partibus, oris, et alter alteri ut manu extorqueat annituntur. Fuit hoc habitum inter lusuum genera: exemplum habemus in gemma Musei Flor. To. II. tab. 83, 5. et alludit eo Horatius in versu; ne funis eat retro. Dictum jam de his ad Λ. 336. Similis lusus fuit orientis, annulo utrinque manu ap-

ὁρμὴν ἤγαγε. Μετελθών.] Ἐπ᾽ αὐτοὺς παραγενόμενος. 352. Ἤχθετο.] Ἐβαρεῖτο, ἐλυπεῖτο. 354. Ἦ μάν.] Ὄντως δὴ, ἀληθῶς δή. Ἠδ᾽ ἴα.] Τὸ πλῆρες, ἠδὲ ἴα. ἵνα ᾖ, καὶ μόνη. Πάτρη.] Ἐκ τοῦ αὐτοῦ πατρός. γένος, ἡ πατρίς. 356. Ἀμφαδίην.] Φανερῶς. 358. Τὼ δ᾽ ἔριδος κρατερῆς καὶ ὁμοιΐου πτολέμοιο Πεῖραρ ἐπαλλάξαντες, ἐπ᾽ ἀμφοτέροισι τάνυσσαν.] Ὁ δὲ Ζεὺς, καὶ ὁ Ποσειδῶν, τὰ πέρατα τῆς μάχης καὶ τοῦ πολέμου τείναντες κατὰ ἀμφοτέρων τῶν στρατῶν, ἔδησαν ἰσχυρῷ δεσμῷ. Ὃς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο. Τέλος γὰρ ἀποτίθεται ἀλληγορικῶς, τὰς ἑκατέρωθεν ἐξοχὰς ἐπιπεπλεγμένως, μίαν μὲν Τρώων, μίαν δὲ Ἑλλήνων, κατὰ Ποσειδῶνος καὶ Διὸς γνώμην, τῶν ἐγκαταπεπλεγμένων κτεινομένων ἀπὸ τῶν ἐξοχῶν, τῶν μὴ δυναμένων, μήτε ῥαγῆναι, μήτε λυθῆναι. Ταῦτα οὖν ἀλληγορεῖ εἰς τὸ ἰσόῤῥοπον αὐτῶν τὴν ἰσχὺν συστῆναι, διὰ τὰς τῶν θεῶν βοηθείας. 359. Πεῖραρ.] Πέρας, τέλος. Ἐπαλλάξαντες.]

ἄῤῥηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν.
Ἔνθα, μεσαιπόλιός περ ἐὼν, Δαναοῖσι κελεύσας
Ἰδομενεὺς, Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσε·
πέφνε γὰρ Ὀθρυονῆα, Καβησόθεν ἔνδον ἐόντα,
ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει·
ᾔτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην,
Κασσάνδρην, ἀνάεδνον· ὑπέσχετο δὲ μέγα ἔργον,
ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν·
τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο, καὶ κατένευσε,
δωσέμεναι· ὁ δὲ μάρναθ', ὑποσχεσίῃσι πιθήσας.
Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεσε θώρηξ
χάλκεος, ὃν φορέεσκε· μέσῃ δ' ἐν γαστέρι πῆξε·
δούπησε δὲ πεσών· ὁ δ' ἐπεύξατο, φώνησέν τε·
Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις, ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὁ δ' ὑπέσχετο θυγατέρα ἥν.

362. vulg. Τρώεσσιν ἐπάλμενος. 365. Ϝεῖδος. 366. ἀνάϜεδνον·—μέγα Ϝέργον. 367. ἀϜέκοντας. 368. Lege τῷ δὲ γέρων. 376. θυγατέρα Ϝήν.

prehenso, qui in Anaglyphis Persepolitanis visitur. Ceterum comparatio cum comparato est permixta: ut duo contendentes funem utrinque adducunt, intendunt, ἐπαλλάξαντες, dum modo hic modo alter validius intendit: sic intendebant pugnam Jupiter et Neptunus, ut modo Trojani modo Achivi novum robur sumerent, superiores fierent. Ad ornatum spectant adjecta, quod πεῖραρ est ἄῤῥηκτον, ἄλυτον, quandoquidem pertinaciter pugnatur, nec alterutra pars de loco cedit.

361—384. Othryoneum necat Idomeneus et corpus spoliare parat.

361. μεσαιπόλιος qui jam sparsim mixtos habet canos.—362. ἐνῶρσε φόβον, ἐνέβαλε φυγὴν, ut Sch. br.—363. *Cabesus* urbs Thraciæ, incerti situs. ἔνδον ἐόντα erat in domo Priami tanquam gener futurus. ut v. c. O. 438.—364. πολέμοιο μετὰ κλέος εἰληλούθει. *audita fama de bello.* Sane de *bello*, jam per multos annos protracto, nuper famam demum ad eum pervenisse, mirari licet; sed in poeta, in quem *in rebus ornandis* subtilitas historica non cadit, talia urgere velle ineptum esset. Potuit tamen jam ante multos annos ei innotuisse bellum inter Achivos et Trojanos; et tamen nuper demum venisse Trojam, consilio hoc nunc demum capto.—365. ᾔτεε δέ. *petierat autem.*—366. ἀνάεδνον. sive ut ipse nulla ἕδνα daret, sive ut nulla acciperet. Antiquiores prius sequuntur.—369. ὑποσχεσίῃσι πιθήσας erectus spe Cassandræ sibi pactæ.—370. (κατ') αὐτοῖο τιτύσκετο. et τυχὼν sc. αὐτοῦ. non τυχὼν βιβάντα.—374. αἰνίζομαι, prædicandum esse censeo, vel prædicabo. Ceterum ferocia heroum ingenia in hac irrisione et sarcasmo, immanitatem arguente, ad meliores mores, multo minus ad

Ἐπιπλέξαντες τὰς κῆρας, καὶ οἱονεὶ δήσαντες. 360. Ἄλυτον.] Ἀντὶ τοῦ, δύσλυτον. 361. Μεσαιπόλιος.] Ὁ λεγόμενος σπαρτοπόλιος, ᾧ διεσπαρμέναι εἰσὶν αἱ πολιαί. ὁ μεσῆλιξ. 362. Ἐν φόβον ὦρσεν.] Ἐνέβαλλε φυγήν. 363. Καβησόθεν ἔνδον ἐόντα.] Ἀπὸ Καβησοῦ πόλεως ἐνδεδημηκότα. Ἔστι δὲ πόλις Θρᾴκης. 364. Μετὰ κλέος εἰληλούθει.] Ἐπὶ τὴν τοῦ πολέμου δόξαν παρεγεγόνει. 366. Ἀνάεδνον.] Ἄνευ τῶν πρὸ γάμου διδομένων δώρων. 369. Ὑποσχεσίῃσι πιθήσας.] Ταῖς ὑποσχέσεσι πιστεύσας. 371. Ὕψι βιβάντα.] Ὑψηλὰ διαβαί-

καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν·
δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄργεος ἐξαγαγόντες, ὀπυιέμεν· εἴ κε σὺν ἄμμιν
Ἰλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον.
ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
ἀμφὶ γάμῳ· ἐπεὶ οὔτοι ἐεδνωταὶ κακοὶ εἰμέν.
Ὣς εἰπὼν, ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην
ἥρως Ἰδομενεύς. τῷ δ' Ἄσιος ἦλθεν ἀμύντωρ,
πεζὸς πρόσθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχος θεράπων· ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δουρὶ
λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν.
ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωῒς,
ἠὲ πίτυς βλωθρὴ, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι, νήϊον εἶναι·
ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν·

378. Ϝεῖδος. 380. Ϝιλίου. 382. ἐϜεδνωταί. 383. Ϝειπών.
386. ὁ δὲ Ϝίετο. 394. ἐκ δέ Ϝοι.

sapientiam meliorem, non esse exigenda, facile sentis.—381. ὄφρα συνώμεθα ἀμφὶ γάμῳ, *paciscamur.* nam συνίενται, committuntur in unum locum et sermonem, qui paciscuntur; eoque ipsi conveniunt.

383—410. Idomeneo, Othryonei corpus abstracturo, occurrit Asius, sed Idomenei hasta transfixus cadit; tum auriga Asii etiam cæso equos abigit Antilochus.

383. εἷλκεν (ἐκ) ποδός. per turbam pugnantum, ut eum spoliaret.—385. πεζὸς πρόσθ' ἵππων. descenderat curru (v. M. 110. sq.) Asius, et equos a tergo habebat; idem ille, qui antea curru solus invehi volebat in castra per vallum.—388. βάλε μιν (κατὰ) λαιμὸν, in gutture sub mento.—389. Asii ingentem corporis speciem memoraverat supra M. 136. μέγαν Ἄσιον·—ἀχερωῒς, *populus alba.* ἡ λεύκη.—390. βλωθρὴ, *procera* a βλῶ, βλῶμι, βλώσκω, h. προβάλλω. Est Virgilianum: se *subjiciens* in altum: Ecl. X. 74.—393. βεβρυχὼς, *dentibus frendens.*—394. ἐξεπλάγη τὰς φρένας ὁ ἡνίοχος αὐτοῦ.—395. proprie deb. οὐκ ἐτόλμησεν ἵππους ἂψ στρέψας ὑπαλύξαι χεῖρας δηΐων.

νοντα. 374. Αἰνίζομαι.] Ἐπαινῶ. 381. Συνώμεθα.] Συνθήκην ποιησώμεθα. 382. Ἀμφὶ γάμῳ.] Περὶ γάμου. Ἐεδνωταί.] Προικοδόται. 384. Ἀμύντωρ.] Βοηθός. 385. Πνείοντε κατ' ὤμων.] Καταπνέοντες αὐτοῦ τὸ μετάφρενον. 386. Ἵετο.] Προεθυμεῖτο. 388. Διὰ πρὸ δὲ χαλκὸν ἔλασσε.] Διήλασε δὲ, ὅ ἐστι, διεπέρασε, τὸν σίδηρον. 389. Ἀχερωΐς.] Ἡ λεύκη. παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους, στεψαμένου αὐτῇ ἐπὶ τῇ τοῦ Κερβέρου νίκῃ. 390. Βλωθρή.] Μακρά. Παρὰ τὸ βλώσκειν, ὅ ἐστι, βαίνειν. ἐναυξὴς γάρ. 391. Νεήκεσι.] Νεωστὶ ἠκονημένοις. 393. Βεβρυχώς.] Βρυχόμενος, σπώμενος. συντρίβων τοὺς ὀδόντας, ἢ δάκνων. Μεμίμηται δὲ τὸ γιγνόμενον πάθος περὶ τοὺς βιοθανατοῦντας. εἰώθασι γὰρ τοὺς ὀδόντας βρύχειν. 394. Ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας.] Ἐξεπλάγη δὲ, καὶ ἔκφρων ἐ-

οὐδ' ὅγε τόλμησεν, δηΐων ὑπὸ χεῖρας ἀλύξας,
ἂψ ἵππους στρέψαι. τὸν δ' Ἀντίλοχος μενεχάρμης
δουρὶ μέσον περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ
χάλκεος, ὃν φορέεσκε· μέσῃ δ' ἐν γαστέρι πῆξεν.
αὐτὰρ ὅγ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου·
ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Δηΐφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος,
Ἀσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ·
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐΐσῃ,
τὴν ἄρ' ὅγε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ
δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
τῇ ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος·
καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
ἔγχεος· οὐ δ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων· εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε.
Δηΐφοβος δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος· ἀλλά ἑ φημὶ,
εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο,
γηθήσειν κατὰ θυμόν· ἐπεί ῥά οἱ ὤπασα πομπόν.
Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·

399. εὐϝεργέος. 404. ἄντα ϝιδών. 405. ἐϝίσῃ. 408. ἐϝάλη.
409. δέ ϝοι. 414. ἀλλά ϝε. 416. ῥά ϝοι.

402—412. Deiphobus Asii cædem ulturus hastam in Idomeneum emittit, quæ, ab illo evitata, ferit Hypsenorem, Hippasi f. hominem aliunde non notum; qui tamen inter principes Pyliorum esse debuit.—407. τὴν ἄρ δινωτὴν φορέεσκε. h. e. κυκλοτερῆ, *rotundam* simpliciter; si ita statuas, tertii casus absolute positi sunt durius: *factam* ἀσπίδα ἐκ ῥινῶν καὶ χαλκοῦ· præstat tamen altero modo, δινωτὴν ῥινοῖσι, *rotundam factam coriis.* porro δύω κανόνεσσ' ἀραρυῖαν. ἔχουσαν δύο κανόνας ἀραρότας, duabus virgis ex ære cavo clipei prætextis, quibus insertum erat brachium ad regendum clipeum. v. sup. ad Θ. 193.—408. ἐάλη. ἥλη. συνήλη. συνεστάλη. συνεστράφη. *se collegit in arma.* iterum Υ. 168—278. v. ad Π. 714.—409. καρφαλέον ἄϋσεν de certo genere soni acuti. ut Virgil. *aridus fragor.* ἐπιθρέξαντος, *hasta supervolante ad extremam oram clipei:* ita ut auræ percussu resonaret æs.

413—423. Deiphobo de Hypsenore cæso gloriante Antilochus Hypsenoris cæsi

γένετο ὁ αὐτοῦ ἡνίοχος. 399. Εὐεργέος.] Ἐπιμελῶς κατεσκευασμένοι. 403. Ἀσίου ἀχνύμενος.] Ὑπὲρ Ἀσίου λελυπημένος. 407. Δινωτήν.] Εὖ περιδεδινημένην, καὶ κυκλοτερῆ. 408. Ἑάλη.] Συνεστάλη. 409. Καρφαλέον.] Ξηρόν. Ὅθεν καὶ ὁ καρπὸς, καὶ τὸ κάρφος. Ἐπιθρέξαντος.] Ἐπιψαύσαντος, ἢ ἐπελθόντος. Ἄϋσεν.] Ἤχησε. 414. Ἄτιτος.] Ἀτιμώρητος. 415. Πυλάρ-

Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
ἀλλ' οὐδ', ἀχνύμενός περ, ἑοῦ ἀμέλησεν ἑταίρου,
ἀλλὰ θέων περίβη, καί οἱ σάκος ἀμφεκάλυψε.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς, Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς φερέτην, βαρέα στενάχοντε.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα· ἵετο δ' αἰεὶ
ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι,
ἢ αὐτὸς δουπῆσαι, ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ' Αἰσυήταο Διοτρεφέος φίλον υἱὸν
ἥρω' Ἀλκάθοον·—γαμβρὸς δ' ἦν Ἀγχίσαο·
πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
τὴν πέρι κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
κάλλεϊ, καὶ ἔργοισιν, ἰδὲ φρεσί· τοὔνεκα καί μιν
γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ·—
τὸν τόθ' ὑπ' Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε,
θέλξας ὄσσε φαεινὰ, πέδησε δὲ φαίδιμα γυῖα.
οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ', οὔτ' ἀλέασθαι·
ἀλλ', ὥστε στήλην, ἢ δένδρεον ὑψιπέτηλον,
ἀτρέμας ἑσταότα, στῆθος μέσον οὔτασε δουρὶ
ἥρως Ἰδομενεὺς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα

420. Ϝοι. 424. μέγα· Ϝίετο. 432. Ϝέργοισι. 439. ῥῆξεν δέ Ϝοι.

corpus tuetur et in castra reportat. Ἄδην πυλάρτην jam vidimus Θ. 367—420. περίβη. περιέβη tutandi caussa Θ. 331.—422. Iidem homines sup. Θ. 333. erant memorati.

423—444. Idomeneus cædit Alcathoum.

427. *Alcathous*, *Æsyetæ* f. ejusdem forte, cujus tumulus memoratur Β. 793. Duxerat *Hippodamiam*, Anchisæ f. Æneæ sororem: cf. Exc. I* ad lib. IX. Æneidis.—430. πέρι, περισσῶς.—431. ἐν μεγάρῳ, οὖσαν, adeoque *adhuc virginem*, antequam ducta erat. Hoc voluit Ernesti. πᾶσαν γὰρ ὁμηλικίην, κατὰ πάσας ὁμήλικας ipsa erat insignis, *eminebat*, ἐκέκαστο, forma, solertia et prudentia.—434. Ποσειδάων ἐδάμασσέ μιν. Epicum inventum, quod Neptuno hoc tribuitur, ut inf. Π. 791. Apollini, cum Patroclus viribus exhaustus deliquium patitur; stupore corripitur Alcathous e repentino casu: vertigine captus de loco decedere nequit.—435. θέλξας. subest verbo notio debilitandi vi occulta. Sic θέλγειν νοῦν, θυμὸν, ἦτορ, et Mercurius ὄμματα Ω. 343. Inde est vocabulum magicæ artis: ut ap. Apollon. et passim. ὄσσε φαεινὰ sup. 3. et 7. φαεινώ. Sequutus hoc est Apollon. II. 409. III. 673. 1466, alibi alterum.—439. ἀμφὶ ἔῤῥηξέν οἱ χιτῶνα χ. loricam perrupit hasta.—tum lorica 441. αὖον ἄϋσεν, ut 409. καρ-

ταο.] Τοῦ τὰς πύλας ἰσχυρῶς ἐφαρμόζοντος. 416. Πομπόν.] Σύνοδον. 425. Ἐρεβεννῇ.] Σκοτεινῇ. 429. Ὤπυιεν.] Ἐγεγαμήκει. 431. Πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο.] Πασῶν γὰρ τῶν ὁμηλίκων τῷ κάλλει διέφερε. 435. Θέλξας.] Ἀπατήσας, ἀμαυρώσας. 436. Οὔτ' ἀλέασθαι.] Οὔτε ἐκκλῖναι καὶ φυγεῖν. 437. Ὑψιπέτηλον.] Ἐφ' ὕψους τὰ φύλλα ἔχον. 440. Ἤρκει.] Ἀπῆρ-

χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον,
δὴ τότε γ' αὖον ἄϋσεν, ἐρεικόμενος περὶ δουρί.
δούπησε δὲ πεσών, δόρυ δ' ἐν κραδίῃ ἐπεπήγει,
ἥ ῥά οἱ, ἀσπαίρουσα, καὶ οὐρίαχον πελέμιζεν
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
Ἰδομενεὺς δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Δηΐφοβ', ἦ ἄρα δή τι εἴσκομεν ἄξιον εἶναι,
τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι οὕτως;
δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστασ' ἐμεῖο,
ὄφρα ἴδῃ, οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω·
ὃς πρῶτος Μίνωα τέκε Κρήτῃ ἐπίουρον·

440. ὅς Ϝοι. 443. ἥ ῥά Ϝοι. vulg. πελέμιξεν. 446. δή τι Ϝεΐσκομεν. 447. vulg. αὔτως. 449. ὄφρα Ϝίδῃ. vulg. ἴδῃς.

αὖον, acute, ὀξύ. περιερεικόμενος (συν) δουρί. περισχιζόμενος. διαῤῥηγνύμενος.—441. χιτὼν thorax haud dubie.—443. ἥ ῥά οἱ. Ordo: ἣ ῥα καὶ, ἀσπαίρουσά οἱ, πελέμιζεν οὐρίαχον. *cor ejus palpitans tremefaciebat etiam ipsam inferiorem hastæ cuspidem.* Quod an vere narratum sit, quæri potest. Probabilius aliis in locis Π. 612. Ρ. 528. ipsa hasta motu suo et impetu contremiscit.—444. ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης. repetuntur hæc in iisdem binis locis. Difficile est, sententiam verborum satis expedire. μένος esse potest Martis; potest esse Alcathoi; tandem μένος hastæ, impetus, quo ferebatur hasta; et de hac μένος accipere jubet ipsa res, nam hasta crispata diu et quassata tandem se remittit et consistit, et postulat alter locus Π. 613. Ita sensus esset: *tunc Mars impetum hastæ,* μένος ἔγχεος, *fecit remittere se ac cessare:* quæ esset simplicissima interpretatio: eadem tamen jejuna; tum sic ἀφιέναι transitive, ut sit, facere ut alia res vires remittat, novo more diceretur. tamen alibi ἀφιέναι dimittere, remittere, esse, dubitari nequit. Sic Μ. 221. Φ. 115. Hoc si pertinacius teneas, Ἄρης erit accipiendum dictum pro ipso impetu hastæ, ἐρωή· ea amisit vim suam, impetus substitit. Veteres Ἄρην accepere dictum pro σίδηρος, ut sit ipsa hasta; ita hæc bene remittit vim suam, motu cessat: insolens quidem voc. Ἄρης notio: videtur tamen posse defendi, quatenus ad Martem referuntur omnia quæ in pugna fiunt; acies, pugna ipsa, virtus, cædes, ergo et arma, quibus cædes infertur. In re dubia, quam nec veteres dijudicare potuere, verecundum est, nihil præstare velle, sed annumerare probabilia pariter inter se, æque incerta.

445—455. Idomeneus gloriatur de Alcathoo cæso, cum irrisione Deiphobi.—446. ἦ ἄρα δή τι εἴσκομεν, vel: *nunc utique censeo,* vel interrogando: *an probabiliter existimo?* ἄξιον εἶναι, scil. χρῆμα, h. e. ἀντάξιον, *æquiparandam rem esse,* compensationis loco hoc esse, τρεῖς ἑνὸς ἀντιπεφάσθαι, *quod tres pro uno cæsi sint;* tres Trojani, Othryoneus, Asius, Alcathous, pro uno ex Achivis Hypsenore a Deiphobo cæso. τι pro κατά τι, adjungendum τῷ, εἴσκομεν, quod bene Ernesti monet. Inf. Ξ. 471. ἦ δὴ οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντιτεφάσθαι ἄξιος; *qui æquiparari possit cum Prothoenore cæso:*—448. Locus de Idomenei stirpe notandus, ad quem provocant viri docti.—450. ἐπίουρον, custodem, nunc regem, ἄρχοντα. Poeta h. l. Minoem tertia genera-

γεν, ἐκώλυεν. 441. Αὖον.] Ξηρὸν, ὀξύ. Ἄϋσεν.] Ἐβόησεν. Ἐρεικόμενος.] Σχιζόμενος, διακοπτόμενος ὁ χιτών. 442. Δούπησεν.] Ἐψόφησεν, ἀπέθανεν. ἐκ τοῦ παρακολουθοῦντος. 443. Ἀσπαίρουσα.] Κινουμένη, πάλλουσα. Οὐρίαχον.] Τὸν σαυρωτῆρα τοῦ δόρατος. τουτέστι, τὸ ὄπισθεν μέρος. ὃ καὶ γρόσφον καὶ στόρθυγκά φασι. Πελέμιξεν.] Ἐδόνησε, διέσεισεν. 444. Ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.] Καθ' ὃ μέρος ἐκλύεται ἡ τοῦ δόρατος κίνησις. 446. Ἦ ἄρα δή τι εἴσκομεν ἄξιον εἶναι Τρεῖς ἑνὸς ἀντιπεφάσθαι; Ἆρα ἀξίως καὶ δεόντως δοκοῦμέν σοι αὐχεῖν, τρεῖς ἀνθ' ἑνὸς πεφονευκότες; 450. Ἐπίουρον.] Φύλακα.

Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα·
Δευκαλίων δ' ἐμὲ τίκτε, πολέσσ' ἄνδρεσσιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν,
σοί τε κακὸν, καὶ πατρὶ, καὶ ἄλλοισι Τρώεσσιν.
Ὣς φάτο· Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν,
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων,
ἂψ ἀναχωρήσας· ἢ πειρήσαιτο καὶ οἶος.
ὧδε δέ οἱ φρονέοντι, δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ' Αἰνείαν. τὸν δ' ὕστατον εὗρεν ὁμίλου
ἑσταότ'· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
οὕνεκ' ἄρ', ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν, οὔ τι τίεσκεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῷ ἀμυνέμεναι, εἴπερ τί σε κῆδος ἱκάνει.
ἀλλ' ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος γε
γαμβρὸς ἐὼν ἔθρεψε, δόμοις ἔνι, τυτθὸν ἐόντα·
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινε.
βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.

452. ἄνδρεσσι Ϝάνακτα. 458. δέ Ϝοι. 462. ἱστάμενος Ϝέπεα.
465. vulg. πάρος περ.

tione ante bellum Trojanum vixisse tradit: quo, si ad unum istum Minoem omnia referuntur narrata; omnis antiquitas Cretensium perturbatur: etiam locus Od. Λ. 567. Itaque consensere subtiliores scriptores in Minoem antiquiorem I; et II multo seriorem, utrumque Jovis filium vulgo dictum. Observatus error passim a mythographis et a chronographis.

455—469. Deiphobus socium sibi adversus Idomeneum adjungit Æneam.

457. πειρήσαιτο sc. τοῦ Ἰδομενέως an solus cum Idomeneo congrederetur.—459. Simultas Æneam inter et Priamum inter obscuriores narrationes referenda: orta forte ex eo, quod sibi insidias ab opibus Æneæ timebat Priamus. v. ad Virgil. Æn. IX. Exc. I*—464. γαμβρῷ. nunc sororis marito, Alcathoo, ut sup. 428, 9. vidimus. ἀμύνειν autem ei debet, ne ejus corpus spolietur.—469. μέγα πτολέμοιο μεμηλώς. *flagrans cupiditate pugnandi* jam sup. 297.

Τῷ τόνῳ δὲ ἀναγνωστέον προπαροξυτόνως, ὡς ἐπίκουρον. 456. Ἑταρίσσαιτο.] Ἑταῖρον καὶ συνεργὸν λάβοι. 458. Δοάσσατο.] Ἔδοξε. 459. Βῆναι ἐπ' Αἰνείαν.] Τροίας ἁλούσης, Αἰνείας, Ἀγχίσην παραλαβὼν τὸν πατέρα, ἔφυγε. Ναυαγίῳ δὲ περιπεσὼν περὶ τὸν Ἄθω, ἀνῄει σὺν τῷ πατρί. Καὶ Ἀγχίσης μὲν πρὸς τῷ Καλαύρῳ ὄρει, πλησίον Ἀνθέμου ποταμοῦ, τελευτᾷ. Θάψας δὲ αὐτὸν Αἰνείας, ὅπου καὶ νῦν τάφος ἐστὶν Ἀγχίσου λεγόμενος ἐν Πυάνῃ, κατὰ βούλησιν τῆς μητρὸς Ἀφροδίτης, πόλιν ἔκτισε τὴν ἀπ' αὐτοῦ Αἰνειάδα προσαγορευθεῖσαν. Τελευτήσαντος δὲ τούτου, ὁ ἐξ αὐτῆς γενόμενος παῖς, λάθρα ἐπὶ τὴν πατρῴαν παραγενόμενος, καὶ πόλιν ἀναστήσας, παραλαβών τε τὸν στρατὸν, μετῴκισεν εἰς Ἰταλίαν. 460. Ἐπεμήνιεν.] Ἐπιμόνως ὠργίζετο. 461. Οὔτι τίεσκεν.] Οὐδαμῶς ἐτίμα. 464. Κῆδος.] Συγγένεια. Ὁτὲ δὲ, λύπη. 469. Μεμη-

ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε, τηλύγετον ὥς,
ἀλλ' ἔμεν', ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθὼς,
ὅστε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας.
ὣς μένεν Ἰδομενεὺς δουρικλυτὸς, οὐδ' ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοηθόον· αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν, Ἀφαρῆά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
  Δεῦτε, φίλοι, καί μ' οἴῳ ἀμύνετε· δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχὺν, ὅς μοι ἔπεισιν·
ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.
εἰ γὰρ ὁμηλικίῃ γε γενοίμεθα τῷδ' ἐπὶ θυμῷ,
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες, ἕνα φρεσὶ θυμὸν ἔχοντες,
πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι,
Δηΐφοβόν τε, Πάριν τ' ἐσορῶν, καὶ Ἀγήνορα δῖον,
οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα

474. ἄρα Fοι. 480. Fέπεα. 481. vulg. ἀμύνατε.
485. vulg. ὁμηλικίῃ γεγενοίμεθα et τῷδ' ἐνὶ θυμῷ. 489. ἐκέκλετο Fοῖς.
491. οἵ Fοι ἅμ'.

470—495. Idomeneus imperterritus manet in statione, sociosque et ipse arcessit.
470. τηλύγετον ὥς. nunc est, *tanquam puerum tenellum.* νηπύτιον.—472. κολοσυρτὸν ἀνδρῶν *turbam venantium* [illegible], ex natura apri, in statu excipit, sustinet, manet. cf. sup. M. 146. sqq.—476. ἔμενεν Αἰνείαν Idomeneus. *Ascalaphus* Martis f. erat inter duces Bœotorum, B. 512. habitus inter fortissimos, etiam accensus castrorum excubiis I. 82. cum *Aphareo* et *Deipyro* cæsus inf. 518. *Aphareus* Caletoris f. cæsus ab Ænea inf. 541. memoratus jam inter promachos I. 83. *Deipyrus;* de quo sup. 92. Cæditur ab Heleno inf. 576.—485. ὁμηλικίῃ. εἰ ὁμήλικες εἴημεν, σὺν τῷδε θυμῷ.—486. aut ipse victoriam de me aut ego de ipso auferrem h. *statim congressurus essem.* Iterum Σ. 308.—488. σάκε' ὤμοισι κλίναντες [illegible]. Faciunt συνασπισμόν, v. sup. ad Λ. 592. ubi idem vs. lectus est.—490. *Agenor* Antenoris f. Λ. 59.—493. πιόμεν' ἐκ

λώς.] Ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος. 470. Τηλύγετον ὥς.] Παῖδα μονογενῆ. 473. Οἰοπόλῳ.] Ἤτοι ἐν ᾧ ὄϊες ἀναστρέφονται, ὅ ἐστι, πρόβατα· πολεῖν γὰρ τὸ, ἀναστρέφεσθαι. Ἢ ἐν ᾧ οἶός τις καὶ μόνος πολεῖται. ἐξ οὗ δηλοῖ, τῷ ἐρήμῳ. Φρίσσει.] Ἵστησι. 475. Θήγει.] Ἀκονᾷ. 478. Ἀσκάλαφον.] Ἀσκάλαφος, ὁ λίαν σκληρός. παρὰ τὸ ἀσκαλὲς τῆς ἁφῆς. 484. Ἥβης ἄνθος.] Τὸ ἀκρότατον τῆς ἀκμῆς. 485. Ὁμηλικίῃ.] Ἀντὶ τοῦ, ὁμήλικες. 487. Ἕνα φρεσὶ θυμὸν ἔχοντες.] Ἓν καὶ τὸ αὐτὸ φρονοῦντες. 492. Κτίλον.]

λαοὶ ἕπονθ᾽, ὡσεί τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν᾽ ἐκ βοτάνης· γάνυται δ᾽ ἄρα τε φρένα ποιμήν·
ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
οἱ δ᾽ ἀμφ᾽ Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν
μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
σμερδαλέον κονάβιζε, τιτυσκομένων καθ᾽ ὅμιλον
ἀλλήλων. δύο δ᾽ ἄνδρες Ἀρήϊοι ἔξοχον ἄλλων,
Αἰνείας τε, καὶ Ἰδομενεὺς, ἀτάλαντοι Ἄρηϊ,
ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
αἰχμὴ δ᾽ Αἰνείαο κραδαινομένη κατὰ γαίης
ᾤχετ᾽, ἐπεί ῥ᾽ ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ᾽ ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην·
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς
ἤφυσ᾽· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ᾽ ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
ἐσπάσατ᾽, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο τεύχεα καλὰ
ὤμοιϊν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
οὔτ᾽ ἄρ᾽ ἐπαΐξαι μεθ᾽ ἑὸν βέλος, οὔτ᾽ ἀλέασθαι.
τῷ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,

495. Fίδε—Fέθνος ἐπισπόμενον Fεοῖ αὐτῷ. 501. Fίεντ᾽.
503. ἄντα Fιδών. 506. ἄρα Fοινόμαον. 513. μετὰ Fόν.

βοτάνης. μετὰ τὴν νομήν. *pastu facto potum ductæ.* μεθέσπετο sequi solent κτίλον. Ornat et amplificat adjectum: γάνυται etc. Elicit simul inde poeta novam comparationem.—494. γεγήθει. bene comparat Koeppen κυδιόων λαοῖσι sup. B. 479 et Hesiod. Sc. II. 26, 27. lætatur ferociente cum superbia copias intuens.

496—515. Circa Alcathoi (cæsi 427.) corpus pugnatur; congrediuntur Idomeneus et Æneas: hic frustra emissa hasta, ille ferit Œnomaum; nec tamen spoliat.

494. τιτυσκομένων. *hasta petentibus* atque ideo *ferientibus illis se invicem.*—504. terræ infixa est hasta sic ut aliquamdiu contremisceret. Iterum sic P. 523, 4. supra 443. erat πελεμίζεσθαι.—506. *Œnomaus* erat inter principes cum Asio castra oppugnantes M. 140.—507. θώρηκος γύαλον, τὸ κοῖλον τοῦ θώρηκος. jam sup. E. 99. omninoque *thoracem.* χαλκὸς διήφυσε τὰ ἔντερα ut iterum inf. 517. fecit ut effluerent. Sup. Δ. 525. ἐκ δ᾽ ἄρα πᾶσαι χύντο χαμαὶ χολάδες.—513. οὔτ᾽ ἄρ᾽ sc. ὥστε ἐπαΐξαι—ὥστε ἀλέα-

Κριόν. 493. Πιόμενα.] Πιούμενα. Ἐκ βοτάνης.] Ἀντὶ τοῦ, μετὰ τὴν βοτάνην καὶ νομήν. Γάνυται.] Διαχεῖται, χαίρει. 497. Ξυστοῖσι.] Τοῖς ἐξεσμένοις δόρασιν. 501. Ἵεντο.] Προεθυμοῦντο. 507. Θώρηκος γύαλον.] Τὸ κοῖλον τοῦ θώρακος. Διὰ δ᾽ ἔντερα χαλκὸς Ἤφυσε.] Διήντλησε δὲ καὶ διέκοψε τὰ ἔντερα αὐτοῦ τὸ δόρυ. 513. Μεθ᾽ ἑόν.] Ἐπὶ τὸ ἴδιον. 515. Τρέσσαι.] Διαφυγεῖν μετὰ

τρέσσαι δ' οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ
Δηΐφοβος· δὴ γάρ οἱ ἔχε κότον ἐμμενὲς αἰεί·
ἀλλ' ὅγε καὶ τοῦ ἅμαρτεν, ὁ δ' Ἀσκάλαφον βάλε δουρὶ,
υἱὸν Ἐνυαλίοιο, δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
οὐδ' ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης
υἷος ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ·
ἀλλ' ὅγ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
ἧστο, Διὸς βουλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
οἱ δ' ἀμφ' Ἀσκαλάφου αὐτοσχεδὸν ὡρμήθησαν·
Δηΐφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
ἥρπασε· Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος, αἰγυπιὸς ὣς,
ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος·

517. γάρ Ϝοι. 524. ἐϜελμένος vel βουλῇσι ϜεϜελμένος.
525. ἐϜεργόμενοι.

σθαι.—515. ὡς δὲ τρέσσαι, φεύγειν, ut recederet e pugna, et ut in ordines suos se reciperet, quoties major hostium vis ingruens sustineri non posset, non celeriter satis incedebat; seu, pedem celeritas deerat. πόδες φέρουσί τινα vulgato usu, *incedit*.

516—525. Idomeneum recedentem Deiphobus hasta petit; aberrans ab eo Ascalaphum sternit Martis filium.—517. ἔχε κότον, quod antea hasta ab eo aberraverat, 404. dum contra Idomeneus tres Trojanos prostraverat 447.—518. *Ascalaphus* sup. 478, e Bœotorum ducibus B. 512. Quæ 521—525. adjiciuntur, non statim compերisse Martem filii mortem, spectant inf. ad O. 110. sq.—521. βριήπυος Ἄρης. μεγαλόφωνος. ὁ ἤπυεν βοῇ, μεγάλως. ut βοὴν ἀγαθός.—523. ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρ. νέφεσσι. Ergo nunc super Olympo nubes sunt, et super deorum consessu; aut est idem ac ἐν νεφέεσσι.—524. Mars autem cum ceteris diis aberat, arcebatur a pugna, e Jovis mandato sup. A. 75. sq. inde ab Il. Θ. pr. ἐελμένος, non *inclusus*, συγκεκλεισμένος, ut reddunt, sed coercitus, exclusus a pugna, quod mox ἐεργμένος (ἀπὸ τοῦ) πολέμοιο, μάχης· vetito, ne pugnæ dii se interponerent.

526—539. Pugnatur de Ascalapho spoliando.—Deiphobus galeam ejus abstulerat; vulneratus is a Merione pugna excedit.—530. αὐλῶπις τρυφάλεια. est galea instructa

δέους. 516. Βάδην ἀπιόντος.] Ἠρέμα ἀπερχομένου. 517. Δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.] Ἐπιμόνως γὰρ αὐτῷ ὠργίζετο. 520. Ἔσχε.] Διέσχε, διῆλθεν. 521. Οὐδ' ἄρα πώ τι πέπυστο.] Οὐδέ πω ἐμεμαθήκει. Ἐζήτηται δὲ, πῶς, θεὸς ὢν ὁ Ἄρης οὐκ ᾔδει περὶ τοῦ υἱοῦ; Ῥητέον οὖν, ὅτι παρὰ τῷ ποιητῇ οἱ θεοὶ, σωματικῶς λαμβανόμενοι, ἀνθρωποειδῶς ἐπίστανται, καὶ ἀθανασίᾳ μόνον διαφέροντες ἀνθρώπων, τοῖς αὐτοῖς ἐνέχονται πάθεσι. Βριήπυος.] Μέγα καὶ βαρὺ βοῶν. Παρὰ τὸ ἠπύειν, ὅ ἐστι, φωνεῖν. 524. Ἐελμένος.] Συγκεκλεισμένος. 525. Ἐεργόμενοι.] Εἰργόμενοι, κωλυόμενοι. 527. Πήληκα.] Περικεφαλαίαν, λόφον. 530. Βόμβησεν.] Ἤχησε. 532. Πρυμνοῖο βραχίονος.]

ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο. τὸν δὲ Πολίτης,
αὐτοκασίγνητος, περὶ μέσσω χεῖρε τιτήνας,
ἐξῆγε πτολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα,
τειρόμενον· κατὰ δ' αἷμα νεουτάτου ἔῤῥεε χειρός.
οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Αἰνείας δ' Ἀφαρῆα Καλητορίδην ἐπορούσας,
λαιμὸν τύψ', ἐπί οἱ τετραμμένον, ὀξέϊ δουρί·
ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη,
καὶ κόρυς· ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
Ἀντίλοχος δὲ Θόωνα, μεταστρεφθέντα δοκεύσας,
οὔτασ' ἐπαΐξας· ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,
ἥτ' ἀνὰ νῶτα θέουσα διαμπερὲς, αὐχέν' ἱκάνει·
τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ' ὕπτιος ἐν κονίῃσι
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
Ἀντίλοχος δ' ἐπόρουσε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων,
παπταίνων. Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
οὔταζον σάκος εὐρὺ παναίολον· οὐ δὲ δύναντο
εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῷ

533. ἐς Fέθνος. 536. οἵ Fοι. 538. προτὶ Fάστυ.
542. ἐπί Fοι. 544. δέ Fοι.

alveolo, cui inseritur crista, λόφος v. ad E. 182.—533. *Polites* frater Deiphobi, Priami f. Supra B. 791. τὸν δὲ Deiphobum.

540—544. Æneas *Aphareum* cædit, Caletoris f. jam 476. memoratum.—545. ἐπὶ δ' ἀσπὶς ἑάφθη. ἐφήφθη, συνήφθη. ut ἐφῆπτο Z. 241. Clypeus balteo, galea loro sub mento, alligata tenebatur, ἐξήρτητο. Itaque capite nutante et in alteram partem inclinato, clipeus et galea eandem in partem ferebantur et corpori admovebantur adhærescentes. Vocem ἐπὶ—ἑάφθη e contexto varie interpretantur veteres, atque male ab ἕπεσθαι ducunt.

545—559. Thoonem tergum præbentem Antilochus, Nestoris f. hasta ferit et spoliat, fortiter pugnans.—546. φλέβα—ἥτ' ἀνὰ νῶτα θέουσα, κατὰ τὰ νῶτα τεταμένη, secundum spinam dorsi procurrens, ἀνατρέχουσα διαμπερὲς, ἐπὶ τὸν αὐχέν' ἱκάνει. *venam jugularem* innuit. hanc ἀπέκερσε hasta transversa.—551. Puta Antilochum inclinatum ad corpus spoliandum texisse suum tergum scuto.—553. ἐπιγράψαι ut Δ. 139. ἐπιξέ-

Τοῦ ἐσχάτην ἔχοντος ἀπὸ τῆς ἐκφύσεως τὴν ἀρχὴν ἐπὶ τὸν νῶτον. 534. Περὶ μέσσω χεῖρε τιτήνας.] Περὶ τὰ μέσα αὐτοῦ τὰς χεῖρας διατείνας, καὶ συλλαβών. 535. Δυσηχέος.] Κακὸν ἦχον φέροντος. 539. Νεουτάτου.] Νεοτρώτου. 542. Λαιμόν.] Τὸν βρόγχον. 543. Ἐπὶ δ' ἀσπὶς ἑάφθη.] Ἐπικατήχθη δὲ αὐτῷ ἡ ἀσπίς. ὅ ἐστιν, ἐπικατηνέχθη. Παρὰ τὸ ἕπεσθαι. 544. Θυμοραϊστής.] Ὁ τὴν ψυχὴν φθείρων. 546. Ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν.] Ὅλην δὲ ἀπέτεμε τὴν νωτιαίαν φλέβα. Ἔκερσεν.] Ἔτεμεν, ἔκειρεν. 547. Ἀνὰ νῶτα θέουσα.] Κατὰ τὰ νῶτα τεταμένη. 551. Περισταδόν.] Περιϊστά-

Ἀντιλόχου· περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Νέστορος υἱὸν ἔρυτο, καὶ ἐν πολλοῖσι βέλεσσιν.
οὐ μὲν γάρ ποτ᾽ ἄνευ δηΐων ἦν, ἀλλὰ κατ᾽ αὐτοὺς
στρωφᾶτ᾽· οὐδέ οἱ ἔγχος ἔχ᾽ ἀτρέμας, ἀλλὰ μάλ᾽ αἰεὶ
σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ᾗσιν,
ἤ τευ ἀκοντίσσαι, ἠὲ σχεδὸν ὁρμηθῆναι.
ἀλλ᾽ οὐ λῆθ᾽ Ἀδάμαντα τιτυσκόμενος καθ᾽ ὅμιλον
Ἀσιάδην, ὅς οἱ οὖτα σάκος μέσον ὀξέϊ χαλκῷ,
ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμὴν
κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
καὶ τὸ μὲν αὐτοῦ μεῖν᾽, ὥστε σκῶλος πυρίκαυστος,
ἐν σάκει Ἀντιλόχοιο, τὸ δ᾽ ἥμισυ κεῖτ᾽ ἐπὶ γαίης·
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο, Κῆρ᾽ ἀλεείνων·
Μηριόνης δ᾽ ἀπιόντα μετασπόμενος βάλε δουρὶ
αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ· ἔνθα μάλιστα
γίγνετ᾽ Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν·
ἔνθα οἱ ἔγχος ἔπηξεν· ὁ δ᾽ ἑσπόμενος, περὶ δουρὶ
ἤσπαιρ᾽, ὡς ὅτε βοῦς, τὸν τ᾽ οὔρεσι βουκόλοι ἄνδρες

557. οὐδέ Fοι. 558. σειόμενον FεFέλικτο—φρεσὶ Fῇσι.
561. ὅς Fοι οὖτα. leg. ὅ Fοι. ὅ οἱ v. Obss. 562. δέ Fοι.
566. ἐς Fέθνος. 570. ἔνθα Fοι.

σαι intra scutum, sub scuto, corpus perstringere.—554. *Neptunus* Antilochum tuetur Nelei, avi, respectu. Antilochus autem nunquam a pugnando cessabat. 557. ἔγχος οἱ ἀεὶ ἐσείετο. pro hoc dictum, σειόμενον ἑλίσσετο, ἕλικτο.—558. τιτύσκετο. hoc uno loco est *intendebat animo, parabat.* Koeppen laudat Hesiod. Theog. 209. τιταίνοντας μέγα ἔργον ῥέξαι. Sic στοχάζεσθαι ad animum refertur.

560—575. Adamas Asii f. frustra hastam in Antilochum emiserat; eum, recedentem adverso corpore, hasta trajicit Meriones.

562. Neptunus hastæ vim et impetum frangit, retundit; βιότοιο μεγήρας, *avertens eam a vita* Antilochi, h. e. vetans ne eum Adamas vita privaret. Scilicet μεγαίρειν, ut φθονεῖν, ab invidia ductum, est intercedere, ne. prohibere, interdum etiam privare. τοῦ βίου ἕνεκα, τοῦ ζῆν, quo minus vitam eriperet.—564. hasta scuto illisa, nec tamen alte in corpus penetrans, hærens in scuto mole sua diffracta, partim infixa scuto hæret, τὸ μὲν ἥμισυ αὐτοῦ μεῖνε, altera pars defracta in terra jacet.—567, 8. in inguine, quo loco vulnus maximos dolores creat. necesse est Adamantem adverso ore recessisse. Ἄρης 569. nunc manifeste ἡ πληγή, τὸ τραῦμα, cf. ad 444.—570. ἤσπαιρε in vulnus cadens, hoc est, in eam partem, qua hasta adacta erat: περιπαρεὶς τῷ δόρατι,

μενοι. 557. Στρωφᾶτο.] Ἀνεστρέφετο. 558. Σειόμενον.] Κινούμενον. Ἐλέλικτο.] Εἱλεῖτο. ἐστρέφετο. 559. Ἤ τευ.] Ἢ τινός. 562. Ἀμενήνωσεν.] Ἀσθενῆ γενέσθαι ἐποίησε. 563. Βιότοιο μεγήρας.] Φθονήσας τοῦ βίου. ὅ ἐστι, τῆς ζωῆς. 564. Σκῶλος.] Ἀκάνθης εἶδος, ἣ πυρωθεῖσα εὐτονωτέρα γίγνεται. Πυρίκαυστος.] Περικεκαυμένος, ἡμίφλεκτος. 567. Μετασπόμενος.] Ἐπιδιώξας, ἐπακολουθήσας. 568. Ἔνθα μάλιστα Γίγνετ᾽ ἄρης ἀλεγεινός.] Ὅπου ἀλγεινὴ καὶ δεινὴ γίγνεται ἡ τρῶσις. 570. Ἑσπόμενος περὶ δουρί.] Κατασχε-

ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν·
ὣς ὁ τυπεὶς ἤσπαιρε, μίνυνθά περ, οὔτι μάλα δήν,
ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθὼν
ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσε κάλυψε.
Δηΐπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηϊκίῳ, μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν·
ἡ μὲν ἀποπλαγχθεῖσα, χαμαὶ πέσε· καί τις Ἀχαιῶν
μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε·
τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
βῆ δ' ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι,
ὀξὺ δόρυ κραδάων· ὁ δὲ τόξου πῆχυν ἄνειλκε.
τὼ δ' ἄρ' ὁμαρτήτην, ὁ μὲν ἔγχεϊ ὀξυόεντι
ἵετ' ἀκοντίσσαι, ὁ δ' ἀπὸ νευρῆφιν ὀϊστῷ·
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀϊστός·
ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφι μεγάλην κατ' ἀλωὴν
θρώσκωσι κύαμοι μελανόχροες, ἢ ἐρέβινθοι,
πνοιῇ ὑπὸ λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ·
ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο,
πολλὸν ἀποπλαγχθεὶς, ἑκὰς ἔπτατο πικρὸς ὀϊστός.
Ἀτρείδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
τὴν βάλεν, ᾗ ῥ' ἔχε τόξον ἐΰξοον· ἐν δ' ἄρα τόξῳ

572. Ϝιλλάσιν. 574. ὄφρα Ϝοι. 575. vulg. ὄσσ' ἐκάλυψε.
582. ἥρωϊ Ϝάνακτι. 585. Ϝίετ'. 589. vulg. θρώσκουσι. 592. Ϝεκάς.

super ipse sequutus. ap. Virgil. 572. ἰλλάσιν loris seu funibus, οἷς ἴλλεται, εἰλεῖται.

576—580. *Deipyrus*, Bœotius, de quo v. sup. ad 476. cæditur ab Heleno. Ensis Thracici vs. 577. certa forma, forte eximiæ magnitudinis, esse debuit, ut solet inter barbaros. Percussum autem ense et ruptum erat unum e loris, quibus sub mento colligatis galea firmata erat; nisi statuas etiam sine corrigiis galeam interdum fuisse aptatam.

581—600. Menelaus cum Heleno congressus, et ab eo sagitta nullo cum vulnere ictus, manum ejus vulnerat: tum Heleni vulnus ab Agenore obligatur.—584. ὁμαρτήτην, ambo unum idemque facere sunt annisi. 587. θώρηκος γύαλον. modo vidimus vs. 507.

588—592. Comparatio sagittæ ab ære resilientis cum leguminibus a ventilabro τοῦ πτύου, desilientibus. Locus verborum ornamentis et dignitate in re tenui ἀνδρῶν λικμώντων κατὰ τὰς ἀλωὰς E. 499. sq. memorabilis.—594, 5. ἐν δ' ἄρα τόξῳ. Præstare

θεὶς, περιπαρεὶς τῷ δόρατι. 572. Ἰλλάσι.] Τοῖς ἐξ ἱμάντων πεπλεγμένοις δεσμοῖς. 573. Ἤσπαιρεν.] Ἐσκάριζεν, ἐκινεῖτο. 577. Ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.] Ἀπέκοψε δὲ τὴν περικεφαλαίαν. 578. Ἀποπλαγχθεῖσα.] Ἀποκρουσθεῖσα. 584. Ὁμαρτήτην.] Ὁμοῦ ἀφῆκαν. 588. Πτυόφιν.] Πτύου. Πτύον δέ ἐστιν, ἐν ᾧ τὰ ἠλοημένα γεννήματα ἀναβάλλουσι, χωρίζοντες τοῦ ἀχύρου. Ὁ δὲ τύπος, παραγωγή. 589. Θρώσκουσιν.] Ἀποπηδῶσιν. 590. Λιγυρῇ.] Ὀ-

ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, Κῆρ' ἀλεείνων,
χεῖρα παρακρεμάσας· τὸ δ' ἐφέλκετο μείλινον ἔγχος·
καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσε μεγάθυμος Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ,
σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο
ἤϊε· τὸν δ' ἄγε Μοῖρα κακὴ θανάτοιο τέλοσδε,
σοὶ, Μενέλαε, δαμῆναι ἐν αἰνῇ δηϊοτῆτι.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν, ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἀτρείδης μὲν ἅμαρτε, παρὰ δέ οἱ ἐτράπετ' ἔγχος·
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
οὔτασεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
ἔσχεθε γὰρ σάκος εὐρὺ, κατεκλάσθη δ' ἐνὶ καυλῷ
ἔγχος· ὁ δὲ φρεσὶν ᾗσι χάρη, καὶ ἐέλπετο νίκην.
Ἀτρείδης δὲ, ἐρυσσάμενος ξίφος ἀργυρόηλον,
ἆλτ' ἐπὶ Πεισάνδρῳ· ὁ δ' ὑπ' ἀσπίδος εἵλετο καλὴν
ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
μακρῷ, εὐξέστῳ· ἅμα δ' ἀλλήλων ἐφίκοντο.

596. ἐς Fέθνος. 598. ἐκ χειρὸς Fέρυσε. 600. ἄρα Fοι.
605. vulg. παραί. παρὰ δέ Fοι. 608. vulg. ἔσχετο.
609. φρεσὶ Fῇσι—ἐFέλπετο. 610. δὲ, Fερυσσάμενος.

putabam jungere ἔγχος ἐλήλατο ἀντικρὺ διὰ χειρὸς ἐν τόξῳ. ἡ χεὶρ ἐν τόξῳ οὖσα, pro σὺν τόξῳ. τόξον ἔχουσα. Longius enim petitum esse videtur, si sagitta, manu trajecta, in ipsum hastile fixa fuisse putatur. Video tamen hoc non minus molestum esse, et redeo ad alterum: τὸ ἔγχος διὰ χειρὸς ἐνελήλατο, τόξῳ. trajecta manu hasta impacta est arcui, cujus partem mediam læva tenuit Helenus.—598. *Agenor*, Antenoris f. vid. 490.—599. οἰὸς ἀώτῳ, simpliciter, *fascia lanea*; nec nunc de præstantiore lana agitur.—600. "ἣν ἄρα *quam, ut fieri solet.*" Clarke. quam quidem ὁ θεράπων αὐτοῦ tenebat.

601—619. Menelaus et Pisander congressi. Occiditur *Pisander*, non alibi memoratus; diversus ab alio, et ipso e Trojanis, Antimachi filio sup. Λ. 122. sq. Diversus et tertius, dux Myrmidonum Π. 193.

603. σοὶ, M. ὑπό σου ut sæpe.—605. παρετράπετο, *avertit se*. quod Clarke notavit. Vidimus jam supra Λ. 233.—608. τὸ σάκος ἐπέσχε τὴν ὁρμὴν τοῦ ἔγχους. alibi κατέσχεθε. ἐνὶ καυλῷ. ut jam sup. 162. qua parte hastile ferro immissum est.—611. ἐφῆλτο Πεισάνδρῳ. ὥρμητο ἐς αὐτόν.—612. Exemplum pugnatoris inter Trojanos *securi* instructi, cum *manubrio oleagineo*, πελέκκῳ. Inf. O. 711. πελέκεσσι καὶ ἀξίνῃσι pugnantes videbimus.—613. ἐφίκοντο (κατ') ἀλλήλων. non solum συνῆλθον, quod esset ἀφίκοντο,

ξέως πνεούσῃ. αὔρᾳ. 595. Ἐλήλατο.] Ἐνεπάγη. 599. Ἐϋστρόφῳ οἰὸς ἀώτῳ.] Καλῶς περιεστραμμένῳ ἐρίῳ. τουτέστιν, ἐρίᾳ σφενδόνῃ. Οἰὸς γὰρ ἀώτῳ, προβάτου ἄνθει, ὅ ἐστιν, ἐρίῳ. 608. Ἔσχετο.] Ἐπεκώλυσεν. 612. Ἐλαΐνῳ ἀμφὶ πελέκκῳ.] Τῷ τοῦ πελέκεως στειλειῷ. Παρὰ τὸ πεπελεκῆσθαι. Περὶ οὖν τῷ ἐλαΐνῳ στειλῷ φησιν. 613. Ἅμα δ' ἀλλήλων ἐφίκοντο.] Ὑπὸ τὸ αὐτὸ ἔτυχον

ἤτοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης
ἄκρον ὑπὸ λόφον αὐτόν· ὁ δὲ προσιόντα, μέτωπον,
ῥινὸς ὑπὲρ πυμάτης· λάκε δ' ὀστέα, τὼ δέ οἱ ὄσσε
πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίῃσιν·
ἰδνώθη δὲ πεσών· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων,
τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς.
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
ἣν ἐμὲ λωβήσασθε, κακαὶ κύνες· οὐδέ τι θυμῷ
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν
ξεινίου· ὅστε πότ' ὔμμι διαφθέρσει πόλιν αἰπήν.
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
μάψ οἴχεσθ' ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ' αὐτῇ·
νῦν αὖτ' ἐν νηυσὶ μενεαίνετε ποντοπόροισι
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς·
ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ σε φασὶ περὶ φρένας ἔμμεναι ἄλλων

616. δέ Fοι. 619. Fέπος. 629. ὀλοFὸν Bentl.

sed, se invicem ferierunt.—614. κόρυθος φάλον, conum in vertice, cui inseritur ὁ λόφος. v. sup. ad Γ. 371.—616. τὼ δέ οἱ ὄσσε humor oculorum cum sanguine permixtus profluxit.—618. ἰδνώθη δὲ πεσών. retro prolapsus capite reclinato, et recurvato, ut serpens M. 204, 5. add. B. 266.

620—639. Increpat Menelaus Trojanos e pugna non recedentes, sed in media castra irruentes. Objurgatio hæc per se jejuna videri potest; verum Menelaus hæc alio modo pronuntiat: Nunc tandem, cæso Pisandro post alios, arbitrabor impetum Trojanorum in media castra repressum iri; cumque his, ille, injuriarum a Trojanis illatarum dolore exardescens, reliqua ipsis flagitia exprobrat. Accipio ergo λείψετε et 630. σχήσεσθε non pro imperativo, sed: *Nunc*, alio post alium cæso, ultimo loco Pisandro, *sane a navibus disceditis, puto.*—621. Trojani, perjuri et rebelles. ἀκόρητοι ἀϋτῆς. quod ἆτος πολέμοιο E. 388. H. 117. ex usu loquendi Homerico: v. mox vs. 635.—622. ἄλλης μὲν λώβης—respondent 628. νῦν αὖτ'. οὐκ ἐπιδευεῖς. qui nihil reliquum fecistis ut aliquid addi possit; *qui cumulate omne injuriæ et contumeliæ genus jam antea mihi intulistis.*—626. καὶ κτήματα πολλὰ, v. sup. Γ. 70.—627. ἐπεὶ φιλέεσθε παρ' αὐτῇ. ἐφιλέεσθε, ξενίας ἐτύχετε. ut recte Sch. br.—630. *At forte* nunc, puto, tot cædi-

ἀλλήλων. 615. Λόφον.] Χαίτην. 616. Ῥινὸς ὑπὲρ πυμάτης.] Τὸν ὑπὲρ τὴν ῥῖνα τόπον, τὸ μέτωπον. Λάκεν.] Ἐσχίσθη. Ὀνοματοποιΐα, ὁ τρόπος. Τὼ δέ οἱ ὄσσε Πὰρ ποσὶν αἱματόεντα.] Τὸ δὲ ὑγρὸν τὸ κατὰ τοὺς ὀφθαλμοὺς ἐξεῤῥύη αὐτοῦ μετὰ τοῦ αἵματος. 620. Λείψετε δή.] Καταλείψετε δή. 622. Ἄλλης λώβης.] Ἄλλης ὕβρεως. Οὐκ ἐπιδευεῖς.] Οὐκ ἐνδεεῖς, ἀλλὰ πλήρεις ἐστέ. 624. Ἐριβρεμέτεω.] Μεγάλως ἠχοῦντος. 625. Διαφθέρσει.] Διαφθερεῖ, ἀπολέσει. 627. Ἐπεὶ φιλέεσθε.] Ὅτι φιλοφροσύνης καὶ ξενίας ἐτύχετε. 630. Ἀλλά ποθι σχήσεσθε.] Ἀλλὰ φεύξεσθε δήπου. Ἀλλὰ πόθι, σύνδεσμος παραπληρωματικός. Τουτέστι, πόῤῥω κρατηθήσεσθε. 631. Περὶ φρένας ἔμμεναι ἄλλων.] Φρονήσει δια-

ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι,
Τρωσὶν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
φυλόπιδος κορέσασθαι ὁμοιίου πολέμοιο.
πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου, καὶ φιλότητος,
μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο,
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι,
ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.
Ὣς εἰπὼν, τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα
συλήσας, ἑτάροισι δίδου Μενέλαος ἀμύμων,
αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος,
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίζων
ἐς Τροίην· οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν.
ὅς ῥα τότ' Ἀτρεΐδαο μέσον σάκος οὔτασε δουρὶ
ἐγγύθεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων,
πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ.
Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀϊστόν·
καί ῥ' ἔβαλε γλουτὸν κατὰ δεξιόν· αὐτὰρ ὀϊστὸς

635. f. ὁμοιΐοφι πτολέμοιο. 638. ἐϝέλδεται. 640. ϝειπών.
643. ἔνθα ϝοι. 648. ἐς ϝέθνος.

bus promachorum *deterriti, a pugnando desistetis.* cf. ad 620.—632. σέο δ' ἐκ, ut alibi, ἐκ Διὸς, pro διὰ, σὺν Διῒ, *tuo numine, voluntate.*—633. οἷον, pro ὡς, *pro eo quod indulges;* ut soles *indulgere*, aut, *vide, quam, quomodo.* per exclamationem novam. Expostulatio cum Jove gravis et rudium hominum sensibus ignoscenda.—634. Τρωσὶν τῶν μ. pro οἳ αἰεὶ ἀτάσθαλοί εἰσι.

636—639. Aliena hæc a nostris notionibus, prorsus ex usu Homerico sunt accipienda. *Appetitur* pugna a pugnaturis et pugnacibus; itaque et *satietas* locum habet: quatenus *fessi pugnando* decedunt et ad castra sua revertuntur. *Etiam jucundissimarum rerum, quas cupide aliquis appetierat, ut iis se expleret, succedit tamen fastidium; at* Trojani *pugna, re tam parum desiderabili, exsatiari nequeunt;* pugnandi studio inexhausto tenentur, nunquam pugna fessi excedunt, pugnant pertinaciter. Virgilius reddidit: *quos nulla fatigant Prælia, nec victi possunt absistere bello,* Æn. XI. 308. uti et Sc. Herc. 113, 4. λιλαιόμενοι πολέμοιο φυλόπιδα στήσειν. τά σφιν πολὺ φίλτερα θοίνης, *pugnare ipsis jucundius est quam epulari.*— 638. ἐξ ἔρον εἶναι famem eximere, satiare; ut A. 469.

640—659. Menelaum spoliato Pisandro recedentem dum Harpalio hasta petit, ipse a Merione sagitta trajectus asportatur. *Harpalio* Pylæmenis filius, qui dux erat Paphlagonum: B. 851. cæsus Pylæmenes E. 576. quod non convenit cum vs. 658. μετὰ δέ σφι πατὴρ κίε. Ergo interpolatum carmen esse creditur. Ei comes ad Trojam venerat filius.—650. ἵει ὀϊστὸν (κατ') ἀπιόντος. εἰς ἀπιόντα.—653. καθεζόμενος αὖ..,

φέρειν τῶν λοιπῶν θεῶν. 632. Σέο δ' ἐκ τάδε πάντα πέλονται.] Ἐκ σοῦ δὲ πάντα ταῦτα γίγνονται. 634. Ἀτάσθαλον.] Ἄδικον. 638. Ἐξ ἔρον εἶ-

ἀντικρὺ διὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν·
ἑζόμενος δὲ κατ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων
θυμὸν ἀποπνείων, ὥστε σκώληξ, ἐπὶ γαίῃ
κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο·
ἐς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ κίε, δάκρυα λείβων·
ποινὴ δ' οὔτις παιδὸς ἐγίγνετο τεθνειῶτος.
Τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
ξεῖνος γάρ οἱ ἔην, πολέσι μετὰ Παφλαγόνεσσι.
τοῦ ὅγε χωόμενος προΐει χαλκήρε' ὀϊστόν·
ἦν δέ τις Εὐχήνωρ, Πολυείδου μάντιος υἱὸς,
ἀφνειός τ', ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
ὅς ῥ' εὖ εἰδὼς Κῆρ' ὀλοὴν, ἐπὶ νηὸς ἔβαινε·
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύειδος,
νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν,
ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·

652. vulg. *κατὰ κύστιν.* 657. *προτὶ Ϝίλιον.* 661. *γάρ Ϝοι.*
663. ΠολυϜείδου. vulg. Πολυΐδου. 664. Κορινθόθι Ϝοικία.
665. *Ϝειδώς. κῆρ' ὀλοϜὴν* Bentl. 666. *γάρ Ϝοι ἔϜειπε—ΠολύϜειδος.* 667. *Ϝοῖς ἐν.*

ἀποπνείων θυμὸν ἐν χερσὶν ἑταίρων, κεῖτο ταθεὶς ἐπὶ γαίῃ, ὥστε σκώληξ. Comparatio cum lumbrico in eo spectatur, quod rigens et extentus jacet cum antea sedisset corpore incurvato.—657. *ἀνέσαντες. ἀναθέντες. ἀναβιβάσαντες.* ex *ἕω, ἕσω. ἀνέω, ἀνίημι.*—659. *ποινὴ δ' οὔτις. nemo ultus est cædem filii.* Sed hoc non convenit cum seqq. nam Paris ultus est Harpalionem cæso Euchenore.—660—672. Paris Euchenorem, Polyidi vatis filium telo transfigit.

663. *Polyidus μάντις*, Cœrani f. nothus revocato in vitam Glauco Minois II. filio. Eodem usus erat somnii de Pegaso domando interprete Bellerophon ap. Pindar. Ol. XIII. 105. De eo v. Obss. ad Apollod. III. 1.—666. *πολλάκι γάρ οἱ ἔειπε γέρων*— Pater filio prædixerat, fatale ei esse ut aut gravi morbo afflictus domi moriatur, aut ad Trojam profectus pugna cadat. *ἢ φθίσθαι—ἢ δαμῆναι.* Optione sibi data ille, tanquam vir fortis, prætulit alterum, ut ante Trojam pugna occumberet. *Τῷ, ita, τῷ*

ναι.] Προέσθαι τὴν ἐπιθυμίαν, κορεσθῆναι. 656. Ἀμφεπένοντο.] Περὶ αὐτὸν ἠσχολοῦντο. 657. Ἀνέσαντες.] Ἀναθέντες, ἀναβιβάσαντες. 658. Μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων.] Μετ' αὐτῶν δὲ ὁ πατὴρ ἐπορεύετο δάκρυσι καταῤῥεόμενος. Ζητεῖται δὲ, πῶς ἀνωτέρω ἀνῃρημένος ὑπὸ Μενελάου ὁ Πυλαιμένης, τὰ νῦν δύναται ἀκολουθεῖν τῷ παιδὶ, καὶ κλαίειν. Ἔστι δὲ λέγειν, ὅτι δύο Πυλαιμένεις Παφλαγόνων ἡγεμόνας συνίστησιν ὁ Ποιητής. ὡς Αἴαντας δύο, καὶ Εὐρυβάτας δύο κήρυκας, τὸν μὲν Ἀγαμέμνονος, τὸν δὲ Ὀδυσσέως. Ἔνιοι δὲ πιθανῶς μεταγράφουσι· Μετὰ δ' οὔ σφισι πατὴρ κίε δάκρυα λείβων. 659. Ποινὴ δ' οὔτις παιδὸς ἐγίγνετο τεθνειῶτος.] Ἐπεὶ οὐχ' ὁ πατὴρ τιμωρεῖ αὐτῷ, ἀλλ' ὁ Ἀλέξανδρος, χαλεπήνας ὑπὲρ τοῦ ἀνῃρημένου, Εὐχήνορα τὸν Κορίνθιον ἀναιρεῖ. 664. Κορινθόθι οἰκία ναίων.] Ἐν Κορίνθῳ κατοικῶν, τὴν οἰκίαν ἔχων.

τώ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν,
νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθῃ ἄλγεα θυμῷ·
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Ὣς οἱ μὲν μάρναντο, δέμας πυρὸς αἰθομένοιο·
Ἕκτωρ δ' οὐκ ἐπέπυστο Διῒ φίλος, οὐδέ τι ᾔδη,
ὅττι ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο
λαοὶ ὑπ' Ἀργείων, τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
ἔπλετο· τοῖος γὰρ γαιήοχος Ἐννοσίγαιος
ὤτρυν' Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν·
ἀλλ' ἔχεν, ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο,
ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων.
ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου,
θῖν' ἐφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθε
τεῖχος ἐδέδμητο χθαμαλώτατον· ἔνθα μάλιστα

670. vulg. πάθοι. 674. οὐδέ τι Ϝῄδη. 675. ὅτι ῥά Ϝοι. 682. Ϝειρυμέναι.

βαίνειν ἐπὶ νηὸς vs. 665. evitavit ille duo mala.—669. θωὴν ἀλέεινεν Ἀχαιῶν. Apparet hinc, jam tum cogi potuisse homines ad militiam, et fuisse multam τῆς ἀστρατείας. quod et Eustath. monuit. Parebat autem Corinthus Agamemnoni: sup. B. 570.—670. et morbum gravem, ita ut nec ejus dolores experiretur, h. e. ut expers maneret malorum ex morbo.

673—722. Nec minus Ajaces, qua parte Hector pugnat, ingruentes Trojanorum copias fortiter sustinent, ita ut neutrolibet his res succedat.

675. νηῶν ἐπ' ἀριστερὰ,—est hic locus inter præcipuos de situ ac descriptione castrorum; idem tamen ex parte impeditus et ambiguus; sinistram Hectoris intelligendam esse dixeris. At nihil tum est, quod satis conveniat. Ergo *sinistra navium* dicta est ex Achivorum æstimatione: illa ad Simoentem pertingebat. Hector pugnabat *in media acie*, adversus Ajaces et Teucrum: sup. 312. νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι, Αἴαντές τε δύω Τεῦκρός τε—quod tamen ipsum non de mediis castris intelligi posse supra ad 312. monui; sed medium oppositum esse *extremæ parti*, adeoque *loca* designare *ab hac versus media castra tendentia*. In illa *extrema sinistri Achivorum cornu parte* pugnaverat adhuc Marte hortatore, Idomeneus 326. sq. De iis, quæ ibi gesta fuerant, narratum est usque ad v. 673. Sunt in his potiora: quod Asius cæditur ab Idomeneo; quem Deiphobus ulturus arcessit Æneam, qui Paridem, Agenorem, Helenum habet socios; Helenum Menelaus vulnerat, Pisandrum et Harpalionem cædit; Paris vicissim Euchenorem: Nunc poeta *ad Hectorem* redit: quem non minus ab Achivis premi videbimus, quorum virtutem Ajaces inflammant. Tum ab illa sinistra parte arcessuntur ab Hectore fortissimi, Polydamantis consilio 754. sqq. Erat inter eos Paris μάχης ἐπ' ἀριστερὰ pugnans 765. Per hos pugna adversus Ajaces restituitur.—676. καὶ ὅτι τάχα καὶ ἔπλετο ἂν κῦδος Ἀχαιῶν *et quod parum aberat, quin superiores fierent Achivi; adeo enim Neptunus eos incitabat et insuper sua vi adjuvabat.*—679. ᾗ τὰ πρῶτα. sup. M. extr.—681. ἔνθ' ἔσαν. Si narrata hæc compares: necesse est navium ordines non ad extremum castrorum cornu pertinuisse, quod aut Simoentem attingebat aut etiam ulteriorem ripam versus Rhœteum occupabat, sed aliquantum inde versus mediam aciem littoralem oram occupasse. Ajacis naves, quas lævum cornu tenuisse satis constat, (Θ. 224.) primæ et extremæ ab hac parte stabant, cum Protesilai navibus: quas iterum memorat O.

669. Θωήν.] Τὴν ζημίαν. Λέγει δὲ τὸ τῆς στρατείας ἐπιζήμιον. 678. Πρὸς δὲ σθένει αὐτὸς ἄμυνε.] Προσεβοήθησε δὲ καὶ αὐτὸς τῇ δυνάμει αὐτοῦ. 683.

ζαχρηεῖς γίγνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι·
ἔνθα δὲ Βοιωτοὶ, καὶ Ἰάονες ἑλκεχίτωνες,
Λοκροὶ, καὶ Φθῖοι, καὶ φαιδιμόεντες Ἐπειοὶ,
σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον· οὐδὲ δύναντο
ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον·
οἱ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
ἦρχ' υἱὸς Πετεῶο, Μενεσθεύς· οἱ δ' ἅμ' ἕποντο
Φείδας τε, Στιχίος τε, Βίας τ' ἐΰς· αὐτὰρ Ἐπειῶν
Φυλείδης τε Μέγης, Ἀμφίων τε, Δρακίος τε.
πρὸ Φθίων δὲ, Μέδων τε, μενεπτόλεμός τε Ποδάρκης.
ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ γαίης ἀπὸ πατρίδος, ἄνδρα κατακτὰς,
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
αὐτὰρ ὁ, Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο·

687. vulg. οὐδ' ἐδύναντο. 688. φλογὶ Ϝείκελον. 698. αὐτὰρ ὁ, Ϝιφίκλοιο.

705. et ante eas vallum erat humilius quam ceteris partibus.—684. ἔνθα μάλιστα ζαχρηὴς ἐγίνετο ἡ μάχη. vel ἐμάχοντο ζαχρηῶς. αὐτοί τε καὶ ἵπποι. ergo et curribus usi sunt in his castrorum angustiis? Merito hoc mirabimur; inprimis cum M. 80. sq. ex Polydamantis præcepto omnes currus ante fossam relicti essent. Attamen inf. 749. quoque Hector curru desilit. Serius ergo admissi fuere currus intra vallum: si omnis narratio recte constituta est.

685. Hic Hectorem represserunt Bœoti, Iones, Locri, Phthii et Epei, qui istic ordines suos tenebant; nec tamen eum potuere loco pellere. Spectat locus, quem haud uno modo interpolatum esse suspicamur, ad ordinem turmarum in acie, qui non multum abfuisse videtur ab ordine navium in statione.—*Iones* sunt Athenienses: qui erant Ionica stirpe cum Pelasgis permixta: ἑλκεχίτωνες, tunica ad pedes demissa, forte nec cincta, insignes. Sequitur, alios breviores tunicas habuisse.—686. *Phthii* ex Achæorum stirpe, sunt qui cum Protesilao advenerant, cum iis forte Philoctetis copiæ.—*Epei*, non, qui ex Elide venerant, qui sub ducibus quatuor (Il. B. 615—624.) habebantur; sed *qui Echinades incolebant:* ibid. 625. sqq. Bene hoc vidit Koeppen.—690. *Menestheus*, Petei f. sup. B. 752. jam aliquoties memoratus inter promachos; E trinis comitibus *Stichius* sup. N. 195. est memoratus.—692. *Meges* Phylei f. sup. B. 627. *Dulichienses* ducebat, cum ceterarum Echinadum incolis: quos *Epeos* fuisse ex h. l. apparet; nec mirum, quandoquidem Meges ipse ex Elide erat oriundus, Augeæ nepos: B. 627. cf. Apollod. II. 5, 5. Duo ejus socios haud memini alibi legi.—693. Phthios ducunt *Medon* et *Podarces*, hic quidem Iphicli f. Phylaci n. v. B. 704. sqq. *Medon* autem Oilei f. nothus, eoque Ajacis minoris frater, in Philoctetæ locum successerat ducendis copiis e Methone aliisque Thessaliæ locis: sup. B. 726. sq. Fugerat *e patria domo*, itaque *e Locride*, cæso fratre novercæ, *Eriopidis:* mater ejus fuerat *Rhene*, B. 728.—πρὸ Φθίων—sc. ἐμάχοντο. quod subjicitur mox 699. οἱ μὲν πρὸ Φθίων—ἐμάχοντο.

Χθαμαλώτατον.] Κοιλότατον. 685. Ἰάονες.] Ἴωνες. Λέγει δὲ τοὺς Ἀθηναίους. ἀπὸ Ἴωνος τῆς Κρεούσης τῆς Ἐρεχθέως καὶ Ξάνθου τοῦ Ἕλληνος. Ἑλκεχίτωνες.] Βαθεῖς χιτῶνας ἔχοντες. ἄζωστοι. 686. Φθῖοι.] Οἱ τὴν ὑπὸ Πρωτεσιλάου Φθίαν πόλιν Θεσσαλίας οἰκοῦντες. Οἱ δὲ τὴν ὑπὸ Ἀχιλλέως, Φθιῶται καλοῦνται. Φαιδιμόεντες.] Ἐπιφανεῖς καὶ λαμπροὶ ταῖς πράξεσι. 689. Προλελεγμένοι.] Προκατηριθμημένοι. 697. Ἣν ἔχ' Ὀϊλεύς.] Ἣν ἐγεγαμήκει Ὀ-

οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο.
Αἴας δ' οὐκέτι πάμπαν, Ὀϊλῆος ταχὺς υἱὸς,
ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου οὐδ' ἠβαιόν.
ἀλλ' ὥστ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον,
ἶσον θυμὸν ἔχοντε, τιταίνετον· ἀμφὶ δ' ἄρα σφι
πρυμνοῖσι κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς·
τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει
ἱεμένω κατὰ ὦλκα· τέμει δέ τε τέλσον ἀρούρης·
ὡς τὼ, παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιϊν.
ἀλλ' ἤτοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ
λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο,
ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο.
οὐδ' ἄρ' Ὀϊλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ·

703. *βόε Fοίνοπε.* 704. *Fῖσον.* 706. *ἐFέργει.* 707. *Fιεμένω κατὰ Fῶλκα.* vulg. *τέμνει.* 710. *οἵ Fοι.*

701—7. Ajax uterque alter ad alterius latus conjunctis viribus pugnant; comparatione a boum jugo petita. Nexus autem summa: *ἀλλ' ὥστε βόε ἄροτρον τιταίνετον, ὣς τὼ παρίστασαν ἀλλήλοιϊν παρβεβαῶτε.*—703. *βόε οἴνοπε. μέλανες.* et *πηκτὸν ἄροτρον* jam sup. K. 353.—704, 5. *ἀμφὶ κεράεσσι*, quia taurorum cornibus religata sunt lora jugalia. quod improbatum jam Columellæ II. 2, 22. *πρυμνοῖσι*, *imis*, ima ad frontem parte cornuum. "*ἄρα*, *ut fieri solet.* Clarke."—706. *Jugum unum* utrumque taurum conjungere putandum est; sed capite utriusque diversa jugi parte inserto; puta formam esse —⌒— —⌒— Ita *οἶον ζυγὸν, μόνον, ἕν, ἀμφὶς ἐέργει*, *sejungit* eos. De uno jugo cf. Schneid. ad Colum. VI. 2. Comment. p. 314.—707. *τὸ τέλσον ἀρούρης. τέλος. πέρας.* simplic. *τὴν ἄρουραν.* Oratio inde a 703. ita jungenda: *ἀλλ' ὥστε βόε ἄροτρον τιταίνετον, τέμει δέ τε (τοῦτο τὸ ἄροτρον) τέλσον ἀρούρης.* ut interposita sint reliqua 704—7. *ἀμφὶ δ' ἄρα σφιν* usque ad *ἱεμένω κατὰ ὦλκα* ad ornandum. Cujusmodi hyperbata seu parentheses jam aliquoties vidimus, ut E. 398—402. I. 551—569.—708. *παρβεβαῶτε.* quod alias de iis qui eodem curru adstant aurigæ et pugnant; nunc in ordinibus: quod usitatius est *παραστῆναι*, unde *παραστάτης* in ordine, et hoc ipso loco *παρβεβαῶτε ἕστασαν* pro *παρίστασαν.*

709—712. Ajax Telamonius comites circa se habebat, Oilei filius solus erat. Nam Locri 713—718. leviter armati sagittis et fundis utentes, in primis ordinibus in quibus ille pugnabat, stare non poterant. Ita 719—722. Trojani eminus sagittis, cominus hastis petiti, in magnum discrimen etiam hac parte, qua Hector pugnabat, erant adducti.—711. *ὁππότε κάματος καὶ ἱδρὼς μιν κατὰ τὰ γούναθ' ἵκοιτο· ἐφίκοιτο. καθίκοιτο.* Uno adhuc loco simile legitur de fame: *ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκηται.* quod 348. simpliciter *ἵνα μή μιν λιμὸς ἵκηται* et 165. *γυῖα βαρύνεται, ἠδὲ κιχάνει δίψα τε καὶ λιμός. λύεσθαι γούνατα, κάμπτεσθαι γούνατα* frequenter occurrunt. *βλάβεται δέ τε γούνατ' ἰόντι.*

713. Locri leviter armati erant; quippe qui omnino horridiore vitæ cultu uteban-

Ἰλειάς. 699. Πρὸ Φθίων.] Πρὸ τῶν Φθίων. 700. Ναῦφι.] Ὑπὲρ τῶν νεῶν. 703. Βόε οἴνοπε.] Ἤτοι μέλανες, ἢ ξανθοί. 704. Τιταίνετον.] Τείνουσιν, ἕλκουσι. 705. Πρυμνοῖσι κεράεσσι.] Τοῖς ἐσχάτοις μέρεσι τῶν κεράτων. τοῖς πρὸς τὴν ἔκφυσιν. Ἀνακηκίει.] Ἀναφέρεται. 706. Ἀμφὶς ἐέργει.] Διείργει, χωρίζει. 707. Ὦλκα.] Τὴν αὔλακα. Τέμνει δέ τε τέλσον ἀρούρης.] Τέμνεται δὲ εἰς βάθος γῆς. Τέλσον.] Τέλος. 710. Ἐξεδέχοντο.] Διεδέχοντο. 713. Οὐ γάρ σφι

οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
οὐδ' ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα·
ἀλλ' ἄρα τόξοισι καὶ εὐστρόφῳ οἰὸς ἀώτῳ
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες· οἷσιν ἔπειτα
ταρφέα βάλλοντες, Τρώων ῥήγνυντο φάλαγγας.
δή ῥα τόθ' οἱ μὲν πρόσθε, σὺν ἔντεσι δαιδαλέοισι,
μάρναντο Τρωσί τε καὶ Ἕκτορι χαλκοκορυστῇ·
οἱ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον. οὐδ' ἔτι χάρμης
Τρῶες μιμνήσκοντο· συνεκλόνεον γὰρ ὀϊστοί.
Ἔνθα κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,
εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
Ἕκτορ, ἀμήχανός ἐσσι παραῤῥητοῖσι πιθέσθαι.
οὕνεκά τοι πέρι δῶκε θεὸς πολεμήϊα ἔργα,
τοὔνεκα καὶ βουλῇ ἐθέλεις πέρι ἴδμεναι ἄλλων;

717. Ϝίλιον. 721. vulg. οὐδέ τι. 724. προτὶ Ϝίλιον. 725. Ἕκτορα Ϝεῖπε. 727. 730. πολεμήϊα Ϝέργα. 728. πέρι Ϝίδμεναι. vulg. περιΐδμεναι.

tur quam alii Hellenes. Serioribus ætatibus ὁπλιτεύοντες fuere: Pausan. I. 23. idque jam ap. Hesiod. Sc. Herc. 25. Solet autem armorum usus emendari et perfici cum vita hominum artibus expolita. οὐ γὰρ ἔμιμνον ἐν σταδίῃ μάχῃ, οὐχ ὑπέμενον τὴν συστάδην μάχην. Sch. br. Scilicet μίμνειν absolute, *in statu manere*.—716. ἀλλ' ἄρα. *sed*, quod inermium et statariæ pugnæ imperitorum est, *sagittis* et *fundis* utentes *advenerant*. Nam ita πεποιθὼς dici, jam aliquoties monitum: statim ad B. 588.—719. Δή ῥα τόθ' οἱ μέν. "*Et tunc quidem*, juxta istam pugnandi consuetudinem. *Clarke*." Ceteri, præter Locros, σὺν ἔντεσι pugnabant, hastis et clipeis utentes, ὁπλῖται, Locri autem a tergo istorum constituti, jaculabantur.—721. οὐδ' ἔτι χάρμης Τρῶες ἐμιμνήσκοντο. *non amplius pugnare poterant, quippe arma expedire non licebat, ingruentibus sagittis*, sed scutis capita erant tegenda; ita ordinibus ruptis, et impetu represso tumultuabantur. συνεκλόνεον αὐτοὺς ὀϊστοί. Opportunum ad hanc rem voc. κλονεῖν et συγκλονεῖν.

723—753. ἔνθα κε. atque hic, hoc in rerum positu, cum utroque loco Trojani ab Achivis premerentur, Trojanis de receptu cogitandum fuisset non sine clade accepta: nisi—Polydamas prudenter monet Hectorem, arcessendos esse aliquot e fortissimis Trojanorum, ut globo facto Ajaces de loco pellant; quo facto deliberandum esse omnino, utrum in consilio, naves aggrediendi, persistant an recedant.

726. ἀμήχανός ἐσσι πιθέσθαι παραῤῥητοῖσι. pro ἀμήχανόν ἐστί σοι, πείθεσθαι τοῖς παραῤῥητοῖσιν. ut cedas monitis. τὰ παραῤῥητὰ, ἃ παραῤῥέει ἄλλος τις, παρηγορεῖ, παραινεῖ. aliis παραῤῥητοὶ λόγοι placent.—Respicit autem locum M. 216. ubi, ostento objecto, monet Polydamas: μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν. Iterat idem consilium inf. Σ. 253.—727, 8. οὕνεκα θεὸς δῶκέ τοι πέρι (περὶ ἄλλων) πολεμήϊα ἔργα, τούνεκα ἐθέλεις καὶ περὶ ἄλλων ἴδμεναι (ἐν) βουλῇ. quia deus tibi dedit præ aliis facultatem pugnandi, propterea etiam tibi arrogas, esse prudentiorem consilio. Dat deus πολεμήϊα ἔργα, πράγματα, pro facultate et arte pugnandi, virtute bellica, ut deus δῶκέ τινι in sqq. 731. ὀρχηστὺν, κίθαριν, ἀοιδὴν, facultatem et artem saltandi, canendique cithara et voce.

σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ.] Οὐ γὰρ ὑπέμενον τὴν συστάδην μάχην. 722. Συνεκλονέοντο.] Συνεταράσσοντο. 723. Λευγαλέως.] Ὀλεθρίως, ἀδόξως. 726. Παραῤῥητοῖσι.] Παραμυθητικοῖς, παραινετικοῖς. 728. Περιΐδμεναι.] Περισσῶς

ἀλλ' οὔπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι·
ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
ἄλλῳ δ' ὀρχηστὺν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν·
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλὸν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι·
καί τε πολεῖς ἐσάωσε, μάλιστα δὲ κ' αὐτὸς ἀνέγνω.
αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πάντη γάρ σε πέρι στέφανος πολέμοιο δέδηε·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἱ μὲν ἀφεστᾶσι σὺν τεύχεσιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους.
ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν·
ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν,
αἴ κ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες. ἦ γὰρ ἔγωγε
δείδω, μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ

Sic Demodoco θεὸς περὶ δῶκεν ἀοιδὴν τέρπειν, Od. Θ. 44.—729. δυνήσεαι αὐτὸς ἑλέσθαι. αὐτὸς, σὺ μόνος ἔχειν. consequi.—732. τίθει νόον ἐν στήθεσσι θεὸς, aut ἐνετίθει νόον στήθεσιν. est bona mens, prudentia; quod paullo ante erat, περὶ ἴδμεναι ἄλλων βουλῇ.—733. τοῦ δέ τε. seu τοῦ νοῦ ἐσθλοῦ, seu, τούτου ἀνδρὸς, ἐπαυρίσκονται πολλοὶ ἄνθρωποι. e qua prudentia multi utilitates (bonorum consiliorum) capiunt.—734. καί τε πόλεις ἐσάωσε. etiam totas civitates ille in statu continet, servat. σαοῖ οὗτος, cui νόον ἐσθλὸν δῶκε θεός. μάλιστα δὲ καὶ αὐτὸς ἀνέγνω, pro ἀναγινώσκει, γινώσκει, experitur, scil. τὸ ἐπαυρίσκεσθαι τοῦ νοῦ ἐσθλοῦ, h. e. ἐπαυρίσκει καὶ αὐτός. fructum prudentiæ habet præcipue ipse, agendo scilicet omnia prudenter. Sed totus versus, ut nec minus vs. 731. ἄλλῳ δ' ὀρχηστύν, serioris commatis habendi sunt.—736. πάντη γὰρ pro δή. στέφανος πολέμοιο, τῶν πολεμούντων, περιδέδηέ σε. h. ὁ πόλεμος, ἡ μάχη, οἱ μαχόμενοι. pugna fervet circa te, quatenus eum circumdat pugnantium turba; περιδαίει, περιστέφει, comparatione pugnæ cum flamma: ut sæpe M. 35. Υ. 18.—740. Non consilio habendo vocari fortissimos censendus est Polydamas velle; sed ad eum locum, ubi οἱ ἄϊστοι τῶν Ἀχαιῶν συνεκλόνεον αὐτοὺς, vs. 721, 722. convocare suadet fortissimos Trojanorum: scilicet ut conglobati impressionem faciant (ut fieri videbimus 795. sq.) et perrumpant hostium turmam. Sejungenda igitur sunt seqq. v. 741, ut sit: et tum videbimus quoque nos, quid porro agendum sit. πᾶσαν βουλὴν, totam rem, de qua deliberandum est, de rerum summa dispiciemus.—742. ἤ κεν—ἤ κεν ἔπειτα. Ordo sententiarum: αἴ κ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, si superiores facti fuerimus pugnando, εἰ ἢ ἐμπέσοιμεν κεν νήεσσι, ἢ ἔλθοιμέν κεν ἔπειτα παρὰ νηῶν ἀπήμονες, utrum adoriamur naves ipsas, an recedamus, dum adhuc sumus incolumes.—745. μὴ τὸ χθιζὸν χρεῖος ἀποστήσωνται. vereor ne rependant debitum heri contractum, h. e. cladem, quæ ipsis illata est, nobis, ut ipsi vicissim stragem nostratium faciant, atque ita nobis quasi persolvant,

εἰδέναι. 729. Ἅμα.] Νῦν, ἐπίῤῥημα χρόνου δηλωτικόν. 733. Ἐπαυρίσκονται.] Ἐπαπολαύουσιν. 734. Μάλιστα δέ κ' αὐτὸς ἀνέγνω.] Ἐξαιρέτως δὲ καὶ αὐτὸς ἐγνώρισε τὸ τῆς συνέσεως ἀγαθόν. 736. Πάντη γάρ σε πέρι στέφανος πολέμοιο δέδηε.] Πανταχόθεν γάρ σε περιεκυκλώσαντο οἱ πολέμιοι. 741. Ἐπιφρασσαίμεθα.] Ἐπινοήσαιμεν. 742. Πέσωμεν.] Ἐμπέσωμεν, εἰσέλθωμεν. 745. Μὴ τὸ χθιζὸν ἀποτίσωνται Ἀχαιοὶ Χρεῖος.] Μή πως τὴν χθεσινὴν ἧτταν

χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω.
Ὣς φάτο Πουλυδάμας· ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων·
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους·
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι, καὶ ἀντιόω πολέμοιο·
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω.
Ἦ ῥα, καὶ ὡρμήθη, ὄρεϊ νιφόεντι ἐοικὼς,
κεκληγὼς, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων.
οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
αὐτὰρ ὁ Δηΐφοβόν τε, βίην θ' Ἑλένοιο ἄνακτος,
Ἀσιάδην τ' Ἀδάμαντα, καὶ Ἄσιον Ὑρτάκου υἱὸν,

748. Ϝάδε. 750. Ϝέπεα. 754. νιφόεντι ϜεϜοικώς.
758. Ἑλένοιο Ϝάνακτος.

quod pro illa clade accepta debent. Est enim ab ἱστάναι, στῆσαι, *appendere* (Il. T. 247. X. 350. Ω. 232.) ἀποστῆσαι, ἀποστήσασθαι, quod ἀποσταθμᾶσθαι, σταθμῷ ἀποδοῦναι.

748, 9. Placuit bonum consilium Hectori et ἐξ ὀχέων ἆλτο. Ergo Hector currum se in castra sequi jusserat. Sic tamen quoque sup. 684. αὐτοί τε καὶ ἵπποι. Verum versus repetiti ex M. 80, 81.—752. εἶμι καὶ ἀντιόω. pro futuris: ego illic me conferam, et pugnantibus me immiscebo, illa aciei parte, qua fortissimos, ut eos huc convocem, reperero. κεῖσε, ἐπ' ἀριστερὰ, ut sup. 675. vidimus. ἀντιᾷν πολέμου, τῆς μάχης, τῶν μαχομένων.—753. ἐπὴν τοῖς εὖ ἐπιτείλω. ubi iis imperavero, ut huc conveniant. v. sup. ad 675.

754—787. Hector ad lævam castrorum partem progressus, ad eum locum, unde discesserat, convenire pugnantes jubet, ut conglobati impetum in Achivos faciant. Ubi autem videt magnam fortissimorum virorum stragem factam, Paridem acerbe increpat, mox eo comite adscito ad pristinum locum redit.

754. ὄρεϊ νιφόεντι ἐοικώς. "Similitudo hic desumta partim ex corporis proceritate "et robore, partim ex galeæ splendore et cristæ altitudine." Clarke. vereor, ne hoc sit auram captare. Equidem tantum de impetu ruentis et vasta corporis specie cogitabam. Ceterum præclare ad sensum lectoris vss. 754, 5. se habent: cum miratione Hectorem incedentem cernimus. Contra Virgilius nimium auxisse videtur phantasma Æn. XII. 701. Æneas: *Quantus Athos, aut quantus Eryx, aut ipse coruscis Quum fremit ilicibus, quantus, gaudetque nivali Vertice se attollens pater Apenninus ad auras.*—756. Audito Hectoris jussu ad eum locum confluunt, quo Polydamas, ut conjunctis viribus reprimerent Achivos, Trojanos dispersim pugnantes convocari jusserat. Adjungit se iis Paris. Quæ sequuntur, tantum episodii loco habenda sunt. Circumspicit Hector alios ex promachis, quos desiderat.—758. *Deiphobus* sup. 526—539. a Merione vulneratus, *Helenus* a Menelao, 581—600. *Adamas* cæsus ab Antilocho Nestoris f. 560—575. *Asius* ab Idomeneo 384. sq.—761. τοὺς δ' εὗρε, h. l. rescivit. οὐ πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους a contrarii negatione, ut sæpe:

ἀποδώσουσιν ἡμῖν οἱ Ἕλληνες, ὥσπερ σταθμῷ δεδανεικότες. Μηδέπω γὰρ νομισμάτων ὑπαρχόντων, σταθμῷ ἐδάνειζον οἱ ἀρχαῖοι χρυσίον καὶ ἀργύριον, καὶ τὰ παραπλήσια. 746. Χρεῖος.] Δάνειον. 747. Σχήσεσθαι.] Ἀποπαύσασθαι. 748. Ἅδε.] Ἤρεσκεν. 752. Ἀντιόω.] Ἀπαντήσω, μεταλήψομαι. 756. Ἀγαπήνορα.] Ἀγαπῶντα τὴν ἀνδρίαν. πολεμικόν. 761. Ἀπήμονας.]

φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι.
τοὺς δ᾽ εὗρ᾽ οὐκέτι πάμπαν ἀπήμονας, οὐδ᾽ ἀνολέθρους.
ἀλλ᾽ οἱ μὲν δὴ, νηυσὶν ἐπὶ πρύμνησιν Ἀχαιῶν,
χερσὶν ὑπ᾽ Ἀργείων κέατο ψυχὰς ὀλέσαντες·
οἱ δ᾽ ἐν τείχει ἔσαν βεβλημένοι, οὐτάμενοι τε.
τὸν δὲ τάχ᾽ εὗρε μάχης ἐπ᾽ ἀριστερὰ δακρυοέσσης
δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠϋκόμοιο,
θαρσύνονθ᾽ ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ,
ποῦ τοι Δηΐφοβός τε, βίη θ᾽ Ἑλένοιο ἄνακτος,
Ἀσιάδης τ᾽ Ἀδάμας, ἠδ᾽ Ἄσιος Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ᾽ ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
Ἕκτορ᾽ ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι·
ἄλλοτε δήποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω· ἐπεὶ οὐδ᾽ ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ.
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,

768. Ϝεπέεσσι. 769. Δύσπαρι, Ϝεῖδος. 770. Ἑλένοιο Ϝάνακτος. 773. Ϝίλιος. 774. προσέϜειπε—θεοϜειδής. 776. vulg. πτολέμοιο.

sic statim A. 330. οὐδ᾽ ἄρα τώγε ἰδὼν γήθησε. h. *comperit eos partim vulneratos esse, partim cæsos.*—764. ἐν τείχει. *intra castra:* non opponitur, sed est idem quod antea ἐπὶ νηυσίν.—765. μάχης ἐπ᾽ ἀριστερὰ pugnat Paris in extrema parte sinistri cornu: cf. Not. sup. 675.—769. Δύσπαρι. Totus versus jam lectus Γ. 39. Quod nos diceremus: Indigne homo, perdite, Paris, nonnisi forma insignis, ceterum mulierose et pudori feminarum insidians.—772. Othryoneus cæsus ab Idomeneo erat 363—κατ᾽ ἄκρης, eversa est *penitus*. Virgilio: ruit alto *a culmine Troja.* et apud pedestres: ἑλεῖν τὴν πόλιν κατ᾽ ἄκραν. Videtur ductum inde, quod ruina ædium ab altis partibus et tectis procedit.—773. νῦν τοι σῶς αἰπὺς ὄλεθρος, *grave,* magnum excidium Ilii nunc *certissimum* paratum est. σῶς, nunc τέλειος. σαφής.—775, 6. Objurgas me injuria; semper enim hac in aciei parte fortiter pugnavi. Est hic iterum usus ellipticus in ἐπεὶ, quandoquidem me immerito incusas, *dicam quod res est;* de quo sæpe dictum, ut Γ. 56. sup. vs. 68.—ἐρωῆσαι. accurate debebat esse ἐρωηκέναι. *Alio tempore forte magis potui videri a pugna me subduxisse;* scil. *non vero nunc.* h. e. si forte alias.—non tamen nunc. *quandoquidem natura virtutem mihi non denegavit.* Nostro more sententia sic effertur: *Nunquam tam fortiter pugnavi sine intermissione quam nunc; neque ceteroqui imbellis homo sum.*—778. ἐξ οὗ γὰρ—vel omnino, ex

Ἀβλαβεῖς, ἀσινεῖς. Τοὺς δ᾽ εὗρ᾽ οὐκέτι πάμπαν ἀπήμονας, οὐδ᾽ ἀνολέθρους.] Συλληπτικῶς πέφρακεν, ἀντὶ τοῦ· τοὺς μὲν οὐκ ἀπήμονας, τοὺς τετρωμένους· τοὺς δὲ οὐκ ἀνωλέθρους, τοὺς ἀνῃρημένους. 764. Βεβλημένοι, οὐτάμενοί τε.] Ἀντὶ τοῦ· οἱ μὲν ἀπὸ μήκους βεβλημένοι δόρατι ἢ ἰῷ· οἱ δὲ ἐκ τοῦ ἐγγὺς τετρωμένοι ξίφει, ἤ τινι τοιούτῳ. 767. Θαρσύνοντα.] Παρορμῶντα. 773. Νῦν τοι σῶς ὄλεθρος.] Νῦν οὐδὲν ἐλλείπει σοι πρὸς ἀπώλειαν. 776. Ἄλλοτε.] Ἐν ἄλλῳ καιρῷ. Ἐρωῆσαι πτολέμοιο Μέλλω.] Ἔοικα ἠμεληκέναι τοῦ πολέμου. 777. Ἀνάλκι-

ἐκ τοῦδ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσι
νωλεμέως. ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς.
οἴω Δηΐφοβός τε, βίη θ' Ἑλένοιο ἄνακτος,
οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν,
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
νῦν δ' ἄρχ', ὅππῃ σε κραδίη θυμός τε κελεύει·
ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τι φημὶ
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι·
πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν.
Ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως.
βὰν δ' ἴμεν, ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν
ἀμφί τε Κεβριόνην, καὶ ἀμύμονα Πουλυδάμαντα,
Φάλκην, Ὀρθαῖόν τε, καὶ ἀντίθεον Πολυφήτην,
Πάλμυν τ', Ἀσκάνιόν τε, Μόρυν θ' υἷ' Ἱπποτίωνος·
οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
οἱ δ' ἴσαν, ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,

781. Ἑλένοιο Ϝάνακτος. 787. vulg. πτολεμίζειν. 788. Ϝειπών. 791. vulg. Πολυφοίτην.

quo pugna in castris Achivorum fit; vel ex quo tu hac aciei parte ad naves pugnam facis; παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων.—780, 1. vide ad 770. et κατὰ χεῖρα, 594. 529.—786. οὐδέ τι φημὶ—(ἡμᾶς) δευήσεσθαι ἀλκῆς. *exeremus virtutem pro viribus nostris.*—787. καὶ ἐσσύμενον, h. καίπερ προθυμούμενον.

788—809. Postquam omnes undique principes ad Polydamantem confluxerant, Trojanos consertis ordinibus Hector antecedens adversus Achivos ducit, et ut libro sequ. videbimus, de loco cedere cogit.

790. *Cebrionem* jam vidimus aliquoties, Hectoris fratrem Θ. 318. et aurigam ibid. et Λ. 522. Π. 727. cæsum a Patroclo, Π. 738. Reliqui obscuri. Phalces et Morys cæsi inf. Ξ. 513, 514. Venerant ex Ascania, Mysiæ, circa Nicæam, quæ postea fuit.—793. ἀμοιβοὶ, ἐκ διαδοχῆς. Notabile hoc, quod tam bene instituta jam tum res militaris fuit, ut ex sociorum terris missi alii in fessorum locum succederent.

795—801. Splendida, etiam verbis et grandisona oratione, comparatio ingruentis turmæ cum turbine ventorum. Laudata propter τὸ ἐναργὲς etiam veteribus, inprimis in hoc quod τὰ ἄψυχα facit κινούμενα καὶ ζῶντα. Aristot. Rhet. III. 11. cf. Eustath.—Est autem comparatio duplex: exorsus poeta a vehementi impetu, subjungit

δα.] Ἀσθενῆ. 782. Τετυμμένω.] Τετρωμένω ἐκ χειρός. 793. Ἀσκανίης.] Ἀσκανία, πόλις Φρυγίας. Ἀμοιβοί.] Ἤτοι, ἐξ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσὶν, ἀντὶ τοῦ τῶν πρότερον συνεργούντων αὐτοῖς πολιτῶν. Διὰ γὰρ τὸ ἐπὶ δέκα ἔτη τὸν πόλεμον ἀνύεσθαι, οἱ πρῶτοι κεκμηκότες κατὰ μάχην, ἰσαρίθμων αὐτοῖς ἄλλων ἀποστελλομένων, ἀπεπέμποντο, ὡς εἰκὸς, ἐξ ἀμοιβῆς ἀμύνοντες. Ἢ, οἱ ἀμοιβὴν ἀποδιδόντες τῷ Πριάμῳ. Διὰ τὸ καὶ αὐτὸν συμμαχῆσαι Φρυξὶν, ἐπιφέρει, ἠοῖ τῇ προτέρῃ. Λέγει γὰρ ἐν τῷ καταλόγῳ· Φόρκυς αὖ Φρύγας ἦγε, καὶ Ἀσκάνιος θεοειδής. Ἢ, ἀμοιβοὶ, πεζοί. Διὰ γὰρ τῆς ἀμοιβῆς τῶν ποδῶν γίγνεται τῶν πεζῶν ἔφοδος. 794. Ἠοῖ τῇ προτέρῃ.] Τῇ χθὲς ἡμέρᾳ. 796. Ὑπὸ βροντῆς.] Ἀντὶ τοῦ, μετὰ βροντῆς. Πέδονδε.] Εἰς

θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,
κυρτὰ, φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·
ὡς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι,
χαλκῷ μαρμαίροντες, ἅμ' ἡγεμόνεσσιν ἕποντο·
Ἕκτωρ δ' ἡγεῖτο, βροτολοιγῷ ἶσος Ἄρηϊ,
Πριαμίδης· πρὸ ἕθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐΐσην,
ῥινοῖσι πυκινήν· πολλὸς δ' ἐπελήλατο χαλκός·
ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.
πάντη δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων,
εἴ πώς οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι.
ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάσθων·
Δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι αὔτως
Ἀργείους; οὔτοι τι μάχης ἀδαήμονές εἰμεν,
ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
νῆας· ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.

802. Ϝῖσος. 803. πρό Ϝέθεν—ἐϜίσην. 805. δέ Ϝοι.
807. Ϝοῖ. 810. al. οὔτως. 813. ἐϜέλπεται.

800. crebritatem ordinum ut fluctuum.—797. ἐν δέ τε, pro ἐν ἁλὶ δέ. sc. γίνονται, vel ὀρίνονται, ex voce μίσγεται. nisi hoc ipsum repetere malis.—798. παφλάζοντα. ἐν τῷ ἀναφλύειν, ἀναζεῖν, ἠχοῦντα.—799. φαληριόωντα. *candentes spuma fluctus.* a φάος φάω. φαληρὸς quod λαμπρός.—800. Trojani instructi turmatim incedebant; nam ordines aliis locis iis fuisse negantur. Mox attende de Hectore dicta, idonea ad viri speciem oculis animoque objiciendam: figitur legentis mens in clipeo, in galea, in incessu.—806, 807. ἐπειρᾶτο, πάντη ἀμφὶ φάλαγγας Achivorum, προποδίζων, εἴ πως. Similis locus sup. 157. πρόσθεν δ' ἔχεν ἀσπίδα,—κοῦφα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων.—808. non tamen *metum incussit* Achivis, ut ordines relinquerent: unde mox Hectorem frustra δειδίσσεσθαι Achivos dicit Ajax.

809—823. Ajax provocat Hectorem ad pugnandum propius accedendo, et minatur fugam; firmantur dicta ostento.

812. Διὸς μάστιγι κακῇ ἐδάμημεν. Phantasma hoc, paullo insolentius, *Jovis flagello homines insequentis* et ad exitium adigentis vidimus jam M. 37.—814. ἄφαρ δέ τε χ.

τὸ ἔδαφος. 797. Θεσπεσίῳ ὁμάδῳ.] Θείῳ θορύβῳ. Ἁλί.] Τῇ θαλάσσῃ. 798. Παφλάζοντα.] Ἠχοῦντα, ἀναζέοντα. Ὀνοματοποιΐα, ὁ τρόπος. 799. Κυρτά.] Ὑψηλά. Φαληριόωντα.] Λευκανίζοντα. τουτέστι, λευκαινόμενα ὑπὸ ἀφροῦ. Πρὸ μέν τ' ἄλλα, αὐτὰρ ἐπ' ἄλλα.] Ἄλλα πρὸ ἄλλων. τουτέστιν, ἐπάλληλα, πυκνά. 804. Ἐπελήλατο.] Ἐπικατεσκεύαστο. 805. Ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.] Περὶ δὲ τοῖς κροτάφοις αὐτοῦ ἐσείετο ἡ περικεφαλαία σφοδρῶς ἐνεργοῦντος. 808. Οὐ σύγχει.] Οὐκ ἐθορύβει, οὐκ ἐτάραττε. 809. Βιβάσθων.] Διαβάς. 810. Δειδίσσεαι.] Εἰς δέος ἄγεις, ἐκφοβεῖς. 811. Ἀδαήμονες.] Ἀμαθεῖς. 812. Διὸς μάστιγι.] Τῇ Διὸς πληγῇ, τῷ κεραυνῷ. 813. Ἦ θήν.] Ὄντως δή. Ἐξαλαπάξειν.] Κενώσειν, πορθήσειν.

ἤ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμὴ
χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε, περθομένη τε.
σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήσῃ Διῒ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι,
θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους,
οἵ σε πόλινδ' οἴσουσι, κονίοντες πεδίοιο.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
αἰετὸς ὑψιπέτης· ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν,
θάρσυνος οἰωνῷ. ὁ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ·
Αἶαν ἁμαρτοεπὲς, βουγάϊε, ποῖον ἔειπες;
αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ', ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων·
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
πᾶσι μάλ'. ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴκε ταλάσσῃς
μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειριόεντα
δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.

816. ἡμετέρῃσι ϝαλοῦσά. 821. Ὣς ἄρα ϝοι ϝειπόντι ἐπέπτατο v. Obss. 822. ἐπιϝίϝαχε. 824. ἁμαρτοϝεπὲς—ἔϝειπες. 826. πότνια ϝήρη.

at illico intelliges et nobis esse manus. nam ἄφαρ est παραχρῆμα. παραυτίκα.—815. πολὺ πρότερον ἁλώσεται, urbs vestra, quam nostra castra et navale.—817. σχεδὸν ἔμμεναι *tibi instare hoc*, h. tempus haud longe abfore, *quo fugam circumspicias.* Eventum habuere minæ cum Achilles de vallo se conspiciendum dedisset infr. Σ. 222. sq. —821. Hoc augurii seu ominis et ostenti genere aliquoties usus est poeta: ut sup. Θ. 248. sq. Μ. 200. Od. Ο. 160. 524. Υ. 242.

823—ad f. Hector Ajaci certam mortem denuntiat, et ducit turmas adversus Achivos; quos repressos ab Hectore libri sequ. princ. videbimus, vs. 13. sq.

824. ἁμαρτοεπὲς, *qui stolide loqueris:* graviore notatu, quam quod Γ. 215. ἀφαμαρτοεπής. et Od. Λ. 510. καὶ οὐχ ἡμάρτανε μύθων. βουγάϊε. *stolide se jactans, ferociens.* ὁ γαίων, ὁ γαυριῶν μεγάλως. Veteres tamen variis modis interpretantur. Iterum de Iro Od. Σ. 78.—825. αἲ γὰρ ἐγὼ οὕτω γε Διὸς πάϊς.—Memorabilis formula asseverandi: *utinam tam certo essem immortalis,* (ut sup. 54. Hector se *immortalem* jactat Διὸς παῖδα) *quam certo hoc futurum est.* Similia jam vidimus sup. Θ. 538. Αἲ γὰρ ἐγὼν ὣς Εἴην ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα, Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων, Ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν. Quod ibi est ἀθάνατος καὶ ἀγήραος, hoc loco est *filius Jovis et Junonis,* ἤματα πάντα spectant ad *immortalitatem,* et præcipuum inter deos locum declarat memoratio *Apollinis et Minervæ.*—830. χρόα λειριόεντα *molle corpus.* sive ad sarcasmum trahas, sive ut simpliciter ornet, ex natura omnis carnis et mollium partium. Sup. Γ. 152. erat ὄψ λειριόεσσα. ἡδεῖα· ἀπὸ τοῦ, λεί-

815. Φθαίη.] Φθάσει. 819. Ἰρήκων.] Ἱεράκων. Ἔστι δὲ εἶδος ἀετῶν. 820. Κονίοντες.] Κονιορτὸν ἐγείροντες. 821. Δεξιός.] Αἴσιος, ἀγαθός. 823. Θάρσυνος.] Τεθαῤῥηκώς. 824. Ἁμαρτοεπές.] Ἁμαρτάνων τοῦ σκοποῦ τῶν λόγων. Βουγάϊε.] Μεγάλως ἐπὶ σαυτῷ ἀγλαϊζόμενε καὶ γαυριῶν. Ἢ, βουεργέτα. 829. Πεφήσεαι.] Ἀναιρεθήσῃ, φονευθήσῃ. Ταλάσσῃς.] Τλῇς, ὑπομείνῃς. 830. Λει-

Ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ᾽ ἅμ᾽ ἕποντο
ἠχῇ θεσπεσίῃ, ἐπὶ δ᾽ ἴαχε λαὸς ὄπισθεν.
Ἀργεῖοι δ᾽ ἑτέρωθεν ἐπίαχον, οὐδὲ λάθοντο
ἀλκῆς, ἀλλ᾽ ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
ἠχὴ δ᾽ ἀμφοτέρων ἵκετ᾽ αἰθέρα καὶ Διὸς αὐγάς.

834. Ϝηχῇ—ἐπιϜίϜαχε. 835. ἐϜίϜαχον. vulg. οὐδ᾽ ἐλάθοντο.
837. Ϝηχή.

ριον, ἄνθος. proprie, τὸ εὐανθές. τρυφερόν. ἁπαλόν.—833. τοὶ δὲ, qui circa Hectorem convenerant 788. sq.—837. Διὸς αὐγάς. ex antiquo sermone pro *æthere*, qui per Δία declarari solebat; adeoque esset ἐς Δία αἰγλήεντα, αὐγήεντα, pro quo Διὸς αὐγή. alibi ἡλίου αὐγαί. Θ. 480 et al.

ριόεντα.] Εὐανθῆ, τρυφερὸν, ἢ λιπαρόν. Διὸς αὐγάς.] Τὰς Διὸς ἀπολάμψεις.
831. Δάψει.] Διακόψει, τρώσει. 837.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Ξ.

ARGUMENTUM.

REDIT poeta ad Nestorem, qui Machaonem vulneratum in tentorium suum abduxerat; (Λ. 596. sq.) Audito pugnæ tumultu ingravescente prodit Nestor armatus—26. Incidit in Agamemnonem, Diomedem et Ulyssem, qui et ipsi, solliciti de pugna inclinata, processerant. Edoctus a Nestore Agamemnon, res ad summum discrimen esse adductas, adeo animo concidit, ut discessum navibus parare cogitet—82. Objurgatus graviter ab Ulysse,—102. paret Diomedis consilio, ut ipsi in aciem prodeant, si non pugnaturi, confirmaturi tamen pugnantes—134. Erigit animum labantem Neptunus specie senis assumta—152. Juno prospiciens Jovem in Ida sedentem, ut ejus animum e pugna avertat, quo facto in Achivorum gratiam aliquid, quo ipsis subveniatur, parari possit, consilium capit deliniendi eum blanditiis et somno consopiendi. Lota, uncta et ornata,—186. cesto a Venere impetrato,—223. et Somno comite adsumto—279. ubi ad Idam pervenerat, Jovis animum amore sui et cupiditate inflammat, amplexuque sui lassatum somno opprimit—353. Nuntiata re per Somnum, Neptunus suadet principibus Achivorum, ut vulnerati sua arma, utpote meliora induant aliis integro robore valentibus, et ipse eos ducit adversus hostem—387. Recrudescit pugna; congressu facto vulneratus ab Ajace Hector absportatur ex pugna; depositus humi ad ripam Scamandri delinquit animo.—439. Hectore digresso Achivi erecti summis viribus pugnant; Ajax Oilei necat Satnium; ad corpus tuendum advolans Polydamas hasta trajicit Prothoenorem, Bœotum 451. Gloriantem Polydamantem hasta petit Ajax Telamonis, quæ Archilochum Antenoris f. ferit—475. Acamas Promachum Bœotium—485. Peneleus Ilioneum—506. Tandem fit fuga Trojanorum extra castra et vallum.

Deorum interventus nullus, nisi quod Neptunus senis specie assumta Agamemnonis animum erigit 135. sq. Juno autem ad visendum et consopiendum Jovem in Idam descendit, in quo ille inde a Λ. 181. sq. sedebat; episodium notissimum et suavissimum; 153—352. Inde Rhapsodia olim inscripta esse legitur: *Διὸς ἀπάτη.*

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ξ. ῾ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

᾿ΑΓΑΜΕΜΝΩΝ *συλλαβὼν τοὺς τραυματίας καὶ Νέστορα σὺν αὐτοῖς, ἔξεισιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης κατέρχεται, καὶ τὸν Ὕπνον πείσασα, κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ, καὶ πολὺς φόνος γίνεται τῶν Τρώων. Αἴας δὲ λίθῳ βαλὼν Ἕκτορα πλήσσει· ὁ δὲ ἀναγαγὼν αἷμα λειποψυχεῖ. Ἀριστεύει δὲ καὶ Αἴας ὁ Λοκρός.*

Ξῖ, Κρονίδην λεχέεσσι καὶ ὕπνῳ ἤπαφεν Ἥρη.

ΝΕΣΤΟΡΑ δ' οὐκ ἔλαθεν ἰαχὴ, πίνοντά περ, ἔμπης·
ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
Φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰσόκε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
θερμήνῃ, καὶ λούσῃ ἀπὸ βρότον αἱματόεντα·
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.
Ὣς εἰπὼν, σάκος εἷλε τετυγμένον υἷος ἑοῖο,

1. ἔλαθε ϜιϜαχή. 2. Ϝέπεα. 3. τάδε Ϝέργα. 5. αἴθοπα Ϝοῖνον. 6. f. λόετρ' ἠϋπλόκαμος. Ϝεκαμήδη. 7. ἀπὸ alii. 8. τάχα Ϝείσομαι. 9. Ϝειπὼν et υἷος ἑϜοῖο. al. ἑῆος.

1—26. Nestor audito pugnæ tumultu prospiciens Achivos in summo discrimine versari videt; ambigensque utrum ad pugnantes an ad Agamemnonem se conferat, tandem ad hunc procedit, qui et ipse vulneratus a Coone in tentorium se receperat. Λ. 273—283. Machaonem vulneratum Nestor curru suo in tentorium reduxerat Λ. 510. 596. Potu ab Hecamede parato recreaverant se ambo; Λ. 623. sqq. Intercedebat inde longa Nestoris narratio et cum Patroclo ab Achille misso confabulatio Λ. 641—803. Tum Patroclus in reditu Eurypylum vulneratum in tentorium ducebat et vulnus levabat, Λ. 803. sqq. interea expugnatum erat a Trojanis vallum, libro XII. (M.) Prodit Idomeneus in pugnam et fiunt tot cædes per lib. XIII. (N.) et ecce nunc sequuntur verba Nestoris ad Machaonem: ἀλλὰ σὺ μὲν νῦν πῖνε—εἰσόκε θερμὰ λοετρὰ Ἑκαμήδη θερμήνῃ. Ita necesse est aut Hecamedem nimium temporis aqua calefacienda insumsisse, aut in tam exiguo temporis intervallo nimis multa evenisse. Satis quoque productam compotationem per tantum temporis dixeris: ut hic saltem sagacitatem in consarcinandis rhapsodiis desideres. Ne tamen prorsus inique talis censura fiat, dici potest: refecisse vires per hoc temporis intervallum heroes. At aquam calefacere non principio statim, sed nunc demum viribus Machaonis refectis, jussisse videri debere Nestorem.

1. Nihil amplius poeta declarare voluit, quam simpliciter Nestorem Machaoni assidentem exaudiisse strepitum pugnantium propius admotum. Deduxerat, ut modo dictum, Idomenei hortatu, Machaonem vulneratum in tentorium suum, et ut vires ille reciperet, potionem apposuerat. 8. τάχα εἴσομαι, γνώσομαι, ἐλθὼν ἐς περιωπήν. locum in castris editiorem ἐξ οὗ περιόψομαι πάντα.

1. Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ, πίνοντά περ, ἔμπης.] Σφόδρα συνετὸς εἰσάγεται ὁ Νέστωρ, μὴ νικώμενος ὑπὸ μέθης τὸν λογισμόν. Ἔλαθε.] Σημαίνει καὶ τὸ, ἐκ προαιρέσεως μαθόντα παραπέμψασθαι. ὡς τό· Καὶ τότ' ἐγὼ Κίρκης λαθόμην. Ἰαχή.] Ἠχὴ, κραυγή. Ἔμπης.] Ὅμως. Σημαίνει δὲ καὶ τὸ ὁμοίως. Ἐζήτηται δὲ, πῶς ὁ Νέστωρ ἐπὶ τοσοῦτον πίνει χρόνον, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων τῆς Λάμβδα. Καὶ ῥητέον, ὅτι οὐ τοσοῦτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηρος, κατὰ παρέκτασιν ἀπαγγείλας τὰς πράξεις, βουληθείς τε ἐπὶ τὸν Νέστορα ἐπανελθεῖν, ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο, ἥνπερ αὐτὸν κατέλιπε ποιοῦντα. 3. Ὅπως ἔσται.] Ἀντὶ τοῦ, ὅπως γενήσεται. Τὸ ἔσται διαφέρει τοῦ γενήσεται. Τὸ μὲν γὰρ ἐπὶ τοῦ ὑπάρχοντος. ὡς· Ἔσται γέρων ὅδε. Τὸ δὲ ἐπὶ τοῦ μὴ ὄντος· Γενήσεται παῖς. 5. Αἴθοπα οἶνον.] Νῦν ἐρυθρόν. 7. Λούσῃ ἀπὸ βρότον.] Ἀπολούσῃ τὸν μολυσμὸν τοῦ ἀνθρωπείου αἵματος. Αἱματόεντα.] Ἡιματωμένον. 8. Τάχα.] Ταχέως. Εἴσομαι.] Γνώσομαι, ἢ φανήσομαι. Περιωπήν.] Τόπον

κείμενον ἐν κλισίῃ, Θρασυμήδεος ἱπποδάμοιο,
χαλκῷ παμφαῖνον· ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ·
στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικὲς,
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθε,
Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ,
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωσε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον·

11. πατρὸς ἑϝοῖο. 13. ἔσϝιδε ϝέργον ἀϝεικές.

10. In armorum firmitate magnam fiduciam habuisse heroes, unde etiam sæpe laus et honos et dignitas iis petitur, intelligitur quoque ex hoc, quod arma alii ab aliis mutuantur aut permutant, ut inf. 381. σάκος τετυγμένον. εὔτυκτον.

15. τεῖχος ἤριπτο scilicet, cum decederet pugna Nestor Λ. 516, vallum nondum expugnatum erat. Serius enim irrupere Trojani post ejus discessum: M. extr.

16. Versatur comparatio in incerta et fluctuante deliberatione Nestoris. Faciem maris in primo motu diserte descripsit poeta; et ex eo alii; inter eos Catull. Epith. 270 sq. ubi etiam 276 *purpureæ undæ* illustratæ sunt a viris doctis, qui carmen illud tractarunt. Hoc est quod Virgil. Ge. III. 241. *nigramque alte subjectat arenam* unda. πορφύρειν redditur μελαίνεσθαι, de mari turbato, proprie a φύρειν ductum videtur, ταράττεσθαι, misceri. *se miscent maria*, dixit Maro Æn. IX. 714. κύματι κωφῷ, ἀφώνῳ. ex vulgari usu. opp. τὸ ἠχῆεν. Nam κωφὸς et *surdus*, ut sæpe notatum est, non modo est, *qui non audit*, sed et, *qui non auditur*. Traductum ab auditu vocabulum ad omnem sensum, ut sit quoque, *sine sensu*: de quo v. Λ. 390:—ὀσσόμενον, *significans* tempestatem ingruentem hominibus. ἀνέμων κέλευθα antiquo sermone, *ventos venientes*, et simpliciter ventos ut sæpe κέλευθα, ὁδοὶ, etiam Apollonio et Tragicis, jamque Pindaro, meræ periphrasi inserviunt. Ceterum quæri potest, an deliberatio Nestoris, *hucne ac illuc eat*, sit res satis gravis et digna comparatione cum mari per ingruentem tempestatem moto.

ὑψηλὸν, ἐξ οὗ περιωπίσασθαι καὶ περιβλέψαι ἐστὶ πάντα. 11. Ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.] Πιθανῶς ὁ νέος εἰσῆκται, κεχρημένος τῇ χρυσῇ ἀσπίδι. Προείρηκε γὰρ περὶ αὐτῆς ὁ Ποιητής· Ἀλλ' ἐφομαρτεῖτον, καὶ σπεύδετον, αἴκε λάβωμεν Ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἥκει, Πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε, καὶ αὐτήν. 12. Ἀκαχμένον.] Ἐστομωμένον, ὠξυμμένον. 13. Ἀεικές.] Ἀπεοικὸς, ἀπρεπές. 14. Ὀρινομένους.] Ταρασσομένους. Κλονέοντας.] Ταράσσοντας. 15. Ἐρέριπτο.] Κατεβέβλητο, κατήριπτο. Ἔστι δὲ ῥῆμα ἐρίπτω, ὃ σημαίνει τὸ πίπτω· Ἤριπε δ' ὡς ὅτε τὶς δρῦς, ἢ ἀχερωΐς. Σημαίνει δὲ καὶ τὸ, καταβάλλω, οὗ γίγνεται παθητικὸν, ἐρίπτομαι, ἀντὶ τοῦ καταβάλλομαι. καὶ, ἤριμμαι, παθητικὸς παρακείμενος. καὶ, ἠρίμμην, ὑπερσυντελικός. ἤριπτο· καὶ, Ἀττικὸς ἀναδιπλασιασμὸς, ἐρήριπτο· καὶ, κατὰ συστολὴν ἐρέριπτο. 16. Πορφύρῃ.] Μελαίνει, ταράσσει. Κύματι κωφῷ.] Τῷ δίχα ἀνέμου ἐπαιρομένῳ. τῷ ἀψόφῳ, καὶ μηδένα ἦχον ἀποτελοῦντι. μηδέπω γὰρ ἀνέμου εὐκρινοῦς ὄντος, τὸ κῦμα ἠρεμεῖ. 17. Ὀσσόμενον.] Ἤτοι, προσδεχόμενον, ἢ προσημαῖνον. Λιγέων.] Σφοδρῶς πνεόντων, ὀξέων. Λαιψηρά.] Ταχέα. Κέλευθα.] Τὰς θαλασσίους ὁρμάς. 18. Αὔτως.] Νῦν, ἀπράκτως. Προκυλίνδεται.] Προσωτέρω κυλίεται. Οὐδ' ἑτέρωσε.] Οὐδ' ὄπισθεν. Ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ, κυλίνδεται. ὅ ἐστιν, οὐδ' ὄπισθεν ἀνακάμπτει, τὸ κῦμα. 19. Κεκριμένον.] Ἀφωρισμένον. ἢ στερεὸν καὶ σφοδρόν. Ἐκ Διός.] Ἀντὶ τοῦ, ἐκ τῶν νεφελῶν. Οὔ-

ὡς ὁ γέρων ὥρμαινε, δαϊζόμενος κατὰ θυμὸν
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
ἦε μετ' Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ' Ἀτρεΐδην. οἱ δ' ἀλλήλους ἐνάριζον,
μαρνάμενοι· λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς,
νυσσομένων ξίφεσί τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
Νέστορι δὲ ξύμβληντο Διοτρεφέες βασιλῆες
πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ,
Τυδεΐδης, Ὀδυσεύς τε, καὶ Ἀτρεΐδης Ἀγαμέμνων.
πολλὸν γὰρ ἀπάνευθε μάχης εἰρύατο νῆες
θῖν' ἐφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε
εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.

23. δέ Ϝοι. 30. f. εἰρύατο νῆας. v. Obss. 32. Ϝείρυσαν.

27—134. Nestor, ad Agamemnonis tentorium processurus, in Diomedem, Ulyssem et ipsum Agamemnonem incidit, e tentoriis suis progressos, audito pugnæ se appropinquantis tumultu; Agamemnoni, de rerum summa tantum non desperanti, consultandum esse respondet, quid consilii in tanto discrimine sit capiendum.—63. Agamemnonem, consentem naves in mare esse deducendas et noctu discessum parandum (—81) Ulysses graviter increpat, (—102) cumque Agamemnon meliora consilia in medium proferre juberet: Diomedes animose suadet, ut ipsi in aciem procedant, una omnes, ad confirmandos pugnantium animos, ipsi, utpote vulnerati, a pugna abstineant. Parent omnes (—134).

27—41. Nestori in via Diomedes, Ulysses et Agamemnon obvii facti mirantur senis occursum. Non sine ingenii et artis laude hæc a poeta attemperata sunt.—29. Diomedes vulneratus a Paride, A. 369—400. Ulysses a Soco A. 434. sq. 488. Agamemnon a Coone 273. sq.—30 sqq. Locus ad topographiam castrorum primarius: si modo eum a prima poetæ manu profectum esse constaret! Quantum assequi licet, littus ea parte, qua Achivi escensu facto tendebant, erat sinuosum, (quod Od. X. 385. κοῖλος αἰγιαλὸς) ita ut et obliqua in curvum esset statio, et naves non una serie applicari littori possent. Erant itaque naves ordinibus pluribus, saltem binis, aliæ ante alias, in littus deductæ; eoque aliæ altius in terram evectæ, propiusque versus vallum; aliæ in ipsa littoris ora hærentes: quæ primæ erant deducendæ, quando discessus erat parandus.—30. πολλὸν γὰρ ἀπάνευθε μάχης. necesse est, *magnum inde a vallo ad naves*, et ad oram maris, fuisse *intervallum*. Itaque, quod sequitur, 32. τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν, non debet urgeri, quasi *haud multum ante naves* vallum factum fuerit; ut neque hoc, quod paullo post 65. νηυσὶν ἐπὶ πρύμνῃσι μάχονται. Sic jam N. 107. Trojani ἕκαθε πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται. πρώτας autem puta esse naves, *quæ primæ*, priores ceteris, *appulerant*; eas πεδίονδε, *longius a mari*, (εἰς πεδίον τὸ Τρωϊκὸν, inter Simoentem et Scamandrum,) constituerant; vallum nuper eductum factum erat ἐπὶ πρύμνῃσιν, quod de *puppibus* earundem navium est intelligendum: nam naves *proris ad mare versis* stabant, adeoque puppibus versus vallum spectabant. Contra inverse inf. 75. πρῶται sunt quæ ad mare stant proximæ, quibusque primo vela sunt solvenda in discessu. Plures, ut dixi, navium erant ordines;

ρον.] Τὸν ὁρμῆς αἴτιον. 20. Ὥρμαινε.] Διενοεῖτο. Δαϊζόμενος κατὰ θυμὸν.] Διχῆ μεριζόμενος τῷ σκέμματι τὸν λογισμόν. τουτέστιν, ἐπὶ πολλὰ τὸν λογισμὸν μεταφέρων καὶ διασκοπούμενος. 21. Ἴοι.] Πορεύοιτο. 23. Δοάσσατο.] Ἔδοξε. Κέρδιον.] Κρεῖσσον, ὠφελιμώτερον. 25. Λάκεν.] Ἤχει, ἐψόφει. Ἀτειρής.] Ἄτρωτος, οὐ τειρόμενος ὑπὸ Ἄρεος. 27. Ξύμβληντο.] Συνέτυχον. 28. Πὰρ νηῶν.] Ἀντὶ τοῦ, ἀπὸ τῶν νηῶν. Βεβλήατο.] Βεβλημένοι ἦσαν. 30.

οὐδὲ γὰρ οὐδ', εὐρύς περ ἐὼν, ἐδυνήσατο πάσας
αἰγιαλὸς νῆας χαδέειν· στείνοντο δὲ λαοί.
τῷ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἁπάσης
ἠϊόνος στόμα μακρὸν, ὅσον συνεέργαθον ἄκραι.
τῷ ῥ' οἵγ', ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο,
ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι· ἄχνυτο δέ σφι
θυμὸς ἐνὶ στήθεσσιν. ὁ δὲ ξύμβλητο γεραιὸς
Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
τίπτε, λιπὼν πόλεμον φθισήνορα, δεῦρ' ἀφικάνεις;
δείδω, μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,
ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥσπερ Ἀχιλλεὺς,
οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσι.

35. Fέρυσαν. 36. συνεFέργαθον. 44. Fέπος. 46. προτὶ Fίλιον.

an duo, quod in utramque partem veteres asserunt, non dicam; in medio utique ordinum fuere tentoria, apparatus curruum et equorum, tum forum, viæ.—33. οὐδὲ γὰρ οὐδ' rationem reddit non ultimorum verborum: τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν, sed antecedentium: τὰς πρώτας πεδίονδε εἴρυσαν.—35. προκρόσσας, simpl. ordinibus, dum aliæ ante alias collocatæ essent. Volunt, esse κλιμακηδὸν, scalæ more; quod admitti potest, modo non adscensum cogites in altum. πρόκροσσαι tamen significare dixerim ea, quæ alia ante alia sunt, omnino: ductum a pinnaculis murorum, κρόσσαι, quæ prominent. Nec Herodot. VII. 188. aliter.—36. ἠϊόνος στόμα, *ora*, pro ipso littore. ἄκραι, Rhœteum ab aquilone, et Sigeum ab austro; ut saltem seu fama seu opinione traditum creditur.—37. τῷ ῥ' οἵγ' ὁ. redit ad v. 30. cum itaque naves tam longe abessent a pugna etc.—40. πτῆξε θυμὸν *percussit* animum heroum accursu suo, admiratione et sollicitudine de caussa. Sed versus per se est inutilis.

42—51. Agamemnonis de iniqua sua fortuna querelæ.—45. ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων. Superiore die. sup. Θ. 182. unde Agamemnon hoc rescivisset, poetæ non erat curandum. ἔπος dictum pro *minis*.—49, 50. bene adjecta, ut pœnitere regem injuriæ Achilli factæ constaret.

Πολλόν.] Πολύ. 34. Χαδέειν.] Χωρῆσαι. Στείνοντο.] Ἐστενοχωροῦντο διὰ τὸ πλῆθος. 35. Προκρόσσας εἴρυσσαν.] Ἄλλην πρὸ ἄλλης παραλλήλως ἀνείλκυσαν κλιμακηδὸν, καὶ ἀνθυπέταξαν αὐτὰς ἀλλήλαις. Κρόσσαι γὰρ καλοῦνται αἱ τειχομάχοι κλίμακες. Πλῆσαν.] Ἐπλήρωσαν, ἐγέμισαν. 36. Ἠϊόνος στόμα.] Τὴν ἀρχὴν, τὴν εἰσβολὴν τοῦ αἰγιαλοῦ. Ὅσον συνεέργαθον ἄκραι.] Ὅσον ἦν διάστημα, ὃ συνέκλειον καὶ συνεδέσμουν αἱ τοῦ Ἑλλησπόντου ἄκραι τὸ Ῥοίτειον καὶ Σίγειον. 37. Ὀψείοντες.] Ὀπτικῶς ἔχοντες, θέλοντες ἰδεῖν. 38. Ἐρειδόμενοι.] Ἐπερειδόμενοι, σκηριπτόμενοι. 40. Πτῆξε δὲ θυμόν.] Τὸ εὔρωστον καὶ εὔθυμον τῆς ἑκάστου ψυχῆς εἰς δέος ἤγαγε. Γράφεται δὲ καὶ, πῆξε. ἵν' ᾖ, ἀκίνητον

Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν ᾧ ἐπέπιθμεν,
ἄῤῥηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
νωλεμές· οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὡς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει· πόλεμον δ' οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Νέστορ, ἐπειδὴ νηυσὶν ἔπι πρύμνῃσι μάχονται,
τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
ᾗ ἔπι πόλλ' ἔπαθον Δαναοὶ, ἔλποντο δέ θυμῷ
ἄῤῥηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οὕτω που Διῒ μέλλει ὑπερμενεῖ φίλον εἶναι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
ᾔδεα μὲν γὰρ, ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν·
οἶδα δὲ νῦν, ὅτι τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι

56. Ϝεῖλαρ. 61. τάδε Ϝέργα. 64. προσέϜειπε Ϝάναξ.
67. Ϝέλποντο. 71. Ϝήδεα. 72. Ϝοῖδα.

52—63. Nestor non negat adversa fortuna pugnari ab Achivis, etsi summa cum virtute; deliberandum tamen esse, quid factu opus sit.—53. *ταῦτά γ' ἑτοῖμα τετεύχαται.* Sic *βουλὴ ἑτοίμη* I. 425. de iis quæ effectum et eventum habent. Res eo loco jam sunt, ut omnia hæc *eventum habeant*, nec apparet via et ratio, qua fieri possit, ut aliter se habeant aut aliter constituantur.—56. *εἶλαρ*, *munimentum*, quod nos *tutos* præstaret: jam H. 338. vidimus.—57. *μάχην ἀλίαστον sine intermissione.* jam B. 797. Ad 59. cf. sup. 14—59. *ὁπποτέρωθεν*, cum mixti sint Achivis Trojani, et promiscue cædes fiant: non potest discerni, qua parte laborent et inferiores pugna sint Achivi et cædantur.—62. *εἴ τι νόος ῥέξει.* an, *consilium*, prudentia, *aliquid efficiet*, an ipsi consilio aliquid efficere poterimus. Scilicet, quia, cum vulnerati sint, *manu* nihil efficere poterunt.

64—81. Agamemnon animum despondens discessum classis parare suadet; neque nunc explorandorum animorum caussa, ut sup. Il. B. sed serio.

69. *οὕτω που Διῒ μέλλει φίλον εἶναι. ἔοικε.* ut Schol. reddunt; potius *δῆλόν ἐστιν. apparet.* Sic et N. 225. *ἀλλά που οὕτω μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι.*—71. *ᾔδεα μὲν γὰρ, ὅτε.* quamdiu ille Achivis studebat, bene hoc, certis signis, animadvertebam, *ᾔδειν. Nunc autem mihi non obscurum est*, eum etc.—72. *κυδάνει ὁμῶς θεοῖσι*, antiquo

ἐποίησεν. 53. Ἑτοῖμα.] Εὔληπτα, φανερά. Τετεύχαται.] Κατεσκεύασται. 54. Παρατεκτήναιτο.] Παρατεχνάσαιτο, ἐπινοήσειε. 55. Κατερήριπε.] Κατηνέχθη, κατέπεσεν. Ἐπέπιθμεν.] Ἐπεπίθειμεν, ἐπεπιστεύκειμεν. 56. Ἄῤῥηκτον.] Στερεόν. Εἶλαρ.] Ἀσφάλεια. 57. Ἀλίαστον.] Ἀδιάλειπτον. 66. Οὐκ ἔχραισμεν. Οὐκ ἐβοήθησεν. 71. Ἤδεα.] Ἤδειν, ἠπιστάμην.

κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
νῆας, ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν·
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰσόκεν ἔλθῃ
νὺξ ἀβρότη, ἣν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες, ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ἀνὰ νύκτα.
βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν, ἠὲ ἁλώῃ.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν. οἷσιν ἄρα Ζεὺς
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.

74. ἐγὼ Fείπω. 75. Fειρύαται. 76. δὲ Fερύσσομεν. 79. κε Fερυσαίμεθα. 81. ἠὲ Fαλώῃ. vulg. ἤπερ ἁλώῃ. 82. ὑπόδρα Fιδών. 83. σε Fέπος. 84. ἀFεικελίου. 85. ἄμμι Fανασσέμεν. 87. φθιόμεσθα Fέκαστος.

more, pro, *valde*, suppetias illis fert, ut magnam belli gloriam consequantur, at nostram virtutem inhibet, infringit; hoc ἔδησε dixit, ut alias πεδᾶν.—75. νῆας, ὅσαι, πρῶται. primo ordine, versus mare, in primo littore: aliter ac sup. 31.—77. ἐπ' εὐνάων deductas a littore naves ancoris, seu quæ tum pro iis usu habebantur, saxis vel arborum truncis, religatas, in mari tenebimus.—80. οὐ νέμεσις. οὐ νεμεσητὸν, οὐ μεμπτέον. ut jam Γ. 156.—81. βέλτερον ὃς pro εἴ τις. ἁλώῃ *pereat*. Ita ἁλῶναι Μ. 172. Ρ. 506.

82—102. Agamemnonem graviter objurgat Ulysses, et docet, quam indecorum et ipso duce et Achæorum nomine, tum quam periculosum hoc discessus faciendi consilium sit.

84. οὐλόμενε, *perdite. pernicie digne*. στρατοῦ σημαίνειν. ut ἄρχειν τινὸς et τινί.—86.

73. Κυδαίνει.] Δοξάζει. 75. Πρῶται.] Ἐν τῇ ἀρχῇ, ἐν τῇ ἄκρᾳ. Εἰρύαται.] Εἱλκυσμέναι εἰσίν. 77. Ὕψι.] Ἐφ' ὕψους. Τὸ ὑγρὸν γὰρ ὑψηλότερον τῆς γῆς. διὸ ἀνάπλους μὲν ἀναγωγή. κατάπλους δὲ, ἡ προσόρμισις. 78. Νὺξ ἀβρότη.] Ἀμβροσία, θεία. Οἱονεὶ ἄβροτη. Ἔστι γὰρ ἱερὰ τῶν θεῶν ἡ νὺξ, ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται, ἢ βρότος, βαρυτόνως· τουτέστι, μολυσμὸς καὶ φόνος, οὐ γίγνεται. Ἣν καὶ τῇ.] Ἐὰν ὅλως καὶ δι' αὐτῆς. Ἐζήτηται δὲ, πῶς ὁ Ἀγαμέμνων οὕτως ἀστρατήγως φυγεῖν προστάσσει τοῖς Ἕλλησι, λέγων· Νῆας ὅσαι πρῶται. Ῥητέον οὖν, ὅτι, ὁ Ἀγαμέμνων γινώσκων αὐτοὺς μὴ φευξομένους, διὰ τὴν οἰκείαν ἀρετὴν, καὶ ὅτι οὐδὲ λαθεῖν ἠδύναντο τοὺς πολεμίους, ἐπιτρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ δόξῃ, παρὰ δύναμιν κατέχων αὐτοὺς ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου, αἴτιος γενέσθαι τοῦ πάντας ἀπολέσθαι· τοὐναντίον δὲ εὔνοιαν ἑαυτῷ πορίσηται, διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν, καὶ ὑπομένειν, καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν, ἕνεκεν τῆς ἐκείνων σωτηρίας. 83. Ἕρκος ὀδόντων.] Περιφραστικῶς, οἱ ὀδόντες. Ἢ τροπικῶς, αὐτὰ τὰ χείλη. 84. Οὐλόμενε.] Ὀλεθριώτατε, ἢ, ὀλέθρου τοῖς Ἕλλησι παρασκευαστικέ. Ἀεικελίου.] Εὐκαταφρονήτου. ὅ ἐστιν, εὐτελοῦς, κακοῦ. 85. Σημαίνειν.] Νῦν, ἄρχειν. 86. Τολυπεύειν.] Κατεργάζεσθαι. Μεταφορικῶς. ἰδίως γὰρ τολύπη καλεῖται τὸ κατειργασμένον ἔριον. 87. Φθιόμε-

οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
σίγα, μή τίς τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
ὅστις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν,
σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοὶ
τοσσοίδ', ὅσσοισι σὺ μετ' Ἀργείοισιν ἀνάσσεις.
νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες.
ὃς κέλεαι, πολέμοιο συνεσταότος καὶ ἀϋτῆς,
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται, ἐπικρατέουσί περ ἔμπης,
ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιῤῥέπῃ· οὐ γὰρ Ἀχαιοὶ
σχήσουσι πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼ ἀέκοντας ἄνωγα

92. ἐπίσταιτο Ϝῆσι. 93. καί Ϝοι. 94. Ἀργείοισι Ϝανάσσεις.
95. ἔϜειπες. 103. ἔπειτα Ϝάναξ. 105. ἐγὼ ἀϜέκοντας.

87. *per totam vitam.*—91, 92. *nemo qui mente sana sit.* τὰ ἄρτια, proprie τὰ ἡρμοσμένα τοῖς πράγμασι. τὰ ὑγιῆ.—93. καί οἱ π. inversa oratio pro καὶ ᾧ πείθοιντο. Mox 95. ὠνοσάμην pro ὄνω σε κατὰ τοῖον οἷον (τοῦτο ὃ) ἔειπες.—98. ἐπικρατέουσί περ, *qui quidem vel sic jam superiores pugna sunt.* ὄφρ' εὐκτὰ (τὰ πράγματα) γένηται Τρωσὶ, pro ἐκεῖνο, ὃ εὔχονται γίνεσθαι.—100, 101. οὐ γὰρ Ἀχαιοὶ σχήσουσι πόλεμον, *pugnam sustinebunt*, scilicet, discessu semel parato et facta fuga, Achivorum animi frangentur, Trojanorum firmabuntur: ita Achivi eos non poterunt *sustinere*, et ipsi receptum circumspicient, ἀποπαπτανέουσι averso ab hostibus ore dispicient in alias partes, *fugam circumspicient.* πάπτηνε δὲ ἕκαστος ὅπῃ φύγῃ αἰπὺν ὄλεθρον inf. 507. Π. 283. h. l. respiciunt ad naves.

103—134. Copia meliora consulendi ab Agamemnone data, Diomedes suadet prodire in aciem, si non ad pugnandum, saltem ad confirmandos aliorum pugnantium animos.

104. καθίκεο ἐμὲ (κατὰ) θυμὸν ἐνιπῇ proprie, *percussisti, feriisti, me objurgatione*, objurgasti me graviter. dictum ut καθάπτεσθαί τινος scil. ἔπεσι, ut μάστιγι.—105. Atqui ego tantum deliberandi gratia hoc in medio protuleram, an forte expediret,

σθα.] Φθαρῶμεν, ἀπολοίμεθα. 89. Καλλείψειν.] Καταλείψειν. Ὀϊζύομεν.] Κακοπαθοῦμεν. 91. Ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο.] Ὃν οὐκ ἂν εἴποι συνετὸς καὶ σώφρων ἀνήρ. Ἀνὰ στόμα γὰρ, ἀντὶ τοῦ, διὰ στόματος. 92. Ἄρτια βάζειν.] Ὑγιῆ καὶ ἁρμόδια λέγειν. 95. Ὠνοσάμην.] Ἐμεμψάμην. 96. Συνεσταότος.] Συνεστῶτος. 98. Εὐκτά.] Εὐχῆς ἄξια. 99. Ἐπιῤῥέπῃ.] Ἐπηρτημένος, καταῤῥεπὴς ᾖ. Ἡ μεταφορὰ ἀπὸ τῶν ζυγοστατουμένων σωμάτων. 100. Σχήσουσιν.] Ὑπομενοῦσιν, ἀνθέξουσιν. 101. Ἀποπτανέουσιν.] Ἤτοι εἰς τὰς ναῦς ἀποβλέψουσιν, ἢ ἀλλαχόσε. ὅ ἐστι, φεύξονται. Ἐρωήσουσιν.] Ὑποχωρήσουσιν, ἀμελήσουσι. 102. Δηλήσεται.] Βλάψει. 104. Καθίκεο.]

νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν·
νῦν δ' εἴη, ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
ἢ νέος, ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.
Τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
ἐγγὺς ἀνὴρ, οὐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε
πείθεσθαι· καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος,
οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν·
πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε.
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
ᾤκεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος, ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεὺς,

109. *μετέϝειπε.* 111. *ἀγάσησθε ϝέκαστος.* 116. *ϝοίκεον.* 117. *ἱππότα ϝοινεύς.*

naves deducere.—108. ἐμοὶ δέ κεν ἀσμένῳ εἴη. scil. ἐκεῖνος, ὃς ἐνίσποι. pro vulgari; ἐμοὶ ἄσμενον, χαρίεν εἴη ἄν, ἄλλον τινὰ εἰπεῖν. Quod Attici: ἐμοὶ δὲ βουλομένῳ ἂν εἴη. *ego lætabor*, si erit, qui meliora consuluerit.—109. De Diomede locus hic notabilis post Η. 399—404. et Ι. 31. sqq. quo morum modestia (v. Δ. 401. sq.) et ingenium ejus notatur generosum, nec ferox et impotens; promtum tamen; præclare illud ἐγγὺς ἀνὴρ, sc. ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι. pro οὗτος ἐγώ. Quod porro excusat se primum ad dicendum surgentem, quodque a genere ac stirpe rationes excusationis petit, ad veteres mores notandos valere debet. Alterum quidem notissimum est, quod, senum reverentia, juniores in consessibus non audent sermonem nisi ultimo loco proferre; alterum autem, quod a generis nobilitate petitum est, referendum est ad illam potissimum persuasionem, quod armorum parandorum et tractandorum studium, et laudis heroum priscorum æmulatio, non facile locum habebat nisi in regibus; h. e. viris principibus, qui opibus et copiis satis ad studia ista valerent, quorumque omnis laus e virtute bellica peti solebat. Hactenus virtutem illam ipsa stirpis nobilitas et antiquitas promittere poterat: quemadmodum nostra quoque ætate nobilitas generis fidem facere potest, liberaliore institutione et meliore disciplina aliquem imbutum esse, quam in tenui re et vitæ sordibus fieri illud potest. Ait igitur se quidem ætate cedere, virtute parem esse ceteris in consilio. Cur autem a Diomede consilium hoc proponatur, caussa quærenda in eo, quod calidius et audacius consilium recte conveniebat juniori. Postremum hoc observant quoque Schol. B.—113. Ne consilium, tanquam ab homine parum spectatæ virtutis, et juvenili vanitate se jactantis, profectum, spernatis: forti patre me natum mementote.—114. Tydeus ante Thebas occubuit occisus a Melanippo. cf. Apollod I. 8, 5. et III. 6, 8. De ejus stirpe locus hic classicus. Stemma vid. ad Apollod. tab. IX. a Spectat ad Ætolorum origines ac mythos. *Calydone* Œneus habitabat. *Portheus* autem idem qui et Porthaon, et

Καθήψω, ἐλύπησας. Ἐνιπῇ.] Ἐπιτιμήσει, ἐπιπλήξει. 107. Εἴη.] Ἔστω, φαινέσθω. Μῆτιν.] Γνώμην. Ἐνίσποι.] Εἴποι, φράσοι. 108. Παλαιός.] Πρεσβύτερος, γέρων. Ἀσμένῳ.] Ἑκόντι, χαίροντι. 110. Ἐγγὺς ἀνήρ.] Ἀντὶ τοῦ, ὁ συμβουλεύσων. Ἐζήτηται δὲ, διατί νῦν Διομήδης συμβουλεύει, καὶ οὐ Νέστωρ. Ῥητέον δὲ, ὅτι τὸ μὲν γῆρας ἐν τοῖς δεινοῖς ἐστὶν ἐπισχετικόν· ἡ δὲ νεότης θαρσαλεώτερον· ἄλλως τε καὶ Διομήδης ἐν τῇ προτέρᾳ συμβουλῇ θαυμασθεὶς, νῦν μᾶλλον τεθάῤῥηκε, καὶ προήρπακε τῷ πρεσβυτέρῳ τοὺς λόγους. Ματεύσομεν.] Ἤτοι, ματαιοπραγήσομεν. ἢ ἀντὶ τοῦ, ζητήσομεν. 111. Κότῳ ἀγάσησθε.] Μετ' ὀργῆς μέμψησθε. 112. Γενεῆφιν.] Ἡλικίᾳ. 114. Ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψεν.] Ἀντὶ τοῦ, ὃς ἐν Θήβαις ἐτελεύτησεν ἐν τῷ Θηβαϊκῷ πολέμῳ.

πατρὸς ἐμεῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη,
πλαγχθείς· ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς·
πολλὰ δέ οἱ πρόβατ' ἔσκε, κέκαστο δὲ πάντας Ἀχαιοὺς
ἐγχείῃ· τὰ δὲ μέλλετ' ἀκουέμεν, ὡς ἐτεόν περ.
τῷ οὐκ ἄν, με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες,
μῦθον ἀτιμήσαιτε πεφασμένον, ὅν κ' εὖ εἴπω.
δεῦτ' ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ, ἀνάγκη·
ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος,
ἐκ βελέων, μή πού τις ἐφ' ἕλκει ἕλκος ἄρηται·

122. βιότοιο, Fάλις δέ Fοι. 124. δέ Fοι. 127. Fείπω. vulg. ἀτιμήσητε.

Parthaon. cf. sup. Il. I. 527.—119. Tydeus cæde patruelium facta Argos concesserat et Adrasti filiam duxerat, Deipylen. v. Apollodor. l. c.—120. πλαγχθεὶς, h. l. φυγὰς cædis reatu.—121. θυγατρῶν sc. τινὰ, μίαν.—123. et insuper ὄρχατοι, ὄρχοι, στίχοι, ἡ ἐπίστιχος φυτεία.—124. κέκαστο δὲ (ὑπὲρ) πάντας *virtute*.—125. μέλλετ' ἀκουέμεν. ἐοίκατε. h. e. ἐοικές ἐστιν. debetis ipsi nosse, ὡς ἐτεόν περ sc. ἐγένετο ταῦτα. vel ἐτεὸν λεχθέντα.—129. αὐτοὶ μὲν ἐχώμεθα, ἐπεχώμεθα. *contineamus nos, abstineamus a pugna.*

χυτὴ γὰρ, ἡ τοῖς τεθνεῶσιν ἐπιχεομένη γῆ. 118. Ἀρετῇ.] Εὐδαιμονίᾳ, ἀνδρίᾳ. 119. Αὐτόθι μεῖνε.] Ἐν τῷ τόπῳ ἔμεινε. Πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη, Πλαγχθείς. ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.] Εὐσχημόνως ὁ Διομήδης παρεσιώπησε τὴν τοῦ πατρὸς φυγήν. Τυδεὺς γὰρ, ἀνελὼν Λυκοπέα καὶ Ἀλκάθοον ἑαυτοῦ παῖδας, ἔφυγεν. Ἡ δὲ ἀληθεστέρα ἱστορία ἐστὶν αὕτη. Τυδεὺς ὁ Οἰνέως Αἰτωλὸς μὲν ἦν τὸ γένος, ἀνδρειότατος δὲ τῶν κατ' αὐτὸν γενόμενος. Ἔτι νέος ὢν ἐθεάσατο τὸν πατέρα διὰ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων τῆς βασιλείας ἐκβαλλόμενον. Διόπερ ἀναιρεῖ τούς τε ἀνεψιοὺς, καὶ σὺν αὐτοῖς ἀκουσίως ἀδελφόν. Φεύγων δ' εἰς Ἄργος πρὸς Ἄδραστον, βασιλέα τῆς χώρας, καθαρσίων τε τυγχάνει πρὸς αὐτοῦ, καὶ γαμεῖ τὴν αὐτοῦ θυγατέρα Δηϊπύλην. Ἡ ἱστορία παρὰ Φερεκύδῃ. Νάσθη.] Ἀπῳκίσθη. 120. Πλαγχθείς.] Ἀποπλανηθεὶς, καὶ ἐκπεσὼν τῆς πατρίδος διὰ τὴν φυγήν. 121. Ἀδρήστοιο θυγατρῶν.] Προσληπτέον τὸ, μίαν, τὴν Δηϊπύλην. Διατί νῦν ὁ Διομήδης ἑαυτὸν γενεαλογεῖ; Ῥητέον ὅτι πάνυ ῥητορικῶς. Δεῖ γὰρ ἐν ταῖς συμβουλαῖς προαποδεικνύειν, ὡς εἰσὶν οὐχ' οἱ τυχόντες, ἀλλὰ τῶν πάνυ ἐνδόξων· ἵν' οὕτως τῷ ἀξιώματι πείσωνται. 122. Ἅλις.] Δαψιλῶς, ἱκανῶς. 123. Πυροφόροι.] Σιτοφόροι. Ὄρχατοι.] Αἱ ἐπίστιχοι φυτεῖαι, κῆποι. 124. Πρόβατα.] Πάντα τὰ τετράποδα ἐκάλουν οἱ παλαιοὶ πρόβατα, διὰ τὸ πρὸ τῶν ὀπισθίων βάσεων ἑτέρας ἐμπροσθίους ἔχειν. Καθ' ὃ καὶ Ἡσίοδός φησι· Χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις. Ἔσκεν.] Ἦν, ὑπῆρχεν. Ἐκέκαστο.] Ἐκεκόσμητο, ἐνίκα. 125. Τὰ δὲ μέλλετ' ἀκουέμεν.] Ταῦτα εἰκὸς ὑμᾶς ἀκηκοέναι. Ὡς ἐτεόν περ.] Ὡς ἀληθές. 126. Γένος κακόν.] Δυσγενῆ. Φάντες.] Λογισάμενοι, εἰπόντες. 127. Πεφασμένον.] Νῦν φανερῶς εἰρημένον. 128. Οὐτάμενοι.] Τετρωμένοι. Ἀνάγκη.] Διὰ τὴν ἀνάγκην. 129. Ἐχώμεθα.] Ἀπεχώμεθα. 130. Ἐκ βελέων.] Ἔξω τῶν βελῶν. Μή πού

ἄλλους δ' ὀτρυνέοντες ἐνήσομεν, οἳ τὸ πάρος περ,
θυμῷ ἦρα φέροντες, ἀφεστᾶσ', οὐδὲ μάχονται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο·
βὰν δ' ἴμεν, ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Οὐδ' ἀλαοσκοπιὴν εἶχε κλυτὸς Ἐννοσίγαιος,
ἀλλὰ μετ' αὐτοὺς ἦλθε, παλαιῷ φωτὶ ἐοικώς·
δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρείδαο,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φῦζαν Ἀχαιῶν
δερκομένῳ· ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε·
σοὶ δ' οὔπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν·
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
εὐρὺ κονίσουσι πεδίον· σὺ δ' ἐπόψεαι αὐτὸς
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
Ὣς εἰπών, μέγ' ἄϋσεν, ἐπεσσύμενος πεδίοιο.

132. Ϝῆρα. 134. σφι Ϝάναξ. 136. φωτὶ ϜεϜοικώς. 138. Ϝέπεα.
139. ὀλοϜόν. Bentl. 141. οὔ Ϝοι. 142. δέ Ϝε.
145. vulgg. κονίσσουσι et αὐτούς. 146. προτὶ Ϝάστυ. 147. Ϝειπών.

—ἀποσχώμεθα τοῦ μάχεσθαι. ἐκ βελέων, ἐκτὸς, extra telorum jactum.—131. ἐνήσομεν. *immittemus in pugnam*, adigemus ad pugnandum.—132. θυμῷ ἦρα φέροντες. ἦρα ab ἦρ, χάρις. v. ad A. 572. χαριζόμενοι ἑαυτοῖς, *indulgentes sibi*, suæ ignaviæ, et per hoc, *viribus parcentes*.

135—152. Neptunus, forma grandævi viri assumta, confirmat Agamemnonis animum.

135. οὐδ' ἀλαοσκοπιὴν εἶχε sed acute vidit. Quod nunc poeta non certum ac definitum hominem nomine designat, sed omnino *senem* memorat, mireris quidem, forte tamen variare voluit id, quod alibi aliter facit.—141. ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί. *prorsus desipit:* quia non videt, dedecus et noxam ad ipsum aliquando perventuram esse.—142. ὁ μὲν ὣς ἀπόλοιτο. *sic*, cum hoc non intelligat, vel cum hac mente sit, ut lætetur pernicie nostra, σιφλώσειεν, *deus eum perdat*, σιφλοῦν proprie parte aliqua corporis mutilare, πηροῦν, hinc omnino βλάπτειν.—145. εὐρὺ κονίσουσι πεδίον campum pulvere obducent, fugient. Sunt autem hæc pro solatio dicta, cum prædictione ejus

τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται.] Μή τις τραυματίας ὑπάρχων, τραῦμα ἕτερον λάβῃ. 131. Ἐνήσομεν.] Παρορμήσομεν, ἐμβαλοῦμεν τοῖς πολεμίοις. 132. Θυμῷ ἦρα φέροντες.] Χαριζόμενοι τῇ ψυχῇ τὴν ἀργίαν. 135. Ἀλαοσκοπιήν.] Μάταιον καὶ τυφλὸν τὸν σκοπόν. Ἀλαὸς γὰρ, ὁ τυφλός. Ἐννοσίγαιος.] Κινησίγαιος. Ἔνοσις γὰρ, ἡ κίνησις. 136. Μετ' αὐτοὺς ἦλθε.] Ἀντὶ τοῦ, πρὸς αὐτοὺς ἦλθεν. 139. Ὀλοόν.] Ὀλέθριον. 140. Φύζαν.] Τὴν μετὰ δέους φυγήν. 141. Δερκομένου.] Ὁρῶντος. Ἔνι.] Ἔνεισιν, ὑπάρχουσιν. Οὐδ' ἠβαιαί.] Οὐδὲ ὀλίγαι. 142. Σιφλώσειε.] Τυφλώσειεν. ἐπίψογον ποιήσειε. Σίφλος γὰρ καλεῖται ὁ ψόγος. 145. Κονίσσουσι.] Κόνεως πληρώσουσιν. Ἐκ δὲ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται. οἱ γὰρ φεύγοντες κατὰ τὸν δρόμον ἐγείρουσι

ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος·
τόσσην ἐκ στήθεσφιν ὄπα κρείων Ἐνοσίχθων
ἧκεν· Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι,
στᾶσ', ἐξ Οὐλύμποιο ἀπὸ ῥίου, αὐτίκα δ' ἔγνω
τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν
αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
ἥμενον εἰσεῖδε· στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη,
ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,

148. ἐϜίϜαχον. 151. vitiosum ἔμβαλ' Ϝεκάστῳ v. Obss. 153. Ϝήρη. 154. Οὐλύμποιο ἀπὸ ῥ. de hiatu v. Obss. 158. δέ Ϝοι. 159. πότνια Ϝήρη. 161. δέ Ϝοι.

quod eventurum est.—148. Clamor valet ad inflammandos pugnantium animos; hinc Neptunus discursitando, διὰ πεδίου, tantum clamorem edit, qui pro hortatu militari sit, et alias a ducibus proficiscitur. cf. Υ. 47. sq. Mox 151. diserte adjectum Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ. Repetita hæc ex iis quæ de Marte dicta erant iisdem vss. Ε. 860. 861. et vss. 151, 152. lecti jam sunt Λ. 11, 12.

153—363. Juno, ut avertat Jovem a pugna et cura Trojanorum, eum adit, in Ida sedentem, blanditiisque suis delinitum somno demulcet. Nunc res in eo erant, ut Achivi collectis viribus superiores fierent Trojanis; at restabat grave impedimentum, Jovis ex Ida prospicientis et Trojanis studentis numen. Ad hoc removendum poeta adhibet blanditias Junonis et somnum quo ille opprimitur; adumbrata res prorsus ad rudium hominum sensum et morem; itaque a philosophis hæc narratio sæpe fuit notata; præclare tamen attemperata ingenio muliebri Junonis: quandoquidem animus feminæ odio et ira ex accepta injuria aut contumelia accensus nihil intentatum relinquit ad vindictæ cupiditatem explendam, et ingeniosus est ad artes excogitandas, inprimisque ad mentes blanditiis fictis et suæ formæ illecebris irretiendas eorum, quorum opera utendum sibi esse videt; facitque id tanto magis admirationem, quod superbia et arrogantia Junonis, iræ impotentia victa, ad tales artes descendere potuit.

153. εἰσεῖδεν ἐξ Ὀλύμπου, et quidem ἀπὸ ῥίου quandoquidem montis sunt prominentia juga, et talis Olympus v. Il. Θ. 25.—155. ποιπνύοντα ἀνὰ μάχην Neptunum strenue res gerentem.—158. στυγερὸς δέ οἱ ἔπλετο. *abalienato animo erat. succensebat ei*, nil amplius. Sup. Θ. 370. Νῦν δ' ἐμὲ μὲν στυγέει. abalienatus est a me, dum Thetidi studet.—160. ὅππως ἐξαπάφοιτο scil. ut eum a pugnæ inspectione averteret, liberior-

κένιν. Ὄψεαι.] Θεάσῃ. 148. Ἐννεάχιλοι.] Ἐννακισχίλιοι. Πῶς δέ φησιν ὁ Ποσειδῶν, ὁμοιωθεὶς πρεσβύτῃ, ὑπὲρ τὴν ἡλικίαν φθέγγεται; Καὶ ῥητέον, ὅτι τῇ μὲν ὄψει πρεσβύτης ἐφαίνετο, τῇ φωνῇ δὲ τὴν τοῦ θεοῦ δύναμιν ἐνεδείκνυτο. Ἐπίαχον.] Ἐπεβόησαν. 150. Ἐκ στήθεσφιν.] Ἐκ τῶν στηθῶν. 152. Ἄλληκτον.] Ἄπαυστον. 154. Στᾶσ'.] Τὸ πλῆρες, στᾶσα. Ἀπὸ ῥίου.] Ἀπὸ τοῦ ἀκρωτηρίου τοῦ ὄρους. 155. Ποιπνύοντα.] Ἐνεργοῦντα. Γίγνεται δὲ ἐκ τοῦ πονῶ, πονύω, πνύω καὶ ποιπνύω, ἀναδιπλασιασμῷ. 156. Δαέρα.] Ἀνδρὸς ἀδελφόν. 158. Στυγερός.] Κατάπληκτος, μισητός. Ἢ, στυγνοποιός. Τὸ γὰρ

ἐλθεῖν εἰς Ἴδην, εὖ ἐντύνασαν ἓ αὐτὴν,
εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
ᾗ χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι.
βῆ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
κληῗδι κρυπτῇ, τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν.

162. ἐντύνασαν Fέ. v. Obss. 164. Fῇ χροιῇ. 166. τόν Foι.
168. ἀνῷγεν. non ἄνῳγεν.

que Neptuno auxiliandi Achivis facultas esset.—164. ᾗ χροιῇ, suo corpori, sibi, (ἐν) φιλότητι. χροιὰ nunc, quæ alias, ὁ χρόος, χροῦς. unde χροΐ, χρῷ.—ὕπνον ἀπήμονά τε λιαρόν τε, somnum placidum et dulcem. Sic οὖρον ἀπήμονα aliquoties dixit, et ἀπήμονά τε λιαρόν τε Od. E. 268. lenem, cui opp. δεινὸς, λάβρος.

167, 168. Molestiam facit κληῒς κρυπτὴ, profectam ex obscura veterum ratione muniendarum forium, earumque obserandarum et reserandarum. Fingi possunt multa ac varia; verum de verbis eorumque usu, a quo omnis interpretatio verior proficiscitur, grammatice ante omnia videndum est. De nostris seris et clavibus cogitare non licet. In Homericis saltem constant hæc: foribus intus obductos fuisse utrinque a postibus aut unum aut duo vectes transversos; porro, si quis a via ingredi vellet, per foramen forium, seu valvarum, ferrum aduncum inserendum fuisse, quo vectis removeretur, ita, ut, repagulis solutis, fores paterent. Modum ferri adhibendi non reperio; probabile fit in vecte fuisse cava incisa, aut sulcos, quibus inserto ferro retruderetur vectis Jam hoc *ferrum aduncum* appellatum esse κληῗδα patet ex loco classico Od. Φ. 6. εἵλετο Penelope κληῗδα εὐκαμπέα etc. et vs. 45. ferro illo adunco, quod ex annulo pendebat, soluto et in manus sumto, (ἱμάντα θοῶς ἀπέλυσε κορώνης) illa ἐνῆκε κληῗδα, θυρέων δ' ἀνέκοπτεν ὀχῆα, ἄντα τιτυσκομένη. Jam loco nostro ambiguitas accedit alia ex subjecto in: πυκινὰς δὲ θύρας σταθμοῖσι ἐπῆρσε κληῗδι κρυπτῇ. sintne hæc ad *Vulcanum* an ad *Junonem* referenda. Si Juno est, de qua agitur, ut ἐπάρσειν θύρας σταθμοῖς sit idem quod ἐπιτιθέναι τὰς θύρας, admovere fores, et claudere portam: illa intrasse et pone se fores clausisse putanda est; sic vero otiose repetitur hoc idem v. 169. ἔνθ' ἥγ' εἰσελθοῦσα, θύρας ἐπέθηκε φαεινάς. et quem usum tum habuit κληῒς, ferrum illud aduncum? Præstat ergo ad Vulcanum referre, qui, cum thalamum, οἴκημα, ædificasset, janua eum instruxit, *fores injunxit, inseruit postibus.* Idque recte fieri, docet alter locus Od. Φ. 44, 45. τέκτων, ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινάς· tum in loco nostro Venus ingressa clausit fores: ἔνθ' ἥγ' εἰσελθοῦσα, θύρας ἐπέθηκε φαεινὰς, alio sensu, quam in loco Od. Φ. 44, 45. Restat tamen vel sic quæstio: quid sit h. l. κληῒς; non enim conveniunt reliqua, si est, quod paullo ante vidimus, ferrum aduncum ad removendum obicem. Non, inquam, convenit quod sequitur τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν. quomodo enim illud dici posset ἀνοίγεσθαι? non enim aliquis ferrum insertum ἀνοίγειν dici potuit; sed ferro inserto, ἀνοίγονται αἱ θύραι, ergo ἡ κληῒς ἀνοίγει, non ὁ θεὸς τὴν κλεῖδα. Videndum itaque est an statuendum sit cum veteribus, κληῗδα esse ipsum *obicem*, pessulum seu vectem foribus intus obductum, qui removendus erat ferro inserto. Sane οἴγειν et ἀνοίγειν, est proprie *removere.* v. ad Ω. 455. ubi est ἀναοίγεσκον μεγάλην κληῗδα θυράων, *removebant magnum obicem a foribus, removerunt magnum obicem forium.* Ita vero exoritur alia difficultas ex adjecto: κληῗδι κρυπτῇ. quomodo enim talis vectis, trabs

κεχαρισμένον αὐτῇ οὐκ ἐποίει. 160. Ἐξαπάφοιτο.] Ἐξαπατήσειεν. 162. Ἐντύνασαν.] Παρασκευασαμένην, κοσμησαμένην. 163. Ἱμείραιτο.] Ἐπιθυμήσειεν, ἐρασθῇ. Παραδραθέειν.] Παρακατακλιθῆναι. 164. Ἧι χροιῇ.] Τῷ ἰδίῳ αὐτῆς χρωτί. Λιαρόν.] Θερμὸν, ἡδύ. Τοῖς γὰρ καθεύδουσι παρακολουθεῖ θερμαίνεσθαι τὰ ἄκρα. 165. Πευκαλίμῃσι.] Συνεταῖς, πυκναῖς. 167. Πυκινάς.] Ἀσφαλεῖς, πυκνάς. Σταθμοῖσι.] Παραστάσι, νῦν. Ἐπῆρσεν.] Ἐφήρμοσε. 168. Κληῗδι

ἔνθ' ἥγ' εἰσελθοῦσα, θύρας ἐπέθηκε φαεινάς·
ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ,
ἀμβροσίῳ, ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
τοῦ καὶ κινυμένοιο Διὸς προτὶ χαλκοβατὲς δῶ,
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.
τῷ ῥ' ἥγε χρόα καλὸν ἀλειψαμένη, ἰδὲ χαίτας
πεξαμένη, χερσὶ πλοκάμους ἔπλεξε φαεινούς,
καλούς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο.
ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ Ἀθήνη

172. ἑανῷ vel ἑϝανῷ, τό ῥά ϝοι. 178. ἑανὸν vel ἑϝανὸν ϝέσαθ', ὅν ϝοι.

foribus intus prætenta, dici potest *occulta*. Melius *κρυπτῇ* conveniret instrumento, foribus reserandis apto, aut *τῇ ὀπῇ*, foramini, cui ferrum inseritur. Ita tamen iterum non convenit vox *ἀνοίγειν*: *τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν.* Adoptanda erit, puto, lectio altera: *τὰς δ' οὐ θεὸς ἄλλος ἀνῷγεν.* scil. *τὰς θύρας πυκινάς.* Nam et hoc in Homericis frequentatur, e vulgari usu, *οἴγειν, ἀνοίγειν, τὰς πύλας. τὰς θύρας.* ut jam Z. 89. *οἴξασα κληῗδι θύρας ἱεροῖο δόμοιο. reserans fores ferro inserto.* Etiam *ὀπὴν*, foramen, quo transmittitur ferrum, *κληῗδα* appellatum fuisse patet ex usu vocis in re navali, quod aperturæ navis, per quas in mare demittuntur remi, appellatæ sunt *κληῗδες, κλεῖδες*, etiam ipsi remi, et transtra, quibus sedebant remiges ad suum quisque remum. Suspicari licet, hoc modo dictum esse Od. Δ. 838. ubi per somnum objecta species, *εἴδωλον* fugit, *σταθμοῖο παρὰ κληῗδα λιασθέν.* putes esse, per *τὴν ὀπὴν*, *foramen*, quo insertum erat ferrum ad reserandum relictum. Altero tamen loco vs. 802 idem *εἴδωλον, ἐς θάλαμον δ' εἰσῆλθε παρὰ κληῗδος ἱμάντα*, ubi probabile fit, in privatis ædibus repagulum non ferro, verum *loro* fuisse retractum, quod is, qui intus erat, poterat colligere, et intus retrahere, ne quis ingrederetur: ita intrabat somnium juxta *lorum κληῗδος*, repaguli, quod eo loro retrahi solebat. Convenit A. 442. Penelope intrat thalamum, adducit fores arrepto annulo, *ἐπὶ δὲ κληῗδ' ἐτάνυσσεν ἱμάντι*, *obicem prætendit* foribus *ope lori*, quod intus retraxit. Erant autem in Olympo præter Jovis regiam parvæ ædes, *θάλαμοι*, singulis diis deabusque destinatæ, ut in ædibus regum et heroum. v. A. 76, 77. Similis regia Priami Z. 242. sqq.

170. *ἀμβροσίῃ.* h. l. pro lavacro, latice, ad lavandum. Ita autem omnia in diis ad morem humanum adumbrantur, ut etiam deæ sordes contrahant et purgent; totum corpus dea inungit *λίπ' ἐλαίῳ*, pingui oleo, (K. 571.) unguento, *ἑδανῷ*, suavi; seu potius diffuso, quod alibi est *τὸ ἑανὸν, ἀπὸ τοῦ ἕω, ἱέναι. τεθυωμένον*, bene odorum. *ἀπὸ τοῦ θύειν* idem quod *θυμιᾷν*, odores accendere. *θυοῦται* id, quod odorem emittit, *τὸ τεθυωμένον. θυμίαμα.*—173. *προτὶ δῶμα*, pro *κατὰ δῶμα.* Ceterum Homerus in Junone ornanda Horarum ministerium ignorat: at Venerem a Gratiis lavari et inungi narrat Od. Θ. 364, 365.—178. *ἀμβρόσιον ἑανὸν, πέπλον.* vestem odoram, ut paullo ante [illegible]. solebant autem vestes odoribus perfundi. Qui morosior erit, *di-*

κρυπτῇ.] Οὕτω καλοῦνται κληῗδες κρυπταί. Ἀνῷγεν.] Ἀνέῳγεν. Ἡ ἀνάγνωσις προπερισπωμένως. 169. Ἐπέθηκεν.] Ἐνέβαλεν, ἔκλεισεν. 170. Ἀμβροσίῃ.] Θείῳ ἀλείμματι. μύρῳ. Οἱ δὲ, θείῳ λουτρῷ. Ἱμερόεντος.] Ἐπεράστου, καλοῦ. 171. Λύματα.] Καθάρσιον. ῥύπον. Κάθηρεν.] Ἐκάθαιρεν. 172. Ἑδανῷ.] Ἡδεῖ. ὅ ἐστιν, εὐώδει, εὐόσμῳ. Τεθυωμένον.] Τεθυμιαμένον. 173. Κινυμένοιο.] Σαλευομένου, κινουμένου. Χαλκοβατές.] Χαλκῷ βεβηκὸς, στερεόν. ἢ, χαλκοῦν ἔχον οὐδόν. 174. Ἔμπης.] Νῦν, ὁμοίως. Ἵκετο.] Ἀφικνεῖτο, ἐφέρετο. Ἀϋτμή.] Πνοή. 175. Ἰδὲ χαίτας.] Καὶ τὰς χαίτας, ἤγουν τὰς κόμας. 176. Πεξαμένη.] Κτενισαμένη. 177. Ἐκ κράατος.] Ἐκ τῆς κεφαλῆς. 178.

ἔξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά·
χρυσείης δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο.
ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν·
ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι,
τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων,
καλῷ, νηγατέῳ· λευκὸν δ' ἦν, ἠέλιος ὥς.
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ θήκατο κόσμον,

181. Ϝεκατόν. 182. de metri vitio v. Obss. 185. ἠέλιος Ϝώς. Bentl.

vinam interpretabitur, ut et reliqua, ἔλαιον, πλόκαμος. Est enim vocabulum commune omnibus quæ θεῖα sunt.—179. ἔξυσ' ἀσκήσασα. ξύειν, cum proprie sit radere, stringere, tum omnino polire: aut declarat illud ἔξυσε h. l. partem aliquam operæ textoriæ, quam equidem, ut ingenue profiteor, non satis assequor; fingere enim aliquid pro lubitu, quod nec satis ipse perspectum habeam, non est interpretari; ad fulloniam operam et τὸ γνάπτειν, referre videntur. Schol. ἔξυσ', ἐκέρκισεν, ξύουσι γὰρ τὴν κρόκην πρὸς τὸ πυκνωθῆναι—οἱ δὲ ἀντὶ τοῦ ἔγναψε, μετὰ τὸ ὑφανθῆναι, aut est ξύειν omnino polite et eleganter efficere, perficere, ἀσκήσασα, elaborando. inf. 240. τεύξει ἀσκήσας. et ἔξυσεν, ἔκαμε. Ita est: illa *affabre elaboraverat*. καὶ ἐνετίθει, ἐνεποιήσατο, δαίδαλα πολλὰ, h. e. ἐνεποίκιλλε, intextis figuris vel ornamentis. Tum v. 180. peplus fibula aurea in pectore, alias in humeris, continebatur; magnus autem ornatus olim in fibulis quærebatur.—181. ζώνην θυσάνοις ἀραρυῖαν, cingulum fimbriatum sibi circumdedit; debuit hoc antiquo tempore in mundo muliebri haberi, ut zona esset *fimbriis* apta, κροσσοῖς, quos jam vidimus B. 448. Omnino locus Homericus de ornatu dearum multis modis poterit illustrari a studiosis hujus antiquarum rerum generis. Ceterum hoc cingulum diversum est habendum ab illo balteo, quem Juno infra 214 a Venere mutuatur; cumque ille *a pectore solvatur* ἀπὸ στήθεσφιν ἐλύσατο, videri illo debet pectus subligatum fuisse, ζώνη autem h. l. putanda esse cingulum illud, quod supra femora corpori injicitur.—183. ἕρματα, τρίγληνα, μορόεντα, inaures trinis lapillis seu unionibus qui sunt γλῆναι, γλήνεα, insignes; μετὰ πολλοῦ μόρου καὶ κακοπαθείας γιγνόμενα, scite et industrie fabricatæ. ἕρμα, vel ἔρμα, ἀπὸ τοῦ εἴρειν, innectere, ἐνείρεσθαι τοῖς λοβοῖς.—184. κρηδέμνῳ ἐκαλύψατο, velavit se, capiti imposuit, vittam, qua comam religaret, h. textum aliquod, quod complicatum pro fascia, explicitum pro velamine, περιβολαίῳ, seu frontis seu totius oris, esset.

187—224. Juno adit Venerem, et ab ea impetrat, ut sibi commodet cestum suum,

Ἑανόν.] Νῦν, πέπλον. Παρὰ τὸ ἔννυσθαι. Ὅτ' ἂν δὲ εἴπῃ, ἑανοῦ κασσιτέροιο, τοῦ εὐδιαχύτου λέγει, καὶ ἁπαλοῦ. Ἕσατο.] Περιεβάλετο. Ἐνεπορποῦντο γὰρ τοῖς περιβολαίοις. 179. Ἔξυσεν.] Ἀντὶ τοῦ, κατεσκεύασε. Νῦν καὶ, λεπτὸν εἰργάσατο. Ἀσκήσασα.] Μετ' ἐπιμελείας κατασκευάσασα. 180. Ἐνετῇσι.] Περόναις. Ἀπὸ τοῦ ἐνίεσθαι τοῖς ἱματίοις. ὅ ἐστιν, ἐμπορποῦσθαι. 181. Θυσάνοις.] Κροσσοῖς. Παρὰ τὸ θυσσεύεσθαι. ὅ ἐστι, κινεῖσθαι. 182. Ἕρματα.] Νῦν, ἐνώτια. Ἐϋτρήτοισι.] Καλῶς τετρημένοις, τετρυπημένοις. Λοβοῖσι.] Τοῖς ἄκροις τῶν ὠτίων τοῖς ἁπαλοῖς. Παρὰ τὸ λαμβάνειν, καὶ δέχεσθαι. 183. Τρίγληνα.] Πολλῆς θέας ἄξια. Τρίκοκκα. Ἤ, τριπρόσωπα. Γλήνη γὰρ ἡ τοῦ ὀφθαλμοῦ κόρη. Ἤ, τρίκορα. ἔχοντα τρεῖς κόρας τῆς χάριτος. Ἢ, πολλῶν κοσμίων ἄξια. Γλήνεα γὰρ, τὰ κόσμια. ὡς καὶ ἀλλαχοῦ φησιν· Ὁ γλήνεα πολλὰ κεχάνδει. Μορόεντα.] Μετὰ μόρου καὶ κακοπαθείας εἰργασμένα, περὶ ἃ ἐμόρησεν ὁ τεχνίτης, τουτέστιν, ἔκαμε κατασκευάζων αὐτά. Χάρις.] Ἀρετὴ, καλλονή. 184. Κρηδέμνῳ.] Κεφαλοδέσμῳ. Νῦν δὲ, καλύπτρᾳ. 185. Νηγατέῳ.] Νεωστὶ γεγονότι. λεπτῷ. 186. Λιπαροῖσιν.] Εὐτραφέσι, λευκοῖς.

βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο· καλεσσαμένη δ' Ἀφροδίτην,
τῶν ἄλλων ἀπάνευθε θεῶν, πρὸς μῦθον ἔειπεν·
Ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅ ττι κεν εἴπω;
ἠέ κεν ἀρνήσαιο, κοτεσσαμένη τόγε θυμῷ,
οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;
Τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη, πρέσβα θεά, θυγάτερ μεγάλοιο Κρόνοιο,
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί.
Τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
δαμνᾷ ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους·
εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
οἵ με σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ' ἀτίταλλον,

189. ἔϝειπε. 190. ὅ τι κε ϝείπω. 194. Ϝήρη. 197. πότνια Ϝήρη. 202. vulg. οἵ μ' ἐν.

quo ornata Jovem amore sui demulceat. Quod itaque in simplici oratione erat, Junonem adiisse Jovem omnibus iis instructam, quibus Jovis animum ad amorem sui pelliceret, eximieque vestibus ornatam, et venuste cinctam, hoc poeta mythicis ornamentis amplificavit.

194. Ἥρη, πρέσβα θεὰ, quod alias σεμνή.—195. θυμὸς ἄνωγεν, animus incitat, parato sum animo ad perficiendum id, quod animo agitas.—196. καὶ εἰ τετελεσμένον ἐστί. pro τελεστέον. τὸ τελεσθῆναι δυνατόν. apud Apollon. III. 717. est ἀνυστὰ ἀντιᾶν.—198. φιλότης est ipse amoris sensus, ἵμερος conjunctum cum eo desiderium; nihil amplius.—200. πείρατα γαίης Ὠκεανόν τε θεῶν γένεσιν. non declarat, qua parte terrarum Oceani regia adeatur; non in Oriente, nec in Occidente; nam ibi Noctis et Solis regia est. Restat meridies; quo spectant forte Æthiopes sup. A. 423. Quod Oceanum θεῶν γένεσιν appellat, videtur e cosmogoniis petitum esse; etsi, quo sensu dictum fuerit, non ausim definire; nam subtilitates physicorum, qui aquam rerum principium constituerunt, haud dubie ignorarunt prisci illi homines; pinguius tamen aliquod visum insidere potuit eorum animis de rerum ortu ex mari; nam de rerum initiis et elementis per Titanomachiam, et de caussis physicis per Typhoeum et alia monstra adumbrandis mature etiam ante Homerum commentati sunt. Quis neget v. c. Cœli et Terræ, Oceani et Tethyos, Ponti, Croni, progeniem, item genitalia Oceani et Croni exsecta, ad res physicas spectare? Verum pro certo aliquid sigillatim et explorato, ut nec dubitare liceat, asseverare velle, aut temerarium est aut superbum: cum vix duo triave loca inter se conveniant; contra vero diversis locis diversa phantasmata ab eodem poeta, multo magis si auctores diversi sunt, apponantur. Ceterum Junonis exemplo res abiit in usum poetarum, ut latebras dii quærerent in mari, ut sup. Z. 135. sq. Bacchus, et Σ. 395. sq. Vulcanus.—202. οἵ με σφοῖσι δόμοισι. Ita-

194. Πρέσβα.] Ἐντιμοτάτη. Συγκοπὴ τοῦ πρέσβειρα. 195. Αὔδα.] Λέγε. Ὅ, τι φρονέεις.] Ὅπερ βούλει. 196. Τετελεσμένον.] Νῦν, δυνατόν. 198. Ἵμερον.] Ἐπιθυμίαν. 199. Δαμνᾷ.] Δαμάζεις. 200. Εἶμι.] Πορεύομαι, ἄπειμι. Πολυφόρβου.] Πολυτρόφου. Πείρατα.] Πέρατα, τέλη. 201. Θεῶν γένεσιν.] Θεῶν πατέρα. Ἐπεὶ πρῶτον στοιχεῖον τινὲς τῶν φυσικῶν εἶπον τὸ ὕδωρ, καὶ ἐξ αὐτοῦ τὰ λοιπὰ τρία. Ὅθεν ὁ Πίνδαρος ἄριστον εἶπε τὸ ὕδωρ. Τηθὺν δέ φησι τὴν γῆν, οἱονεὶ τιθηνὴν τινὰ οὖσαν καὶ τροφὸν πάντων. 202. Σφοῖσι.] Τοῖς ἑαυτῶν. Ἐῢ τρέ-

δεξάμενοι Ῥείης, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς
γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
εἰ κείνω γ', ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ,
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι·
αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.
  Τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
οὐκ ἔστ', οὐδὲ ἔοικε, τεὸν ἔπος ἀρνήσασθαι·
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.
  Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα,

208. *κείνω Ϝεπέεσσι* vel *κείνω γε, Ϝέπεσσι.* 209. f. *ἀνέσαιμ' ἂν ὁμωθῆναι φιλότητι.* 211. *προσέειπε.* 212. *οὐδὲ ϜέϜοικε, τεὸν Ϝέπος.*

que narratum esse debuit inter bella Titanum cum Jove Junonem a matre fuisse Oceani et Tethyos fidei creditam, in regia Oceani abditam et nutritam. Bellum cum Titanibus declaratur ab eventu, vss. 203, 4. cum Jupiter Cronum (cum Titanibus cf. inf. 274. 279.) detrusit in Tartarum: *γαίης νέρθε καὶ θαλάσσης*, quæ exposita sunt in Hesiodi Theogonia.—205. Debuit in carminibus istis theogonicis et cosmogonicis narratum esse et hoc, fuisse aliquando dissidia inter Oceanum et Tethyn: quod nunc poeta ingeniose alio respectu memorat; quo sensu vero illud ab antiquioribus traditum, et quibus de caussis jurgium illud natum fuerit, cum antiqua carmina perierint, nunc ignoramus. Commenta allegorica spernimus; sed potuit ac debuit aliquid symbolice declarari pro vetustatis more.—209. *ἀνέσαιμι*, si eos permovero, *ὁμοῦσθαι εἰς εὐνὴν*, ut congrediantur iterum in amplexus mutuos. Ergo secessum et divortium fecerant, saltem secubuerant per aliquod tempus conjuges Oceanus et Tethys.—212. *ἔπος ἀρνήσασθαι*, quod postulas, recusare, abnegare. vox generalis pro propria.

214—223. Cestum Juno a Venere accipit. Unde notio hæc tantarum *cesti* virium orta sit, et cur potissimum *cesto* inesse fingi potuerit, est quæstio, in quam grammaticos descendisse facile expectes. Plurimum venustatis et elegantiæ, quæ nunc narratur in cesto fuisse, a balteo callide corpori injecto et a cinctura vestis proficisci, facile intelligebatur; id quod ipse adspectus veterum signorum docet. Rem tamen obscurant verba: *τεῷ δ' ἐγκάτθεο κόλπῳ* vs. 219 et v. 223. *ἑῷ ἐγκάτθετο κόλπῳ*, quæ, si verba grammatice ac proprie accipias, repositum in sinu cingulum et quasi absconditum declarare videntur; unde creditum est, cestum illum vim aliquam arcanam habuisse. Videtur quoque serioribus ætatibus notio *baltei magici* hinc ducta esse. Plura hujus generis commenta fuere inter seriores. Narrant de cingulo Dianæ Ephesiæ ignotis litterarum ductibus inscripto. Romæ fuit cingulum Caiæ Cæ-

φον.] Μετ' ἐπιμελείας ἀνῆγον. Ἀτίταλλον.] Ἐπαιδοτρόφουν. 203. Ῥείης.] Τῆς Ῥέας. Εὐρύοπα.] Ἤτοι, μεγαλόφθαλμος, ἀπὸ τοῦ πάντα ἐποπτεύειν. Ἢ, μεγαλόφωνος. 204. Καθεῖσε.] Καθίδρυσε. 205. Καί σφ' ἄκριτα νείκεα λύσω.] Καὶ τὰς πολλὰς αὐτῶν καὶ ἀδιαλύτους φιλονεικίας διαλύσω. 208. Κείνω.] Ἐκείνους. Δυϊκῶς. Παραιπεπίθουσα.] Παραπείσασα, ἐξαπατήσασα. 209. Ὁμωθῆναι.] Ὁμοιωθῆναι. Οἰκειωθῆναι. εἰς ὁμόνοιαν ἐλθεῖν. 210. Αἰδοίη.] Αἰδοῦς ἀξία, αἰδέσιμος. 212. Οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι.] Οὔτε πρέπον, οὔτε δυνατὸν ἀρνήσασθαι περὶ ὧν ἀξιοῖς. Ἔοικε.] Προσήκει, πρέπει. 213. Ἀγκοίνῃσιν.] Ἀγκάλαις. Ἰαύεις.] Κοιμᾶσαι. 214. Κεστὸν ἱμάντα.] Ζωστῆρα οὕτω καλούμενον ἀπὸ τοῦ πολυκέντητον αὐτὸν εἶναι ταῖς

ποικίλον· ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο·
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς,
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων·
τόν ῥα οἱ ἔμβαλε χερσὶν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τῆ, νῦν τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ,
ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σε φημὶ
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς.
Ὣς φάτο· μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα, καὶ Ἠμαθίην ἐρατεινὴν,
σεύατ' ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα,

215. δέ Ϝοι. 218. ῥά Ϝοι—χερσὶ, Ϝέπος. 219. vulg. τεῷ δ' ἐγκάτθεο. 222. πότνια Ϝήρη. 223. ἔπειτα ϜεϜῷ. 225. Ϝήρη.

ciliæ notum: v. Festus in Prœlia p. 148. Similitudinem habet τὸ κρήδεμνον Leucotheæ in Odyssea, quo religatus Ulysses sustinetur, ne fluctibus submergatur.—214. ἀπελύσατο (ἀπὸ) στήθεος (ergo pectus deæ revinxerat ille) κεστὸν ἱμάντα. proprie balteum coriaceum affabre factum, acu pictum, unde ποικίλον, seu coloribus, seu potius figuris. Ita Herculis balteus figuris insignis est Odyss. Λ. 609. et Agamemnonis sup. Λ. 38. tres serpentes. Nec tamen, quæ h. l. memorantur, *intexta* sunt, sed poetico phantasmate inesse creduntur.—219. τῆ. λάβε, δέξαι. τεῷ ἐγκάτθεο κόλπῳ veteres accipiunt, quod verba primo loco offerunt: *absconde cestum tuo sinu.* Videtur tamen res postulare, ut sit: *pectori tuo cingulum appone, circumda;* et ipsa Venus illud solverat, ἀπὸ στήθεσφιν ἐλύσατο vs. 214. unde ap. Antiphanem in Anal. To. II. p. 204. ἀπὸ μαστῶν λυσαμένη. Parum commode Venus juberet Junonem nunc cestum sinu condere, ut paullo post, ubi ad Jovem venerit, depromtum sinu cestum sibi circumdet, non in præsens. Mihi probabile fit, fraudem facere vocem ἐγκατθέσθαι, quæ h. l. dicta est pro admovere, illigare, circumdare cestum pectori, pectus succingere cingulo. Certe cestus, seu strophium, diversum habendum est a zona, cingulo femoribus injecto.—221. σε ἄπρηκτον (κατὰ τοῦτο) ὅ τι μενοινᾷς.

225. ῥίον Οὐλύμποιο. nam ibi stabat sup. 154. Ex h. l. manifestum fit, in ipso monte Olympo sedem deorum esse constitutam. Ex eo iter fit versus septentrionem per *Pieriam*, nam Pieres tum eam partem inhabitabant, et *Emathiam*, quæ partem earum terrarum complectebatur, quæ serius dicta est Macedonia.—227. Ex Ema-

ῥαφαῖς. 215. Θελκτήρια.] Τὰ θέλγοντα καὶ ἀπατῶντα τοὺς ἀνθρώπους. 216. Ἔνι.] Ἔνεστι, τὸ πλῆρες. Φιλότης.] Νῦν φιλία, πρὸς μίξιν ὄρεξις. Ἐν δ' ὀαριστὺς, Πάρφασις.] Ἔνεστι δὲ καὶ ὁμιλία παραινετική. 217. Ἔκλεψεν.] Ἐξέκλεψεν. ἔκρυψε. παρελογίσατο. Πύκα.] Νῦν, συνετῶς, φρονίμως. 219. Τῆ] Ἄγε, λάβε. Τεῷ δ' ἐγκάτθεο κόλπῳ.] Κατάκρυψον τῷ ἰδίῳ κόλπῳ, φησὶ, διὰ τὴν πρὸς τὸν Δία ἐπιβουλήν. Ἐγκάτθεο.] Ἐγκατάθου. 220. Τετεύχαται.] Ἔγκειται, κατεσκεύασται. 225. Ῥίον.] Ὄρους ἀκρωτήριον. Παρὰ τὸ ῥαΐζειν καὶ καταλήγειν εἰς ὀξύ. 226. Πιερίην.] Χώραν ἐπὶ τὴν Μακεδονίαν. Οἱ δὲ, ὄρος. Μακεδὼν ὁ Διὸς καὶ Αἰθρίας, κατασχὼν τὴν χώραν, οὖσαν τῆς Θρᾴκης, ἀφ' ἑαυτοῦ προσηγόρευσε. Γήμας δὲ μίαν τῶν ἐγχωρίων, τεκνοῦται δύο παῖδας, Πίερον, καὶ Ἄμαθον. ἀφ' ὧν δύο πόλεις ἐν Μακεδονίᾳ, Πιερία, καὶ Ἀμαθία. Ἡ ἱστορία παρὰ Μαρσίᾳ. Νῦν δὲ Ἠμαθίην καταχρηστικῶς ὅλην τὴν Μακεδονίαν φησί. Πιερίαν δὲ, ὄρος Μακεδονίας, ἱερὸν Μουσῶν. 227. Σεύ-

ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν.
ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσατο κυμαίνοντα·
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος,
ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
εἰ μὲν δή ποτ' ἐμεῦ ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν
πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα·
κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινὼ

232. ἔν τ' ἄρα Ϝοι φῦ χειρὶ, Ϝέπος. 233. Ὕπνε, Ϝάναξ. 234. Ϝέπος. 235. Ϝιδέω. vulg. εἰδέω.

thia iter factum per Chalcidicen serius dictam cum peninsula excurrente in montem Atho. Θρηκῶν ὄρεα. adeo illo tempore ea regio fuit habitata *a Thracibus:* qui sensim repressi cessere Græcis de suis sedibus, aut eos colonos accepere. ἱπποπόλων. ita Thraces illis temporibus, ut etiam ex Herodoto patet, equis alendis studuerunt; et in bellis equitatu valuerunt, h. e. curribus bellicis.—228. οὐδὲ χθόνα μάρπτε ποδοῖιν, ut solet incessus deorum volatui similis haberi, ut superficiem soli vix attingant; nunc dea super montium juga et cacumina levi gressu incedit; ut inf. 285. super silvarum culmina; quomodo illud efficiatur, poeta haud narrat; petita res est ex hominum sensu, ad avium volatum talem motum et incessum deorum adumbrante. Itaque nec vs. 229. ἐπεβήσατο πόντον aliter est accipiendum, et aliena sunt a poetæ ingenio, more, et ab vetustatis et sermonis prisci indole, commenta, quæ passim allata fuerunt. Iidem homines, qui nubes celerrime per aerem ferri videbant, facile deos quoque super his iisdem nubibus ferri putare poterant et sic alia.—229. *Athos* mons imminet insulæ Lemno, ut et ejus umbra obscurari narretur insulæ pars media.—231. *In Lemno* sedes *Somni*, aut antiqua aliqua religione, Ara vel sacro ibi Somno constituto, traditur h. l. aut ex mytho nunc parum noto: nisi præstat, ad occursum fortuitum hoc referre, cum in mediis Somni per orbem terrarum erroribus ad sopiendos homines dea ei occurreret. Alias Somni sedes est in inferis, et ad Orci ostia, uti jam in Hesiodo Θ. 744. 758.—233. θεῶν. nam et illi somno oppressi dormiunt: ut sup. B. pr.—234. εἰ μὲν δή ποτ'—ἠδ' ἔτι καὶ νῦν. v. II. 236. Si unquam *meis precibus locus apud te fuit, nunc quoque mihi concede, quod precor te.*—235. ἐγὼ δέ κέ τοι ἰδέω χάριν. εἰδείην. εἴσομαι. ὀφλήσω.—236. quod post ὄσσε, ὑπ' ὀφρύσιν adjectum, antiquo ser-

ατο.] Ὥρμησεν. Ἐφ' ἱπποπόλων.] Περὶ ἵππους ἀναστρεφομένων. Νιφόεντα.] Χιονιζόμενα, νιφόμενα. 228. Οὐδὲ χθόνα μάρπτε ποδοῖιν.] Οὐδὲ τοῖς ποσὶν αὐτῆς ἐπέβαινε τῆς γῆς. 229. Ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσατο.] Ἄθως, ὄρος ἐν Θράκῃ μέγα καὶ ὑψηλὸν, ἐξέχον εἰς θάλασσαν, τὸν ἰσθμὸν ἔχον χεῤῥονησώδη, σταδίων δώδεκα. Τοῦτο Ξέρξης ὁ Περσῶν βασιλεὺς, ἀγανακτήσας, ὅτι πρὸς αὐτὸ νῆες αὐτοῦ διεφθάρησαν, διακόψας, βατὸν ἐποίησεν. Ἡ ἱστορία παρὰ Ἡροδότῳ. Ἐξ Ἀθόω.] Ἐκ τοῦ Ἄθω. ὅ ἐστιν ὄρος Θρᾴκης ὑψηλόν. Ἐπὶ πόντον ἐβήσατο.] Ἀντὶ τοῦ, θαλάσσης ἐπέβη. Κυμαίνοντα.] Κύματα ἔχοντα, ταρασσόμενον. 230. Πόλιν.] Ἀντὶ τοῦ, νῆσον. Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος, Ἔνθ' Ὕπνῳ ξύμβλητο.] Διὰ ποίαν δὲ αἰτίαν ἐν τῇ Λήμνῳ μάλιστα ὁ Ὕπνος διατρίβει; Ῥητέον, ὅτι Λήμνου μὲν ἦν δεσπότης Ἥφαιστος· γυνὴ δὲ τούτου, Χάρις. Πασιθέας δὲ τῆς Χάριτος ἀδελφῆς ἐρωτικῶς ἔχων ὁ Ὕπνος ἐκεῖ διέτριβε. Ταύτην δὲ αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ Ἥρα. Δύναται δὲ καὶ φυσικώτερον λυθῆναι. Ὅτι οἰνοφόρος ἡ Λῆμνος. καθὼς λέγει· Νῆες δ' ἐκ Λήμνοιο παρέστασαν, οἶνον ἄγουσαι. Τοῖς δὲ πολυποτοῦσι μάλιστα ὁ ὕπνος παρέπεται. 231. Ξύμβλητο.] Ἀπήντησε, συνέτυχε. 232. Φῦ.] Ἐνέφυ, συνέπλεξεν. 235. Εἰδέω χάριν.] Γνώσομαι καὶ προσομολογήσω σοι χάριν. 240. Θρῆνυν.]

αὐτίκ', ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώσω, καλὸν θρόνον, ἄφθιτον αἰεί,
χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
Τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται.
Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἆσσον ἱκοίμην,
οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλοτε ἑῇ ἐπίνυσσεν ἐφετμῇ,
ἤματι τῷ, ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱὸς
ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.

243. Fήρη. 249. ἄλλοτε Fῇ. vulg. καὶ ἄλλο τεὴ et ἄλλοθ' ἑῇ.
250. vulg. ὅτ' ἐκεῖνος. 251. ἔπλεε Fιλιόθε.

mone fit; habet vim ad mentis sensum multo magis feriendum, quam si simpl. esset κοίμησόν μοι Ζῆνα. Occurrunt animo plura per adjecta; atque ideo potentius est ad phantasiam.

238. Quod Somno θρόνον promittit Juno, puto ad majorum deorum honorem spectare hoc, quod alto throno insident. At referunt ad Somni mollitiem et somnolentiam, ut habeat, ubi recumbat. Necesse adeo esset, θρόνον lecti speciem et usum habuisse, ut reclinatus aliquis in eo recumberet; quod aliunde non teneo. ἄφθιτον αἰεὶ, quid sit, e χρύσεον statim intelligitur: quod usu non atteritur, ideoque durabile est. v. ad B. 46. Talia sunt omnia Vulcani opera.

242—262. Somnus tergiversatur erga Junonis postulata et metum irascentis Jovis ostentat.

245. καὶ ῥέεθρα ποταμοῦ Ὠκεανοῖο ῥεῖα κατευνήσαιμι ἄν. Aut τὰ ῥέεθρα Ὠκεανοῦ pro ipso Oceano, etsi in hoc contexto, ubi de deo sopiendo agitur, parum subtiliter, dicta esse debent; aut ex mythico sermone hoc insidet poetæ animo, ut Oceanum et proprie et appellative dictum confundat. Eum ποταμὸν appellat; (v. Υ. 7.) debuit ergo esse notio ea, ut fluminis modo circumfluere terram, qualem quantamque indocte tum animo fingebant, crederetur; inprimis, quoties Sol ex Oceano oriri et in eo occidere dicebatur ut E. 6. H. 421. et al. add. Strab. I. p. 4. 9. quæ res ad disputationem de notione veterum super Oceano spectat.

249. Repetitum hoc ex Heracliis; et hoc ipso patet antiquiora ante Homerum fuisse hujusmodi ἔπη; alioqui necesse est, et hunc et omnia loca in Iliade de Hercule esse insititia: quippe quæ alludunt ad fabulas aliis carminibus disertius expositas. Quod Hercules a Troja rediens tempestate oppressus vix in insulam Con enataverat, ornatum erat hoc modo: Junonis fraude Jovem somno oppressum fuisse, ut ipsa tempestatem concitare posset. Fabulam v. ap. Apollod. II. 7. 1. Conjungendus locus alter inf. O. 18. sqq. ad vs. 30. et A. 587. sq.—279. ἣ ἐπίνυσσεν ἐφετμῇ. Ille me jam antea suis minis perterrefecit, ut me pœniteret similis facti, cum Jovem in tui gratiam consopiissem. ἐφετμὴ h. l. pro minis. πινύσσειν, facere ut alter resipiscat. σω-

Ὑποπόδιον. Ἀρσενικῶς. Ἥσει.] Ὑποθήσει. 241. Εἰλαπινάζων.] Εὐωχούμενος. 249. Ἤδη γάρ με καὶ ἄλλο τεή.] Ἢ, κατ' ἄλλο. ἵν' ᾖ, ἤδη γάρ με καὶ κατ' ἄλλο ἐπαίδευσεν ἡ σὴ πρόσταξις. Ἢ, ἄλλοτε ἑῇ ἐπίνυσσεν ἐφετμῇ. τουτέστι,

ἤτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῷ,
ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας·
καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας,
νόσφι φίλων πάντων. ὁ δ' ἐπεγρόμενος χαλέπαινε,
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ζήτει, καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν,
τὴν ἱκόμην φεύγων· ὁ δ' ἐπαύσατο χωόμενός περ·
ἅζετο γάρ, μὴ Νυκτὶ θοῇ ἀποθύμια ἕρδοι.
νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.

253. δέ Ϝοι. 258. ἄϜιστον. 261. ἀποθύμια Ϝέρδοι.

φρονίζειν. νουθετεῖν.—252. ἔλεξα Διὸς νόον pro τὸν Δία, *sopivi* Jovem. ἐκοίμισα.—256. νόσφι φίλων πάντων. puto, quia naufragio facto in insulam enataverat, aut, quod alii narrant, ceteris amissis una navi appulerat: v. Apollod. II. 7, 1. Adierat autem Trojam Hercules sex navibus, ut sup. E. 640. sq. vidimus.—257. ῥιπτάζων κατὰ δῶμα. expressit mores rudium ætatum, in quibus iræ intemperantia regnat; v. A. 586. et mox O. 137.—258. ἄϊστον. de eo qui periit, ut nec amplius ejus notitia supersit, unde est ἀϊστοῦν. ἀϊστωθῆναι Od. K. 259, 260. et h. l. ἄϊστον idem quod ἀϊστωθέντα. Nec diversum ἀΐδηλον. Videmus ergo et hoc a sensibus hominum petitum, quod deus non modo in Tartarum, verum et in mare projectus, ἀϊστωθῆναι, ἄϊστος γίνεσθαι, potest. Omnia enim hæc ad rudissimæ vetustatis sensum sunt adumbrata. Similiter jam Vulcanum ex Olympo proturbatum vidimus A. 590. Commode *Nox* intervenit, utpote Somni mater: Hesiod. Θ. 758. et a Nocte ille occultatur. *Noctis* autem tanquam antiquissimæ, πρεσβυτάτης cum Chao deæ magna auctoritas: unde 261. ἅζετο γάρ. Alia reverentia accessit Nocti e rebus magicis, de qua h. l. non est cogitandum. Eandem mature communicavit cum Hecate, jam apud Hesiodum in Theogonia. μὴ ἀποθύμια ἕρδοι. λυπηρόν τι. μὴ λυπῇ αὐτήν. Dixit Noctem θοὴν, celerem, a cursu quo cœlum obit.

τῇ ἰδίᾳ ἐσωφρόνισε καὶ ἐνουθέτησεν ἐντολῇ καὶ ἀπειλῇ. 252. Ἔλεξα.] Κατεκοίμισα. 253. Ἀμφιχυθείς.] Περιχυθείς. Μήσαο.] Ἐμηχανήσω, ἐβουλεύσω. 254. Ὄρσασα.] Εἰς ὁρμὴν ἀγαγοῦσα, διεγείρασα. Ἀήτας.] Τὰς τῶν ἀνέμων πνοάς. 255. Κόωνδε.] Εἰς τὴν Κῶν νῆσον. Γράφεται δὲ σὺν τῷ ν κατ' αἰτιατικήν. Ἡρακλῆς, ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν, γενόμενός τε κατὰ τὸ Αἰγαῖον πέλαγος, βουλήσει Ἥρας, σφοδρῷ συνεσχέθη ἀνέμῳ. Κατασυρθείς τε εἰς Κῶν τὴν Μεροπίδα, ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος, βασιλεύοντος αὐτῆς. Βιασάμενος δὲ, καὶ ὡς λῃστὴς ἐπιβὰς, ἀνεῖλε τόν τε Εὐρύπυλον, καὶ τοὺς παῖδας αὐτοῦ. Μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ, Θεσσαλὸν ἐγέννησεν. Ἀπένεικας.] Ἀπήνεγκας.

256. Ἐπεγρόμενος.] Ἐπαναστὰς, διϋπνισθείς. Ὁ δ' ἐπεγρόμενος χαλέπαινε. Ῥιπτάζων.] Ἀντιστροφή ἐστιν ἀντὶ τοῦ, χαλεπαίνων ἔῤῥιπτε. Μή ποτε οὖν τις ἀφ' ἑτέρας ἀρχῆς ἀναγιγνώσκῃ τὸ ῥιπτάζων. Χαλέπαινεν.] Ὠργίζετο. 257. Ῥιπτάζων.] Ῥίπτων, συνελαύνων. Ἔξοχα.] Μάλιστα. 258. Καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος.] Καὶ ἂν ἰδών με, ἀνιστόρητον καὶ ἀφανῆ ἐποίησε, βαλὼν ἀπὸ τοῦ οὐρανοῦ εἰς θάλασσαν. 259. Δμήτειρα θεῶν.] Ἡ δαμάστρια. ὅ ἐστιν, ἄρχουσα. 260. Ἱκόμην.] Ἱκετεύων παρεγενόμην. 261. Ἅζετο.] Ἐνετρέπετο. Ἀποθύμια.] Ἀηδῆ, οὐκ ἀρεστά. Ἀποθύμια ἕρδοι.] Ἐχθρὰ πράξοι. Θοῇ.] Ἤτοι, ὅτι διὰ τὸν ὕπνον θᾶττον ὡς πρὸς τὴν ἡμέραν παριέναι. Ἢ, θείᾳ. 262. Ἀμήχανον.] Ἄπορον, ἀδύνατον. 264. Μενοινᾷς.]

Τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
ἦ φῄς, ὡς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν',
ὡς Ἡρακλῆος πέρι χώσατο, παιδὸς ἑοῖο;
ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων
δώσω ὀπυιέμεναι, καὶ σὴν κεκλῆσθαι ἄκοιτιν,
Πασιθέην, ἧς αἰὲν ἐέλδεαι ἤματα πάντα.
Ὣς φάτο. χήρατο δ' Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ,
χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην· ἵνα νῶϊν ἅπαντες
μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες·

263. προσέϜειπε—πότνια Ϝήρη. 266. ἑϜοῖο. 269. ἐϜέλδεαι.
271. ἀϜάϜατον.

263—291. Novis Junonis promissis delinitus Somnus recipit in se, quod ea petierat, ut Jovem sopiat.

264. Ὕπνε, τίη—quomodo tibi hæc in animum veniunt!—265. an putas, Jovem ita Trojanis nunc opitulari, ut olim studuit Herculi, ita ut irasceretur Junoni, quod eum fraude oppresserat? Poeta hæc coagmentavit: Ζῆνα ἀρηγέμεν τοῖς Τρωσὶν ὡς, ὡς ἐχώσατο περὶ Ἡρακλῆος.—267, 8, 9. Ex fabulis antiquioribus, nunc obliteratis, petitum hoc esse debuit, quod Somnum amor Pasitheæ, unius e Gratiis, tenuit. ἧς αἰὲν ἐέλδεαι ἤματα πάντα. cujus amore tu semper teneris. Nostro loquendi more hoc per præteritum effertur: cujus amore *tu semper flagrasti.* Virgilius ad futurum tempus transtulit Æn. I. 74. *omnes ut tecum—annos exigat.*—271. ὄμοσσόν μοι—ἦ μὲν ἐμοὶ δώσειν. ἀάατον Στυγὸς ὕδωρ, ἀβλαβὲς, idem quod ἄατον, Styx, quam nemo perjurio violare impune ausit.—272, 3, 4. altera manu terram, altera mare attingere Junonem jurantem jubet Somnus: magnitudinem hoc habet, pro eo, quod erat, extendere seu protendere manum versus terram et mare. Est autem is mos jurandi omnium temporum, ut jurantes manu teneant aliquid, quod sanctum et religiosum sit; ut victimam, aram, mensam tactam; seriores, sceptrum, gladium, codicem sacrum. Idem fit precando, obtestando, diras faciendo, uti I. 564, 5. Symbolici aliquid inesse his, facile agnoscas; etsi id, quod ab initio symboli usum habuerat, mature in morem et ritum sine vi et sensu abire solet. Ad jurisjurandi religionem spectant maxime duo, *testes* et *ultor. Testes* h. l. sunt dii in Tartaro: μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ vss. 274, 275. videntur pro testibus adhibiti propter reverentiam antiquioribus diis habitam; quos in fœderum quoque formula adhiberi vidimus, Γ. 278, 279. Horum respectu apprehendi videtur terra et mare, sub quibus Tartarus est. *Ultrix* perjurii

Προθυμῇ, σπουδάζεις. 265. Ζῆν'.] Τὸ πλῆρες, Ζῆνα. 267. Ὁπλοτεράων.] Νεωτέρων. 268. Ὀπυιέμεναι.] Γῆμαι. 270. Χήρατο.] Ἐχάρη. 271. Ἀάατον.] Ἤτοι, ἀβλαβὲς, ἤ, πολυβλαβές. 272. Χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν, Τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην.] Τὰ βαρύτατα τῶν στοιχείων ὄμνυσι. καθάπερ ἐν τῇ συνηθείᾳ λέγομεν, Ξηρὸν, καὶ ὑγρόν. 273. Μαρμαρέην.] Λευκήν. 274. Θεοὶ Κρόνον ἀμφὶς ἐόντες.] Οἱ περὶ τὸν Κρόνον θεοί. Λέγει δέ τοὺς Τιτᾶνας. Οὗτοι δέ εἰσιν Οὐρανοῦ παῖδες, Κρόνος, Κρεῖος, Ὑπερίων, Ἰαπετός. Κοῖος Ὠκεανοῦ, ὅσπερ τε γένεσις πάντεσσι τέτυκται. ἐπεὶ ἐξ ὕδατος αἱ αὐξήσεις ὑπάρχουσι. Πῶς, Ἡσιόδου πάντων πρῶτον εἰπόντος γεγενῆσθαι τὸ Χάος, Ὅμηρός φησιν Ὠκεανόν; Ῥητέον οὖν, ὅτι ἕκαστος μὲν εἴρηκεν ὡς ἐβούλετο. Ὅμηρος δέ φησι φιλοσοφώτερον. Τὸ γὰρ ὕδωρ τῶν πάντων ἡ ζωὴ, καὶ προέχει τῶν τεσσάρων στοιχείων, ὅλα ὄν. Ὅθεν καὶ ὁ Πίνδαρος ἄριστον

ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων,
Πασιθέην, ἧς τ' αὐτὸς ἐέλδομαι ἤματα πάντα.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
ὤμνυε δ', ὡς ἐκέλευε, θεοὺς δ' ὀνόμηνεν ἅπαντας,
τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
αὐτὰρ, ἐπεί ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον,
τὼ βήτην, Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
ἠέρα ἑσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον·
Ἴδην δ' ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτόν· ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
βήτην· ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη.
ἔνθ' Ὕπνος μὲν ἔμεινε, πάρος Διὸς ὄσσε ἰδέσθαι,
εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
ἔνθ' ἧστ' ὄζοισι πεπυκασμένος εἰλατίνοισιν,
ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ κύμινδιν.

276. ἐϝέλδομαι. 277. λευκώλενος ϝήρη. v. Exc. II. ad A. 55.
281. ϝάστυ. 282. ἠέρα ϝεσσαμένω. 285. vulg. ὕπ' ἐσείετο. f. legendum σείετ' ἄρ' ὕλη. 286. ὄσσε ϝιδέσθαι.

est Styx, qua pota perjurus sensibus privatur et spiritu per annum integrum, ut est ap. Hesiod. Θ. 793.—278. Juno θεοὺς ὀνόμηνεν ἅπαντας· pro simplici: ea juravit per deos Titanes; putanda enim est facere id, quod Somnus postulaverat; μάρτυροι ὦσιν οἱ ἔνερθε θεοί. ergo eos invocare debuit, ut testes essent. hoc ipsum est, quod mox 280. τελευτᾷν τὸν ὅρκον, h. e. τελεῖν, observato rite jurisjurandi ritu et pronuntiata formula.—281. Lemni et Imbri ἄστυ. ut alias πόλις, pro locis insulæ habitatis; omninoque ipsa insula. Serius in urbes proprie dictas collecti sunt insularum incolæ.—282. ἠέρα ἑσσαμένω, nube.—283. Ἴδην—Λεκτόν. apposita: venerunt ad Idam, et quidem ad primam Idæ partem, Lectum promontorium.—285. Etiam hoc ad incessum deorum levem et suspensum spectat, ex rudium hominum sensu facile assequendum; ut sup. 227, 8.—286. πάρος Διὸς ὄσσε ἰδέσθαι antequam in conspectum Jovis veniret.—290. ὄρνιθι ἐναλίγκιος, non quasi Somnus in avem mutatus aut ei similis factus fuerit; sed insedit arbori avis more, et quidem ex eo genere, quod solet inter frondes maxime delitescere: hoc volebat Schol. B. ἐναλίγκιος κατὰ τὴν κάθεδραν. nam capite sub frondibus occultato insidere arbori solet cymindis. Simili modo Minerva et Apollo sedebant in arboribus ὄρνισιν ἐοικότες αἰγυπιοῖσιν, sup. H. (VII.) 58. sq.—291. Vulgare

αὐτό φησιν. 278. Ὀνόμηνεν.] Ὠνόμασε. 280. Τελεύτησεν.] Ἐπλήρωσεν. 281. Ἴμβρου.] Ἴμβρος, νῆσος Θρᾴκης. 282. Ἠέρα.] Ὁμίχλην, σκότος. 283. Μητέρα θηρῶν.] Μητέρα θηρίων. Θηριοτρόφος γὰρ ἡ Ἴδη, διὰ τὸ πολὺ τῆς ὕλης. 284. Λεκτόν.] Ἀκρωτήριον τῆς Ἴδης, κεκλημένον ἀπὸ τοῦ ἐν αὐτῷ κατακλιθῆναι Δία καὶ Ἥραν. Τρία δὲ τὰ πάντα ἀκρωτήρια τῆς Ἴδης, Λεκτὸν, Γάργαρον, Φαλάκρη. Ἐπὶ χέρσου.] Ἐπὶ τῆς γῆς. 287. Περιμήκετον.] Πάνυ ὑψηλήν. Ἣ τότ' ἐν Ἴδῃ μακροτάτη πεφυυῖα.] Διὰ τοῦτο τότε ἀνήρηκε τὸ ψεῦδος, ὥστε μὴ ζητεῖν αὐτήν. 289. Πεπυκασμένος.] Ἐσκεπασμένος. Εἰλατίνοισιν.] Ἐλατίναις. 290. Λιγυρῇ.] Ὀξείᾳ. 291. Χαλκί-

Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
ὡς δ' ἴδεν, ὥς μιν ἔρος πυκινὰς φρένας ἀμφεκάλυψεν,
οἷον ὅτε πρώτιστον ἐμισγέσθην φιλότητι,
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
στῆ δ' αὐτῆς προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἥρη, πῆ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
οἵ με σφοῖσι δόμοισιν εὖ τρέφον ἠδ' ἀτίταλλον·
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω.
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος· ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπιδάκου Ἴδης
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.

292. Ϝήρη. vulg. προσεβήσατο. 293. Ϝίδε. 294. ὡς δὲ Ϝίδ', ὥς. vulg. ἔρως. 297. προπάροιθε, Ϝέπος. 298. Ϝήρη. 300. πότνια Ϝήρη. 303. vulg. οἵ μ' ἐν.

avis nomen Ionum fuit κύμινδις, doctius seu antiquius, forte in antiquioribus carminibus memoratum, χαλκίς. Similem duplicis nominis usum vidimus jam A. 403, 4. ἥν τ' ἐν ὄρεσσιν sc. οὖσαν, διατρίβουσαν.

292—351. Junone conspecta Jupiter amore exarsit et in ejus amplexus ruit.

294. ἔρος μιν φρένας ἀμφεκάλυψε, petitum esse malim a nube (ut inf. 343.) umbra, tenebris, somno; de his enim frequentatur vox, καλύπτειν et ἀμφικαλύπτειν, quam a reti, quod Schol. et Eustath. statuunt.—295, 296. Ἥρας γάμος ad antiquissimos mythos spectat; et fuit Ἥρας γάμος argumentum carminum, e quibus plura fluxere narrata. v. Exc. I. ad Virgil. Æn. II. ad Apollod. I. 3. pr.—297. στῆ δ' αὐτῆς προπάροιθεν *obviam ei processit.*—299. Tam insolens res erat, deos non curru invehi, sed pedibus incedere.—301. Ad seqq. cf. sup. 200. sq.—311. δῶμα Ὠκεανοῦ. non bene nunc con-

δα.] Χαλκὶς εἶδος ὀρνέου, ἥτις καλεῖται κύμινδις, ἀπὸ τῆς φωνῆς. Κύμινδιν.] Ὁ κύμινδις οἰκεῖ μὲν ὄρη, ἔστι δὲ μέλας, χαλκίζων τὴν χροιάν. καὶ μέγεθος ὅσον ἱέραξ φασσοφόνος, ὥς φησιν Ἀριστοτέλης. Παρὰ δέ τισι θηλυκῶς λέγεται. Εὐεπίφορον δὲ εἰς ὕπνον τὸ ὄρνεον. Ἀεὶ δὲ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους κρύπτει. 294. Ὥς.] Νῦν, εὐθέως. ἤ, τότε. Ἔρος.] Ἔρως. Αἰολικῶς. Πυκινάς.] Συνετάς. 295. Οἷον ὅτε πρώτιστον ἐμισγέσθην.] Ἥραν τρεφομένην παρὰ τοῖς γονεῦσιν, εἷς τῶν γιγάντων, Εὐρυμέδων, βιασάμενος, ἔγκυον ἐποίησεν. ἡ δὲ Προμηθέα ἐγέννησε. Ζεὺς δὲ, ὕστερον γήμας τὴν ἀδελφὴν, καὶ γνοὺς τὰ γενόμενα, τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα, προφάσει πυρὸς, δεσμοῖς ἀνήρτησεν. Ἡ ἱστορία παρ' Εὐφορίωνι. 296. Εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.] Καὶ Ἀπολλόδωρος ἱστορεῖ, κρύφα τὸν Δία τῇ Ἥρᾳ συγκαθευδῆσαι. 298. Πῆ μεμαυῖα.] Ποῦ ὁρμήσασα. Τόδε.] Εἰς τοῦτον τὸν τόπον. Ἱκάνεις.] Παραγίγνῃ. 307. Πρυμνωρείῃ.] Πρυμνωρείας καλοῦσιν τὰ ἔσχατα καὶ κατώτατα τῶν ὀρῶν. 308. Τραφερήν τε καὶ ὑγρήν.] Γῆν καὶ θά-

νῦν δὲ σεῦ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
μή πώς μοι μετέπειτα χολώσεαι, αἴκε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυῤῥόου Ὠκεανοῖο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, κεῖσε μέν ἐστι καὶ ὕστερον ὁρμηθῆναι·
νῶϊ δ', ἄγ', ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικὸς,
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφι μήστωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοὶ Μίνω τε καὶ ἀντίθεον Ῥαδάμανθυν·

309. vulg. δέ σευ. 313. Ϝήρη.

venit epitheton βαθυῤῥόου de persona dei. Sic quoque sup. 245, 6. pro ipso deo ῥέεθρα Ὠκεανοῦ dictæ erant. Sed hoc veteres non respuerunt. cf. ad 434.—314. ἐν φιλότητι εὐνηθέντε, τραπείομεν pro ταρπῶμεν ab ἐτάρπην, εὐνηθέντε φιλότητι ut 360. et Γ. 441. Si recites: Κεῖσε μὲν, *eo quidem si tendis*, tum vis inest τῷ ἐστι, et scribam: ἔστι καὶ ὕ. —316. Enumeratio amorum est ex pannis rhapsodicis, per se, et alio loco, non indocta.—317, 8. Cum Pirithous Jovis f. haberetur, ut Β. 741. vidimus: *Dia*, Deionis filia, *Ixioni* nupta, eum ante nuptias e Jove concipere debuit: ergo Ἰξιονίη ἄλοχος serius facta. Socerum Ixion fraude sustulerat ap. Pindar. P. II. 59. ubi v. Sch. et sup. Schol. ad Α. 268.—321. *Europa* h. l. Phœnicis filia, non Agenoris: Apollod.

λασσαν. 313. Κεῖσε.] Εἰς ἐκεῖνον τὸν τόπον. 316. Περιπροχυθείς.] Περιπεσὼν, κατασχών. Ἐδάμασσεν.] Ὑπέταξεν. 317. Ἠρασάμην.] Ἠράσθην. Ἰξιονίης ἀλόχοιο.] Τῆς Ἰξίονος γυναικός. Ἦν δὲ αὕτη θυγάτηρ Ἰονέως. Μετὰ δὲ τὸ φθαρῆναι αὐτὴν ὑπὸ Διὸς, ὕστερον Ἰξίονι ἐζεύχθη. 319. Οὐδ' ὅτε περ Δανάης.] Δανάη Ἀκρισίου θυγάτηρ, ἣ Διῒ συγκοιμηθεῖσα, Περσέα ἐγέννησε. Χρησαμένῳ γάρ φησι τῷ Ἀκρισίῳ περὶ γενέσεως ἀῤῥένων παίδων, ὁ θεὸς ἔφη, τὸν γενόμενον παῖδα ἐκ τῆς θυγατρὸς αὐτοῦ αὐτὸν κτενεῖν. Δείσας δὲ ὁ Ἀκρίσιος, κατὰ γῆς θάλαμον χαλκοῦν κατασκευάσας, τὴν Δανάην ἐφρούρει. Αὕτη δὲ, ὥς φησι Πίνδαρος, καὶ ἕτεροι τινὲς, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου. Ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη. Ὡς δὲ ἔνιοί φασι, Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν, καὶ διὰ τῆς ὀροφῆς εἰσδὺς εἰς τὸν Δανάης κόλπον, συνῆλθεν αὐτῇ. Αἰσθόμενος δὲ Ἀκρίσιος ὕστερον, ἐξ αὐτῆς γεγεννημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι, τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν, εἰς θάλασσαν ἔῤῥιψε. Διασωθέντων δὲ τούτων εἰς Σέριφον τὴν νῆσον, συνέβη ἀνατραφῆναι τὸν παῖδα παρὰ Πολυδεύκῃ, ἢ, ὥς ἔνιοί φασιν, ὑπὸ Δίκτυος τοῦ ἀδελφοῦ Πολυδεύκους. Φυγόντος δὲ ὕστερον Ἀκρισίου, τὴν Ἀργείων βασιλείαν παρέλαβε Περσεύς. Καλλισφύρου.] Καλοὺς πόδας ἐχούσης. ἀπὸ μέρους, καλῆς. Ὁ δὲ τρόπος, συνεκδοχή. 320. Ἀριδείκετον.] Μεγάλως εὐπρεπῆ, ἀσπαστόν. 321. Φοίνικος κούρης.] Θυγατρός. Λέγει δὲ τῆς Εὐρώπης. Ἔνιοι δὲ αὐτὴν οὐ Φοίνικος, ἀλλ' Ἀγήνορος, εἶπον. Τὰ δὲ περὶ αὐτῆς ἀκριβῶς εἴρηται ἐν τῇ Μ ῥαψῳδίᾳ ἐν τοῖς περὶ Σαρπηδόνος. Τηλεκλειτοῖο.] Μέχρι πόῤῥω

οὐδ' ὅτε περ Σεμέλης, οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν.
οὐδ' ὅτε Δήμητρος, καλλιπλοκάμοιο ἀνάσσης·
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς·
ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
  Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδης ἐν κορυφῇσι· τὰ δὲ προπέφανται ἅπαντα·
πῶς κ' ἔοι, εἴ τις νῶϊ θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
πεφράδοι; οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην,

326. καλλιπλοκάμοιο Ϝανάσσης. 329. πότνια Ϝήρη. 330. ἔϜειπες.

III. 1, 1. cf. sup. N. 449 sq.—332. τὰ δὲ προπέφανται ἅπαντα, φανερά ἐστι. in medio

καὶ πολλοῦ ἐνδόξου. ἢ πάνυ ἐνδόξου. 323. Οὐδ' ὅτε περ Σεμέλης.] Σεμέλης τῆς Κάδμου θυγατρὸς Ζεὺς ἐρασθεὶς, κρύφα συνευνάζετο. Ἡ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας, ἐπινεύσαντος αὐτῇ Διὸς, πᾶν τὸ αἰτηθὲν ποιῆσαι, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμενος Ἥραν. Ζεὺς δὲ, μὴ δυνάμενος ἀνανεῦσαι, παραγίγνεται εἰς τὸν θάλαμον αὐτῆς ἐφ' ἅρματος, ἀστραπαῖς καὶ βρονταῖς ὁμοῦ, καὶ κεραυνὸν ἵησιν. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλειπούσης, ἑξαμηνιαῖον τὸ βρέφος ὁ Ζεὺς ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ. Ἡ ἱστορία παρ' Εὐριπίδῃ ἐν Βάκχαις. Οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ.] Ἀλκμήνης, τῆς Ἠλεκτρύονος καὶ Ἀναξοῦς τῆς Ἀλκαίου, ἠράσθη Ἀμφιτρύων. Ὃς ἀνελὼν Ἠλεκτρύονα, βοῶν ἀμφισβητήσεως χάριν, ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας. σὺν αὐτῷ δὲ καὶ Ἀλκμήνη. Ὑποδεχθέντων δὲ ἀσμένως ὑπὸ τῶν βασιλέων τῶν τῆς πόλεως Κρέοντος καὶ Ἡνιόχης, τιμῆς ἐτύγχανον μεγίστης. Μὴ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι, εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσιν· κατηγωνίσατο αὐτοὺς Ἀμφιτρύων, προσλαβόμενος συμμάχους Βοιωτοὺς, καὶ Λοκροὺς, ἔτι δὲ καὶ Φωκεῖς, ἐνιαυτὸν προσεδρεύσας. Ὡς δὲ ἐπιστρέψας ἀπὸ τῆς στρατείας ἦγε τοὺς γάμους ἑαυτοῦ καὶ Ἀλκμήνης, τῇ αὐτῇ νυκτὶ ἐρασθεὶς αὐτῆς ὁ Ζεὺς, καὶ εἰκασθεὶς Ἀμφιτρύωνι, ἐμίγη, καὶ υἱὸν ἐποίησεν. Ὁμοίως δὲ καὶ ὁ Ἀμφιτρύων τῇ αὐτῇ νυκτί. Ἤδη δὲ ἐκείνης δεκαμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης, γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διὸς, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος, τῇ αὐτῇ νυκτί. Φασὶ, Δία, συγκοιμώμενον Ἀλκμήνῃ, πεῖσαι τὸν Ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας. Ὅθεν καὶ ἐπὶ τρεῖς νύκτας συγκοιμηθεὶς αὐτῇ ὁ Ζεὺς, τὸν τριέσπερον Ἡρακλέα ἐποίησε. 325. Χάρμα βροτοῖσι.] Χαρὰν τοῖς ἀνθρώποις. διὰ τὸ εὑρεῖν συκῆν καὶ ἄμπελον. 326. Καλλιπλοκάμοιο.] Ἀλληγορικῶς, πλοκάμους, τοὺς στάχυας, δεῖ νοεῖν, ὡς καὶ ἱστοροῦσιν αὐτὴν ἐστεμμένην τοῖς στάχυσι. 327. Λητοῦς.] Κοίου θυγατρὸς, ἑνὸς τῶν Τιτάνων. Ἧς δύο παῖδες, Ἀπόλλων, καὶ Ἄρτεμις. 331. Λιλαίεαι.] Ἐπιθυμεῖς, προθυμῇ. 332. Προπέφανται.] Προφανῆ ἐστι, φανερά. 333. Πῶς κ' ἔοι.] Πῶς ἂν γένοιτο. τί ἂν εἴη. 334. Ἀθρήσειεν.] Ἴδοι. Τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ διαδράκοι. 335. Πεφράδοι.] Φράσειε, δηλώ-

ἐξ εὐνῆς ἀνστᾶσα· νεμεσσητὸν δέ κεν εἴη.
ἀλλ' εἰ δή ῥ' ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν·
ἔνθ' ἴομεν κείοντες, ἐπεί νύ τοι εὔαδεν εὐνή.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, μήτε θεῶν τόγε δείδιθι, μήτε τιν' ἀνδρῶν,
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.
Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν·
τοῖσι δ' ὑπὸ Χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ' ἑρσήεντα, ἰδὲ κρόκον, ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν· ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε.
τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο
καλήν, χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.
Ὣς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,

340. ἔϝαδε. 342. Ϝήρη. 346. Ϝὴν παράκοιτιν. 348. leg. ἑρσήεντ' ἠδέ. 349. ἔϝεργε. 350. Ϝέσσαντο.

posita sunt.—336. νεμεσσητόν. indignandum, quia turpe. Hesych. ἐπίφθονον· μεμψίμοιρον. καὶ ὃ ἄν τις ἐντραπείη. ultima ad h. l. spectant ut inf. Π. 544. νεμεσσήθητε. αἰσχύνθητε.—338. Idem vs. sup. 167.—340. ἐπεὶ—εὐνή. *amplexus* pro ἐπεὶ ἁνδάνει σοι (cupido te incessit) συνευνᾶσθαι ἐμοί.—343. τοῖόν τοι. *nam ego* nobis *densissimam* nubem obducam. *Auream*, qualem natura cœli interdum offert. ἀμφικαλύψω ut 359. mox 350. ἐφέσσαντο more loquendi Homerico. ut Θ. 331. καί οἱ σάκος ἀμφεκάλυψε.

346. Locus pulcerrimus ex antiquitate, multis poetarum pro exemplo futurus; petitis ornamentis a verno tempore; et traducta re ab iis quæ præsentiam deorum arguunt vel numen; cf. Ε. 776, 7.—349. ὑψόσ' ἔεργε. διεῖργεν αὐτούς. præclare reddit mollitiem tori in gramine alto, quo ita suffulti sumus, ut elevari ab eo videamur.

352—387. Re a Somno nuntiata, Jovem obdormiisse, Neptunus, nunc instandum esse videns, incendit Achivorum pugnantium animos ira, suadetque, ut arma firmeiet, εἴποι. 350. Κείοντες.] Κοιμηθησόμενοι. Εὔαδεν.] Ἤρεσκεν. 346. Ἀγκάς.] Εἰς τὰς ἀγκάλας. Ἔμαρπτε.] Συνελάμβανε. 347. Τοῖσι δ' ὑπὸ χθών.] Ἐκπεσὼν εἰς φορτικοῦ πράγματος διήγησιν, ἐφ' ἕτερα τὸν λόγον μετήγαγε, τὰ ἀπὸ τῆς γῆς φυόμενα ἄνθη καὶ τὸ νέφος, δι' ὧν ἀπέκλεισε τὸ περαιτέρω πολυπραγμονεῖν ἡμᾶς. Ἀνθηρῶς δὲ γράφει τὴν εὐνὴν, καὶ προθεὶς τὸ γένος, ποίην, ἐπιφέρει τὸ εἶδος. Οὐκ εἶπε δὲ ῥόδον, διὰ τὸ ἀκανθῶδες. Νεοθηλέα δὲ, ἐπεὶ τὴν ἄλλην ἐνεμήθη καὶ ἐπάτησε τὰ ζῶα. Κατὰ συλλογισμὸν ἡ ὑπεροχὴ, εἴ γε καὶ τὰ ἄψυχα αἰσθάνεται τῆς δυνάμεως τοῦ θείου. Δῖα.] Ἡ μεγάλη καὶ θαυμαστή. Φῦεν.] Ἀνέφυσεν, ἀνέδωκε. Νεοθηλέα.] Νεωστὶ θάλλουσαν, χλωράν. Ποίην.] Βοτάνην. 348. Λωτόν.] Λωτὸς, εἶδος χόρτου ἑλείου, διὸ καὶ ἑρσήεντα, ὅ ἐστι, δροσώδη. Κρόκον.] Κρόκος, εἶδος ἄνθους. Ὡς καὶ ὁ ὑάκινθος. 349. Μαλακόν.] Ἁπαλόν. Ὑψόσ' ἔεργε.] Εἰς ὕψος ἐβάσταζε. Ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε.] Ὃς αὐτοὺς οὐκ εἴα ἐπὶ γῆς θλίβεσθαι, ἀλλ' ἀνεῖχε, καὶ ἀπεκώλυεν αὐτούς. 350. Λεξάσθην.] Κατεκοιμήθησαν. 351. Στιλπναί.] Στίλβουσαι, λαμπραί. Ἔ-

ὕπνῳ καὶ φιλότητι δαμείς· ἔχε δ' ἀγκὰς ἄκοιτιν.
βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος,
ἀγγελίην ἐρέων γαιηόχῳ Ἐννοσιγαίῳ·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Πρόφρων νῦν Δαναοῖσι, Ποσείδαον, ἐπάμυνε,
καί σφιν κῦδος ὄπαζε, μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύς· ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
Ὣς εἰπὼν, ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων·
τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
Ἀργεῖοι, καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ, καὶ κῦδος ἄρηται;
ἀλλ' ὁ μὲν οὕτω φησὶ, καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς
νηυσὶν ἐπὶ γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
κείνου δ' οὔτι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
ἀσπίδες, ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται,
ἑσσάμενοι, κεφαλὰς δὲ παναίθῃσι κορύθεσσι

355. Ϝερέων. 356. ἱστάμενος Ϝέπεα. 357. vulg. ἐπάμυναι.
358. corr. ἔτι γ' εὕδει. 360. Ϝήρη. 361. Ϝειπών.
370. al. ἐγὼν item 374. 372. Ϝεσσάμενοι.

miora invalidi validioribus et fortioribus mutuentur; persuadet idem hoc ipsis regibus in pugnam progressis, cum vulneribus tardati pugnare nequeant. In ipsa narratione inest aliquid luxatum: si compares 134—152. 363. 385. Obvius factus fuerat regibus ad pugnam prospiciendam procedentibus jam sup. 135. sq. Neptunus; nunc idem iterum prosilit inter promachos, increpat segnes et cessantes, suadetque, ut arma inter se permutent. Quomodo hoc fieri potuit medio in conflictu? et a regibus, qui aciem haud subierant?

357. πρόφρων omni cum studio.—358. κῦδος ὄπαζε. νίκην. ut superiores sint pugna.—360. παρήπαφε τὸν Δία, ὥστε (αὐτὸν) εὐνηθῆναι (παρ' αὐτῇ) ἐν φιλότητι.

364. Neptunus animos Achivorum partim pudore partim indignatione, Achillis mentione facta, pertentat. Qua specie se obtulerit deus, poeta non memorat. Supra vs. 136. *seni* se assimulaverat; antea N. 45. Calchanti, 216. Thoanti.—366. ὁ μὲν οὕτω φησὶ scil. νῆας ἑλεῖν, putat, confidit, ita se facturum esse et classe potiturum. ut sup. 45. ὥς ποτ' ἐπηπείλησεν.—372. ἀσπίδας ἑσσάμενοι. quod alias de thorace: nunc de clipeo,

ερσαι.] Δρόσοι, σταλαγμοί. 358. Ὄπαζε.] Περιεποίει. 359. Κῶμα.] Τὸ κοίμημα. 360. Παρήπαφε.] Παρηπάτησε. παρέπεισε. 363. Προθορών.] Προαλλόμενος, προπηδήσας. 364. Ἀργεῖοι, καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην.] Μεθίεμεν, παραχωροῦμεν. Ταῦτα δὲ, καὶ τὰ ἑξῆς, κατ' ἐπερώτησιν ἀναγνωστέον. 365. Ἄρηται.] Καρπώσηται, λάβῃ. 368. Ποθή.] Ἐπιζήτησις, χρεία. 372. Ἑσσάμενοι.] Λαβόντες, καθοπλισάμενοι. Παναίθῃσι.] Πάνυ

κρύψαντες, χερσί τε τὰ μακρόταθ' ἔγχε' ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼ ἡγήσομαι, οὐδέ τί φημι
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχῃ δ' ὀλίγον σάκος ὤμῳ,
χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω.
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον, οὐτάμενοί περ,
Τυδείδης, Ὀδυσεύς τε, καὶ Ἀτρείδης Ἀγαμέμνων·
οἰχόμενοι δ' ἐπὶ πάντας, ἀρήϊα τεύχε' ἄμειβον.
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκεν.
αὐτὰρ ἐπεὶ ῥ' ἕσσαντο περὶ χροὶ νώροπα χαλκὸν,
βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
  Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμεε φαίδιμος Ἕκτωρ.
δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
κυανοχαῖτα Ποσειδάων, καὶ φαίδιμος Ἕκτωρ·
ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε

376. vulg. ἔχει. 382. vulg. δόσκον. 383. ἐπεὶ Ϝέσσαντο. 386. Ϝείκελον.

respectu baltei, e quo pendebat.—375. μενέειν, sc. ἡμᾶς. subsistendo sustinere.—377. ἐνδύτω ἀσπίδι. v. ad K. 254.

386. τῷ δὲ, seu Ποσειδῶνι, seu ἄορι. huic nemo ausit occurrere, objicere se; itaque nec concurrere cum Neptuno. οὐ θέμις ἐστίν. οὐ θεμιτόν. ut Lat. fas, de eo quod nemo facere ausit, quia perfici nequit. Ita est non modo quod lege vetitum est, verum etiam fato, vel etiam metu, ut h. l. ut Π. 796. πάρος γε μὲν οὐ θέμις ἦεν add. Od. K. 73. Pindar. P. IX. 75. de Apolline, σὲ, τὸν οὐ θεμιτὸν ψεύδει θίγειν. qui falli nequis. Abiit quoque ad pedestres scriptores.

388 ad f. Nunc efficitur Neptuni opera et Achivorum virtute, ut Trojani castris iterum excedant. Primo usque ad 401. pugna recrudescit acerrima.—388. ἐκόσμεε. nunc non ut antea, 379. sed *instruere ordinibus*.—389. ἔριδα πτολέμοιο τάνυσσαν, *intentis viribus, acriter, pugnarunt.* Formam loquendi jam vidimus N. 358, 9. magnificum autem Hectorem opponi Neptuno.

392. Mirabilis rerum species magni ingenii inventum! ad tumultum pugnæ ex-

στιλπναῖς, λαμπραῖς. 376. Μενέχαρμος.] Ὑπομονητικὸς ἐν μάχῃ. Ὀλίγον σάκος.] Ἀντὶ τοῦ, μικρὰν ἀσπίδα. Ἔστι δὲ ποσότης ἀντὶ πηλικότητος. 377. Χείρονι.] Ἐλάττονι. 379. Ἐκόσμεον.] Διέτασσον. 381. Οἰχόμενοι δ' ἐπὶ πάντας.] Πάντας ἐπερχόμενοι. Ἄμειβον.] Νῦν, ἤλλασσον. 382. Ἐσθλά.] Γενναῖα. Δόσκεν.] Ἐδίδου. 383. Νώροπα.] Λαμπρόν. 385. Τανύηκες.] Ἐπὶ μῆκος ἠκονημένον, μακρὰν καὶ παρατεταμένην ἔχον τὴν ἀκμήν. 386. Ἀστεροπῇ.] Ἀστραπῇ. Τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι Ἐν δαῒ λευγαλέῃ.] Τῷ δὲ Ποσειδῶνι οὐ δίκαιόν ἐστι μιχθῆναι ἐν τῇ ὀλεθρίᾳ μάχῃ. 387. Ἰσχάνει.] Κατέχει, λαμβάνει. Ἀλλὰ δέος ἰσχάνει ἄνδρας.] Πεποίηται γὰρ εἰς φόβον, οὐκ εἰς

Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ·
οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο,
οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν
ἠπύει, ὅστε μάλιστα μέγα βρέμεται χαλεπαίνων·
ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή,
δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ' ἀφάμαρτε,
τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,
ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου·
τώ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ' Ἕκτωρ,
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, Κῆρ' ἀλεείνων.
τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας
χερμαδίῳ, τά ῥα πολλά, θοάων ἔχματα νηῶν,

396. ποτὶ f. ποθί. 403. ἰθύ Fοι. 406. τώ Fοι.
407. vulg. ὅττι δή οἱ. ῥά Fοι et ὠκὺ Fετώσιον. 408. ἐς Fέθνος.

primendum primo in auxilium vocat maris regi suo subvenientis fluctus, tempestate motos! ut solet natura deorum præsentiam sentire; mare adeo exæstuat Neptuno præsente. tum comparat idem maris et ignis furentis et procellosi aeris fremitum. Mirabilis vero sagacitas in eo spectanda, quod hæc ab initio præmittit, antequam de ipsa pugna exponat, ita ut jam ab initio animus legentis percussus sit terrore et magnarum rerum expectatione teneatur. ἐκλύσθη δὲ θάλασσα. ἐκλυδωνίσθη, *fluctibus agitatum.*—396. οὔτε τόσσος γε βρόμος (γίνεται) πρὸς πυρὸς pro παρά, h. e., ἐκ πυρός. At 398. ποτὶ δρυσὶν est dictum pro ἐπί. ἐν δρυσίν. et 395. cum quarto casu ποτὶ χέρσον, eadem vi.

402—439. Hector cum Ajace congressus vulnere accepto absportatur.

403. ἐπεὶ προσετέτραπτό οἱ. *conversus in eum* κατ' ἰθύ, *recta, ore recto.* οὐδ' ἀφάμαρτε, pro ἔτυχεν αὐτοῦ ἐκεῖ, ᾗ. Puta autem a dextra ensem, a sinistra clipeum dependisse suis balteis. cf. sup. ad Λ. 38. Munimentum corporis itaque hac parte erat triplex: geminatus balteus super thorace. τέρενα, epitheton ornans sine vi.—406. χώσατο. veteres reddunt συνεχύθη.—410. ἔχματα νηῶν. Subjecta seu supposita saxa, quibus firmarentur naves in solum deductæ. Pugnatum adeo jam erat inter naves?

φόνον. 390. Κυανοχαῖτα.] Μελανόθριξ. 394. Βοάᾳ.] Βοᾷ, ἠχεῖ. Προτὶ χέρσον.] Προσρηγνύμενον τῇ γῇ. 395. Πόντοθεν.] Ἐκ τῆς θαλάσσης ὁρμῶν. 396. Βρόμος.] Κυρίως ὁ τοῦ πυρὸς ἦχος. Ὅθεν καὶ Βρόμιος, ἀπὸ τοῦ πυρός. Ἐν οἷς οἱ ποιηταὶ καὶ τὸν μῦθον ἔπλασαν, ὅτι ἐκ Διὸς καὶ Σεμέλης ἐστὶ, βληθείσης τῷ κεραυνῷ, καὶ ὅτι πυρογεννής ἐστιν. 397. Ὤρετο.] Ὥρμησεν. 399. Ἠπύει.] Βοᾷ, ἠχεῖ. 402. Αἴαντος ἀκόντισεν.] Ἀντὶ τοῦ, κατὰ τοῦ Αἴαντος ἔβαλεν. 403. Πρὸς ἰθύ οἱ.] Πρὸς εὐθὺ αὐτοῦ. 404. Τελαμῶνε.] Οἱ ἀναφορεῖς. Τετάσθην.] Ἐξετέταντο. 406. Τώ οἱ ῥυσάσθην τέρενα χρόα.] Ἀντὶ τοῦ, οἵτινες τελαμῶνες ἐφύλαξαν αὐτοῦ τὸ σῶμα ἄτρωτον. Χώσατο.] Νῦν, ἐλυ-

πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο· τῶν ἓν ἀείρας,
στῆθος βεβλήκει ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς·
στρόμβον δ' ὣς, ἔσσευε βαλὼν, περὶ δ' ἔδραμε πάντη.
ὡς δ' ὅθ' ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
πρόῤῥιζος, δεινὴ δὲ θεείου γίγνεται ὀδμὴ
ἐξ αὐτῆς· τὸν δ' οὔπερ ἔχει θράσος, ὅς κεν ἴδηται
ἐγγὺς ἐών· χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός·
ὣς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι·
χειρὸς δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη,
καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
ἐλπόμενοι ἐρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς
αἰχμάς· ἀλλ' οὔτις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι, οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
Πουλυδάμας τε, καὶ Αἰνείας, καὶ δῖος Ἀγήνωρ,
Σαρπηδών τ' ἀρχὸς Λυκίων καὶ Γλαῦκος ἀμύμων·
τῶν δ' ἄλλων οὔτις εὖ ἀκήδεσεν, ἀλλὰ πάροιθεν
ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ· τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·

416. ὅς κε Ϝίδηται. 420. δέ Ϝοι. 421. μέγα ϜιϜάχοντες.
422. Ϝελπόμενοι Ϝερύεσθαι. 427. οὔτις Ϝεῦ. vulg. ἀκήδησ'. 430. οἵ Ϝοι.

vix putes, si locorum, in quibus pugnatur, situm et prospectum ante oculos habeas: nisi poetam topographiæ parum memorem dixeris; præstat statuere, omnino esse saxa magna, ex eo genere quæ navibus subjici poterant: etsi paullo durius id fieri bene teneam.—412. στῆθος βεβλήκει. recessit adeo Hector vultu versus Achivos verso.—413. ἔσσευεν, Ajax, ὡς στρόμβον, accipio h. l. discum; at veteres βέμβηκα, turbinem puerorum. περιέδραμε τὸ χερμάδιον.—417. χαλεπὸς δὲ pro γάρ. *terribile enim fulmen est.*—supino ore reclinatur, itaque scutum balteo alligatum supra os incidit, ἐφήφθη αὐτῷ. κατηνέχθη cadenti; ita et galea decidit capite: sed annexa loris pependit.—427. Etiam alii Hectoris curam habuere et prætenderunt ipsi scuta.—429, 430. ὄφρ' ἵκεθ' ἵππους. Jusserat Hector currum se subsequi in castra, nam sup. N. 749. eum iterum curru descendere vidimus; jusserat tamen hunc haud procul a tergo tenere, ut ex h. l. patet.

πήθη. 411. Ἀείρας.] Ἄρας. 413. Στρόμβον.] Ὡς ῥόμβον περιφερῆ. Λέγει δὲ τὸν καλούμενον βέμβηκα. Δίκην οὖν ῥόμβου ἐποίησεν αὐτὸν στρέφεσθαι, σφοδρῶς πλήξας. Ἔσσευε.] Κινεῖσθαι ἐποίησε. Περὶ δ' ἔδραμε.] Περιῆλθεν, ἢ πέριξ. 414. Ἐξερίπῃ.] Ἐκπέσῃ. 415. Πρόῤῥιζος.] Μέχρι ῥιζῶν. Θεείου.] Θείου. Προσληπτέον δὲ, κεραυνοῦ. Ὀδμή.] Ποιότης. πνοή. 416. Τὸν δ' οὔπερ ἔχει θράσος ὅσκεν ἴδηται.] Πάντες δὲ αὐτὸν καταπλήττονται οἱ ἰδόντες. 419. Ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη.] Ἐπικατεκάμφθη δὲ αὐτῷ ἡ ἀσπίς. ὅ ἐστι, κατηνέχθη. 423. Αἰχμάς.] Ἀκόντια. 424. Περίβησαν.] Ὑπερεμάχησαν. 427.

οἱ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεὺς,
ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονὶ, κὰδ δέ οἱ ὕδωρ
χεῦαν· ὁ δ' ἀμπνύνθη, καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν.
ἑζόμενος δ' ἐπὶ γοῦνα, κελαινεφὲς αἷμ' ἀπεμεσσεν.
αὖτις δ' ἐξοπίσω πλῆτο χθονὶ, τὼ δέ οἱ ὄσσε
νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργεῖοι δ', ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα,
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
Σάτνιον οὔτασε, δουρὶ μετάλμενος ὀξυόεντι,
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε Νηῒς ἀμύμων
Ἤνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος.
τὸν μὲν Ὀϊλιάδης δουρικλυτὸς, ἐγγύθεν ἐλθὼν,

432. προτὶ Fάστυ. 435. κὰδ δέ Fοι. 438. δέ Fοι. vulg. κὰδ δέ οἱ.
440. Fίδον. 444. Fηνοπίδην. 445. Fήνοπι.

433. πόρον Ξάνθου ἷξον. Iidem vss. Φ. 1, 2. et Ω. 692, 693. manifestum adeo Trojanos ad castra Achivorum pervenisse Scamandro a tergo relicto. Existimes utique et ita solemus existimare, *trajiciendum fuisse amnem* ante accessum ad castra. Ex verbis tamen hoc non efficitur; potuit locus esse, quo fluvius trajici posset; at, quem tamen trajicere necesse non erat iis, qui ad castra tendebant in campo inter duo amnes patente; præterierunt saltem hi vadum illud a latere relictum. Jam autem, quod vel ex Z. 4. constat, Trojani in planitie camporum inter duo amnes discurrebant et pugnabant; et potuit Trojam perveniri amne non trajecto; sed itinere secundum dextram amnis ripam per planitiem camporum facto. cf. ad Φ. 1, 2. Ω. 350. et 692, 3.—434. Non sensit illa ætas, non bene Xanthum, nunc deum, dici δινήεντα, dum subjicitur, *eum a Jove natum* esse, ut nec sup. de Oceano vs. 311. δῶμα βαθυῤῥόου Ὠκεανοῖο. Atqui nec Alexandrini poetæ similia respuerunt, nec Horatius aut Virgilius.—436. κατέχευάν οἱ ὕδωρ pro vulgari αὐτοῦ.—437. ἑζόμενος ἐπὶ γοῦνα, *succidius poplitibus collapsus.* inf. 495. simpl. ἑζόμενος.—438. πλῆτο χθονὶ, est a πλάω, idem ac πελάω, ἐπέπλητο, *admovebatur terræ*, collapsus in terram.—439. βέλος, vulnus, ictus vis, qua vires animi adhuc fractæ et debilitatæ jacebant.

440—458. Absportato Hectore erecti Argivi acrius instant Trojanis. Ajax, Oilei f. Satnium Enopis f. necat; at Prothoenorem ex Achivis Polydamas: qui de successu gloriatur.

440. νόσφι κιόντα. ἀπερχόμενον, absportatum.—445. *Satniois* Troadis fl. in finibus

Οὔτις εὖ ἀκήδησεν.] Οὐδεὶς δὲ αὐτοῦ ἠμέλησε, καὶ ἠφροντίστησε. 433. Πόρον ἷξον.] Παρεγένοντο εἰς τὸ διαβατὸν καὶ πορεύσιμον μέρος τοῦ ποταμοῦ. 434. Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς.] Ἰδίως τὸν μὲν σωματικὸν Ξάνθον Διὸς γενεαλογεῖ, τὸν δὲ ποταμὸν Ὠκεανοῦ λέγει, Ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα, Καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσι. 435. Πέλασαν χθονί.] Ἔθεσαν εἰς τὴν γῆν. 436. Ἀμπνύνθη.] Ἔμφρων ἐγένετο, λειποθυμήσας. Ἀνέδρακεν.] Ἀνέβλεψεν. 437. Ἑζόμενος δ' ἐπὶ γοῦνα.] Διαναστὰς ἐπὶ γόνατα. Ἀπέμεσσεν.] Ἀπήμεσεν, ἀπέμει. 438. Πλῆτο.] Προσεπελάσθη. 439. Βέλος.] Ἡ ἀπὸ τῆς βολῆς ὀδύνη. Ἢ ὁ βεβλημένος τόπος. Ἐδάμνα.] Κατεπόνει. 441. Θόρον.] Ὥρμησαν. 443. Μετάλμενον.] Ἐπι-

οὔτασε καλλαπάρην· ὁ δ' ἀνετράπετ'. ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
τῷ δ' ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοΐδης· βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
υἱὸν Ἀρηϊλύκοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν. ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ·
Πουλυδάμας δ' ἔκπαγλον ἐπηύξατο, μακρὸν ἀΰσας·
  Οὐ μὰν αὖτ' ὀΐω μεγαθύμου Πανθοΐδαο
χειρὸς ἀπὸ στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ· καί μιν ὀΐω
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.
  Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε
τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα.
καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο Κῆρα μέλαιναν,
λικριφὶς ἀΐξας· κόμισεν δ' Ἀντήνορος υἱὸς
Ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον·
τόν ῥ' ἔβαλε, κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,

447. vulg. οὖτα κατὰ λαπάρην. 453. vulg. ἐπεύξατο.
464. vulg. Ἀρχίλοχος.

Lelegum: ut Z. 34. ad eum urbs Pedasus ibid. et Φ. 85, 86. ubi v. not.—449. *Polydamas*, Panthoi f. quem alias prudentem (M. 60. N. 726. sq.) nunc et fortem exhibet poeta.—450. *Prothoenor*, Areilyci f. erat inter duces Bœotorum: sup. B. 495.—454. οὐ μὰν αὖτε—αὖτε nunc non potest esse *iterum*, cum nihil præcesserit: sed pro δή. *utique*. De usu particularum in prisco sermone parum subtiliter constituto sæpe monitum.—πηδῆσαι ἅλιον pro πεπηδηκέναι. ἐξορμηθῆναι. Sollennius πέτεσθαι de hasta. Comparat τὸ, ἔκφυγε χειρὸς Eustathius.—456. κόμισε τὸν ἄκοντα (ἐν) χροΐ, ἀπεκόμισεν, ἀπέλαβε, *recepit in suo corpore*, ἐξεδέξατο, ictus est telo.—457. ut hasta utatur pro scipione; ut reges vulnerati sup. 38. ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι.

458—475. Ajax Polydamantis jactantia incensus telo eum petit, feritque Archelochum, Antenoris f. quo facto et ipse gloriatur.—463. λικριφὶς ἀΐξας, *corpore obliquato*, latere contracto, ut præterfugeret hasta eo intacto. Nisi cum Koeppen malis: saltu seu motu in obliquum facto. δοχμὸς ἀΐσσει aper sup. M. 148. Od. T. 451. κόμισε *recepit* hastam, ut modo 456. *Archelochus* Antenoris f. v. sup. M. 100.—465. jactu hastæ ex obliquo facto. ἐν συνεοχμῷ in junctura capitis et cervicis (κατὰ) νείατον

πηδῶντα. 445. Σατνιόεντος.] Σατνίου ποταμοῦ. 447. Κατὰ λαπάρην.] Κατὰ τὴν λαγόνα. Ἀνετράπετο.] Εἰς τοὐπίσω ἀνετράπη. 449. Ἀμύντωρ.] Βοηθός. 452. Ἔσχε.] Διῆλθεν. Ἀγοστῷ.] Ἀγκάλῃ. 454. Οὐ μὰν αὖτ' ὀΐω, μεγαθύμου Πανθοΐδαο.] Ἑαυτοῦ λέγει. 455. Πηδῆσαι ἄκοντα.] Ἀντὶ τοῦ, πεπηδηκέναι, καὶ ἐξορμηθῆναι. Ἄκοντα.] Ἀκόντιον. 456. Κόμισεν.] Ὑποδέξατο. Χροΐ.] Τῷ σώματι. 457. Σκηπτόμενον.] Σκηριπτόμενον, ἐρειδόμενον. 463. Λικριφὶς ἀΐξας.] Εἰς πλάγιον ὁρμήσας. ὅ ἐστιν, ἐγκλίνας. 465. Ἐν συνεοχμῷ.] Ἐν τῇ συναφῇ τοῦ ἰνίου, ἐν τῷ συνδέσμῳ. Ἀστράγαλον δὲ νῦν τὸν σπόνδυλον. Εἴρηται κατὰ ἀντί-

νειατον αστραγαλον· απο δ' αμφω κερσε τενοντε.
του δε πολυ προτερη κεφαλη, στομα τε, ρινες τε
ουδεϊ πληντ', ήπερ κνημαι και γουνα πεσοντος.
Αιας δ' αυτε γεγωνεν αμυμονι Πουλυδαμαντι·
Φραζεο, Πουλυδαμα, και μοι νημερτες ενισπε,
ἠ ρ' ουχ ουτος ανηρ Προθοηνορος αντιπεφασθαι
αξιος· ου μέν μοι κακὸς είδεται, ουδὲ κακῶν εξ·
αλλα κασιγνητος Αντήνορος ιπποδαμοιο,
ή παϊς· αυτῷ γαρ γενεὴν αγχιστα εῴκει.
Ἠ ρ', ευ γιγνώσκων· Τρῶας δ' αχος ελλαβε θυμόν.
ενθ' Ακαμας Πρόμαχον Βοιώτιον ουτασε δουρὶ,
αμφὶ κασιγνήτῳ βεβαώς· ο δ' υφελκε ποδοῖϊν.
τῷ δ' Ακαμας εκπαγλον επευξατο, μακρον αυσας·
Αργειοι ιομωροι, απειλαων ακορητοι,
ου θην οιοισί γε πονος τ' εσεται και οϊζυς
ημῖν, αλλά ποθ' ὧδε κατακτανέεσθε και υμμες.
φραζεσθ', ως υμῖν Πρόμαχος δεδμημένος ευδει
εγχει εμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δηρὸν εη ατιτος· τῷ καί κέ τις ευχεται ανὴρ
γνωτὸν ενὶ μεγάροισιν αρῆς αλκτῆρα λιπέσθαι.

467. vulg. πρότερον. 471. vulg. ἦ δὴ οὐχ. 472. κακὸς Fείδεται. v. Obss. 474. ἄγχισται FεFοίκει. 485. vulg. ἐνὶ μεγάροις ἄρεως.

ἀστράγαλον h. σπόνδυλον, vertebra extrema versus sinciput.—471. Compensari ait, tanquam ἀντιμιτρήσει, jacturam in Prothoenore factum cæde Archelochi, ultosque adeo esse Achivos istius cædem. Sic jam N. 446. sq.—472. οὐδὲ κακῶν ἐξ sc. γενόμενος, non *ignobili genere.* Supra 126. τῷ οὐκ ἄν με κακὸν καὶ ἀνάλκιδα φάντες. Koeppen laudat Theocr. XXV. 37. οὔ σε κακῶν ἐξ ἔμμεναι, οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτόν.

476—485. Acamas qui et ipse est inter Antenoridas: B. 823. necat Promachum, Alegenoris f. (inf. 503.) Bœotum: de quo facinore et ipse gloriatur, ultus fratris cædem.—477. ἀμφὶ κασιγνήτῳ βεβαώς, ad tuendum corpus, ne spolietur.—479. ἰόμωροι. *bellicosi.* jam Δ. 242.—485. propter hoc ipsum in votis habet quisque, ut sibi frater superstes sit, qui sui ultor esse possit. ἀρῆς ἀλκτῆρα omnino *mali, calamitatis, injuriæ ultorem;* v. M. 334. sed λιπέσθαι sententiam revocat ad ipsam *mortem:* ergo φόνου τιμωρόν.

φρασιν· πολύστρεπτος γὰρ ὑπάρχει. 466. Ἀπὸ δ' ἄμφω κέρσε τένοντε.] Ἀπέτεμε δὲ ἀμφότερα τὰ κατατείνοντα αὐτοῦ νεῦρα. 470. Φράζεο.] Νῦν, ὅρα. 471. Προθοήνορος ἀντιπεφᾶσθαι.] Ἀντὶ τοῦ Προθοήνορος πεφονεῦσθαι. Ἀναστροφὴ, ὁ τρόπος. Πεφᾶσθαι.] Πεφονεῦσθαι. 472. Εἴδεται.] Φαίνεται. Κακῶν ἔξ.] Ἀντὶ τοῦ, ἐκ κακῶν. 474. Ἐῴκει.] Ὡμοιοῦτο. 475. Γιγνώσκων.] Εἰδώς. 479. Ἰόμωροι.] Οἱ περὶ τοὺς ἰοὺς, ὅ ἐστι, τὰ βέλη, κακοπαθοῦντες. πολεμικοί. Ἀπειλάων.] Καυχήσεων. 480. Οὔ θην οἴοισιν.] Οὐ δὴ μόνοις. Πόνος.] Κακοπάθεια. Ὀϊζύς.] Ταλαιπωρία. 482. Δεδμημένος.] Ἀνῃρημένος. 483. Ποινή.] Ἀντέκτισις, τιμωρία. 484. Ἄτιτος.] Ἀτιμώρητος. 485. Γνωτόν.] Ἀντὶ τοῦ, ἀδελφόν. Ἄρεως ἀλκτῆρα.] Ἀλεξητῆρα τοῦ πολέμου, καὶ βοηθόν. ἤ,

Ὣς ἔφατ᾽· Ἀργείοισι δ᾽ ἄχος γένετ᾽ εὐξαμένοιο·
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
ὡρμήθη δ᾽ Ἀκάμαντος. ὁ δ᾽ οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέοιο ἄνακτος· ὁ δ᾽ οὔτασεν Ἰλιονῆα,
υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει, καὶ κτῆσιν ὄπασσε·
τῷ δ᾽ ἄρ᾽ ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα.
τὸν τόθ᾽ ὑπ᾽ ὀφρύος οὖτα κατ᾽ ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ᾽ ὦσε γλήνην· δόρυ δ᾽ ὀφθαλμοῖο διὰ πρὸ,
καὶ διὰ ἰνίου ἦλθεν. ὁ δ᾽ ἕζετο χεῖρε πετάσσας
ἄμφω· Πηνέλεως δὲ, ἐρυσσάμενος ξίφος ὀξὺ,
αὐχένα μέσσον ἔλασσεν· ἀπήραξεν δὲ χαμᾶζε,
αὐτῇ σὺν πήληκι, κάρη, ἔτι δ᾽ ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῷ. ὁ δὲ φῆ, κώδειαν ἀνασχὼν,
πέφραδέ τε Τρώεσσι, καὶ εὐχόμενος ἔπος ηὔδα·
Εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλῳ καὶ μητρὶ, γοήμεναι ἐν μεγάροισιν.
οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,

489. Πηνελέοιο Fάνακτος et οὔτασε Fιλιονῆα. 492. τέκε Fιλιονῆα. 495. διὰ Fινίου. 496. δὲ, Fερυσσάμενος. 500. Fέπος. 501. Fειπέμεναι—Fιλιονῆος.

486—505. Peneleos propter Promachi necem Acamantem ulturus ferit Ilioneum e Trojanis, gloriabundus et ipse de facinore.—487. *Peneleos*, qui ὁρμᾶται κατὰ τοῦ Ἀκάμαντος, et ipse erat inter Bœotorum duces (B. 494.) ut Promachus.—491, 2. Est Mercurius inter deos Nomios, agrorum gregumque proventus augentes. πλούτου δοτήρ. et Ἐριούνης.—ὑπ᾽ αὐτῷ δὲ τίκεν sollenni poetæ usu, ut B. 714.—493. κατὰ ῥίζαν ὀφθαλμοῦ, elisa pupula, hasta per occiput prominente: Inverso modo illatum vulnus vidimus E. 73.—495. ἕζετο et χεῖρε πετάσσας ut sup. N. 549. videtur hasta oculo inhærens restitisse, quo minus præceps rueret; subsedit succiduis poplitibus; sup. 437. ἑζόμενος ἐπὶ γοῦνα.—499. κώδειαν ἀνασχὼν pro ὡς κώδειαν tanquam caput papaveris in caule, sic nunc caput infixum hastæ.—501. renuntiate quæso. *Clarke.*—503. οὐδὲ γὰρ ἡ Π. Comparata esse debet fortuna duorum cæsorum: uti Promachi Bœoti uxor non erit exceptura maritum reducem a Troja, ita nunc vicissim Ilionei cæsi parentibus mors filii erit lugenda. Supplenda adeo est propositio media: *nuntiate parentibus Ilionei*,

ὥς τινες, φόνου τιμωρόν. 490. Πολυμήλου.] Νῦν, πολλὰ πρόβατα ἔχοντος. 491. Κτῆσιν.] Τὰ κτήματα. 493. Θέμεθλα.] Ῥίζας, βάσεις. ἐφ᾽ ὧν ἥδρασται ὁ ὀφθαλμός. 494. Γλήνην.] Τὴν τοῦ ὀφθαλμοῦ κόρην. Διὰ πρό.] Διαμπὰξ, διόλου. 495. Πετάσσας.] Ἁπλώσας. 497. Αὐχένα.] Σπόνδυλον, τράχηλον. Ἔλασσεν.] Ἀντὶ τοῦ, ἀπέτεμεν, ἔκοψεν. Ἀπήραξεν.] Ἀπέτεμεν, ἀπέκοψε. 498. Πήληκι.] Περικεφαλαίᾳ. Κάρη.] Κεφαλήν. 499. Ὁ δὲ φῆ κώδειαν ἀνασχών.] Ἐλλείπει τὸ ὡς. ἵν᾽ ᾖ, ὡς κώδειαν ἀνατείνας. Κώδεια δέ ἐστιν ἡ τῆς μήκωνος κεφαλὴ, ὅ ἐστιν εἶδος βοτάνης. Οὕτως οὖν φησιν εἶπε, τὴν κεφαλὴν ἀνατείνας. 500. Πέφραδε.] Σήμανον, δεῖξον. Ὁτὲ δὲ, εἰπέ. Εὐχόμενος.] Μεγαληγορῶν, καυχώμενος. 502. Γοήμεναι.] Θρηνῆσαι. 503. Δάμαρ.]

ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλε.
πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
ὅστις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
ἤρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς Ἐννοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὗτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος, καὶ Μέρμερον ἐξενάριξε·
Μηριόνης δὲ Μόρυν τε, καὶ Ἱπποτίωνα κατέκτα·
Τεῦκρος δὲ Προθόωνα τ' ἐνήρατο, καὶ Περιφήτην·
Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,
οὗτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
δῃώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότος ὄσσε κάλυψε.
πλείστους δ' Αἴας εἷλεν, Ὀϊλῆος ταχὺς υἱός·
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὦρσεν.

507. δὲ Ϝέκαστος. 519. vulg. ὅσσ' ἐκάλυψε. 521. οὐ γάρ Ϝοί.

esse ipsis lugendum de filii morte; neque id injuria; *nam nec Promachi* ab eo cæsi *uxor reducem excipiet* maritum. Alio modo eadem extulerat E. 408. sq.

506. ad f. Cæsi Ilionei capite rescisso a Peneleo manu sublato et ostentato conterriti Trojani fugiunt. Fit eorum cædes promiscua.—506. τοὺς ὕφειλε δέος. alias simpliciter δέος εἷλε. vereor ne præstet ὑπόχλωρον δέος.—508. Musas invocat in re enarranda, cujus memoria inter homines esse poterat nulla; ut sup. B. 484.—509. ἀνδράγρια, *spolia cruenta viri cæsi quis primus legerit;* h. e. quis primus ex Achivis Trojanum hominem necaverit. *pugna inclinata.*—512. *Hyrtius* Mysorum dux fuit cum Chromide et Ennomo sup. B. 858. memoratis.—513. *Phalces* inter Trojanos jam N. 790. et *Morys* et *Hippotion* ibid. 792. at *Mermerus, Prothous, Peripheles* nusquam memorati; *Hyperenoris* memoratio iterum fit inf. P. 24. sq. unde patet eum fuisse Panthi filium. Ἀτρείδης h. l. est Menelaus. nam Agamemnonem vulneratum pugnare non potuisse meminimus: 129. sq.—517. διήφυσεν ἔντερα, jam N. 507, 8.—520. sq. in hoc loco, apparet, quanta fugatis hostibus celeritatis pedum laus fuerit.—521. ἐπισπέσθαι, ἐπιδιῶξαι. ὅτε τε Ζεὺς φόβον ἐνῶρσε nunc universe dictum; non de præsenti fuga, quæ Jove ignaro fiebat.

Γυνή. 504. Γανύσσεται.] Ἡσθῇ, χαρῇ. 507. Αἰπύν.] Χαλεπόν. 508. Ἔσπετε.] Λέγετε. 509. Ἀνδράγρια.] Ἀνδρῶν ἀγρεύματα, σκῦλα. 510. Ἤρατο.] Ἀπενέγκατο, ἐκτήσατο. Ἔκλινεν.] Ἑτεροκλινῆ ἐποίησεν, ἔτρεψε. 512. Καρτεροθύμων.] Ἰσχυρῶν, τῇ ψυχῇ ἀνδρείων. 515. Ἐνήρατο.] Ἀνῄρησε. 517. Διάφυσσε.] Διέκοψε, διήντλησε. 518. Δῃώσας.] Διακόψας, τρώσας. Ὠτειλήν.] Τραῦμα. 519. Ἔσσυτο.] Ὥρμησεν. 521. Ἐπισπέσθαι.] Ἐπακολουθῆσαι. 522. Τρεσσάντων.] Διὰ δέος φυγόντων. Φόβον.] Φυγήν. Ὦρσε.] Ἐκίνησε.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Ο.

ARGUMENTUM.

JUPITER expergefactus, fugam Trojanorum et Hectorem animam agentem videns, Junonis fraudes incusat—33. illa culpam in Neptunum transferente, Jupiter professus palam, id quod decreverat, superiores se Trojanos pugna esse redditurum, donec pro injuria Achilli facta pœnas solvissent Achivi, Iridem ad hunc avocandum et Apollinem, ut Hectorem recreet, mittit—236. qui, receptis viribus, Trojanorum fugam sistit, Achivos conspectu suo perterret—280. Thoantis consilio, ab insequendo hoste colliguntur Achivi in unum globum a tergo principum, qui objectis corporibus Trojanos irruentes sustinent—305. tandem perterriti Achivi manifestam fugam capiunt, Apolline terrorem injiciente —327. Cæduntur multi ex Achivis—342. Achivos intra vallum se recipientes Trojani vallo rupto et fossa completa insequuntur viris equisque; fit pugna apud naves—389. Re jam ad summum discrimen adducta Patroclus in curando Eurypylo adhuc moratus ad Achillem propere redit—405. Ante naves objiciunt se Achivi Trojanis, Ajax Hectori—418. Ajax Caletorem, Hector Lycophronem cædunt—435. Ajacis hortatu Teucer sagitta transfigit Clitum—457 cum altera vice arcum tenderet, rupto nervo, hasta pugnat—483. qua re conspecta Trojanos ad pugnam accendit Hector—500. nec minus altera ex parte Ajax suos—514. Fiunt cædes et mutui hortatus. Achivi ante naves fortiter ordines servant—567. Melanippo ab Antilocho, qui ante ordines prosiluerat, cæso, Hector multo magis exasperatus perfringere ordines annititur, et Periphetа cæso tantum terrorem Achivis injicit, ut post naves se recipiant—658. Nestore hortante, et caligine dispulsa, Ajax navium tabulata conscendit, aliosque hortatur, ut Trojanos ignem inferentes arceant—704. Tandem pugna increbescit circa navem Protesilai, quam Hector prehenderat, Ajax autem tuetur. ad f.

Ministerium deorum insigne hoc in libro est, primo Jovis, qui in Ida expergefactus stragem Trojanorum factam videt, Junonis perfidiam objurgat, eam ad Olympum relegat, mandatis ad Iridem et Apollinem datis; 4—78. exposito simul disertius consilio suo, quod Trojanos superiores pugna esse decretum apud se habet, donec Patroclo occiso Achilles arma iterum capturus sit 61—77. Juno, ubi in Olympum rediit, in medio deorum vanitatem consiliorum suorum adversus Jovis decreta exponit—76. facta autem ab ea mentione cæsi Ascalaphi, parens ejus Mars excandescens ægre a Minerva coercetur—110—142. Iris et Apollo ad Jovem in Idam progressi, illa quidem mandata Jovis ad Neptunum perfert, ut pugna decedat, quibus ægre ille paret 143—218. Apollo

autem mittitur, ut Hectori vires restituat, utque ægide sumta ante eorum turmas ingressus Achivos terreat 219—262. Quæ ille exsequens, ante Trojanos incedit cum ægide, 307—311. 326, 7. vallum diruit et fossam complet, ut lata in castra via pateat, 355—366. Factis interea a Nestore precibus, Jupiter tonitru facto augurium edit 370—378. Teucro arcum intendenti nervum rumpit 461—5. 489—493. ut consilia ad exitum adducat, Hectoris et Trojanorum robur animumque fovet et auget 593—614. Ad mythicum, seu poeticum phantasma pertinet, quod Minerva (quæ inde a lib. VIII. 426. in Olympo sedebat) caliginem ab Achivorum oculis removet: hæc et similia dii, eminus quoque, facere narrantur.

Liber est inter præstantiores, germanam virtutem Martiam spirans, et Hectorem Ajacemque collocans in conspicuo virtutis cum laude exerendæ loco. Παλίωξις hæc rhapsodia olim fuit inscripta, Achivis invicem a Trojanis, qui rejecti a castris fuerant, in castra fugatis.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ο. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΖΕΥΣ ἐγερθεὶς, καὶ θεασάμενος τοὺς Τρῶας νικωμένους, Ἥρᾳ ἐπιπλήσσει, καὶ Ἶριν μὲν πέμπει πρὸς Ποσειδῶνα, κελεύων ἀφίστασθαι τοῦ πολέμου· Ἀπόλλωνα δὲ, ὅπως ἀνδρώσῃ τὸν Ἕκτορα. Ὃς ἀναλαβὼν αἰγίδα, τοὺς Ἕλληνας εἰς φυγὴν τρέπει· καὶ μέχρι τῶν νεῶν συνδιωχθέντων, Αἴας ὁ Τελαμώνιος πολλοὺς ἀναιρεῖ τῶν πολεμίων τοὺς ταῖς ναυσὶ πῦρ ἐπιφέροντας.

Οὐ Κρονίδης κεχόλωτο Ποσειδάωνι καὶ Ἥρῃ.

ΑΥΤΑΡ, ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσὶν,
οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες,
χλωροὶ ὑπὸ δείους, πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης.
στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιοὺς,
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους· μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα.

6. Ϝίδε. 8. Ποσειδάωνα Ϝάνακτα.

1—33. Jupiter e somno expergefactus, strage Trojanorum animadversa, rem Junonis fraude administratam suspicatus, gravibus minis eam increpat.

1. *διέβησαν* Trojani *τάφρον καὶ σκόλοπας* h. in spatio super fossam vallis munitam relicto, ut adiri possent castra. v. ad M. 66. Ita enim pluribus locis *σκόλοπας καὶ τάφρον* dictum videmus pro simplici *fossa*, at *διαβῆναι σκόλοπας καὶ τάφρον*, trajicere aggerem, per fossam ductum.—3. Currus reliquerant Trojani ante vallum, saltem plerique. M. 76, 82. apud hos nunc consistunt. *οἱ μὲν δὴ*, sunt ipsi *φεύγοντες*, qui fugæ

1. *Διά τε σκόλοπας καὶ τάφρον ἔβησαν.*] Τὸ ἑξῆς· διέβησαν τούς τε σκόλοπας καὶ τὴν τάφρον. Ὑπερβατὸν γὰρ, ὁ τρόπος. 3. Ἐρητύοντο.] Κατείχοντο. 4. Ὑπαὶ δείους.] Ὑπὸ τοῦ δέους, ὅ ἐστι, φόβου. Τὸ ὑπαὶ δείους δύναται καὶ, χλωροὶ ὑπαὶ δείους, καὶ, πεφοβημένοι ὑπὸ δέους. Πεφοβημένοι.] Εἰς φυγὴν τετραμμένοι. Ἔγρετο.] Ἐγρηγόρησεν, ἀνέστη. 6. Ἀναΐξας.] Ἀνορμήσας, ἀναστάς. 7.

Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον· ἀμφὶ δ' ἑταῖροι
εἵαθ'· ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι, κῆρ ἀπινύσσων,
αἷμ' ἐμέων· ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
Ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
οὐ μὰν οἶδ', εἰ αὖτε κακοῤῥαφίης ἀλεγεινῆς
πρώτη ἐπαύρηαι, καί σε πληγῇσιν ἱμάσσω.
ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν

9. Fίδε. 12. τὸν δὲ Fιδών. 13. ὑπόδρα Fιδὼν—ἔFειπε. 16. Fοῖδ'.

finem fecerant, extra vallum receptu facto.—10. κῆρ ἀπινύσσων, κατὰ τὸ κῆρ. deficiens animo. αἷμ' ἐμέων, ut Ξ. 437. ex ictu saxi valida manu in pectus inflicti.—14. κακότεχνος δόλος, simpl. κακός. malitiose instructus dolus. mala fraus.—16. οὐ μὰν οἶδα. delibero. parum abest quin.—17. καί σε πληγῇσιν ἱμάσσω. Argutantur in his veteres; noli dubitare, vere de verberibus agi; res geritur ex rudium et ferociorum ætatum sensu et more: ut appareat et ipsum mythum et ejus enarrationem referendam esse ad tempora poetæ vita antiquiora; nam Homerica ætate talia comminisci ineptum fuisset.—16. αὖτε. iterum, ut ante ad puniendam fraudem ad Herculem perdendum inventam.

18—30. Nisi hæc a seriore manu inserta, sed antiquiora, sunt, satis ea testantur, extitisse carmina vetustiora de rebus Herculis, quibus hoc ejus naufragium ad insulam Con copiosius expositum esset, una cum pœna Junoni inflicta, cum illa tempestatem in Herculem moverat, Jove sopito. v. Ξ. 249. sqq.

18. Petitum a genere supplicii; quo quis e columna suspensus terram pedibus non attingit; adjectum et hoc, ut pedibus alligata essent pondera, seu saxorum, seu ferri massæ, μύδροι. pro his h. l. incudes. Forte ducti ab hoc supplicio Manes in inferis in aere suspensi: quos Maro narrat: et ab hoc explicationis genere oscilla in Bacchicis sacris ex arboribus fluitantia. Aliud vinculorum genus celebratum in Prometheo, aliud in Ixione.

Ὀρινομένους.] Ταρασσομένους. Κλονέοντας.] Ταράσσοντας. 10. Ἔχετ' ἄσθματι.] Ὑπὸ ἄσθματος συνείχετο. ὅ ἐστιν, ὑπὸ πολλοῦ πνεύματος, καὶ συνεχοῦς ἀναπνοῆς. Κῆρ ἀπινύσσων.] Ἐξεστηκὼς τῇ ψυχῇ, καὶ οὐ διακείμενος συνετῶς, ἀλλ' ἀσυνέτως. 11. Οὐκ ἀφαυρότατος.] Οὐκ ἀσθενής. 14. Ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος Ἥρη.] Ὄντως δὴ ὁ ἐπὶ κακῷ σου τετεχνασμένος δόλος, ὦ Ἥρα, τὸν Ἕκτορα ἔοικε τῆς μάχης πεπαυκέναι. Ἀμήχανε.] Πανοῦργε. πρὸς ὃν, οὐ δύναταί τις μηχανήσασθαι καὶ ἐπινοῆσαί τι. 16. Κακοῤῥαφίης.] Κακοσυνθεσίας, κακοβουλίας. 17. Ἐπαύρηαι.] Ἐπιψαύσῃ, ἀπολαύσῃς τῆς κακοβουλίας. Ἱμάσσω.] Μαστίξω. 18. Ἐκρέμω.] Ἐκρέμασο. Ὑψόθεν.] Ἐκ τοῦ αἰθέρος, ἀπὸ ὕψους. Ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθι, ἐκ δὲ ποδοῖϊν Ἄκμονας ἧκα δύο, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα.] Τοὺς τῆς Ἥρας δεσμοὺς νοητέον φυσικὴν τοῦ ἀέρος πρὸς τὸν αἰθέρα συμπλοκήν. Διὰ τοῦτο οὖν φησι, χρύσεον, ἄῤῥηκτον. ἵν' ᾖ, δυσδιαχείριστον. ἐπεὶ καὶ τὸ πῦρ χρυσαυγὲς καὶ δυσδιάλυτον. Ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω.] Καὶ ἔμπροσθεν περὶ τούτου εἴρηται ἱκανῶς. Ἀκριβέστερον δὲ νῦν. Διὰ γὰρ τούτων ὁ Ποιητὴς τὴν κοσμικὴν αἰνίττεται φύσιν. Δία μὲν καὶ Ζῆνα τὸν ἀνωτάτω ὑποτιθέμενος διάπυρον ἀέρα, Ἥραν δὲ τὸν δεύτερον· καὶ ταύτην φησὶν ὑπὸ Ὠκεανοῦ τετράφθαι, ἐπειδὴ ἐκ τῆς τῶν ὑγρῶν ἀναθυμιάσεως γίγνεται ἀήρ. Ἄκμονας δὲ γῆν καὶ θάλασσαν λέγει. Χρυσοῦν

ἀκμονας ἡκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἵηλα
χρύσεον, ἀῤῥηκτον; σὺ δ᾽ ἐν αἰθέρι καὶ νεφέλῃσιν
ἐκρέμω· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον·
λῦσαι δ᾽ οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λαβοιμι,
ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ᾽ ἂν ἵκηται
γῆν ὀλιγηπελέων· ἐμὲ δ᾽ οὐδ᾽ ὣς θυμὸν ἀνίει
ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας,
πέμψας ἐπ᾽ ἀτρύγετον πόντον, κακὰ μητιόωσα,

24, 25. vulg. θυμὸς ἀνίει ἀζηχὴς ὀδύνη—

19. περιέβαλον δεσμὸν χερσίν.—21. ἠλάστεον, de sensu mixto et indignatione et miseratione. lectum jam M. 163. 22. παρασταδὸν, παραστάντες. forma Apollonio in deliciis habita.—23. ῥίπτασκον τεταγών. apprehensum proturbavi. ut A. 521. ῥίψε ποδὸς τεταγών. Videntur respici ea, quæ de Vulcano narrata sunt A. 591. sqq.—26. τὸν σὺ ξὺν Βορέῃ. Videtur Juno in Heraclea Boream in suas partes traxisse, eodem modo, quo in Iliade Somnum Ξ. 231. sq. Adeo multa sunt, quæ arguunt, antiquiora extitisse carmina, e quibus Homerus profecit.—27. πέμψας ἐπ᾽ ἀτρύγετον πόντον. curru dejectum, nam Argos reditum parabat, tempestate in altum evexisti, ita ut naufragio

δὲ δεσμὸν, τὸ αἰθέριον πῦρ, ὅτι ἐν τῷ ἀνωτάτῳ μέρει συνῆπται αὐτῷ ὁ ἀήρ. Καὶ ῥιπτόμενον τὸν Ἥφαιστον εἰς θάλασσαν, παρ᾽ ὅσον μεταβάλλει εἰς ἄλληλα τὰ στοιχεῖα· πῦρ μὲν εἰς ἀέρα, ἀὴρ δὲ εἰς ὕδωρ. Χαλκεύοντα δὲ ἐν Ὠκεανοῦ, ὅτι τὰ στερεὰ τῆς δι᾽ ὕδατος καὶ πυρὸς ἐργασίας τυγχάνει. Καὶ Ἡσίοδος οὐρανὸν μὲν λέγει τὴν ἐκπύρωσιν. Κρόνον δὲ τὸν ἄνω κρουνηδὸν ἐπιφερόμενον ὄμβρον. Ῥέαν δὲ, τὴν ἐπιῤῥεομένην ὕδασιν. Ἐκτομὴν δὲ οὐρανοῦ, τὴν τοῦ πυρώδους ἐξ ὑγρῶν σβέσιν. Λίθον δὲ καταπινόμενον ὑπὸ Κρόνου, ἐπειδήπερ ἡ μεταβολὴ τῶν ὑγρῶν εἰς στεῤῥότητα πήγνυται. Κρύπτεσθαι δὲ τὸν Δία, διὰ τὸ τοῦ ζῆν ἐπικρατεῖν τῷ τῷ χειμῶνι τοὺς καρποὺς ἀφανίζεσθαι πλεοναζόντων τῶν ὑγρῶν. Καὶ ἐν τῷ· Τριχθὰ δὲ πάντα δέδασται, φυσικὴ γίνεται διάταξις γεγενημένη. Ὁ μὲν γὰρ τὸ ζῆν παρεχόμενος, Ζεὺς ὠνόμασται· ὁ δὲ τὴν ὑγρὰν οὐσίαν, ἀπὸ τῆς πόσεως Ποσειδῶν· Ἄδης δὲ ὁ θάνατος, παρὰ τὸ σκοτεινὸν καὶ ἀηδὲς τῆς τῶν ἀνθρώπων ἀπωλείας. 19. Ἄκμονας.] Βάρη σιδηρᾶ καθέλκοντα. Ἄκμονας δύο.] Τὰ βαρύτατα τῶν στοιχείων, γῆν, καὶ θάλασσαν. Ἐζήτηται δὲ, διὰ ποίαν αἰτίαν οὕτως ἀσχημόνως ὑβρίζει τὴν Ἥραν ὁ Ζεὺς διὰ θνητόν. φησὶ γὰρ, Οὐ μέμνη ὅτε τ᾽ ἐκρέμω ὑψόθι. Ῥητέον δὲ, ὅτι νῦν φιλοσοφεῖ Ὅμηρος· μυθικῶς γὰρ Ζεὺς ἐνταῦθα ὁ αἰθὴρ οὐρανοῦ τοῦ περὶ τὸν ἀέρα δεσμός ἐστιν ὁ ἄγων τὰ ὑγρά. καὶ ἐξ αὐτοῦ δεσμεύονται πάντα. Μετ᾽ αὐτὸν δὲ ὁ ἀὴρ μέσος γῆς καὶ ἀέρος, ὃ δεῖ νοεῖν ἡμᾶς τὴν Ἥραν ὑπάρχειν, τοῦ δὲ ἀέρος ἐκκρέμαται ὕδωρ τε καὶ γῆ. οὓς δεῖ νῦν ἄκμονας λέγειν, παρὰ τὸ ἀκοπίαστα εἶναι τὰ στοιχεῖα. Καλῶς δὲ οὐ δύνανται οἱ θεοὶ τὸν δεσμὸν λῦσαι. ἰσχὺς γὰρ τῶν ὅλων, τὸ συνδεδέσθαι. Ἧκα.] Ἀπεκρέμασα. Ἵηλα.] Περιέβαλον. 20. Ἀῤῥηκτον.] Στερεόν. 21. Ἠλάστεον.] Ἐδεινοπάθουν, συνήλγουν. 22. Παρασταδὸν ὃν δὲ λάβοιμι.] Ὃν δ᾽ ἂν λάβοιμί σοι παρεστῶτα. ἀντὶ τοῦ, ὃν δὲ ἔλαβον παριστάμενόν σοι. Δῆλον δὲ, ὅτι λέγει τὸν Ἥφαιστον. 23. Ῥίπτασκον.] Ἐῤῥίπτουν. Παραγωγὴ, ὁ τρόπος. Βηλοῦ.] Βαθμοῦ. Ὄφρ᾽ ἄν.] Ἕως ἄν. 24. Ὀλιγηπελέων.] Ὀλιγοδρανῶν, ὀλίγον ἰσχύων, καὶ ὀλιγοψυχῶν. Ἀνίει.] Εἴα, κατελίμπανεν. 25. Ἀζηχής.] Ἀδιάλειπτος. ἢ κακὸν ἦχον ἀποτελοῦσα. 26. Πεπιθοῦσα.] Πείσασα. Θυέλλας.] Συμβολὰς ἀνέμων. 27. Μητιόωσα.]

καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.
τὸν μὲν ἐγὼ ἔνθεν ῥυσάμην, καὶ ἀνήγαγον αὖτις
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων·
ὄφρα ἴδῃς, ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο, καί μ' ἀπάτησας.
Ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθε,
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
ὅρκος, δεινότατός τε πέλει μακάρεσσι θεοῖσι·
σή θ' ἱερὴ κεφαλή, καὶ νωΐτερον λέχος αὐτῶν
κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει.
ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει·
τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην,

29. vulg. ἐγών. 32. ὄφρα Ϝίδῃς. vulg. ὄφρ' εἰδῇς. 34. πότνια Ϝήρη. 34. φωνήσασα Ϝέπη. 44. νηυσὶ Ϝιδών. 45. vulg. κᾀκείνῳ.

facto Con enataret, aut nave quassata eo deferretur.—29, 30. Herculem incolumem Argos reduxit Jupiter καίπερ ἀθλήσαντα πολλά. Ordo narratæ fabulæ videtur diversus esse ab eo, quem alii sequuntur, cum ab insula Co Herculem in Pallenen deduxerunt. (Apollod. II. 7, 1.) Nisi poeta ista adversus Gigantes gesta præterit, et reditum serius factum solum memorat; omisso etiam prælio, quod cum Meropibus in insula Co fecit.

34—47. Juno jurat, Neptunum suo ipsius judicio Achivis opitulari, nec se ei auctorem consilii fuisse. Itaque Somnus nuntium ad Neptunum, nullo Junonis monitu, pertulerat Ξ. 354.

36. Jurari per numina antiquissima, eaque esse ipsa naturæ elementa, jam alibi vidimus, ut Γ. 276. sq. Nunc quoque adjicitur obtestatio per res carissimas vs. 39. 40. scil. tam verum esse id, quod testamur, quam cara res est per quam juramus. Sunt autem ii per quos juramus, pro testibus; hinc formula ἴστω· quæ proprie ad Γαῖαν et Οὐρανὸν et Στύγα, pro Orco, et Inferis dictam, spectat: improprie ad caput et torum mariti translata; quæ pro pignore fidei et veritatis sunt habenda. De formula Ἴστω v. Τ. 258.—37. κατειβόμενον, ὃ ἐκ πέτρης καταλείβεται ap. Hesiod. Theog. 786.—46. τῇ ἴμεν ᾗ κεν—pro ὁμοφρονεῖν σοι. Mox ἴσον φρονεῖν.

Βουλευομένη, ἐργαζομένη. 28. Ἀπένεικας.] Ἀπαχθῆναι ἐποίησας. 30. Ἀθλήσαντα.] Κακοπαθήσαντα. 31. Αὖτις.] Ἐκ δευτέρου, πάλιν. Ἀπολλήξῃς.] Παύσῃ. 32. Ἤν τοι.] Ἐάν σοι. 36. Ἴστω.] Γιγνωσκέτω. 37. Κατειβόμενον.] Καταῤῥέον. Στυγὸς ὕδωρ.] Ἐπεὶ ἡ Στὺξ κατὰ τὸν Ἡσίοδον ἐστὶν ἱερὰ πηγὴ, θυγάτηρ Ὠκεανοῦ, ἢ, ὥς τινές φασιν, ὅτι ὁμώνυμος ταύτῃ ἐστὶν ἡ πηγὴ ἡ ἐν Ἅιδου, ὅρκον αὐτὴν φρικτὸν οἱ θεοὶ πεποίηνται βουλήσει Διός. 39. Νωΐτερον.] Ἡμέτερον. 40. Μάψ.] Ψευδῶς, ματαίως. 41. Μὴ δι' ἐμήν.] Οὐ δι' ἐμήν. Ἰότητα.] Βούλησιν. 42. Πημαίνει.] Βλάπτει, κακοῖ. 45. Παραμυθησαί-

τῇ ἴμεν, ᾗ κεν δὴ σὺ, Κελαινεφὲς, ἡγεμονεύεις.
Ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπις πότνια Ἥρη,
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
αἶψα μεταστρέψειε νόον, μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶριν τ' ἐλθέμεναι, καὶ Ἀπόλλωνα κλυτότοξον,
ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι,
παυσάμενον πολέμοιο, τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι·
Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων,
αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων,
αἳ νῦν μιν τείρουσι κατὰ φρένας· αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φύζαν ἐνόρσας·
φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι
Πηλείδεω Ἀχιλῆος. ὁ δ' ἀνστήσει ὃν ἑταῖρον

48. ἀμειβόμενος Ϝέπεα. 49. πότνια Ϝήρη. 50. Ϝῖσον.
55. Ϝῖριν. 57. Ϝείπῃσι Ποσειδάωνι Ϝάνακτι. 58. τὰ Ϝά.
64. Ϝὸν ἑταῖρον.

47—77. Jupiter placatus (hoc enim est μειδήσας, ut sæpe, ridere pro benevolum esse) Iridem et Apollinem ad se mitti mandat Junoni, simulque consilium aperit, Achivorum partes non ante fore superiores, quam Achilli pro injuria illata ab Agamemnone satisfactum fuerit.—51. βούλεται ἄλλῃ, si consulit in diversum, alia consilia sequitur, alia sentit.—60. λελάθῃ δ' ὀδυνάων, *faciat eum oblivisci dolores*, dolorem e vulnere leniat. ex antiquo usu τοῦ μνᾶσθαι et λήθεσθαι.—63. ἐμπέσωσι νηυσὶν Ἀχιλλῆος. Si Homerica hæc sunt, quod mihi non persuadere possum, non proprie accipienda sunt; nam fugientes Achivi in suas naves irruerunt, non in Achillis; cujus tamen stationi proximo loco Achivorum ceterorum naves stabant, ita ut irruendo in has videri possent etiam ad Achillis stationem pervenire. Respiciunt autem hæc dicta Achillis sup. I. 646—651.—64. ὁ δ' ἀνστήσει ὃν ἑταῖρον Patroclum scil. non proprio suasu, sed Patrocli precibus exoratus. Mox tamen periculo ingravescente Patroclum morantem ipse excitat ut festinet Π. 126. ὄρσεο, διογενὲς Πατρόκλεις et Myr-

μην.] Συμβουλεύσαιμι, εἴποιμι. 46. Τῇ ἴμεν.] Ταύτην ἔρχεσθαι, καὶ προαίρεσιν καὶ γνώμην ὁμοίαν σοι ἔχειν. 49. Εἰ μὲν δή.] Ἐὰν, ὅπου δή. 50. Ἶσον ἐμοὶ φρονέουσα.] Ὅμοια καὶ τὰ αὐτὰ ἐμοὶ φρονοῦσα. 51. Ἄλλῃ.] Ἄλλως, ἢ ἀλλαχοῦ. 52. Μεταστρέψειε.] Μεταβάλοι. Μετὰ σὸν, καὶ ἐμόν.] Ἐπὶ τὸ σοὶ καὶ ἐμοὶ ἀρέσκον. 53. Ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις.] Ἀλλ' ἐὰν δή φησιν ἀληθῆ λέγῃς. Δὶς δὲ τὸ αὐτό φησιν, ἐπιτάσεως χάριν. 54. Ἔρχεο.] Ἔρχου. Δεῦρο.] Εἰς τοῦτον τὸν τόπον. 58. Τὰ ἅ.] Τὰ ἑαυτοῦ ἴδια. 60. Ἐμπνεύσῃσι.] Ἐμβαλῇ. Λελάθῃ.] Εἰς λήθην ἀγάγοι, λήθην ποιήσειε. 62. Φύζαν.] Δειλίαν, φυγήν.

Πάτροκλον, τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ', υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦδ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς, εἰσόκ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βουλάς.
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον, οὔτε τιν' ἄλλων
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ·
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι
ἤματι τῷ, ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
  Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
ὡς δ' ὅταν ἀίξῃ νόος ἀνέρος, ὅστ' ἐπὶ πολλὴν
γαῖαν ἐληλουθὼς, φρεσὶ πευκαλίμῃσι νοήσῃ,
ἔνθ' εἴην, ἢ ἔνθα, μενοινήσειέ τε πολλά·

66. Ϝιλιόθι. 71. Ϝίλιον. 72. vulg. παύσω. 75. Ϝοι. 80. vulg. ὅτ' ἀναΐξῃ.

midones exeuntes castris ad strenuam pugnam excitat Π. 200. 210.—68. τοῦ δὲ χολωσάμενος, *Patrocli* caussa; non, Sarpedonis; quod rerum ordini adversatur.—69. ἐκ τοῦδ' ἄν τοι. non hoc factum demum Hectore cæso, sed jam a Patrocli exitu v. 64, 65. huc erit retrahendum.—70. τεύχοιμι pro τεύξω.—71. Ἀθηναίης διὰ βουλὰς, dolo equi lignei invento; v. Od. Θ. 492. etiam ducto in arcem Ulysse et Diomede ad Palladium auferendum et alia: quæ seriora sunt Iliade.—75. respiciunt Il. A. 523. sq.

78—167. Juno in Olympum redux exponit diis pervicacem Jovis voluntatem; tum a v. 109. Martem docet mortem Ascalaphi: quem ira excandescentem ægre coercet Athene—142. tum Juno Iridi et Apollini mandata Jovis nuntiat—167. a quibus ea mox peraguntur.

80. Celebrata laudibus cum altero loco Od. H. 36. νέες ὠκεῖαι ὡσεὶ πτερὸν ἠὲ νόημα, comparatio celeritatis motus cum celeritate cogitandi; memorabilis in hoc, quod comparatio a re ducta est, quæ sub sensus non cadit. Ornavit rem multis versibus in Minervæ descensu Apollon. II. 541. sq. iisque paullum impeditis. Translata quoque comparatio in Hymnos, in Apoll. 448. in Mercur. 43.—ὅταν ἀΐξῃ νόος. cum animus celerrime *se movet*, h. e. *cogitat*. ἔνθ' εἴην. *hic eram*, *illic eram*. si est pro ἤειν. Sin, quod minus bene fit, manemus in εἴην, erit optative, *utinam sim* vel proficiscar.

68. Τοῦ δὲ χολωσάμενος.] Ὑπὲρ τούτου ὀργισθείς. 69. Ἐκ τοῦδ' ἄν.] Ἀπὸ τούτου τοῦ χρόνου. Παλίωξιν.] Τὴν ἐξ ὑποστροφῆς τῶν φευγόντων δίωξιν. ὅτ' ἂν οἱ πρότερον φεύγοντες, ὕστερον πάλιν αὐτοὶ διώκωσι θαῤῥήσαντες. 71. Ἴλιον αἰπὺ ἕλοιεν.] Σημείωσαι τοῦτο, ὅτι οὐδετέρως τὸ Ἴλιον ἐνθάδε φησὶ μόνον. Διὸ καὶ ἀθετεῖται ὁ στίχος οὗτος. 80. Ὡς δ' ὅτ' ἀναΐξῃ νόος ἀνέρος.] Καὶ τὰ ἑξῆς· ὥσπερ δὲ νοῦς ἀνδρὸς πολλὴν ἐπεληλυθότος γῆν, καὶ πολλὰ ἱστορηκότος, ἐν ὑπομνήσει ποιεῖται τὰ ἱστορημένα, καὶ ταχέως ἄλλοτε ἐπ' ἄλλο μεταβαίνει· οὕτω καὶ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης εὐθέως παρεγένετο εἰς τὸν Ὄλυμπον. 81. Πευκαλίμῃσι.] Συνεταῖς. 82. Ἔνθα ἢ ἔνθα.] Ἐνταῦθα, ἢ ἐκεῖ. Ἔνθ' εἴην ἢ

ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη.
ἵκετο δ' αἰπὺν Ὄλυμπον. ὁμηγερέεσσι δ' ἐπῆλθεν
ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες,
πάντες ἀνήϊξαν, καὶ δεικανόωντο δέπασσιν.
ἡ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρῄῳ
δέκτο δέπας, πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Ἥρη, τίπτε βέβηκας, ἀτυζομένῃ δὲ ἔοικας;
ἦ μάλα δή σε φόβησε Κρόνου παῖς, ὅς τοι ἀκοίτης;
Τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος Ἥρη·
μή με, θεὰ Θέμι, ταῦτα διείρεο· οἶσθα καὶ αὐτὴ
οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης.
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν,
οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· οὐδέ τι φημὶ
πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν,
οὔτε θεοῖς, εἴπερ τις ἔτι νῦν δαίνυται εὔφρων.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη·

83. πότνια Ϝήρη. 85. οἱ δὲ Ϝιδόντες. 89. φωνήσασα Ϝέπεα vel Ϝέπη. 90. δὲ ϜέϜοικας. 93. διείρεο Ϝοῖσθα. 95. ἐϜίσης. 97. κακὰ Ϝέργα. 100. Ϝειποῦσα—πότνια Ϝήρη.

recordatione facta celerrime mens diversas terras tanquam præsentes intuetur.—85. Honos deæ reduci in Jovis δῶμα, œcum, habitus ad mores sæculi est adumbratus; *assident dii epulis*, hactenus ὁμηγερεῖς, et ἀνήϊξαν, ἀνώρουσαν, ἀνέσταν, *surgunt* de suo quisque loco venientique *poculum suum propinant:* hoc est—86. δεικανόωντο δέπασσιν. Commode meminit Koeppen alterius loci I. 666, 7. de redeuntibus legatis. At Juno *a Themide*, primo loco sibi obvia facta, poculum accipit.—90. τίπτε βέβηκας, *cur venis huc?*—94. ὑπερφίαλος haud dubie *superbiam* cum *truculentia* denotat, ut ἀπηνής *durus* et immitis est, qui ipsi conjugi acerbus et sævus est. Utrumque h. l. ad pervicaciam spectat in partibus Trojanorum tuendis adversante Junone.—95. ἄρχε δαιτὸς sive poculo sumto, sive potius ciborum portione accepta: qui solebant ex ordine distribui singulis mensa cuique apposita: ideo necesse erat, aliquem e pluribus præire ceteris, ἄρχειν δαιτὸς, primo loco appositis ei epulis.—97. πιφαύσκεται h. l.

ἔνθα.] Τὸ εἴην σὺν τῷ ν Ἀριστάρχειοι· καὶ σημαίνει τὸ, ὑπῆρχον. ὡς αὐτοῦ τοῦ ἀνδρὸς ἐπιλογιζομένου· Εἴην, πορευοίμην. Ὁ δὲ λόγος· εἰς ἐκείνην τὴν χώραν πορευθείην, ἢ εἰς ταύτην πορευοίμην. Μενοινήσειε.] Ἐνθυμηθῇ, διανοηθῇ. 83. Διέπτατο.] Διέπτη. 86. Δεικανόωντο.] Ἐδεξιοῦντο. 87. Θέμιστι.] Ἀντὶ τοῦ παρὰ Θέμιδος. Θέμις δέ ἐστι μία τῶν Τιτάνων. 90. Ἀτυζομένη.] Τεταραγμένη, ἠπορημένη. 91. Ἦ μάλα δή σε φόβησεν.] Ἀκριβῶς δή σε ἐπτόησεν. Ἀκοίτης.] Ἀνήρ. 93. Διείρεο.] Διερώτα. 94. Ὑπερφίαλος.] Ὑπερήφανος, ἄδικος. Ἀπηνής.] Χαλεπὸς, σκληρός. 97. Πιφαύσκεται.] Ἐμφανίζει, λέγει, μηχανᾶται. 98. Κεχαρησέμεν.] Χαρῆναι. 99. Εὔφρων.] Εὐφραινόμενος, ἐν εὐφροσύνῃ καὶ θυμηδίᾳ ὑπάρχων.

ὤχθησαν δ᾽ ἀνὰ δῶμα Διὸς θεοί. ἡ δὲ γέλασσε
χείλεσιν, οὐδὲ μέτωπον ἐπ᾽ ὀφρύσι κυανέῃσιν
ἰάνθη· πᾶσι δὲ νεμεσσηθεῖσα μετηύδα·
Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες,
ἢ ἔτι μιν μέμαμεν καταπαυσέμεν, ἆσσον ἰόντες,
ἢ ἔπει, ἠὲ βίῃ· ὁ δ᾽ ἀφήμενος οὐκ ἀλεγίζει,
οὐδ᾽ ὄθεται· φησὶ γὰρ ἐν ἀθανάτοισι θεοῖσι
κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
τῷ ἔχεθ᾽, ὅ ττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ.
ἤδη γὰρ νῦν ἔλπομ᾽ Ἄρηΐ γε πῆμα τετύχθαι·
υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
Ἀσκάλαφος, τὸν φησὶν ὃν ἔμμεναι ὄβριμος Ἄρης.
Ὣς ἔφατ᾽· αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ᾽, ὀλοφυρόμενος δὲ προσηύδα·

101. vulg. ἡ δ᾽ ἐγέλασσε. 106. Ϝέπει. 109. πέμπῃσι Ϝεκάστῳ.
110. Ϝέλπομ᾽. 111. γάρ Ϝοι. 112. φησὶ Ϝόν.

denuntiat, *minatur*; e generali notione, *declarat*.—102. οὐδὲ μέτωπον—ἰάνθη. non explicita fuit frons, sed corrugata. Quæritur de animi sensu, unde hic risus aut potius irrisio profecta sit. Ad malevolentiam Junonis et χαιρεκακίαν, quod nunc deos ὀχθῆσαι vidit, aut quod tristem casum Marti nuntiatura est, trahere nolim; videtur esse risus cum amaritudine ex indignatione, cum sensu stolidi consilii, quod Jovis decreta rescindere voluere, nullo cum effectu: hoc postulat adjunctum νεμεσσηθεῖσα, et ipsa oratio: Νήπιοι οἳ—Jungenda autem sunt πᾶσι μετηύδα.

104—142. Juno primo deorum temeritatem incusat, et a consilio repugnandi Jovi deterret, tum Marti Ascalaphi filii mortem nuntiat; quo audito ille furens ad ultionem sumendam prosiliens ægre a Minerva coercetur. Obvia est designatio diversæ indolis in Marte et Minerva; quemadmodum et illud, quod stolidus et viribus ferox Mars a prudentiore et moderatiore dea exui armis, objurgari, et 142. sedili suo collocari se patitur.

105. καταπαυσέμεν h. l. *coercere*. ἆσσον ἰόντες, eum invadentes, manum injicientes. Vidimus ad A. 567.—106. ἀφήμενος *scorsum ab aliis sedens*; bene adjectum, nam hoc est quod impotentibus dolorem creat, si, se in consilium vel ad agendum non adhibitis, alium suas res agere vident.—107. φησὶ γὰρ, non, *ait*, sed, *novit*, *intelligit*, se longe præstare. Koeppen ad Θ. 17. sq. revocat.—109. ἔχετε, ἀνέχεσθε. Est scilicet notum illud: *vana est sine viribus ira*.—110. Ferat quisque æquo animo, quod ei acciderit, uti nunc Marti ferendum, quod filio orbatus est. ἔλπομαι *vereor*, ut sæpe. Ascalaphi nex memorata N. 518. sq.—113, 4. Adeo dii hominum rudiorum mores referunt. Vidimus hoc idem in Asio M. 162. Ceterum ad sensum res bene

101. Ἡ δ᾽ ἐγέλασσε χείλεσιν.] Οὗτος ὁ γέλως Σαρδόνιος καλεῖται, ὅτ᾽ ἄν τις μὴ ἐκ διαθέσεως γελᾷ. 103. Ἰάνθη.] Διεχύθη, εὐφράνθη. Νεμεσσηθεῖσα.] Μεμψαμένη. 104. Μενεαίνομεν.] Προθυμούμεθα, ὀργιζόμεθα. Ἀφρονέοντες.] Μωραίνοντες. 105. Μέμαμεν.] Προθυμούμεθα. 106. Ἀφήμενος.] Ἀποτέρω καὶ πόῤῥω καθεζόμενος. 107. Οὐδ᾽ ὄθεται.] Οὐδ᾽ ἐπιστρέφεται. 108. Κάρτεϊ.] Ἰσχύει. κράτει. Διακριδόν.] Διακεκριμένως, κεχωρισμένως. 109. Τῷ ἔχετε.] Διὸ ἀνέχεσθε, καὶ ὑπομένετε. 110. Πῆμα.] Βλάβην, πένθος. Τετύχθαι.] Γεγονέναι. 113. Θαλερώ.] Θάλλοντας, ἰσχυρούς. Δυϊκῶς. Πεπλήγετο.] Ἔπληξε. 114. Καταπρηνέεσσι.] Κατεστραμμέναις, κατωφερέσιν. Ὀλοφυ-

Μὴ νῦν μοι νεμεσήσετ᾽, Ὀλύμπια δώματ᾽ ἔχοντες,
τίσασθαι φόνον υἷος, ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
εἴπερ μοι καὶ μοῖρα, Διὸς πληγέντι κεραυνῷ
κεῖσθαι, ὁμοῦ νεκύεσσι μεθ᾽ αἵματι καὶ κονίῃσιν.
Ὣς φάτο· καὶ ῥ᾽ ἵππους κέλετο Δεῖμόν τε Φόβον τε
ζευγνύμεν· αὐτὸς δ᾽ ἔντε᾽ ἐδύσετο παμφανόωντα.
ἔνθα κ᾽ ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη·
εἰ μὴ Ἀθήνη, πᾶσι περιδδείσασα θεοῖσιν,
ὦρτο διὲκ προθύρου, λίπε δὲ θρόνον, ἔνθα θάασσε·
τοῦ δ᾽ ἀπὸ μὲν κεφαλῆς κόρυθ᾽ εἵλετο, καὶ σάκος ὤμων,
ἔγχος δ᾽ ἔστησε στιβαρῆς ἀπὸ χειρὸς ἑλοῦσα
χάλκεον· ἣ δ᾽ ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
Μαινόμενε, φρένας ἠλὲ, διέφθορας· ἦ νύ τοι αὔτως
οὔατ᾽ ἀκουέμεν ἐστὶ, νόος δ᾽ ἀπόλωλε καὶ αἰδώς;
οὐκ ἀΐεις, ἅτε φησὶ θεὰ λευκώλενος Ἥρη;
ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν.
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ,
ἂψ ἴμεν Οὔλυμπόνδε καὶ ἀχνύμενός περ ἀνάγκῃ,
αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
λείψει, ὁ δ᾽ ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον·

121. vulg. ἔνθα κέ τις. 126. vulg. ἐκ χειρός. 127. ἡ δὲ ϝέπεσσι.

est expressa adjunctis χερσὶ καταπρηνέσσι. manibus demissis ad planctum.—115. μὴ νεμεσήσετε—τίσασθαι. pro *ne me retinete*, dixit, ne mihi succensete, sc. improbando, tanquam rem temerariam aggressuro.—117, 8. Lucem habet locus comparatis verss. E. 886.

119. Δεῖμος et Φόβος, *Terror* et *Horror*, sunt θεράποντες Martis iidemque filii, quos jubet equos jungere; non autem sunt equorum nomina. v. Δ. 440.—124. ὦρτο δι' ἐκ προθύρου· διῆλθε sc. διὰ τοῦ δώματος. Od. Δ. 37. ἐκ μεγάροιο διέσσυτο.—128. φρένας ἠλὲ, μάταιε, ἠλίθιε. *stolide*, *periisti*. Dicit autem hæc verba, *objurgando*, καθάπτετο, dum interea eum in δῶμα reducit manu.—132, 133. ἀναπλήσας cf. Θ. 34. expertus multa mala, ἂψ ἴμεν (σὺν) ἀνάγκῃ, καίπερ ἀχνύμενος.—135. Iterum in Jove ira describitur hominum rudiorum necdum ullo decori sensu imbutorum: v. ad vs. 17, 18.—136. εἶσιν, ἐλεύσεται ἐφ ἡμᾶς, κυδοιμήσων, ὥστε θορυβῆσαι, σὺν κυδοιμῷ.—136, 7. Similia facta jam vidimus memorata Ξ. 256. sq. A. 590. sq. et videbimus mox 137.

ρόμενος.] Νῦν, ὀδυρόμενος. 115. Νεμεσήσετε.] Μεμφθήσεσθε. 119. Δεῖμον.] Ὄνομα δαίμονος. Φόβον.] Νῦν, ὄνομα δαίμονος. 123. Πᾶσι περιδδείσασα θεοῖσι.] Περὶ πάντων εὐλαβηθεῖσα θεῶν. 124. Θάασσεν.] Ἐκαθέζετο. 127. Καθάπτετο.] Νῦν, ἐπέπληττε. 128. Φρένας ἠλέ.] Ἀνόητε καὶ μάταιε τὰς φρένας. Διέφθορας.] Διέφθαρσαι. Ἦ νύ τοι αὔτως Οὔατ᾽ ἀκουέμεν ἐστίν.] Ἦ ματαίως πάρεστί σοι τὰ ὦτα πρὸς τὸ ἀκούειν; 129. Νόος.] Νῦν, τὸ τῆς ψυχῆς κυριώτατον, ᾧ νοοῦμεν. Αἰδώς.] Νῦν, τὸ αἰδεσθῆναι. 130. Οὐκ ἀΐεις.] Οὐκ ἀκούεις. Ἅτε.] Ἅτινα δή. Φησί.] Λέγει. 132. Ἀναπλήσας.] Ἀναπληρώσας. 136. Εἶσιν.] Ἐλεύσεται. Κυδοιμήσων.] Συνταράξων. 137. Μάρ-

μάρψει δ' ἑξείης, ὅστ' αἴτιος, ὅστε καὶ οὐκί.
τῷ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος.
ἤδη γάρ τις, τοῦδε βίην καὶ χεῖρας ἀμείνων,
ἢ πέφατ', ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε.
  Ὣς εἰποῦσ', ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτὸς,
Ἶρίν θ', ἥ τε θεοῖσι μετ' ἄγγελος ἀθανάτοισι·
καί σφεας φωνήσασ', ἔπεα πτερόεντα προσηύδα·
  Ζεὺς σφὼ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὅττι τάχιστα·
αὐτὰρ, ἐπὴν ἔλθητε, Διός τ' εἰς ὦπα ἴδησθε,
ἔρδειν, ὅ ττι κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.
  Ἡ μὲν ἄρ' ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη,
ἕζετο δ' εἰνὶ θρόνῳ· τὼ δ' ἀΐξαντε πετέσθην,
Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν.
εὗρον δ' εὐρυόπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
ἥμενον, ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο.
τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο,
στήτην· οὐδὲ σφῶϊν ἰδὼν ἐχολώσατο θυμῷ,
ὅττι οἱ ὦκ' ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην·

142. Ϝειποῦσ'. 144. Ϝῖριν. vulg. μετάγγελος. 145. φωνήσασα, Ϝέπεα vel Ϝέπη. 147. ὦπα Ϝίδησθε. 149. Ϝειποῦσα—πότνια Ϝήρη. 155. σφωὲ Ϝιδών. v. Obss. 156. ὅτι Ϝοι ὦκα Ϝέπεσσι.

143.—219. Nunc Iridi et Apollini Jovis mandata exponit Juno; tum 150. illi ad Jovem properant. Jupiter 157. Iridem ad perferenda Neptuno mandata mittit; 167. Iris paret jussis.

143. *δώματος ἔξω*, mandata dat Juno clam ceteris diis, seu omnino, ne diis bilem moveat, seu ne saltem Marti, qui modo ad sanam mentem redierat. Quærere licet, unde Apollo nunc in Olympo adfuerit, cum ille antea ex Pergamo fere prospiciens memoratus sit Δ. 508. Ε. 460. Η. 21. Respondendum est, eum ad consilium deorum vocatum Il. Θ. pr. in Olympo mansisse. Etsi mox Il. Κ. 515. ille prospicit Ulyssem et Diomedem Athene comite incedentem, et jam ante Θ. 311. Teucri sagittam aberrare facit. Verum hæc et similia sunt extra epicum narrandi ordinem.—147. cum coram Jove constiteritis. ut Ι. 373.—153. *θυόεν νέφος* fragrans, *ἀμβρόσιον*. est eadem nubes Ξ. 350.—155. *οὐδὲ σφῶϊν ἐχολώσατο*, ira antea in Junonem concepta, nunc remissa;

ψει.] Συλλήψεται ἐπὶ τιμωρίᾳ. 140. Πεφήσεται.] Φονευθήσεται. 141. Γενεήν τε τόκον τε.] Τοὺς γονεῖς καὶ τὸ γένος. Δισσολογεῖ δι' ἀμφοτέρων τὴν γένεσιν. Ὁ δὲ νοῦς· οὐ δυνατόν ἐστι θεῷ, ῥύσασθαι τὴν ἐξ αὐτοῦ ἀνθρωπίνην γένεσιν. Τὸ γὰρ ἀργαλέον νῦν ἀντὶ τοῦ ἀδύνατον κεῖται, τοῦ θανάτου ῥύεσθαι. 146. Σφώ.] Ὑμᾶς. Ὅττι τάχιστα.] Σφόδρα ταχέως. 147. Εἰς ὦπα ἴδησθε.] Εἰς ὄψιν ἔλθητε. 150. Τὼ δ' ἀΐξαντε πετέσθην.] Ὑπερβολικῶς εἴρηται, ἢ συλληπτικῶς. οὐ γὰρ Ἀπόλλων πτερωτός. 151. Πολυπίδακα.] Πολύϋδρον. 152. Γαργάρῳ.] Γάργαρον, τὸ ἀκρωτήριον τῆς Ἴδης. 153. Θυόεν νέφος.] Τὸ εὐῶδες καὶ τεθυμιαμένον, ἀπό τε τῶν ἀναδοθέντων ἐκ τῆς γῆς ἀνθέων, καὶ ἀπὸ τοῦ μύρου τῆς Ἥρας. Ἐστεφάνωτο.] Περιέκειτο. 155. Σφῶϊν.] Αὐτοῖς. 159. Ἀγγεῖ-

Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα·
Βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο,
ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν,
μή μ' οὐδὲ, κρατερός περ ἐὼν, ἐπιόντα ταλάσσῃ
μεῖναι. ἐπεὶ εὖ φημὶ βίῃ πολὺ φέρτερος εἶναι,
καὶ γενεῇ πρότερος. τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις·
βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
ὡς δ' ὅταν ἐκ νεφέων πτῆται νιφὰς, ἠὲ χάλαζα
ψυχρὴ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο·
ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις·
ἀγχοῦ δ' ἱσταμένη προσέφη κλυτὸν Ἐννοσίγαιον·
Ἀγγελίην τινά τοι, Γαιήοχε κυανοχαῖτα,
ἦλθον δεῦρο φέρουσα παρὰ Διὸς αἰγιόχοιο.
παυσάμενόν σε κέλευσε μάχης ἠδὲ πτολέμοιο,
ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
εἰ δέ οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεις,
ἠπειλει καὶ κεῖνος ἐναντίβιον πολεμίζων
ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἀνώγει

157. ϝῖριν—ϝέπεα. 158. ἴθι, ϝῖρι—Ποσειδάωνι ϝάνακτι.
162. οὐ ϝεπέεσσ' vel, ut Bentl. οὐχὶ ϝέπεσσ'. 165. ἐπεὶ ϝεῦ. vulg. ἐπεὶ ἕο.
167. ϝῖσον. 168. ὠκέα ϝῖρις. 169. ἐς ϝίλιον. 172. ὠκέα ϝῖρις.
176. vulg. σ' ἐκέλευσε. 177. vulg. ἔρχεσθ' ἤ.
178. δέ ϝοι οὐ ϝεπέεσσ' vel οὐχὶ ϝέπεσσ'. 179. vulg. κᾀκεῖνος.

pro contrario: placido eos excepit vultu.—163. φραζέσθω μὴ nunc est, *videat, caveto ne.*—καίπερ κρατερὸς ἐὼν, μὴ οὐδὲ (μὴ οὐ, οὐδ' ὥς,) ταλάσσῃ μεῖναι ἐμὲ ἐπιόντα.—165. ἐπεὶ εὖ pro αὐτοῦ.—166. τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ, et tamen ille haud veretur, ut E. 403.) ille audet, se æquiparare mihi, quem alii στυγέουσι metuunt, ut H. 112. cf. ad Θ. 515.

169. Non in urbem contendere poterat Iris ad evocandum Neptunum, qui intererat pugnæ; ergo εἰς Ἴλιον h. l. *ad loca* circa, *ante urbem.*—170. Comparatio celeritatis in descensu Iridis cum nive vel grandine habet ἐνάργειαν. Vides autem deam vo-

λαι.] Ἀντὶ τοῦ, ἀνάγγειλον. Εἶναι.] Ἀντὶ τοῦ, ἔστω. Ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. 162. Ἀλογήσει.] Λόγον οὐ ποιήσεται, καταφρονήσει. 163. Φραζέσθω.] Λογιζέσθω, σκοπείτω. 164. Ταλάσσῃ.] Καρτερήσῃ, ὑπομείνῃ. 165. Ἕο.] Αὐτοῦ. 167. Φάσθαι.] Εἰπεῖν. 170. Πτῆται.] Ταχέως ἐνεχθῇ, πτῇ, κατέρχηται. Νιφάς.] Ψεκὰς, ἢ χιών. 171. Ὑπαὶ ῥιπῆς.] Ὑπὸ τῆς σφοδρᾶς φορᾶς. Αἰθρηγενέος.] Αἰθρηγενέτου. 180. Ὑπεξαλέασθαι.] Ὑπεκκλῖναι. Φυγεῖν.

χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι,
καὶ γενεῇ πρότερος, σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶσόν οἱ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς Ἐννοσίγαιος·
ὢ πόποι, ἦ ῥ', ἀγαθός περ ἐὼν, ὑπέροπλον ἔειπεν,
εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ, οὓς τέκετο Ῥέα,
Ζεὺς καὶ ἐγὼ, τρίτατος δ' Ἀίδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·
ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ,
παλλομένων, Ἀίδης δ' ἔλαχε ζόφον ἠερόεντα·
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι.
γαῖα δ' ἔτι ξυνὴ πάντων, καὶ μακρὸς Ὄλυμπος·
τῷ ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσίν· ἀλλὰ ἕκηλος,
καὶ κρατερός περ ἐὼν, μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
χερσὶ δὲ μή τί με πάγχυ, κακὸν ὣς, δειδισσέσθω.
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη

183. Ϝισόν Ϝοι. 185. ἔϜειπε. 186. ἀϜέκοντα. 187. vulg. τέκε Ῥείη.
188. ἈϜίδης ἐνέροισι Ϝανάσσων. 189. f. δέδαστο, ἕκαστος.
191. ἈϜίδης. 194. ἀλλὰ Ϝέκηλος. 196. Bentl. κακὸν Ϝώς.

lantem; haud dubie alis.—182, 3. v. sup. 166, 7.—186. *καθέξει.* sup. 105. erat *καταπαύειν* pro *coercere*. *ἀγαθός περ* h. l. fortis, ut A. 275. eoque potens.—189. *τιμῆς.* Quod et Hesiodo modo *τιμὴ*, modo *γέρας* est Θ. 112. 882. inprimis 421. sqq. At inf. est *μοῖρα* 195. ut Hesiod. 413. et *αἶσα* 209.—191. *παλλομένων* sc. *τῶν πάλων, τῶν κλήρων*, *jactis sortibus*. at, qui sortiuntur, *πάλλουσι*.—192, 3. Vides *οὐρανὸν* et *Ὄλυμπον* discerni: nam Jovi narratur cessisse cœlum, seu nubes et aerem, uti Neptuno mare, et Plutoni loca infera: terram autem et Olympum in communi ditione et usu habitum esse.—194. *οὔ τι Διὸς βέομαι φρεσίν.* pro *βήσομαι*, a *βέω*. *βέομαι* Π. 852. X. 431. Ω. 131. *non ego incedam*, h. *non agam*, *ex sententia Jovis*. adeoque: non parebo. Antiquo lo-

185. Ὑπέροπλον.] Ὑπερήφανον. 188. Ἐνέροισι.] Τοῖς ὑπὸ γῆν, τοῖς νεκροῖς. 189. Τριχθά.] Τριμερῶς, τριχῇ. 190. Ἔλαχον.] Ἔτυχον. Πολιήν.] Λευκὴν, διὰ τὸν ἀφρόν. Ἢ ἁπλῶς, λευκήν. 191. Παλλομένων.] Κλήρῳ μεριζομένων. Πάλος γὰρ ὁ κλῆρος. Ἔλαχεν.] Ἔτυχε. Ζόφον.] Σκότος. Λέγει δὲ τὸν κατωτάτω τόπον. Ἠερόεντα.] Τὸν ὁμιχλώδη καὶ σκοτεινόν. 193. Ξυνή.] Κοινὴ ὅλων τῶν στοιχείων. Ἐν αὐτῇ γὰρ εὑρίσκεται καὶ τὰ λοιπὰ τρία στοιχεῖα. Τὸ γὰρ ὕδωρ αὐτῇ συνεσφαίρωται. καὶ πυρὸς ἀναδόσεις περὶ αὐτὴν γίγνονται. καὶ ὁ ἀὴρ δὲ περὶ αὐτήν ἐστι. Καλῶς δὲ καὶ τὸν Ὄλυμπον κοινόν φησιν, ἐπεὶ καὶ οὐρανὸς τὴν γένεσιν ἐκ τῶν τεσσάρων κέκτηται στοιχείων. 194. Τῷ ῥα καὶ οὔτι Διὸς βέομαι φρεσί.] Διὸ καὶ οὐδαμῶς τοῦ Διὸς ἐπιστροφὴν ποιοῦμαι. οὐκ ἂν κατὰ τὴν αὐτοῦ γνώμην βιώσομαι, ἀλλὰ κατὰ τὴν ἐμαυτοῦ. Δημήτριος δὲ, ἀποβήσομαι, ἢ ζῶ, φησιν. Οὕτως ἔχει καὶ τό· Οὐ γάρ μοι δηρὸν βέῃ. οὐ προβήσῃ κατὰ τὸ ζῆν πολὺν χρόνον. 196. Δειδισσέσθω.] Ἐκπλησσέτω, ἐκφοβείτω. Χερσὶ δὲ μήτι με πάγχυ κακὸν ὣς δειδισσέσθω.] Ὁ νοῦς· Μὴ δὲ ὡς χερσὶ κακὸν ὄντα εἰς δέος ἀγέτω. Ἢ, ὡς κακὸν ὄντα εἰς τὸν διὰ τῶν χειρῶν ἀγέτω πόλε-

ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτός·
οἵ ἕθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ.
Τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
οὕτω γὰρ δή τοι, Γαιήοχε κυανοχαῖτα,
τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε, κρατερόν τε;
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
οἶσθ', ὡς πρεσβυτέροισιν Ἐρινύες αἰὲν ἕπονται.
Τὴν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Ἶρι θεὰ, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες.
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππόταν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ
νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.
ἀλλ' ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τόγε θυμῷ·
αἴκεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης, Ἑρμείω τε, καὶ Ἡφαίστοιο ἄνακτος,

198. Ϝεπέεσσι. 199. οἵ Ϝέθεν. 200. ὠκέα Ϝῖρις. 204. Ϝοῖσθ'.
205. προσέϜειπε. 206. Ϝῖρι—τοῦτο Ϝέπος—ἔϜειπες.
207. αἴσιμα Ϝειδῇ. 209. ὁπότε Ϝισόμορον.
210. χολωτοῖσι Ϝεπέεσσι. 214. Ἡφαίστοιο Ϝάνακτος.

quendi more, *via* et *incedere* in *via*, de vitæ more: *vivere. agere.*—198, 9. βέλτιον εἴη, αὐτὸν ἐπιπλήττειν τοῖς τέκνοις ἑαυτοῦ. ὀτρύνοντος simpl. κελεύοντος qui jussis ejus parebunt vel inviti.

203. μεταστρέψεις sc. τὰς φρένας—ἐσθλῶν h. l. prudentum mentes possunt flecti: I. 493.—204. Erinnyes sunt ultrices pietatis in suos violatæ; ut in parentes; in majores natu; nunc et in fratrem natu majorem: iis adsunt, adstant, honorem ipsis debitum tuentes, et injurias ulciscentes: ita sunt Ἐρινύες μητρὸς, Φ. 482. cf. ad Ψ. 595. egregium commentum ex symbolico sermone ductum! Diverso modo dicebatur Ἄτη ἕπεσθαι ei, qui puniendus erat, sup. I. 508. Translatum autem h. l. ad deos ut puniantur per Erinnyas ob violatum fas; uti perjurii pœnas luunt sup. 37.—207. ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ. pro αἴσιμος ᾖ. ἀγαθόν ἐστι καὶ, τὸ συνετὸν εἶναι τὸν ἀγγέλλοντα. ut et Eustath. πολλὰ γὰρ καὶ αὐτὸς κατορθοῖ.—209. ὁμῇ πεπρωμένον αἴσῃ. per ipsos natales, tanquam fratrem, idem jus habentem, *destinatum* ad eandem sortem, dixit, pro *impertitum* portione pari. ergo antiquissimo more æquæ fuere partes successionis inter filios.—210. νεικείειν, *objurgare cum minis.*—212. ἀπειλήσω τόγε θυμῷ. adjectum θυμῷ, usu antiquo, apud animum meum;—213. ἄνευ ἐμέθεν. non,

μον. Ἦ, ὡς χερσὶν ὑπερέχων. 198. Ἐνισσέμεν.] Κακολογεῖν, ἐπιπλήσσειν. 202. Ἀπηνέα.] Σκληρὸν, χαλεπόν. 203. Μεταστρέψεις.] Μεταθήσεις, μεταβαλεῖς. Στρεπταί.] Εὐμετάστρεπτοι, εὔπιστοι εἰς τὸ ἀγαθόν. 204. Πρεσβυτέροισι.] Τοῖς προγενεστέροις. Ἐρινύες.] Αἱ ἀπὸ τῶν Ἐρινύων ἐκδικίαι. 207. Αἴσιμα.] Καθήκοντα, συμφέροντα. 209. Ἰσόμορον.] Τῆς ἴσης μερίδος μεθέξοντα, ἰσόμοιρον. Ὁμῇ.] Ὁμοίᾳ καὶ τῇ αὐτῇ. 210. Νεικείειν.] Ὀνειδίζειν, ἐπιπλήσσειν. Χολωτοῖσιν.] Ὀργίλοις. 211. Νεμεσσηθείς.] Αἰδεσθείς. ὅ ἐστι, μεμ-

Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.
Ὣς εἰπὼν, λίπε λαὸν Ἀχαιϊκὸν Ἐννοσίγαιος,
δῦνε δὲ πόντον ἰών· πόθεσαν δ' ἥρωες Ἀχαιοί.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ τε μάχης ἐπύθοντο καὶ ἄλλοι,
οἵπερ ἐνέρτεροί εἰσι θεοὶ, Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον, ἠδέ οἱ αὐτῷ
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξε
χεῖρας ἐμάς· ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέσθη.
ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσσανόεσσαν,
τῇ, μάλ' ἐπισσείων, φοβέειν ἥρωας Ἀχαιούς.
σοὶ δ' αὐτῷ μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ

215. Ϝιλίου. 217. Ϝίστω. 218. Ϝειπών.
224. vulg. μάλα γάρ κε. 226. ἠδέ Ϝοι. 230. vulg. τὴν μάλ' ἐπισσείων.
231. Ϝεκατηβόλε. 232. Ϝοι.

sine; sed *seorsum* a nobis; *contra voluntatem nostram.*—219. de discessu Neptuni: πόθεσαν δ' ἥρωες Ἀχαιοὶ sc. μιν. Sic sup. B. 703.

220—262. Nunc Apollini mandata dat Jupiter, ut ad Hectorem recreandum se conferat et Achivis pavorem injiciat; Hectoris vires restituuntur.

220. Evocatus a Junone Apollo 143. una cum Iride ad Idam se contulerat 150. cui datis mandatis, ad Apollinem nunc se convertit Jupiter.—224. Senserunt, experti sunt, pugnam mecum initam etiam Titanes, qui cum Crono in Tartaro habentur, ut supra Θ. 479, 480. vidimus et Ξ. 274. quippe a Jove in eum dejecti.—226. *et mihi et ipsi hoc magis expedit.*—228. ἐτελέσθη. sc. τὸ πρᾶγμα. nisi e 224. μάχην malis.—229. Ægis h. l. in Apollinis manu, sed accepta a Jove. cf. inf. 308. sq. ubi Jovi ea a Vulcano elaborata esse narratur. 318. Alia de Ægide Jovis v. sup. E. 736. sq. et B. 447. Ea θυσσανόεσσα, fimbriis aureis dependentibus ex ora. v. ibid. ad terrorem injiciendum, inprimis splendore, tum et fimbriarum motu, dum ori adversi hostis intentatur.—μάλα ἐπισείων, ἐκφόβει.—232—235. Achivis ab Hectore *ad mare* fugatis *aliam rationem recreandi* eos adhibebit Jupiter: nimirum Patroclo in pugnam prodeunte,

πτὸν ἡγησάμενος. Ὑποείξω.] Ὑπείξω, ὑποχωρήσω. 215. Πεφιδήσεται.] Φείσεται, φεισθείη. 217. Νῶϊν.] Ἡμῖν. Ἀνήκεστος.] Ἀνίατος. 219. Πόθεσαν.] Ἐν πόθῳ ἐγίγνοντο. 221. Χαλκοκορυστήν.] Χαλκῷ καθωπλισμένον. τουτέστι, πολεμικόν. 223. Αἰπύν.] Χαλεπὸν, νῦν. 224. Μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι.] Πάνυ γὰρ ἀπόπειραν τῆς ἡμετέρας δυνάμεως ἔλαβον καὶ οἱ περὶ Κρόνον Τιτᾶνες ἐν τῷ Ταρτάρῳ ὄντες. 225. Ἐνέρτεροι.] Οἱ κατώτεροι. 226. Ἀλλὰ τόδ' ἠμὲν ἐμοί.] Παρὰ τοῦτο μὲν καὶ ἐμοί. 228. Ἀνιδρωτί.] Χωρὶς κακοπαθείας. 230. Ἐπισσείων.] Ἐπάνω κινῶν.] 232. Ἔγειρε.] Παρώρμα. Ὄφρ'

φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ᾽ αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,
ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.
Ὣς ἔφατ᾽· οὐδ᾽ ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων·
βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων, ἴρηκι ἐοικὼς
ὠκέϊ, φασσοφόνῳ, ὅστ᾽ ὤκιστος πετεηνῶν·
εὗρ᾽ υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
ἥμενον, οὐδ᾽ ἔτι κεῖτο· νέον δ᾽ ἐσαγείρετο θυμὸν,
ἀμφὶ ἓ γιγνώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ ἱδρὼς
παύετ᾽, ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ᾽ ἄλλων
ἧσ᾽ ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;
Τὸν δ᾽ ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
τίς δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅς μ᾽ εἴρεαι ἄντην;
οὐκ ἀΐεις, ὅ με νηυσὶν ἔπι πρύμνῃσιν Ἀχαιῶν,
οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας
χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
καὶ δὴ ἔγωγ᾽ ἐφάμην νέκυας καὶ δῶμ᾽ Ἀΐδαο
ἤματι τῷδ᾽ ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ.

234. Ϝέργον τε Ϝέπος τε. 237. ἴρηκι ϜεϜοικώς. 240. vulg. ἐσαγείρατο.
241. ἀμφί Ϝε. 243. ϜεκάϜεργος. 252. ἄϜιον.

mox ipso Achille. Τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ᾽ ἂν—Recreatur Hector, et restituuntur ipsi vires, dum ille se ex animi deliquio recipit; hactenus illud τόφρα—ὄφρα locum non habet: at habet locum in iis, quæ sequuntur: tum enim viribus refectis, virtus ejus excitabitur et incendetur, ut fortiter pugnet, donec Achivorum fuga ad naves facta sit. Hæc duo in verbis sunt in unum comprehensa.—237, 8. Ἴρηκι ἐοικὼς ὠκέϊ. pro pedestri ἱέρακι ὅμοιος ὠκύτητι. Usus erat comparatione Il. N. 62. sqq. φασσοφόνος accipiter est hoc ipso nomine ab Aristotele designatus, quod palumbes venatur: Hist. An. IX. 36.—241. ἆσθμα καὶ ἱδρὼς sudor gelidus corporis e defectione animæ.—243. ἐπεί μιν ἔγειρε Διὸς νόος e deliquio, quod nos dicimus, se receperat Hector, quod passus erat sup. Ξ. 438, 439. saxo ab Ajace percussus; hoc Jovi tribuitur antiquo more; etsi ab Apolline curata re, jussu tamen Jovis.

244—270. Recreatur nunc Hector ab Apolline, ut iterum in pugnam procedere possit.

245. ἱκάνει (ἐπὶ) σέ. sollenni usu, vides poeticum ingenium, ea, quæ simpliciter narrari poterant, mutare in drama et dialogum.—248. οὐκ ἀΐεις, *scis*, proprie, *audito accepisti, nosti.* ut et ἀκούειν solet dici.—252. ἐπεὶ φίλον ἄϊον ἦτορ, *cum animam age-*

ἄν.] Ἕως ἄν. 236. Ἀνηκούστησε.] Παρήκουσεν. 237. Ἴρηκι.] Ἱέρακι. 238. Φασσοφόνῳ.] Τῷ φάσσας φονεύοντι. 240. Νεόν.] Νεωστί. Ἐσαγείρατο.] Νῦν, ἀθροίζετο. 241. Ἀμφί ἓ γιγνώσκων ἑτάρους.] Τοὺς περὶ αὐτὸν γιγνώσκων, ὅ ἐστιν, ἐπιστάμενος τῇ διανοίᾳ. 245. Ὀλιγηπελέων.] Ὀλιγοθυμῶν. Κῆδος.] Κακὸν, λύπη. 246. Ὀλιγοδρανέων.] Ὀλίγον ἰσχύων, ἐξησθενηκώς. 247. Φέριστε.] Βέλτιστε, ἀνδρειότατε. Ὅς με.] Ὅστις με. 248. Οὐκ ἀΐεις.] Οὐκ ἀκούεις. 252. Ἐπεὶ φίλον ἄϊον ἦτορ.] Ἀπέπνευσα τὴν ψυ-

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
θάρσει νῦν, τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον· ὅς σε πάρος περ
ῥύομ', ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε, νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι,
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν, ἵπποισι κέλευθον
πᾶσαν λειανέω, τρέψω δ' ἥρωας Ἀχαιούς.
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
δεσμὸν ἀποῤῥήξας θείῃ πεδίοιο κροαίνων,
εἰωθὼς λούεσθαι ἐϋῤῥεῖος ποταμοῖο,
κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσονται· ὁ δ' ἀγλαΐηφι πεποιθὼς,
ῥίμφα ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων·
ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα,
ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.

253. προσέϝειπε ϝάναξ ϝεκάϝεργος. 262. ϝειπών. 264. vulg. θείει.
265. ϝειωθώς. 268. ῥίμφα ϝὲ—μετὰ ϝήθεα.

bam; in eo essem, ut animam efflarem.—254. τοῖόν τοι. ἐπεὶ ἐμὲ μέγαν ἀοσσητῆρα. *nam* me, deum magnum et potentem, præsentem, misit tibi Jupiter. Monuit Ernesti. Sic jam Δ. 390. τοίη οἱ ἐπίῤῥοθος ἦεν Ἀθήνη. item E. 808. 828. Apollon. Arg. I. 471. Τοῖόν μ' Ἀρήνηθεν ἀοσσητῆρα κομίζεις.—256. χρυσάορον Apollinem, quo habitu fuit Amyclis, Pausan. III. 19. pr. *hastam auream* tenentem; ex antiquo usu et sermone. Vidimus jam E. 509.—257. ὅς σε πάρος περ ῥύομαι, *tueri soleo*, semper tuitus sum. ut Latinorum *dudum* cum præsenti.—258. ἱππεῦσι—πολέεσσι. pro τῷ πλήθει ἱππέων.—260, 1. quod *viam planam reddet* Apollo, ad discrimen spectat, quod antea Trojani metuerant, ne propter angustiam viæ et aditus ad vallum impedimento essent currus: sup. M. 65. 81. 108. sq. At nunc altero hoc aggressu cum ipsis curribus invehentur in castra Trojani: inf. 355. sq.—263. Præclara comparatio Hectoris recreati cum equo proripiente se et in pascua solita prosiliente. De vss. vide sup. ad E. 506—511. ubi jam lecti sunt. Comparatio h. l. in celeritate et alacritate quærenda.

χήν. Ἢ, ἐπεὶ ᾐσθόμην ἀλγήσας τοῦ ψύχους. Ἄϊον γὰρ νῦν τὸ ᾐσθόμην. 254. Ἀοσσητῆρα.] Βοηθόν. 256. Χρυσάορον.] Ἤτοι χρυσοφάσγανον. Ἢ χρυσοῦν τὸν ἀορτῆρα τῆς φαρέτρας ἢ τῆς κιθάρας ἔχοντα. Οὐκ ἔτι δὲ ξίφους. ἁγνὸς γὰρ ὁ θεός. Φοῖβον Ἀπόλλωνα χρυσάορον.] Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος εὗρε λύραν. Καὶ τοὺς Ἀπόλλωνος βόας κλέψας, εὑρέθη ὑπὸ τοῦ θεοῦ διὰ τῆς μαντικῆς. Ἀπειλουμένου δὲ τοῦ Ἀπόλλωνος, ἔκλεψεν αὐτοῦ καὶ τὰ ἐπὶ τῶν ὤμων τόξα. Μειδιάσας δὲ ὁ θεὸς, ἔδωκεν αὐτῷ τὴν μαντικὴν ῥάβδον. ἀφ' οὗ καὶ χρυσόῤῥαπις ὁ Ἑρμῆς προσηγορεύθη. Ἔλαβέ τε παρ' αὐτοῦ τὴν λύραν. Ὅθεν καὶ χρυσάορ ὠνομάσθη, ἀπὸ τοῦ τῆς κιθάρας ἀορτῆρος. 261. Λειανέω.] Λείαν καὶ ὁμαλὴν ποιήσω. Τρέψω.] Εἰς φυγὴν ἀγάγω. 263. Στατός.] Ἀναπεπαυμένος, ἱστάμενος. 264. Κροαίνων.] Κρούων. 269. Ἐνώμα.] Ἔστρε-

οἱ δ', ὥστ' ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
τὸν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
εἰρύσατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·
τῶν δέ θ' ὑπὸ ἰαχῆς ἐφάνη λῖς ἠϋγένειος
εἰς ὁδὸν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·
ὣς Δαναοὶ εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
νύσσοντες ξίφεσί τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ' ἐποιχόμενον στίχας ἀνδρῶν,
τάρβησαν, πᾶσι δὲ παραὶ ποσὶ κάππεσε θυμός.
Τοῖσι δ' ἔπειτ' ἀγόρευε Θόας, Ἀνδραίμονος υἱὸς,
Αἰτωλῶν ὄχ' ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
ἐσθλὸς δ' ἐν σταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
οἷον δ' αὖτ' ἐξαῦτις ἀνέστη, Κῆρας ἀλύξας,

274. Fειρύσατ', sed v. Obss. 275. ὑπὸ FιFαχῆς. vulg. ὑπαί.
279. Fίδον. 280. vulg. παραί. 283. δέ Fε. 285. μετέFειπε.

271—280. Conspectu Hectoris Achivi perterriti sunt: ut conspectu leonis venatores feram insectantes. οἱ δ', ὥστ'—refer ad 277. ὣς Δαναοί. et explenda est comparatio, quæ binis membris constat, hunc in modum: οἱ δὲ Δαναοὶ εἵως μὲν—ἕποντο—αὐτὰρ τάρβησαν, ἐπεὶ ἴδον Ἕκτορα, οὕτως, ὡς κύνες καὶ ἀνέρες, ὅτε ἢ ἔλαφον ἢ αἶγα ἐσσεύοντο, ταρβοῦσιν, ὅτε λῖς ἐφάνη. Est autem similitudo loci cum illo Λ. 474—482.

272. ἐσσεύοντο. σεύονται ἐπὶ, διώκουσι. et εἰρύσατο. pro ἐρύεται. et mox ἀπέτραπε pro ἀποτρέπει. Latini in his notionem τοῦ *solet* adjungunt.—274. οὐδ' ἄρα τε αἴσιμον ἦεν. οὐδέ τε ἄρα *necdum sane* αἴσιμον ἦν σφιν, οὐκ ἔμελλον κιχεῖν αὐτόν. Plus tamen est in altero: non fatale erat, ut ipsi illum assequerentur.—280. παρὰ ποσὶ κάππεσε θυμός. antiquo loquendi more, παρὰ ποσὶ quod postea simpliciter ἔπεσε, κατέπεσεν, ἐξέπεσε, θυμός. θάρσος.

281—299. Thoas auctor est Achivis, ut se in castra recipiant; promachis interea hostis impetum a tergo illorum et ante castra sustinentibus. De *Thoante* v. B. 638.—283, 4. Magnifica laus Thoantis non modo a virtute, et quidem, sive eminus sive cominus ἄκοντι vel ἔγχει, esset pugnandum, (quam laudem Hector sibi arrogat H. 238—240.) verum etiam a facundia. ὁππότε κοῦροι ἐρίσσειεν περὶ μύθων. non tam certamine eloquentiæ, quam, cujus sententia reliquos ad assensum pertrahat, in concione

φεν, ἐκίνει. 272. Ἐσσεύοντο.] Ἐδίωκον. 273. Ἠλίβατος.] Ὑψηλὴ, ἀπρόσβατος. ἧς ἄν τις διαμάρτοι τῆς ἐπιβάσεως, διὰ τὸ πολὺ ὕψος. Ἀλιτεῖν γὰρ τὸ διαμαρτεῖν. Ἢ, ἧς ὁ ἥλιος μόνος ἐπιβαίνει. Δάσκιος ὕλη.] Πολύσκιος. λίαν πυκνή. 274. Εἰρύσατο.] Νῦν, ἐῤῥύσατο, ἔσωσε. Κιχήμεναι.] Καταλαβεῖν. Αἴσιμον.] Εἱμαρμένον. 275. Ἠϋγένειος.] Δασὺ γένειον ἔχων. 277. Ὁμιλαδόν.] Ἀθρόως. 280. Παραὶ ποσὶ κάππεσε θυμός.] Τὰς ψυχὰς ἐταπείνωσαν, ἅπαντες λειποψυχήσαντες τὴν σωτηρίαν παρὰ τοῖς ποσὶν εἶχον. 283. Ἀγορῇ.] Νῦν, λόγῳ. 284. Νίκων.] Ἐνίκων. 287. Ἀλύξας.] Ἐκφυγών. 291. Ὃ

Ἕκτωρ· ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο·
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν·
ὣς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται, ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
πληθὺν μὲν προτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι·
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ' εἶναι,
στείομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα
θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
οἱ μὲν ἄρ' ἀμφ' Αἴαντε καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον, Μηριόνην τε, Μέγην τ' ἀτάλαντον Ἄρηϊ,
ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ
μακρὰ βιβάς· πρόσθεν δὲ κι' αὐτοῦ Φοῖβος Ἀπόλλων,
εἱμένος ὤμοιϊν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,

288. *μάλα Fέλπετο.* et f. *θυμὸς Ἀχαιοῖς* pro *θυμὸς Fεκάστου.* 294. *ἐγὼ Fείπω.* vulg. *ἐγών.* 301. vulg. *Αἴαντα. Ἰδομενῆα Fάνακτα.* 308. *Fειμένος.*

populi.—288. ἔλπετο *putabat unusquisque eum occisum*, saltem letali vulnere percussum *esse ab Ajace.*—293. ὧδε μενοινῶν. *nunc tanto robore et virtute instructus.*—295. Thoas prudenter monet, ut Achivi ordinibus servatis recedant, ne, ingruentibus Trojanis turpi fuga dissipentur.—297. στείομεν, εἴ κε. στῶμεν, ὡς, ἵνα, ἐρύξωμεν.

300—327. Thoanti obtemperant Achivi; aliquamdiu fortiter pugnant; tandem terrore ab Apolline incusso fugiunt effuse.

302. *Meriones* Idomenei sodalis. *Meges* Phylei f. (B. 627.) ducebat copias ex Dulichio et Echinadibus.—305. ὀπίσσω ἀπονέοντο. a tergo promachorum, versus naves se recipiebant turmæ.—306. Τρῶες δὲ προὔτυψαν, progressi, cum illos recedere viderent, institerunt, προενέπεσον. Magnificum, quod sequitur, phantasma! Præcedit agmen Apollo, Jovis ægidem quatiens: ut sup. E. 592. præcedebant Mars et Enyo, et Υ. 94. Athene Achillem. Inventum hoc debetur fabulis heroicis. Herculi in laboribus obeundis adstabat Minerva, etiam in pugna cum Cycno, cui adstabat curru Mars.—308. εἱμένος ὤμοιϊν νεφέλην. quorsum nube amictum humeros, h. e. caligine involutum, incedentem facit poeta Apollinem? Utique non eo consilio ut lateat deus nec agnoscatur; verum ad terrorem injiciendum spectat hoc, uti mox terret ægide vibrata:

δὴ πολλῶν.] Ἀντὶ τοῦ, ὃς δὴ πολλῶν. 293. Μενοινῶν.] Προθυμούμενος. 295. Ἀνώξομεν.] Κελεύσωμεν. 297. Στείομεν.] Στῶμεν. Ἐρύξομεν.] Ἐπίσχωμεν, κωλύσομεν. 303. Ἤρτυνον.] Κατεσκεύαζον. 305. Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.] Ἐν σχήματι πέφρασται, ἀντὶ τοῦ, οἱ πολλοί. 308. Εἱμένος.]

δεινὴν, ἀμφιδάσειαν, ἀριπρεπέ', ἣν ἄρα χαλκεὺς
Ἥφαιστος Διῒ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν·
τὴν ἄρ' ὅγ' ἐν χείρεσσιν ἔχων, ἡγήσατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες. ὦρτο δ' ἀϋτὴ
ὀξεῖ' ἀμφοτέρωθεν. ἀπὸ νευρῆφι δ' ὀϊστοὶ
θρῶσκον. πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν,
ἄλλα μὲν ἐν χροῒ πήγνυτ' Ἀρηϊθόων αἰζηῶν·
πολλὰ δὲ καὶ μεσσηγὺ, πάρος χρόα καλὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πίπτε δὲ λαός·
αὐτὰρ, ἐπεὶ κατενῶπα ἰδὼν Δαναῶν ταχυπώλων
σεῖσ', ἐπὶ δ' αὐτὸς ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.
οἱ δ', ὥστ' ἠὲ βοῶν ἀγέλην, ἢ πῶϋ μέγ' οἰῶν

320. κατενῶπα Ϝιδῶν.

Sic Λ. 47. νυκτὶ ἐοικώς.—309. Ægidem ἀμφιδάσειαν propter fimbrias θυσάνους. sup. 229. non enim est h. l. ægis illa, Amaltheæ pellis qua manus involverat Jupiter in pugna cum gigantibus, sed clipeus *a Vulcano fabricatus*, adeoque ex ære seu auro, v. 310. —δῶκε *fabricaverat*, in usum Jovis.—312. Ἀργεῖοι nunc sunt promachi, qui denso agmine stant et Trojanam aciem sustinent ingruentem.—313, 4. ὀϊστοὶ δὲ ἀπέθρωσκον νευρῆφι, ἀπὸ τῆς νευρῆς.—316, 317. Jam sup. Δ. 572, 573.—320, 1, 2. Concutiendo clipeo inprimis terrorem injectum esse in aperto est; scilicet splendore metalli præstringente oculos. κατενῶπα Δαναῶν, ubi concussit ægidem ante ora Achivorum κατ' ἐνῶπα, ab ἐνώψ· κατέναντα. et quidem ἰδὼν, intuens. cum intutu in eos conjecto; puta truculento: Minus bene jungitur ἰδὼν κατενῶπα. declarat autem simul adspectu et intutu oculorum deum augere terrorem, tandem etiam vociferatione. ἐπεὶ σεῖσε scil. τὴν αἰγίδα,—τοῖσι δὲ est apodosis; pro ἔθελξεν αὐτοῖς τὸν θυμὸν, αὐτούς. injecit pavorem. θέλγειν dicuntur ea, quæ viribus subductis enervant; ut jam Μ. 255.—323. οἱ δὲ—

Ἠμφιεσμένος, περικείμενος. 309. Ἀμφιδάσειαν.] Πανταχόθεν δασεῖαν. Καὶ, οἱ μὲν, ἀμφίμαλλον· οἱ δὲ, κύκλῳ δασεῖαν, διὰ τοὺς θυσάνους. Ὑφ' ἓν δὲ τὸ ὄνομα. 313. Ὀξεῖα.] Νῦν, δριμεῖα, χαλεπή. 316. Ἐπαυρεῖν.] Ἐπιτυχεῖν. 317. Λιλαιόμενα.] Ἐφιέμενα, ἐπιθυμοῦντα ἐν τῇ διὰ μέσου γῇ ἐπήγνυντο. τοῦ χρωτὸς ἐπιθυμοῦντα τῶν ἐφ' οὓς ἐβάλλετο. Ἔστι λῶ λαίω, ὡς κερῶ κεραίω· Ζωρότερον κέραιε. Χροὸς ἆσαι.] Τοῦ σώματος κορεσθῆναι. 318. Ὄφρα μὲν αἰγίδα.] Καὶ τὰ ἑξῆς. Κρόνος χρησμὸν λαβὼν, ὅτι ὁ ἴδιος αὐτὸν τῆς βασιλείας μεταστήσει υἱὸς, τὰ γεννώμενα κατέπινε. Ῥέα δὲ τεκοῦσα Δία, Κρόνῳ μὲν, λίθον ἀντ' αὐτοῦ σπαργανώσασα, ἔδωκε καταπιεῖν. τὸ δὲ παιδίον εἰς Κρήτην διακομίσασα ἔδωκε Θέμιδι καὶ Ἀμαλθείᾳ, ἣ ἦν αἴξ. Ταύτην οἱ Τιτᾶνες ὁπόταν θεάσαιντο, ἐφοβοῦντο. Αὕτη δὲ τοὺς ἑαυτῆς μαζοὺς ἐπέχουσα, ἔτρεφε τὸ παιδίον. Αὐξηθεὶς δὲ ὁ Ζεὺς, μετέστησε τῆς βασιλείας τὸν πατέρα. Πολεμούντων δὲ αὐτῷ τῶν Τιτάνων, Θέμις συνεβούλευσε τῷ τῆς Ἀμαλθείας δέρματι σκεπαστηρίῳ χρήσασθαι. εἶναι γὰρ αὐτὸ ἀεὶ φόβητρον. Πεισθεὶς δὲ ὁ Ζεὺς ἐποίησε, καὶ τοὺς Τιτᾶνας ἐνίκησεν. Ἐντεῦθεν αὐτόν φασιν αἰγίοχον προσαγορευθῆναι. 320. Κατενῶπα.] Κατὰ πρόσωπον. 322. Ἔθελξεν.] Ἐγοήτευσεν, ἠπάτησεν. 323. Οἰῶν.] Προβάτων. 324. Θῆρε.] Λέοντες, κατ' ἐξο-

θῆρε δύω κλονέωσι, μελαίνης νυκτὸς ἀμολγῷ,
ἐλθόντ' ἐξαπίνης, σημάντορος οὐ παρεόντος·
ὡς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
ἧκε φόβον, Τρωσὶ δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης·
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,
τὸν μὲν, Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων·
τὸν δὲ, Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον.
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν·
ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
Ἴασος αὖτ' ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
Μηκιστῆ δ' ἕλε Πουλυδάμας, Ἐχίον δὲ Πολίτης
πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ·
Δηΐοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθε,
φεύγοντ', ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν.

324. vulg. κλονέουσι.

Ἀχαιοὶ 326. Plena comparatio ita se haberet: οἱ Ἀχαιοὶ ἐφοβήθησαν, dispersi fugiebant, ὡς βοῶν ἀγέλη ἢ πῶυ οἰῶν φοβεῖται, ὅτε θῆρε δύω κλονέουσιν αὐτό.—324. θῆρε δύω. leones: tanquam nobilius genus ferarum. νυκτὸς ἀμολγῷ. pro nocte omnino, et σημάντωρ (Δ. 431.) pro pastore.

328—342. Fit cædes promiscua, pugna per plura loca sparsa.—329. *Stichius*, inter duces Atheniensium cum Menestheo: sup. N. 195, 6. 690, 1. De Menestheo B. 552. *Arcesilaus* ex Bœotorum ducibus B. 495.—332. *Medon* et *Iasus*. De *Medonte* dictum jam ad N. 694. ubi hi iidem versus legebantur. E Locride in finitimam Thessaliam, et quidem Phylacen, fugerat. *Iasus* Atheniensium ductor, Spheli f. Bucoli n. hoc uno loco memoratur.—339. *Mecisteus* obscurus, et diversus a Mecisteo Argivo ex Talaionidis (B. 566.) Erat filius Echii Θ. 333. N. 422. *Echius* hic alius quam Mecistei pater modo memoratus.—340. πρώτῃ ἐν ὑσμίνῃ. in promachis ante aciem. *Clonius* est inter duces Bœotorum B. 495. *Agenor* ex Antenoris filiis: Λ. 59.—341. *Deiochus* hoc uno loco memoratus.

χήν. 325. Σημάντορος.] Ἄρχοντος. Νῦν δὲ, φύλακος, νομέως. 326. Ὡς ἐφόβηθεν Ἀχαιοί.] Οὕτω καὶ οἱ Ἕλληνες εἰς φυγὴν ἐτράπησαν ὑπὸ τοῦ φόβου ὡς ἀσθενεῖς. 327. Ὄπαζε.] Περιεποίει, ἐδίδου. 328. Κεδασθείσης.] Διαλυθείσης, σκορπισθείσης, ἀλλαχοῦ ἄλλου τραπέντος. 333. Νόθος.] Ὁ μὴ ἐκ νομίμης γυναικός. 334. Ἔσκεν.] Ἦν, ἐγεγόνει. 335. Φυλάκῃ.] Πόλις Θεσσαλίας. Βαρυτόνως δὲ ἀναγνωστέον, ὡς Ἰθάκη, πρὸς ἀντιδιαστολὴν τοῦ δεσμωτηρίου. Κατακτάς.] Ἀνελών. 336. Γνωτόν.] Νῦν, ἀδελφόν. 339. Μηκιστῆ.] Ἀντὶ τοῦ, Μηκιστέα. 340. Πρώτῃ ἐν ὑσμίνῃ.] Ἐν τῇ πρώτῃ τάξει, ἐν τοῖς προταγωνισταῖς. 341. Δηΐοχον δὲ Πάρις.] Εἴρηται καὶ ἔμπροσθεν, ὅτι Ἑκάβη, τεκοῦσα Ἀλέξανδρον, διὰ τὸν ὄνειρον ἐξέθηκεν εἰς Ἴδην. Ὁ δὲ ποιμὴν εὑρὼν αὐ-

Ὄφρ' οἱ τοὺς ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ
τάφρῳ καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῇ,
ἔνθα καὶ ἔνθα φέβοντο· δύοντο δὲ τεῖχος ἀνάγκῃ.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀύσας,
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
Ὃν δ' ἂν ἐγὼ ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδέ νυ τόν γε
γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.
Ὣς εἰπὼν, μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
κεκλόμενος Τρώεσσιν, ἐπὶ στίχας· οἱ δὲ, σὺν αὐτῷ
πάντες, ὁμοκλήσαντες, ἔχον ἐρυσάρματας ἵππους,
ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
ἐς μέσσον κατέβαλλε· γεφύρωσεν δὲ κέλευθον
μακρὴν, ἠδ' εὐρεῖαν, ὅσον τ' ἔπι δουρὸς ἐρωὴ
γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἥσει.
τῇ ῥ' οἵγε προχέοντο φαλαγγηδὸν, πρὸ δ' Ἀπόλλων,
αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν

348. vulg. ἐγών. 349. Ϝοι. 351. Ϝερύουσι πρὸ Ϝάστεος. 352. Ϝειπών.
353. vulg. Τρώεσσι κατὰ στίχας. 354. ἔχον Ϝερυσάρματας. 355. Ϝηχῇ.

343—366. Fuga Achivi effusa in castra irruunt; angusto per fossam aditu turbam non bene capiente: v. Excurs. de τειχομαχίᾳ ad XII. Hector Trojanos, ut insequantur, hortatur, proruto vallo expletur fossa, ut trajici possit.

350. οὐδὲ τόνγε—πυρὸς λελάχωσι, λαχεῖν ποιήσωσι, *participem faciant rogi*, s. honoris funebris; non impertiunto eum justa sepultura. ut jam H. 79, 80.—352. σὺν μάστιγι κατὰ τῶν ὤμων scil. θείνων. feriendo.—354. ἔχον ἵππους. ἤλαυνον. ut toties. Quod Apollo 355 vallum dejicit, fossam æquat humo, et quod facit id facillima opera 362 præclara sunt, ad elevandum humanum opus et declarandum numen; inprimis si memineris μέγαν πόνον Ἀχαιῶν sup. H. et M. pr. Dii autem omnia consilia exsequuntur *facile*. ῥεῖα. ut sup. K. 556. Hesiod. Ἔργ. pr. Pindar. P. IX. 119. et multis locis. —358. ἐγεφύρωσεν ὁδὸν μακρὴν ἠδ' εὐρεῖαν (ἐπὶ τόσον) ἐφ' ὅσον τι. pro quo sæpe ὅσον simpliciter, quam longe. Iterum Φ. 251. viam tam latam, quam qua hasta cum vi emissa pertingere potest h. e. viam hastæ jactum latam. Ita φαλαγγηδὸν, *turmatim*,

τὸν, διὰ τὸ μὴ γνωρισθῆναι, ἐν πήρᾳ ἔτρεφεν. Ἀφ' οὗ ὠνομάσθη Πάρις. 343. Ἐνάριζον ἀπ' ἔντεα.] Ἕως οὗ αὐτοὶ τούτους ἐσκύλευον, ἀφαιρούμενοι τὰ ᾑμαγμένα ὅπλα. 344. Ἐνιπλήξαντες.] Ἐμπεσόντες. 345. Δύοντο.] Ἐσῄεσαν. 347. Ἐπισσεύεσθαι.] Ἐφορμῆσαι. 349. Μητίσσομαι.] Μηχανήσομαι, ἐργάσομαι. 350. Πυρὸς λελάχωσι.] Τῆς διὰ πυρὸς ταφῆς λαχεῖν ποιήσουσι. 352. Κατωμαδόν.] Κατὰ τῶν ὤμων τῶν ἵππων. 354. Ἐρυσάρματας.] Τοὺς ἐλαύνοντας τὰ ἅρματα, τοὺς ὑποζυγίους. 356. Ὄχθας.] Κυρίως μὲν τὰ τῶν ποταμῶν χείλη· νῦν δὲ, τῆς τάφρου. Καπέτοιο.] Τῆς τάφρου. Ἐρείπων.] Καταβάλλων. 357. Γεφύρωσε.] Διαβατὴν ἐποίησεν. 359. Ἧσιν.] Ἀφῇ, βάλῃ ἀκοντίσῃ. 360. Φαλαγγηδόν.] Κατὰ φάλαγγας, ὅ ἐστι, τάξεις. 363. Ἀθύρματα.] Παί-

ῥεῖα μάλ᾽, ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης·
ὅστ᾽, ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν,
ἂψ αὖτις συνέχευε ποσὶ καὶ χερσὶν, ἀθύρων·
ὣς ῥα σὺ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φῦζαν ἐνῶρσας.
Ὣς οἱ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
ἀλλήλοισί τε κεκλόμενοι, καὶ πᾶσι θεοῖσι
χεῖρας ἀνίσχοντες, μεγάλ᾽ εὐχετόωντο ἕκαστος.
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
εὔχετο, χεῖρ᾽ ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
Ζεῦ πάτερ, εἴποτε τίς τοι ἐν Ἄργεΐ περ πολυπύρῳ,
ἢ βοὸς, ἢ ὄϊος κατὰ πίονα μηρία καίων,
εὔχετο νοστῆσαι, σὺ δ᾽ ὑπέσχεο καὶ κατένευσας·
τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ·
μηδ᾽ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.
Ὣς ἔφατ᾽ εὐχόμενος· μέγα δ᾽ ἔκτυπε μητιέτα Ζεύς,
ἀράων ἀΐων Νηληϊάδαο γέροντος.
Τρῶες δ᾽, ὡς ἐπύθοντο Διὸς νόον αἰγιόχοιο,
μᾶλλον ἐπ᾽ Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης.
οἱ δ᾽, ὥστε μέγα κῦμα θαλάσσης εὐρυπόροιο

363. vulg. ποιήσει. 369. εὐχετόωντο Ϝέκαστος. 373. ὄϜιος.

incedere poterant Trojani.—363. νηπιέῃσι. ἐν νηπιέῃ, νηπίως, *puerititer.* puerili more. lusu.—365. ἤϊε Φοῖβε, *jaculator Apollo.* vulgo redditur; nec melius quid pro explorato constat.

367—389. Achivi ad naves consistunt, implorant deorum opem, et inter eos Nestor; Jupiter tonat; Trojani omen ad se pertinere rati, tanto concitatius irruunt; Achivi de navibus pugnant.—367. ὣς οἱ μέν. Ita Achivi substiterunt ad naves; Debebat esse: Cum autem Achivi fugientes pervenissent ad naves suas, tum e fuga substiterunt.

372—376. Obtestatur Nestor Jovem per sacra pro reditu facta ante expeditionem.—374. σὺ δ᾽ ὑπέσχεο καὶ κατένευσας pro, *et si tu ejus preces exaudieras.*—375. νηλεὲς ἦμαρ. antiqua loquendi forma, jam vidimus Α. 484.—378. ἀράων ἀΐων. Potest *exaudiens* reddi, et simpliciter *audiens;* omen autem per se est faustum Nestori.—379. ἐπύθοντο Διὸς νόον, ut sup. 242. et al. voluntatem per tonitru declaratam; ostentum quod sibi faustum esse censebant, infaustum hostibus.

381. Comparatio fit inter fluctus navis latera superantes magno cum fragore, et

γυια. Καὶ ἀθύρων παίζων. Νηπιέῃσι.] Ταῖς ἀφροσύναις. 365. Ἤϊε.] Τοξικέ. Παρὰ τὴν ἄφεσιν τῶν βελῶν. Ἔστι δὲ ἐπίθετον Ἀπόλλωνος. Εἴρηται δὲ κατὰ ἀφαίρεσιν τῆς πρώτης συλλαβῆς. ἵν᾽ ᾗ, ἰήϊε. Ἰὸς γὰρ λέγεται τὸ βέλος, παρὰ τὸ ἱέναι. Ἔνιοι δὲ, ψιλῶς ἀναγιγνώσκοντες, ἀπέδοσαν, ἰατρέ· οὐκ ὀρθῶς. Ἐπεὶ θεῶν ἰατρὸν Παιήονα Ὅμηρος παραδίδωσι. Κάματον καὶ ὀϊζύν.] Πολλοὺς καμάτους καὶ ταλαιπωρίας αὐτῶν. 366. Σύγχεας.] Συνετάραξας, συνέχεας. Φύζαν.] Φόβον. Φυγήν. 372. Πολυπύρῳ.] Σιτοφόρῳ. 378. Ἀράων ἀΐων.] Νῦν τῶν εὐχῶν ἀκούων. 381. Εὐρυπόροιο.] Εὐρυχώρου. πλατείας ἐν τῷ περά-

νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπείγῃ
ἲς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον.
ἵππους δ' εἰσελάσαντες, ἐπὶ πρύμνῃσι μάχοντο,
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδὸν, οἱ μὲν ἀφ' ἵππων,
οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων, ἐπιβάντες,
μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα, κολλήεντα, κατὰ στόμα εἱμένα χαλκῷ.
Πάτροκλος δ', εἵως μὲν Ἀχαιοί τε Τρῶές τε
τείχεος ἀμφεμάχοντο, θοάων ἔκτοθι νηῶν,
τόφρ' ὅγ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
ἧστό τε, καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῷ
φάρμακ' ἀκήματ' ἔπασσε μελαινάων ὀδυνάων·
αὐτὰρ ἐπειδὴ τεῖχος ἐπεσσυμένους ἐνόησε
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
ᾤμωξέν τ' ἄρ' ἔπειτα, καὶ ὣ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ'· ὀλοφυρόμενος δὲ προσηύδα·
Εὐρύπυλ', οὐκέτι τοι δύναμαι, χατέοντί περ ἔμπης,

383. ϝίς. 384. ϝιϝαχῇ. 389. κατὰ στόμα ϝειμένα. 396. γένετο ϝιϝαχή. 398. vulg. δ' ἔπος ηὔδα.

Trojanos in vallum magna cum vociferatione irruentes. οἱ δὲ Τρῶες ὑπερέβησαν τὸ τεῖχος, ὡς κῦμα ὑπερβαίνει τοὺς τοίχους νηός. pro hoc dixit ὥστε κῦμα ὑπὲρ τοίχων καταβήσεται sc. ἔνδον εἰς νῆα. Sup. Ν. 50. et 87. erat οἱ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ. Futurum καταβήσεται solito more pro aoristo ac præsenti: καταβήσηται ἄν. θάλασσα εὐρύπορος, εὐρεῖα.—386. οἱ μὲν ἀφ' ἵππων. difficultatem pugnæ talis, curribus admotis viderunt veteres grammatici, cum equi pugnantium de navibus telis fuissent petiti. Putarunt ergo equos aversos et ad urbem conversos stetisse. Præstat dicere: aut minus accurate hæc esse narrata, potuit enim haud uno modo pugna fieri: aut esse truncata, aut esse interpolata.—387. ἐπιβάντες sc. αὐτὰς, sejunctim scripsi.—389. κολλήεντα inf. 677, 8. expletur βλήτροις.

390—404. Patroclus, appropinquante in ipsis castris pugna, relicto Eurypylo ad Achillem properat, an forte ad subveniendum Achivis ille permoveri possit. Redit narratio ad Λ. 805. ad f. ubi v. ad 803. Omnino ab hoc inde loco tanquam in dramate paratur ἡ περιπέτεια.

390. Patrocli indolem mitem et humanitatis sensu perfusam jam Λ. 803. commendatam vidimus.—391. θοάων ἔκτοθι νηῶν longe a navium statione, antequam ad eam esset perventum, dum pugnabant circa vallum;—394. φάρμακ' ἔπασσε, ἐπέπασσεν ἕλκει, si proprie dixit, sunt plantæ et radices contusæ.—395. τεῖχος ἐπεσσυμένους, in

σαι. 382. Νηὸς ὑπὲρ τοίχων καταβήσεται.] Ὑπὲρ τοὺς τοίχους τῆς νεώς. 389. Ναύμαχα.] Μακρὰ δόρατα, τὰ πρὸς ναυμαχίαν ἐπιτήδεια. Κολλήεντα.] Ἐκ πολλῶν συγκεκολλημένα, ἵνα γένηται μακρά. οἷον σύνθετα, καὶ οὐ μονόξυλα. Κατὰ στόμα.] Νῦν κατὰ τὴν ἀρχήν. μεταφορικῶς. Εἱμένα χαλκῷ.] Ἀντὶ τοῦ, κατὰ τὸ ἄκρον σεσιδηρωμένα. 392. Ἀγαπήνορος.] Ἤτοι ἀγαπῶντος τοὺς ἄνδρας. ἢ ἀνδρείου. 394. Ἀκήματα.] Ἰάματα. 399. Χατέοντι.]

ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω· αὐτὰρ ἔγωγε
σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίς δ' οἶδ', εἴ κεν οἱ, σὺν δαίμονι, θυμὸν ὀρίνω
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
Τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδὲ δύναντο,
παυροτέρους περ ἐόντας, ἀπώσασθαι παρὰ νηῶν·
οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
ῥηξάμενοι, κλισίῃσι μιγήμεναι, οὐδὲ νέεσσιν.
ἀλλ' ὥστε στάθμη δόρυ νήϊον ἐξιθύνει
τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
εὖ εἰδῇ σοφίης, ὑποθημοσύνῃσιν Ἀθήνης·
ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε.
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν·
Ἕκτωρ δ' ἀντ' Αἴαντος ἐείσατο κυδαλίμοιο.
τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδὲ δύναντο

403. τίς Ϝοῖδ', εἴ κε Ϝοι. 404. παρειπών. 405. Ϝειπόντα.
408. vulg. οὔτε ποτέ. 412. Ϝειδῇ. 413. ἐπὶ Ϝῖσα.
416. vulg. οὐδ' ἐδύναντο.

castra irrumpentes.—403. σὺν δαίμονι. *deo annuente. propitio.*—404. παρειπὼν, παρηγορῶν, *monendo* et hortando. ἀγαθὸν δέ ἐστι, τὸν ἑταῖρον παραφάσθαι. παρειπεῖν.

405—418. Pugna ad naves diu æqua utrinque virtute et fortuna fit; neque Hector aut Ajax loco cedunt.—Redit ad Patroclum narratio rhapsodia Π. pr.

410. Pugna in neutram partem inclinata, sed utrinque æqualis, Achivis ante navium ordinem in statu manentibus, comparatur *cum trabe* ad amussim æquata et dolata. Inversa oratio et ornata: pro ὡς δόρυ ἐξιθύνεται τῇ σταθμῇ, διὰ τῆς. κατὰ τὴν σταθμὴν ad amussim. Eadem res comparatione cum lance illustrata erat Μ. 433. sqq. Quod δόρυ non quodcunque sed νήιον memorat, poetam decet: cui quam maxime ad individua et singularia est deveniendum.—413. ἐτιτέτατο ἶσα, ἴσως. cf. ad Λ. 336. —415. ἀντὶ Αἴαντος ἐείσατο. ab ἰέναι ἀντὶ, ἄντα. ἀντιβῆναι (cf. similia ad Λ. 358.) ἐπῆλ-

Χρῄζοντι, δεομένῳ. 400. Δὴ γὰρ μέγα νεῖκος.] Μάλα γὰρ μεγάλη μάχη. 401. Ποτιτερπέτω.] Παρηγορείτω. 402. Εἰς Ἀχιλῆα.] Ἀντὶ τοῦ πρὸς Ἀχιλλέα. 404. Παραίφασις.] Παραμυθία, παραίνεσις. 410. Στάθμη.] Ἐργαλεῖον τεκτονικὸν, ἡ καὶ κατευθυντηρία λεγομένη. Τούτῳ δὲ κανονίζεται τὸ ξύλον. Ἔστι δὲ καὶ σχοινίον λεπτὸν, ἐρυθρῷ ἢ μέλανι χρώματι κεχρισμένον. Νήϊον.] Τὸ εἰς ναυπηγίαν ξύλον. Ἐξιθύνῃ.] Ἴσον ποιεῖ, ὀρθοῖ. 411. Δαήμονος.] Ἐμπείρου. 412. Εὖ εἰδῇ σοφίης.] Ἔμπειρος τεκτονικῆς. Τὸ γὰρ παλαιὸν, πᾶς τεχνίτης, σοφὸς ἐκαλεῖτο, συγκεχυμένῳ ὀνόματι. ὕστερον δὲ Πυθαγόρας, τοῦτο μεμψάμενος, σοφὸν μὲν μόνον εἶπε τὸ θεῖον ὀνομάζεσθαι· σοφίαν δὲ μόνην τὴν ἔχουσαν τὸ τέλειον καὶ ἄπταιστον τῆς ἐπιστήμης, ἥτις ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. Ὑποθημοσύνῃσιν.] Ὑποβολαῖς. διδασκαλίαις. 413. Τέτατο.] Ἐπετέτατο. 414. Ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο.] Ἄλλοι δὲ κατ' ἄλλο μέρος τῶν νεῶν ἐμάχοντο. 415. Ἀντ' Αἴαντος.] Ἀντικρὺ τοῦ Αἴαντος.

οὐθ' ὁ τὸν ἐξελάσαι, καὶ ἐνιπρῆσαι πυρὶ νῆα,
οὐθ' ὁ τὸν ἂψ ὤσασθαι, ἐπεὶ ῥ' ἐπέλασσέ γε δαίμων.
ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας,
πῦρ ἐς νῆα φέροντα, κατὰ στῆθος βάλε δουρί·
δούπησεν δὲ πεσὼν, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
ἐν κονίῃσι πεσόντα, νεὸς προπάροιθε μελαίνης,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε·
ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
τεύχεα συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα.
Ὣς εἰπὼν, Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
τοῦ μὲν ἅμαρθ'· ὁ δ' ἔπειτα Λυκόφρονα, Μάστορος υἱὸν,
Αἴαντος θεράποντα, Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισι·
τόν ῥ' ἔβαλε κεφαλὴν ὑπὲρ οὔατος ὀξεϊ χαλκῷ,
ἑσταότ' ἄγχ' Αἴαντος· ὁ δ' ὕπτιος ἐν κονίῃσι
νηὸς ἄπο πρύμνης χαμάδις πέσε· λῦντο δὲ γυῖα.
Αἴας δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ, Κυθηρόθεν ἔνδον ἐόντα,

417. vulg. νῆας. 421. δέ Ϝοι. 423. vulg. νεώς. 429. Ϝειπών.

ὅεν, ἐπήϊεν, Αἴαντι.—418. ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων. antique, pro, ἐπελάσθη. ἐπεὶ ἐφωρμᾶτο ὁ Ἕκτωρ.

419—435. Caletorem Ajax, Lycophronem Hector necant. *Caletor* Clytii f. (Υ. 238.) ἀνεψιὸς Hectoris 422. Clytius Γ. 147. memoratus.—426. ἐν στείνεϊ τῷδε dum pugna fit ad unam maxime navem, conglobatis ordinibus, nec hoste recedente. ut sup. Θ. 476. aliter quam Μ. 66.—428. νεῶν ἐν ἀγῶνι. in statione ipsa navium, ναυστάθμῳ, nam Homero ἀγὼν nondum est certamen ipsum, sed locus certaminis vel consessus spectantium et certantium.—430. *Lycophron*, Mastoris f. *Cytheris* insula oriundus. Nil præterea de homine tenetur.

436—441. Cæso Lycophrone, Mastoris f. Ajax Teucrum ad se vocat, ut arcu in hostem utatur.—438. ἔνδον ἐόντα. *domi*. advenam e Cytheris in domum nostram re-

Ἐείσατο.] Ἐφάνη. 418. Ἂψ ὤσασθαι.] Εἰς τοὐπίσω ἀπώσασθαι. 419. Ἔνθ' υἷα Κλυτίοιο.] Τότε τὸν υἱὸν τοῦ Κλυτίου. Κλύτιος, ἀδελφὸς Πριάμου. Καλλήτωρ, ἀνεψιὸς Ἕκτορος. Ἔστι δὲ καὶ ἕτερος Κλύτιος ὁμώνυμος. 426. Χάζεσθε.] Ἀναχωρεῖτε. Στείνεϊ.] Στενοχωρίαν ἔχοντι τόπῳ. Ἢ, τῇ μάχῃ τῇ στενοχωρούσῃ, καὶ πανταχόθεν πεπυκνωμένῃ. 427. Σαώσατε.] Ἀνακομίσατε. τῆς μάχης σώσατε. 428. Νεῶν ἐν ἀγῶνι.] Ἐν τῷ ἀθροίσματι τῶν νεῶν. τῷ ναυστάθμῳ. 431. Κυθήριον.] Ἀπὸ Κυθήρων. Κύθηρα δὲ νησίδιον τῆς Λακωνικῆς, Ἀφροδίτης ἱερόν. ὅθεν καὶ Κυθέρειαν ἐπιθετικῶς ὀνομάζουσι τὴν θεάν. 437. Δὴ νῶϊν.] Ἡμῶν δή. 438. Κυθηρόθεν ἔνδον ἐόντα.]

ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι·
τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;
Ὣς φάθ'· ὁ δὲ ξυνέηκε· θέων δέ οἱ ἄγχι παρέστη,
τόξον ἔχων ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεσσιν ἐφίει·
καὶ ῥ' ἔβαλε Κλεῖτον, Πεισήνορος ἀγλαὸν υἱόν,
Πουλυδάμαντος ἑταῖρον, ἀγαυοῦ Πανθοΐδαο,
ἡνία χερσὶν ἔχοντα. ὁ μὲν πεπόνητο καθ' ἵππους·
τῇ γὰρ ἔχ', ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔτις ἐρύκακεν, ἱεμένων περ·
αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι,
κείν' ὄχεα κροτέοντες. ἄναξ δ' ἐνόησε τάχιστα
Πουλυδάμας, καὶ πρῶτος ἐναντίος ἤλυθεν ἵππων.

439. Ϝῖσα. 442. δέ Ϝοι. 450. τό Ϝοι—ἐρύκακε, Ϝιεμένων πέρ. 451. γάρ Ϝοι. 452. δέ Ϝοι. 453. κροτέοντες· Ϝάναξ. Malc: v. Obss. 454. vulg. ἐναντίον.

ceptum.—441. Manifestum est h. l. *ab Apolline acceptum arcum* esse simpl. arcum præstantiorem. Veteres tamen τόξον de ipsa arte accipiunt.

442—457. Teucri sagitta transfigitur Clitus, Polydamantis auriga; equos coercet Polydamas, eosque regendos mandat Astynoo; qui diversus est ab eo, qui sup. E. 144. Diomedis telo occubuit.

445. *Clitus*, Pisenoris f. aliunde haud notus. auriga *Polydamantis*, Panthoi f. Λ. 57. M. 60.—447. ὁ μὲν πεπόνητο καθ' ἵππους. *occupatus erat Clitus in equis regendis*, ἔργον εἶχε περὶ τοὺς ἵππους· τῇ γὰρ ἔχε sc. τοὺς ἵππους, *agebat*, ut centies, nunc ἐν τῷ στένει. 426.—451. αὐχένι γάρ οἱ ὄπισθεν ἔμπεσεν ἰός. Cum versus naves conversi essent currus, pectore, non cervice excipere debuit sagittam. Ut rem expedirent, veteres grammatici in eam rationem inciderunt, ut currus ad terga quidem pugnantium, sed conversis versus vallum et urbem frontibus, stetisse putarent. Alii interpolatum esse locum statuerunt. Sane quidem ore quoque in hostem verso insistentem currui vulnus in cervice accipere posse video, si ille, tanquam auriga, prono in equos capite corpus inflectens hasta desuper delata in cervice feritur. Saltem hoc tenendum est, non pugnatum esse nunc e curribus, sed currus a tergo promachorum habitos, ut e propinquo conscendi possent.

Ἀντὶ τοῦ ἀπὸ Κυθήρων ἐνδεδημηκότα. 441. Ὠκύμοροι.] Ταχύμοροι. Θάνατον ἐπιφέροντες. ταχυθάνατοι. 443. Παλίντονον.] Εἰς τοὐπίσω ἑλκόμενον. 444. Ἰοδόκον.] Ἰοὺς δεχομένην. Ὅ ἐστι, βέλη. 447. Πεπόνητο.] Ἐπεπόνητο, ἐνήργει. 448. Τῇ γὰρ ἔχε.] Ἐκεῖ γὰρ ἤλαυνεν. Ἧι ῥά.] Ὅπου δή. Κλονέοντο.] Ἐταράσσοντο. 450. Ἐρύκακεν.] Εἶργεν, ἐκώλυσεν. Ἱεμένῳ.] Προθυμουμένῳ, σπεύδοντι. 451. Αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός.] Ἤτοι, ὁ ὀδυνηρὸς, ἢ πολλῶν στεναγμῶν αἴτιος. Ἀποστρεφόντων δὲ τὰ ἅρματα τῶν Τρώων, πρὸς τὸ ἐξίσου πολεμεῖν ἐπιβεβηκόσιν τῶν νεῶν τοῖς Ἕλλησιν, οὕτως ὁ ἡνίοχος τετραμμένος πρὸς τοὺς ἵππους βέβληται κατὰ τοῦ αὐχένος. 452. Ὑπερώησαν.] Ὑπεχώρησαν. 453. Κεῖν' ὄχεα κροτέοντες.] Κενὰ τὰ ἅρματα

τοὺς μὲν ὅγ᾽ Ἀστυνόῳ, Προτιάονος υἱεῖ, δῶκε·
πολλὰ δ᾽ ἐπώτρυνε σχεδὸν ἴσχειν, εἰσορόωντα,
ἵππους· αὐτὸς δ᾽ αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
Τεῦκρος δ᾽ ἄλλον ὀϊστὸν ἐφ᾽ Ἕκτορι χαλκοκορυστῇ
αἴνυτο, καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,
εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν·
ἀλλ᾽ οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ᾽ ἐφύλασσεν
Ἕκτορ᾽, ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,
ὅς οἱ ἐΰστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
ῥῆξ᾽ ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
ἰὸς χαλκοβαρὴς, τόξον δέ οἱ ἔκπεσε χειρός.
Τεῦκρος δ᾽ ἐῤῥίγησε, κασίγνητον δὲ προσηύδα·
Ὢ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός·
νευρὴν δ᾽ ἐξέῤῥηξε νεόστροφον, ἣν ἐνέδησα
πρώϊον, ὄφρ᾽ ἀνέχοιτο θαμὰ θρώσκοντας ὀϊστούς.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας Τελαμώνιος Αἴας·
ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς, Δαναοῖσι μεγήρας·

455. ὁ Ϝαστυνόῳ. v. Obss. 463. ὅς Ϝοι. 464. Ϝερύοντι—δέ Ϝοι. 465. δέ Ϝοι. 469. ἥν Ϝοι.

458—470. Teucer alia sagitta arrepta arcum in Hectorem tendit, rupto nervo sagitta aberrat: obstupescit ille eo quod inopinanti acciderat.

462. Τεύχεϊ—εὖχος ἀπηύρα, *successum optatum*, ut sæpe de victoria, de cæde hostis quem quis petit telo.—463. ὅς—ῥῆξε. iterum ad Jovem, post ὅς ῥ᾽ ἐφύλασσε, καὶ ὅς ἔῤῥηξε. Jupiter ἔῤῥηξε νευρὴν ἐν τόξῳ οἱ (Teucro) ἐπερύοντι τόξον τῷ, Hectori. pro κατ᾽ αὐτοῦ ἐπ᾽ αὐτόν. Oratio parum polita.—467. ἐπικείρει μήδεα. ut Latini, *præcidere conatum, spem, consilium*.—470. πρώϊον. πρωΐ, *hoc ipso mane*. Nam superiore die ruptus fuerat arcus saxo ab Hectore projecto: sup. Θ. 325. sqq.

471—483. Ajacis monitu Teucer armis, h. e. hasta cum clipeo, arreptis se ei pugnanti adjungit.

473. συνέχευε. scil. τὸν βιὸν et τοὺς ἰούς. Dictum non satis accurate. Non tam arcum et sagittas conturbaverat Jupiter, quam *consilium et conatum sagittas emit-*

κροτοῦντες. 456. Ἴσχειν.] Κατέχειν. 459. Αἴνυτο.] Ἐλάμβανε, ἀφῃρεῖτο. 461. Πυκινόν.] Νῦν, συνετόν. 462. Ἀπηύρα.] Ἀφείλετο. 463. Ἐϋστρεφέα.] Καλῶς περιστρεφομένην. Ἀμύμονι τόξῳ.] Ἤτοι, κατὰ μετουσίαν τοῦ φοροῦντος· ἢ, πανταχόθεν ἀμέμπτῳ καὶ ὑγιεῖ. 464. Παρεπλάγχθη.] Παρηνέχθη, παρέπεσεν. Ἄλλῃ.] Ἀλλαχόσε, καὶ οὐκ ἐπὶ τὸν Ἕκτορα. 465. Χαλκοβαρής.] Χαλκῷ βαρούμενος. 467. Ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει.] Πᾶσαν τὴν εἰς τὸν πόλεμον ἡμῶν προθυμίαν θεός τις κωλύει, καὶ παρασπᾷ. Ἐπὶ μήδεα κείρει.] Ἐμποδίζει τὰ βουλεύματα. 469. Νεόστροφον.] Καινήν. νεωστὶ ἐστραμμένην. 470. Πρώϊον.] Ἕωθεν, ὄρθριον, ἢ πρόσφατον. Ἀνέχοιτο.] Ὑπομένοι, ἀντέχοιτο. Θαμά.] Πυκνῶς. 473. Μεγήρας.] Φθονήσας.

αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ, καὶ σάκος ὤμῳ,
μάρναό τε Τρώεσσι, καὶ ἄλλους ὄρνυθι λαούς.
μὴ μὰν ἀσπουδί γε, δαμασσάμενοί περ, ἕλοιεν
νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης.
Ὣς φάθ'· ὁ δὲ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκεν·
αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡς εἶδε Τεύκρου βλαφθέντα βέλεμνα,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκὴ,
ἠμὲν ὁτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
ἠδ' ὅτινας μινύθῃ τε, καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν·
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ' ἀρήγει.

475. vulg. ἀσπουδεί γε. 484. Ϝεῖδε. 488. Ϝίδον.

tendi, vel *usum arcus*. Verum et alibi sic: Π. 471. ἠνία δέ σφι σύγχυτο. In μεγήρας non est argutandum: quod quis alteri negat, recusat, eum privat, dicitur μεγαίρειν, φθονεῖν. Etsi per se vera et nota sunt, quæ de deorum invidia narrantur.—476. φυλασσώμεθα μὰν, μή. *caveamus, ne.* μὴ Τρῶες, δαμασσάμενοί περ ἡμᾶς, ἕλοιεν νῆας ἀσπουδί γε, ἀπονητί. ἀλλὰ μνησώμεθα χάρμης. sed agite, fortiter pugnemus!—478. ἐνὶ κλισίῃσι pugnabatur enim ad naves; et inter naves erant κλισίαι. cf. 656.—479. σάκος τετραθέλυμνον. quaternis coriis seu stratis laminarum et coriorum indutum. προθέλυμνος vidimus I. 537.

484—500. Conspectu rupti arcus Teucri, Hector ferociens Trojanos diis tam manifeste opem ferentibus erectos ad fortiter pugnandum hortatur.

486. Repetita aliquoties, ut Θ. 173. Z. 112.—487. μνήσασθε ἀλκῆς, *exserite* virtutem; ut vidimus: v. c. Z. 112.—490. ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀλκὴ, numen interveniens, vis, potentia. ῥαδίως ἀρίγνωτόν ἐστιν, ὅταν ἡ ἀλκὴ ἐκ Διὸς γένηται. Locus tenendus ad assequendum quasnam res divinitus, Διόθεν, ἐκ Διὸς, *Jovis numine*, evenisse putaverint: scilicet, si rem insolitam inexpectato et sine caussa apparente fieri viderant.—491. quos vult reddere superiores pugna, οἷς κῦδος ὑπέρτερον ἐγγυαλίζει, opp. μινύθειν, quos vinci vult et inferiores esse. Eo modo solet antiquus sermo uti vocibus gene-

476. Ἀσπουδεί.] Χωρὶς σπουδῆς, καὶ κακοπαθείας. 479. Τετραθέλυμνον.] Τετράπτυχον, τέσσαρας θέσεις ἔχον ἐπαλλήλους. 484. Βέλεμνα.] Βέλη. ὑποκοριστικῶς. 488. Δὴ γὰρ ἴδον.] Ἴδον γὰρ δή. 489. Διόθεν.] Ἀναγκαίως τὸ Διόθεν, ἵνα τοὺς μὲν ἐπιῤῥώσῃ, τοὺς δὲ περιδεεῖς καταστήσῃ. Τῇ τῶν θεῶν οὖν ἐλπίδι ἀνεγείρει τὸν στρατόν. 490. Ἀλκή.] Νῦν, βοήθεια. 491. Ὁτέοισιν.] Οἷστισιν. Ὑπέρτερον.] Ὑπερέχον, μέγα. 492. Μινύθῃ.] Ἐλαττοῖ, μειοῖ. 495.

ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες. ὃς δέ κεν ὑμέων
βλήμενος, ἠὲ τυπεὶς, θάνατον καὶ πότμον ἐπίσπῃ,
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
καὶ οἶκος, καὶ κλῆρος ἀκήρατος, εἴκεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
Αἰδὼς, Ἀργεῖοι· νῦν ἄρκιον, ἢ ἀπολέσθαι,
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ἦ ἔλπεσθ', ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει;
οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
ἡμῖν δ' οὔτις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε.
βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον, ἠὲ βιῶναι,

496. οὔ Ϝοι ἀϜεικές. 498. Ϝοῖκος. 500. Ϝειπὼν,—θυμόν τε Ϝεκάστου. 501. ἐκέκλετο Ϝοῖς. 504. Ϝέλπεσθ'. 505. Ϝὴν—γαῖαν Ϝέκαστος; v. Obss. 510. vulg. αὐτοσχεδίην.

ralibus pro propriis, quas nondum habet; cf. Hesiodus Ἔργ. pr. 5, 6.—494—499. Præclaræ sententiæ: quas veteres, in his Crates, grammaticus, idemque Stoicus, potentius redditas esse quam a Tyrtæo aiebant.—496. οὔ οἱ ἀεικὲς, ἀπρεπές.—497. ἐς τὸ ὀπίσω, τὸ μέλλον, σόη ἐστίν.—498. κλῆρος ἀκήρατος. *intacta*, incolumis, possessio; ager manet ei salvus et tutus ab hostili vi.

501—514. Etiam Achivos adhortatur Ajax ad fortiter resistendum. Præclarus hic quoque locus.

502. νῦν ἄρκιον, *nunc tempus adest.* νῦν καιρός ἐστιν, ἢ ἀπολέσθαι ἠὲ σαωθῆναι.—*Ut aut moriamur, aut hoste a navibus fugato vitam servemus.* ἄρκιον, τὸ ἀρκοῦν, ὠφέλιμον, ἕτοιμον. præstant hæc ceteris quæ Grammatici dictant. Eadem sententia alibi quoque; ut P. 227. I. 230. κακὰ pro *incendio* vel *excidio*.—511. Ut verba se habent, aut statuendum est tria poni, aut jungenda sunt: βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι. ut duo hæc ponantur ab una parte; *præstat periclitari, occubiturus ne sis an victurus et incolumis abiturus,* (βιῶναι incolumem abire et victorem) ab altera ἢ δηθὰ

Βλήμενος.] Ἐκ βολῆς τρωθείς. Τυπείς.] Ἐκ χειρὸς τρωθεὶς, ἐκ τοῦ σύνεγγυς. Πότμον.] Μόρον, θάνατον. 496. Ἀεικές.] Κακόν. 497. Σόη.] Σεσωσμένη, ὑγιής. 498. Κλῆρος.] Χωρικὴ περίκτησις καὶ οὐσία, ἐπεὶ οἱ πρῶτοι, καταλαβόντες χώραν, κλήρῳ αὐτὴν διενέμοντο. Ἀκήρατος.] Ἀκέραιος, ἄφθαρτος. 499. Οἴχονται.] Πορευθῶσιν. 502. Ἄρκιον.] Αὔταρκες, ἱκανόν. 505. Ἐμβαδόν.] Πεζῇ βαίνοντες. Ἵξεσθαι.] Ἀφίξεσθαι, ἐλθεῖν. 507. Ἐνιπρῆσαι.] Ἐμπρῆσαι, καῦσαι. 508. Χορόν.] Εἰς χορείαν. 509. Μῆτις.] Βουλή. 510. Αὐτοσχεδίῃ.] Τῇ ἑαυτοῦ σύνεγγυς μάχῃ. 511. Βέλτερον ἢ ἀπολέσθαι.] Βέλτιον πρὸς βραχὺ κινδυνεῦσαι, ἢ ζῶντας καὶ κατ' ὀλίγον ἀπολλυμένους ταλαιπωρεῖν. Ἕνα

ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι,
ὧδ' αὔτως παρὰ νηυσὶν, ὑπ' ἀνδράσι χειροτέροισιν.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον, Περιμήδεος υἱὸν,
ἀρχὸν Φωκήων· Αἴας δ' ἕλε Λαοδάμαντα,
ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
τῷ δὲ Μέγης ἐπόρουσεν ἰδών· ὁ δ' ὕπαιθα λιάσθη
Πουλυδάμας· καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ Ἀπόλλων
εἶα Πάνθου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
αὐτὰρ ὅγε Κροίσμου στῆθος μέσον οὔτασε δουρί.
δούπησεν δὲ πεσὼν, ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ, αἰχμῆς εὖ εἰδὼς,
Λαμπετίδης, (ὃν Λάμπος ἐγείνατο, φέρτατος ἀνδρῶν,
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς·)
ὅς τότε Φυλείδαο μέσον σάκος οὔτασε δουρὶ,

514. Fειπὼν,—θυμόν τε Fεκάστου. 520. ἐπόρουσε Fιδών.
525. Fειδώς. 527. Fειδότα.

στρεύγεσθαι. quam diuturna ærumna consumi. Revocandum tamen ad pugnam in qua nunc versantur per vs. 510. et per δηϊοτῆτι sqq. suadet enim Ajax impressionem facere in hostem eumque adoriri, nec modo excipere et propulsare. Convenit Horatianum: *Horæ momento cita mors venit aut victoria læta.* στρεύγεσθαι, nunc καταπονεῖσθαι, ταλαιπωρεῖν. proprie στραγγίζεσθαι, οἷον, κατὰ στράγγα κατ' ὀλίγον ἐκλείπειν.

515. sqq. Narrantur jam pugnæ singulares variis modis ornatæ: de quibus sigillatim monere haud opus est.

515. *Schedius*, Perimedis f. inter duces Phocensium; diversus ab alio Schedio, Iphiti filio, qui cum Epistropho, fratre, summum Phocensium imperium habebat Β. 517.—516. *Laodamas* unus ex filiis Antenoris alibi non memoratus; ut nec *Otus* Cyllene, non Arcadiæ, sed navali Eleorum, ortus, Epeorum dux v. 517. 8. (Inhabitabant autem, quod notum est, Epei Elidem Od. Ν. 275.) Megetis, Phylei f. sodalis. Itaque *Meges* mox 520. in *Polydamantem* irruit: sed aberrante hasta 523. *Crœsmum* ignotum hominem occidit et spoliat.—520. ὕπαιθα λιάσθη *subter* (h. e. inclinato corpore) *evitavit.* cf. Φ. 255. 493. Χ. 141. λιάζειν fuit idem quod χωρίζειν. hinc λιάζεσθαι omnino disjungi, ut alæ columbæ insidentis malo Ψ. 879. hinc omnino in diversa tendere.—521. οὐ γὰρ Ἀπόλλων εἶα—quare? quia, puto, Panthous (inter senes, Γ. 146.) vir μαντικὸς erat. v. Virgil. Æn. II. 318.—524. δούπησε sc. Κροῖσμος minus suaviter omissum ὁ μέν.

525. In Megetem irruit Dolops Lampi f. Laomedontis nepos. *Lampus* ergo Priami frater, sup. Γ. 147. inter principes memoratus.

χρόνον.] Ἐν μιᾷ ῥοπῇ. Βιῶναι.] Ζῆσαι. 512. Στρεύγεσθαι.] Ταλαιπωρεῖν, κακοπαθεῖν. 513. Αὔτως.] Ἀπράκτως, ματαίως. 517. Πρυλέων.] Πεζῶν, ὁπλιτῶν. 518. Κυλλήνιον.] Ἀρκάδα. Κυλλήνη δὲ ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμοῦ. καὶ ὑπ' αὐτὸ πόλις ὁμώνυμος. 520. Ὕπαιθα λιάσθη.] Εἰς πλάγιον ἐξέκλινεν, εἰς τοὔμπροσθεν. 521. Ἀπήμβροτεν.] Ἀφήμαρτεν, ἀπέτυχε. 525. Δόλοψ.]

ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος.
ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης,
ἐς πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν·
ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.
ἕως ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην,
τόφρα δέ οἱ Μενέλαος Ἀρήϊος ἦλθεν ἀμύντωρ·
στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθών, βάλε δ' ὦμον ὄπισθεν·
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα,
πρόσσω ἱεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.

529. δέ Ϝοι. 532. γάρ Ϝοι ἔδωκε Ϝάναξ. 534. ὅς Ϝοι.
539. ἔτι δ' Ϝέλπετο. v. Obss. em. πολέμιζε, μένων δ' ἔτι ἤλπετο.
540. δέ Ϝοι. 543. Ϝιεμένη.

529—534. *Megetem*, clipeo a Dolope hasta transfixo, ita ut ad usque corpus ea penetraret, tuitus est *thorax*: qui propterea narratione facta ornatur: Pater Phyleus eum ab Euphete hospite acceperat, cum Ephyræ ad Selleentem Thesprotiæ apud eum devertisset. Scilicet, ut sup. B. 629. vidimus, Phyleus a patre Augea exulare jussus Dulichium abierat, eoque etiam Thesprotiam facile adire potuit.—530. τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα. h. ὃς ἦν ἀραρὼς γυάλοισιν, διὰ γυάλων, thorax commissus, junctus erat cavis partibus: Constabat thorax partibus cavis, plerumque binis, corpori applicandis, et fibula colligandis.—531. Ephyra ad Selleentem Thesprotiæ fl. Versus jam lectus sup. B. 659. Alii ad Ephyram Elidis retulere.—534. ὅς (θώρηξ) καὶ ἀπήρκεσε τότε ὄλεθρον ἀπὸ χροὸς τοῦ παιδός οἱ ὄντος, τοῦ παιδὸς αὐτοῦ, Megetis, qui Phylei filius erat.

535—543. Meges Dolopis summam galeam hasta percutit, Menelaus autem subveniens Dolopem a tergo trajicit.—536. κύμβαχον ἀκρότατον. superiorem galeæ partem convexam cui inerat conus cum crista.—Observa 538. pilos equinos, h. l. pro crista, jam illo tempore rubro colore infectos.—539. πολέμιζε μένων. non emiserat hastam, sed cominus Dolopis galeam percusserat Meges.—541. εὐρὰξ *a latere*: Si humerum a tergo, ὄπισθεν, hasta *emissa*, βάλε, trajecit, ut per pectus exiret: non a latere stare et ex obliquo jaculari potuit, sed, postquam a latere Dolopem circumvenerat, a tergo stans jaculatus est.—543. πρηνὴς ἐλιάσθη h. l. simpliciter ἐκλίνετο.

Νῦν ὄνομα κύριον. Αἰχμῆς εὖ εἰδώς.] Πολεμικὸς, ἐμπειροπόλεμος. 529. Πυκινός.] Πυκνὸς, καὶ ἀσφαλής. Ἤρκεσεν.] Ἐβοήθησεν, ἀπέστρεψε. 530. Γυάλοισιν ἀρηρότα.] Ἐν ταῖς συναφαῖς τῶν κοιλωμάτων ἐπιμελῶς ἡρμοσμένον. 531. Ἐξ Ἐφύρης.] Τῆς ἐν Ἤλιδι. ἣ νῦν καλεῖται Οἰνόη. 533. Ἀλεωρήν.] Φυλακὴν, ἀσφάλειαν, ἄδειαν. 536. Κύμβαχον.] Τὸ κάτακρον τῆς περικεφαλαίας, ἐν ᾧ ἐμβάλλεται ὁ λόφος. 537. Λόφον.] Δὲ αὐτὸ τὸ ἐπανάστημα. 538. Νέον φοίνικι φαεινός.] Νεωστὶ φοινικῷ χρώματι βεβαμμένος. ὅ ἐστιν, ἐρυθρῷ τῷ αἵματι. 540. Ἀμύντωρ.] Βοηθός. 541. Εὐράξ.] Ἐκ πλαγίου. 542. Διέσσυτο.] Διεξῆλθε. Μαιμώωσα.] Ἐνθουσιωδῶς ὁρμῶσα.

τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευε
πᾶσι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπτεν,
ἴφθιμον Μελάνιππον. ὁ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
βόσκ' ἐν Περκώτῃ, δηίων ἀπὸ νόσφιν ἐόντων·
αὐτάρ, ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι,
ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τιεν ἶσα τέκεσσι·
τόν ῥ' Ἕκτωρ ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νύ σοί περ
ἐντρέπεται φίλον ἦτορ, ἀνεψιοῦ κταμένοιο;
οὐχ ὁράας, οἷον Δόλοπος περὶ τεύχε' ἔπουσιν;
ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν Ἀργείοισι
μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν, ἠὲ κατ' ἄκρης

549. ἀμφιϝέλισσαι. 550. ἐς Ϝίλιον. 551. τίε ϝῖσα.
552. ἐνένιπτε, ϝέπος.

ἔπεσε præceps prolapsus est.—544. *τὼ μὲν*, *Menelaus* et *Meges* ἐεισάσθην *irruunt, advolant*. ab εἶμι. ut Λ. 358. notatum, et sup. 415.

544.—559. Menelaus et Meges irruerant ad Dolopem cæsum spoliandum; ad quem tutandum adsumto Melanippo approperat Hector.

546. *Melanippus*, Hicetaonis f. qui Priami frater erat, Υ. 238. pascere greges ad Percoten jussus e more istorum temporum. *Percote* ad Hellespontum. Β. 835. et Λ. 229.—547. ὁ δ' ὄφρα μὲν h. l. pro τόφρα ὄφρα, τέως. adhuc.—551. μὶν etsi nepotem ex fratre.—553. μεθήσομεν vel absolute, ut v. c. Κ. 121. otiabimur? vel negligemus et relinquemus sc. τὸν νεκρὸν τοῦ Δόλοπος, consanguinei: quod contextum docet.—554. ἐντρέπεσθαι de pudore accipere placet, quia serius sic ἐντροπὴ dicta. ἀνεψιοῦ proprie h. l. de patrueli. Ut fratres erant Lampus, Hicetaon, Priamus, ita Dolops, Melanippus, Hector, eorum filii, inter se patrueles.—555. περὶ τεύχε' ἔπουσι. in iis occupati sunt Achivi sc. spoliandis. περιέπειν ut ἀμφιέπειν. ἐνεργεῖν. πονεῖσθαι.—556. ἀποσταδὸν μάχεσθαι. *telis eminus jactis*, sed cominus, ut robore ac vi eos loco pellamus; et πρὶν est diluendum: *quin potius ita statuendum est, aut illos cæsuros esse nos, aut nos* etc. nam ut sit dictum pro ἀποστῆναι τοῦ μάχεσθαι, vix grammatice fieri posse censeo: etsi sane conveniret cum seqq. *non a pugna cessare licebit* (χάζεσθαι, μεθίεσθαι) *ante quam aut nos profligaverimus illos, aut illi Ilium ceperint:* et Sch. B. reddit: ἀποστατεῖν μάχης.—557. Supple: ἀποσταδὸν μάχεσθαι (πριν,) πρίν γ' ἠὲ (ἡμᾶς) κατακτάμεναι (αὐτούς), ἠὲ (τοὺς Ἀργείους) ἑλέειν Ἴλιον καὶ κτείνειν τοὺς Τρῶας.

544. Ἐεισάσθην.] Νῦν, ἐπῆλθον, καὶ ὥρμησαν. 545. Ἕκτωρ δὲ κασιγνήτοισι.] Νῦν, πᾶσι τοῖς συγγενέσι. Σημείωσαι γὰρ ὅτι καὶ τοὺς ἀνεψιοὺς κασιγνήτους ἐκάλουν. Ὁ γὰρ Μελάνιππος ἀνεψιὸς ἦν Ἕκτορος. Ἀνεψιοὶ δέ εἰσιν οἱ τῶν ἀδελφῶν παῖδες. ὥσπερ Αἴας καὶ Ἀχιλλεύς, ὁ μὲν Τελαμῶνος, ὁ δὲ Πηλέως. 546. Ἐνένισπεν.] Ἐκακολόγησεν, ἐπέπληξεν. 547. Ὄφρα μέν.] Ἕως οὗ, τέως. 548. Περκώτῃ.] Πόλις Ἑλλησπόντου. οἱ δὲ, Θρᾴκης. 550. Μετέπρεπεν.] Ἐκπρεπὴς ἦν. 553. Μεθήσομεν.] Ἀμελήσομεν, ἐάσομεν. 554. Ἐντρέπεται.] Ἐπιστρέφεται. οἷον ἐντροπὴν ἐπὶ τὸ βέλτιον λαμβάνει. 555. Οἷον.] Ὁποῖον. Περὶ τεύχε' ἔποισι.] Περὶ τὰ ὅπλα ἀσχολοῦνται. Ἕπουσιν.] Ἐνεργοῦσιν, ἀσχολοῦνται. 556. Ἀποσταδόν.] Ἀφεστῶτες πόῤῥω, ἐκ διαστήματος. 557. Κατ' ἄκρης.]

Ἴλιον αἰπεινὴν ἑλέειν, κτάσθαι τε πολίτας.
  Ὣς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
Ἀργείους δ' ὤτρυνε μέγας Τελαμώνιος Αἴας·
  Ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.
  Ὣς ἔφαθ'· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον·
ἐν θυμῷ δὲ βάλοντο ἔπος· φράξαντο δὲ νῆας
ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν·
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
  Ἀντίλοχ', οὔτις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν
οὔτε ποσὶν θάσσων, οὔτ' ἄλκιμος, ὡς σὺ, μάχεσθαι·
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα.
  Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνεν·
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
ἀμφὶ ἑ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο,
ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν·
ἀλλ' Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον,
νισσόμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν.
δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ·

558. Fίλιον. 559. Fειπὼν—ἕσπετο Fισόθεος. 566. βάλοντο Fέπος. 571. vulg. βάλῃσθα. 572. Fειπών. 574. ἀμφί Fε.

560—567. Ajacis hortatu nec minus Achivi inflammantur. ἐνθέσθε αἰδῶ θυμῷ. εἰς θυμόν.—563. αἰδομένων, dictum de pudoris sensu, sed cum affectu, ut fortiter pugnent infamiæ metu; horum autem nunquam fit tanta et tam fœda strages quam turpiter fugientium. Sententia nobilissima et verissima.—564. οὔτε τις ἀλκὴ, h. e. ἀσθενεῖς εἰσι.—565. ἀλέξασθαι sc. ἀλλήλοις ex 562. quod alibi adjicitur ut Γ. 9.—567. ἕρκεϊ χαλκείῳ. ipsi ante naves stantes armati: seu protendendo hastas et obvertendo scuta.

568—578. Menelai hortatu Antilochus ante aciem prosiliens Melanippum cum Hectore incedentem hasta trajicit: at idem ad corpus Melanippi spoliandum advolans ab Hectore fugatus ad suos ordines se recipit—591.

569, 570. Ad procurrendum ante aciem, et hasta jacta celeriter ad ordines recipiendum se, corporis agilitate opus erat, ideoque juventute. Inde οὔτις νεώτερος ἄλλος, οὐκ ἄλλος τῶν νέων θοώτερός σου ἐστίν.—571. εἴ τινα, s. *Utinam ferias*: s. *vide an ferire possis.* Latinis: *Quid? si ferias.*—573. Antilochus ἔκθορε προμάχων *procurrendo.* et ὑπὸ—κεκάδοντο, ὑπεχώρησαν. jam Δ. 497.—577. νισσόμενον πόλεμόνδε. non, primum in pugnam prodeuntem, sed cum Hectore ad Dolopis corpus tuendum in mediam

Κατὰ κεφαλῆς, ἀπὸ τῆς ἀκροπόλεως. 558. Αἰπεινήν.] Ὑψηλήν. Κτᾶσθαι.] Ἀναιρεθῆναι. 561. Αἰδῶ θέσθε.] Αἰδέσθητε. 563. Πέφανται.] Φονεύονται. 564. Ὄρνυται.] Ὥρμηται. 566. Φράξαντο.] Ἔφραξαν. 567. Ἕρκεϊ χαλκείῳ.] Τῷ κύκλῳ τῶν ἀσπίδων, ταῖς ἀσπίσιν. Ἔγειρε.] Παρώρμησε. 570. Θάσσων.] Ταχύτερος. 571. Εἴτινά που Τρώων.] Εἴτινα τῶν Τρώων. 574. Κε-

Ἀντίλοχος δ' ἐπόρουσε, κύων ὥς, ὅστ' ἐπὶ νεβρῷ
βλημένῳ ἀΐξῃ, τόν τ' ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχησε βαλὼν, ὑπέλυσε δὲ γυῖα·
ὣς ἐπὶ σοὶ, Μελάνιππε, θόρ' Ἀντίλοχος μενεχάρμης,
τεύχεα συλήσων. ἀλλ' οὐ λάθεν Ἕκτορα δῖον,
ὅς ῥά οἱ ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα·
Ἀντίλοχος δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστὴς,
ἀλλ' ὅγ' ἄρ' ἔτρεσε, θηρὶ κακὸν ῥέξαντι ἐοικὼς,
ὅστε κύνα κτείνας, ἢ βουκόλον, ἀμφὶ βόεσσι,
φεύγει, πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·
ὣς τρέσε Νεστορίδης· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.
στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
Τρῶες δὲ, λείουσιν ἐοικότες ὠμοφάγοισι,
νηυσὶν ἐπεσσεύοντο, Διὸς δὲ τέλειον ἐφετμάς·
ὅς σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν
Ἀργείων, καὶ κῦδος ἀπαίνυτο· τοὺς δ' ὀρόθυνεν.
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
ἐμβάλῃ ἀκάματον, Θέτιδος δ' ἐξαίσιον ἀρὴν

584. ὅς ῥά Ϝοι. 586. ῥέξαντι ϜεϜοικώς. 590. Ϝηχῇ. 591. ἵκετο Ϝέθνος. 592. λείουσι ϜεϜοικότες. 593. vulg. δ' ἐτέλειον. 596. γάρ Ϝοι.

pugnam procedentem sup. 559.—580. *τόν τε βαλὼν ἐτύχησεν. ἔτυχεν αὐτοῦ.* ut jam Δ. 106.—584. *θέων ἀνὰ δηϊοτῆτα, ἀνὰ μάχην, μαχομένους, inter turmas pugnantium.*—585. *θοός περ* seu *acer. alacer.* seu, quippe celer.—586. *κακὸν ῥέξαντι cæde facta,* si laniavit aut pecudem aut pastorem.—591. recesserat adverso ore, donec ad suam aciem pervenisset.

592—658. Jove id agente, ut, Achillis ulciscendi caussa, Achivi in summum discrimen adducerentur, Trojani cum Hectore omni vi annixi tandem Achivos pone primum navium ordinem se recipere cogunt. Variis modis hæc ornantur a poeta. Et primo quidem 594—604. Jovis consilium luculenter exponitur.

593. *Διὸς δὲ τέλειον ἐφετμὰς,* revocat animum ad consilium totius operis: quod statim sub pr. videramus: *Διὸς δὲ τελείετο βουλή.* ad q. l. vide. Cujus rei respectu omnino hic locus est classicus secundum alterum N. 347. et sup. O. 63. sq.—594. *θέλγε δὲ θυμὸν,* sup. M. 255.—598. *Θέτιδος δ' ἐξαίσιον ἀρὴν πᾶσαν* (respectu libri A. 523.) *ἐπικρή-*

κάδοντο.] Νῦν, ὑπεχώρησαν, διέστησαν. 579. Νεβρῷ.] Νεογνῷ ἐλάφῳ. 580. Ἐξ εὐνῆφιν.] Ἐκ τῆς κοίτης. Θορόντα.] Ὁρμῶντα. 581. Ἐτύχησε.] Κατεστοχάσατο. 586. Ἔτρεσε.] Μετὰ δέους ἔφυγεν. 588. Ἀολλισθήμεναι.] Συναθροισθῆναι. 590. Χέοντο.] Ἔχεον, ἑτοίμως ἔῤῥιπτον. 592. Λείουσι.] Λέουσιν. 593. Ἐπεσσεύοντο.] Ἐφώρμησαν. 594. Θέλγε.] Ἐγοήτευσεν. ἠπάτα καὶ παρῃτεῖτο τὴν τοῦ ἀμύνασθαι δύναμιν. 595. Ἀπαίνυτο.] Ἀφῃρεῖτο. 596. Ὀρέξαι.] Δοῦναι, παρασχεῖν. 597. Θεσπιδαές.] Τὸ ὑπὸ θεῶν ἀναπτόμενον, θεῖον. 598. Ἐξαίσιον.] Παρὰ τὸ καθῆκον γενομένην, μεγάλην. ἢ, οὐκ

πᾶσαν ἐπικρήνειε. τὸ γὰρ μένε μητιέτα Ζεύς,
νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι.
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξαι.
τὰ φρονέων, νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
μαίνετο δ', ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται, βαθέης ἐνὶ τάρφεσιν ὕλης·
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνετο, τὼ δέ οἱ ὄσσε
λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσιν· ἀμφὶ δὲ πήληξ
σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
τίμα καὶ κύδαινε. μινυνθάδιος γὰρ ἔμελλεν
ἔσσεσθ'· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφι.
καί ῥ' ἔθελε ῥῆξαι στίχας ἀνδρῶν, πειρητίζων,
ᾗ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·

600. ὀφθαλμοῖσι Ϝιδέσθαι. 605. ὀλοϜόν. 606. ὕλϜης. 607. δέ Ϝοι. 610. γάρ Ϝοι. 613. γάρ Ϝοι.

νειε. ἐπιτελέσειε. *id, quod Thetis ab eo supplex flagitaverat, arduum quiddam.*—599. τὸ γὰρ μένε, expectabat tanquam finem, ex quo rerum omnium alius ordo procederet.—601. παλίωξιν θ. vide sup. 69, 70. et effecta res inf. Π. 293. sq. 364. sq.—603. ἔγειρεν Ἕκτορα. sup. μένος ἔγειρεν et ὀρόθυνε 594, 5.

605—638. Hectoris robur et impetus declaratur primo specie pugnantis exhibita, tum adversæ aciei pertinacia in resistendo, tandem per comparationes cum fluctu impetuoso 623—9. et cum leonis irruentis impetu: 630—638. Impetus hic et vehemens animi corporisque motus per τὸ μαίνεσθαι innuitur.

607—610. Locus ἐναργῶς declarans terrorem ab Hectore pugnante hosti injectum; eum ante oculos adstantem cernas.

607. ἀφλοισμός. vox antiqua. seu stridor dentium, seu spuma oris.—611. πλεόνεσσι μετ' ἀνδράσι. *versantem*, pugnantem, *solum in magna turba*, ἐν πλήθει, *conspicuum reddebat virtute* et *successu*; τίμα καὶ κύδαινε.—613, 614. ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ Παλλὰς Ἀθηναίη. quia Minerva Achilli erat adfutura in pugna cum Hectore: inf. X. 214. sq. 226. sq.—615. πειρητίζων. quod jam vidimus M. 47. Animi autem robur declarat hoc, quod irruere tentat Hector, *qua adversa acies est firmissima.*—

ἀγαθήν. Ἀρήν.] Ἱκεσίαν, εὐχήν. Ὅτε δὲ, βλάβην. 599. Ἐπικρήνειεν.] Ἐπιτελέσειε. 600. Σέλας.] Λαμπηδόνα. 605. Μαίνετο.] Νῦν, σφοδρότερον ἐκινεῖτο, καὶ ἐνήργει ἐνθουσιαστικῶς. Ἐγχέσπαλος.] Πολεμικός. Ὀλοόν.] Ὀλέθριον. 606. Τάρφεσι.] Τοῖς πυκνώμασι. Τάρφεσιν ὕλης.] Οὐκ ἔστιν ἐπιθετικῶς ὡς ὀξέσιν, ἀλλ' ὡς βέλεσιν. ἂν δ' ἐπιθετικὸν ᾖ, ταρφέσιν ὡς ὀξέσιν. ταρφέσιν οἰστοῖς. 607. Ἀφλοισμός.] Ὁ ἀφρισμός. κατὰ Αἰτωλούς. Λαμβάνεται δὲ καὶ πεποιημένως ἐπὶ ἰδιώματος ὕδατος ἤχου. 608. Βλοσυρῇσι.] Καταπληκτικαῖς. Πήληξ.] Περικεφαλαία. 609. Τινάσσετο.] Ἐτινάσσετο, ἐσείετο. 613. Ἐπώρνυεν.] Ἐφώρμα. ἔπεμπε. Μόρσιμον.] Εἱμαρμένον. 616. Ἧι δή.] Ὅπου

ἀλλ' οὐδ' ὣς δύνατο ῥῆξαι, μάλα περ μενεαίνων·
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
ἠλίβατος, μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα·
ἥτε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα,
κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδὲ φέβοντο.
αὐτὰρ ὁ, λαμπόμενος πυρὶ πάντοθεν, ἔνθορ' ὁμίλῳ·
ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι
λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφὲς, ἡ δέ τε πᾶσα
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτη
ἱστίῳ ἐμβρέμεται· τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
αὐτὰρ ὅγ', ὥστε λέων ὀλοόφρων βουσὶν ἐπελθὼν,

617. Bentl. οὐδ' Ϝώς. 622. vulg. οὐδ' ἐφέβοντο. 626. vulg. ἀήτης. v. Obss. 630. ὀλοϜόφρων.

618. ἴσχον, ἀντεῖχον, *muri instar conserti.* Comparatio, etsi obvia, eximie est ornata. —620. ἀνέμων κέλευθα, impetus irruentium ventorum.—621. κύματα προσερεύγεται τῇ πέτρᾳ l. πρὸς τὴν π. quod Virgil. VII. Æn. 590. *laterique infusa refunditur alga.* κῦμα τρόφ. vidimus Λ. 307.

623—629. Comparatio altera præclara, eaque ex eo genere, quo duplex comparandum infertur: impetus Hectoris et terror Achivorum.—625. ὑπὸ νεφέων ἀνεμοτρεφὲς, τρεφόμενον διὰ ἀνέμων ἐκ νεφέων ἐρχομένων.—628. τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται *navi feruntur, rapiuntur, cum summo vitæ discrimine.* At hoc dictum a poeta simpliciter et graviter: *paullulum eos abesse a morte.* Alias: *navigare in media morte,* in medio vitæ discrimine.—629. ἐδαΐζετο h. l. respondet τῷ τρομεῖν v. 627. vexabatur, agitabatur, sollicitudine, metu.

630—638. Tertia comparatio cædis unius ab Hectore irruente factæ cum leone

δή. 618. Ἴσχον.] Ἐπεῖχον, ἐκώλυον. Πυργηδόν.] Πυκνῶς, ἀσφαλῶς, ἐν τάξει καὶ δίκην πύργου. 621. Τροφόεντα.] Εὐτραφῆ, μεγάλα, καὶ ηὐξημένα. Προσερεύγεται.] Μετὰ ἤχου φέρεται, πρόεισι. Κυρίως δὲ ἐπὶ ὕδατος τίθεται ἡ λέξις. 623. Λαμπόμενος πυρί.] Ὑπὸ τῶν ὅπλων λαμπόμενος. 624. Πέσῃσιν.] Ἐμπέσῃ. 625. Λάβρον.] Ἀθρόον. συνεχές. πολύ. Ὑπαὶ νεφέων.] Ἀντὶ τοῦ, ἐκ νεφῶν. Ἀνεμοτρεφές.] Ὑπὸ ἀνέμου ηὐξημένον. ὑψηλόν. Ὅτ' ἂν δὲ τὸ Ἀγαμέμνονος ἀνεμοτρεφές φησιν, ὥσπερ ἐν τῇ Λ, ἀντὶ τοῦ ἰσχυρόν. Τὰ γὰρ ὑπεύδια καὶ κατασκιαζόμενα τῶν δένδρων, εὐγενῆ μὲν καὶ λεῖον τὸν ὅρπηκα ποιεῖ, ἀσθενῆ δὲ καὶ μαλακὸν καὶ ἀγύμναστον ἀναδίδωσιν. Οἷς δὲ προσπίπτει τραχὺς ἀὴρ καὶ ἀνεμώδης, ταῦτα, ταῖς τῶν ἀνέμων τριβόμενα πνοαῖς, εὔτονον καὶ δύσθραυστον ἔχει τὴν στεῤῥότητα. ὥς φησι Πλούταρχος ἐν Μελέταις Ὁμηρικαῖς. Ἡ δέ τε πᾶσα Ἄχνῃ ὑπεκρύφθη.] Ἡ ναῦς δηλονότι ὑπὸ τῆς ἄχνης ἐσκεπάσθη. Ἄχνη δὲ τὸ ἀφρῶδες καὶ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. 626. Δεινὸς ἀήτης.] Χαλεπὸν ἀνέμου πνεῦμα. 627. Ἐμβρέμεται.] Ἐνηχεῖ, πνεῖ. 628. Τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται.] Βραχὺ γάρ ἐστι τὸ διεῖργον αὐτοὺς τοῦ θανάτου διάστημα. ὅ ἐστι, παρ' ὀλίγον θνήσκουσιν, ἐγγὺς ὄντες τοῦ θανάτου. 629. Ἐδαΐζετο.] Διεμερίζετο, ἐκόπτετο. 630. Ὀλοόφρων.] Ὀλέθρια καὶ δεινὰ φρονῶν.

αἵ ῥά τ' ἐν εἰαμενῇ ἕλεος μεγάλοιο νέμονται
μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔπω σάφα εἰδὼς
θηρὶ μαχέσσασθαι ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
αἰὲν ὁμοστιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρούσας
βοῦν ἔδει, αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὥς τότ' Ἀχαιοὶ
θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρὶ
πάντες, ὁ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱὸν, ὃς Εὐρυσθῆος ἀέθλων
ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ·
τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
παντοίας ἀρετὰς, ἠμὲν πόδας, ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξε.
στρεφθεὶς γὰρ μετόπισθεν, ἐν ἀσπίδος ἄντυγι πάλτο,

632. σάφα Fειδώς. 639. vulg. Εὐρυσθῆος ἄνακτος. v. Obss.
645. vulg. ἐπ' ἀσπίδος.

ex armentis fugatis unam pecudem laniante. Ornatissimus poetæ locus.—631. εἰαμενῇ ἕλεος, *in prato palustri*, seu simpl. irriguo.—633. ἀμφὶ φονῇσι. pro φονῇ, ἀμφὶ φόνῳ scil. ne fiat. Sic jam K. 521. ἐν ἀργαλέῃσι φονῇσι.—ὁ μὲν *pastor*.—636. ἔδει—ὑπέτρεσαν. bene pro præsenti ὑποτρέουσι. Est inversio structuræ in toto loco, veteres ἀνακόλουθον appellant. ὁ δ' οἶον. pro ὁ γάρ.

638—652. *Periphetes* ab Hectore cæsus: erat is Coprei, qui Eurysthei mandata ad Herculem perferebat, filius. Fuit Copreus Eurysthei κῆρυξ. v. Apollod. II. 5, 1. extr. et Obss.—640. ὃς οἴχνεσκεν ἀγγελίης (ἕνεκα) βίῃ Ἡρακληείῃ (pro ὥστε φέρειν Ἡρακλεῖ ἀγγελίας) Εὐρυσθῆος.—642. (κατὰ) παντοίας ἀρετὰς, ἠμὲν (κατὰ) πόδας ἠδὲ (κατὰ τὸ) μάχεσθαι. h. e. ἢ ταχυτῆτι, ἢ μάχῃ. quod sup. 570. de Antilocho: οὔτε ποσὶ θάσσων οὔτ' ἄλκιμος μάχεσθαι. scil. μάχῃ σταδίῃ, cominus, ἔγχει.—643. καὶ αὐτὸς ἐγένετο (κατὰ) νόον, *prudentia*, ἐν πρώτοις, inter primos e Mycenæis, scil. qui prudentia excellerent. Inf. Π. 809. Euphorbus superabat æquales ἔγχεϊ θ' ἱπποσύνῃ τε πόδεσσί τε καρπαλίμοισι.

645—632. Peripheten retro prolapsum occidit Hector; cum clipeum ἀνδρομήκη haberet, corpore verso, στρεφθεὶς μετόπισθεν, offenderat pes ad clipei oram. ἐν ἀσπίδος ἄν-

631. Ἐν εἰαμενῇ.] Ἐν καθύγρῳ καὶ ποώδει χωρίῳ. Ἕλεος.] Ἕλους. ὅ ἐστι, συμφύτου καὶ ὑγροῦ τόπου. 633. Ἕλικος βοὸς ἀμφὶ φονῇσι.] Περὶ ἀνῃρημένης βοός. Ἢ, ὑπὲρ τοῦ μὴ ἀναιρεθῆναι. Ἕλικος δὲ, ἤτοι μελαίνης, ἢ ἑλικοειδῆ κέρατα ἐχούσης, ἢ τῆς ἐν ἕλει τεθραμμένης. 634. Ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσιν.] Ἐν πρώταις καὶ ὑστάταις. Ὁ δὲ, καὶ, σύνδεσμος, ἀντὶ τοῦ, ἢ, διαζευκτικοῦ, κεῖται. Ὅπερ ἄμεινον. ἵν' ᾖ, ταῖς πρώταις καὶ ὑστάταις. 635. Ὁμοστιχάει.] Ἅμα πορεύεται, συμπαρακολουθεῖ. 636. Ἔδει.] Ἐσθίει. Ὑπέτρεσαν.] Ὑπὸ δέους ἔφυγον. 637. Θεσπεσίως.] Θείως. 639. Κοπρῆος.] Κοπρέως. Οὗτος δὲ ὁ Κοπρεὺς ἦν κῆρυξ Εὐρυσθέως τοῦ τῶν Ἀργείων βασιλέως, ὃς τὰς παρ' ἐκείνου ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ, τῶν ἄθλων ἕνεκα ἔξωθεν τῆς πόλεως μένοντι. Δεδοικὼς γὰρ αὐτὸν ὁ Εὐρυσθεὺς, οὐκ εἴα ἔνδον εἰσελθεῖν. 640. Ἀγγελίης.] Ἀγγελίας, ἄγγελος. Οἴχνεσκε.] Παρεγένετο, ἐπορευέτο. 642. Παντοίας.] Παντοδαπάς. 645. Ἐν ἀσπίδος ἄντυγι πάλτο.] Ἐνή-

τὴν αὐτὸς φορέεσκε, ποδηνεκὲς ἕρκος ἀκόντων·
τῇ ὅγ' ἐνιβλαφθεὶς, πέσεν ὕπτιος· ἀμφὶ δὲ πήληξ
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος·
Ἕκτωρ δ' ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,
στήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
κτεῖν'· οἱ δ' οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρου,
χραισμεῖν· αὐτοὶ γὰρ μάλα δείδισαν Ἕκτορα δῖον.
εἰσωποὶ δ' ἐγένοντο νεῶν· περὶ δ' ἔσχεθον ἄκραι
νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσι ἔμειναν
ἀθρόοι, οὐδὲ κέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς
καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι·
Νέστωρ δ' αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
λίσσεθ' ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον·
Ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ
ἄλλων ἀνθρώπων· ἐπὶ δὲ μνήσασθε ἕκαστος

649. δέ Ϝοι. 652. vulg. μάλ' ἐδείδισαν. 656. vulg. τῶν προτέρων. 657. vulg. οὐδ' ἐκέδασθεν. 660. ἄνδρα Ϝέκαστον. 662. μνήσασθε Ϝέκαστος.

τυγι πάλτο. ἐνεπέπαλτο, percussus erat, (a πάλλειν ut ἔκπαλτο Υ. 483.) *clipei allisus eum labefactaverat, impulerat*, itaque ἐνεβλάφθη, impeditus est, ut prolaberetur in tergum. Uti in incessu allidebatur ora clipei pedibus incedentis, sup. Z. 117.

653—657. Argivi repressi, intra navium ordines recepti, resistunt Trojanis; εἰσωποὶ νεῶν ἐγένοντο· *in conspectu habuere* naves. Non de uno momento, sed de rerum progressu accipio locum hoc modo: *Achivi primo* seu *tergis versis* seu *dum retrocesserant, in conspectu habuere naves; inde receperunt se intra spatia inter naves*, quæ anteriorem ordinem constituebant; ita νῆες ἄκραι, naves quæ priore tempore et loco fuerant in littus deductæ ὅσαι πρῶται εἴρυντο, περιέσχεθον αὐτούς. *circumdabant* et obtegebant eos puppibus suis, quæ editiores erant. *Trojani insequuntur* eos recedentes: τοὶ δ' ἐπέχυντο, ἐπηνέχθησαν. *Ita Achivi*, cum resistere nequibant, ex his navium intervallis usque *ad loca pone priorem navium ordinem*, a tergo navium, *se recepere*, νεῶν μὲν ἐχώρησαν τῶν προτέρων, h. e. ὑπεχώρησαν, *quibus locis tentoria posita erant; non tamen in castra se dispergunt*, (v. 657.) *sed collecti ac constipati uno loco subsistunt*.

659—667. Nestoris hortatu firmantur Achivorum animi. Adhortatio magnam vim habet partim a viri auctoritate, partim a distributione rerum per quas obtestatur.

λατο καὶ ἐνεπλάκη τῷ ἔξωθεν τῆς ἀσπίδος κύκλῳ. 646. Ποδηνεκές.] Μέχρι τῶν ποδῶν διϊκνουμένην. μεγάλην. 653. Εἰσωποὶ δ' ἐγένοντο νεῶν.] Ἐν ὄψει τὰς ναῦς ἔβλεπον. ὅ ἐστιν, εἰσῆλθον εἰς αὐτάς. τουτέστιν, ὑπὸ τὴν στέγην αὐτῶν ἐγένοντο. Περὶ δ' ἔσχεθον.] Περίεσχον, περιεκάλυπτον. Ἄκραι.] Αἱ πρῷραι. 654. Ἐπέχυντο.] Ἐπηνέχθησαν. 655. Ἐχώρησαν.] Ὑπεχώρησαν. 656. Προτέρων.] Τῶν πρώτων καὶ ἄκρων. 657. Ἐκέδασθεν.] Ἐχωρίσθησαν, ἐσκορπίσθησαν. Αἰδώς.] Αἰσχύνη. 658. Ἀζηχές.] Ἀδιάλειπτον. Ὁμόκλεον.] Ἠπείλουν, παρεκελεύοντο. 659. Οὖρος.] Νῦν, φύλαξ. 660. Γουνούμενος.] Ἱκε-

παίδων, ἠδ' ἀλόχων, καὶ κτήσιος, ἠδὲ τοκήων,
ἠμὲν ὅτεῳ ζώουσι, καὶ ᾧ κατατεθνήκασι.
τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων,
ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
ἠμὲν πρὸς νηῶν, καὶ ὁμοιΐου πολέμοιο·
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν, καὶ ἑταίρους,
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν, οὐδ' ἐμάχοντο,
ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν.
Οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ
ἑστάμεν, ἔνθα περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν·
ἀλλ' ὅγε νηῶν ἴκρι' ἐπῴχετο, μακρὰ βιβάσθων,
νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι,

667. Ϝειπὼν,—θυμόν τε Ϝεκάστου. 673. vulg. πάρ.
674. μεγαλήτορι Ϝάνδανε.

668—673. Caligine ademta apertum prospectum factum Achivis dicit poeta; atqui non apparet, quæ caligo, et unde, et quorsum fuerit obducta; nec Hector eos latuerat. Aliter res comparata erat cum Diomedis caligine E. 127. Aliis locis, ubi noctis inter pugnam, e pulvere scilicet et tumultu, mentio fit, longe alio modo instruitur narratio; v. Π. 567. Ρ. 269. 366. 643.—670. *καὶ ὁμοιΐου πολέμοιο.* pro ἠδέ. et a tergo versus naves, seu mare, et ante, ad turmas pugnantium.—671. *καὶ ἑταίρους* sc. Hectoris, qui et remoti a pugna stabant et propiores stabant pugnando ad naves.

674. ad fin. Cum ex plano non satis resisti posse Trojanis videret Ajax, conscendit navium tabulata et inde Trojanos contis arcere decrevit. 688.—quo animadverso Hector ordinibus pugnantium erumpit et unam ex omnibus navem e proximo adoritur; nova et acerrima ad hanc navem fit pugna—703.—narratio de ea:—715.—Hector ignem sibi afferri jubet; quo audito Trojani tanto animosius irruunt in Achivos;—726. At Ajax de navi propulsat ignem ferentes, suos autem in summo discrimine hortatur et animat. ad f.

674. *non ei placuit:* h. e. decrevit Ajax, e loco iniquo prosilire, ex turma procurrere et navem conscendere, unde propulsaret hostem. Fecerant hoc jam alii sup. 587—9.—676. *νηῶν ἴκρι' ἐπῴχετο.* tabulata in prora et puppi: nam in his tantum partibus constratæ erant naves. Itaque *ἴκρια πρῴρης* memorantur Od. Μ. 229, 230. Media et aperta pars dicta *ἄντλος.* In ea sunt *τὰ ζυγά*, sedilia remigum, quæ poetis quoque *κληῖδες* sunt. Apud Apollon. IV. 1662. Medea conscendit *τὰ ἴκρια*, *βῆσατ' ἐπ' ἰκριόφι* manu ducta a Jasone *διὰ κληΐδας.* Inf. 729. *θρῆνυς* pro iis est.—677. (*τὸ*) *ξυστόν*, (*δόρυ*) contum e pluribus brevioribus coagmentatum, et vinctum: vincula sunt *δέσματα. τὰ κατὰ τὰς συναρμογὰς συνδεδεμένα, γόμφοι.* Vidimus jam sup. 388, 9. *οἱ δ' (ἐμάχοντο) ἀπὸ νηῶν—μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο, Ναύμαχα, κολλήεντα, κατὰ στόμα εἱμένα χαλκῷ.* cuspide ære præfixa.

τεύων. 663. Κτήσιος.] Κτήσεως. 664. Ὅτεῳ.] Ὡιτινι. 665. Οὐ παρεόντων.] Οὐ παρόντων. 666. Τροπάασθαι.] Τρέπεσθαι. 668. Ἀχλύος.] Σκοτίας. 670. Ὁμοιΐου.] Τοῦ ὁμοίως πᾶσιν ἐπιόντος, χαλεποῦ. 671. Ἐφράσσαντο.] Ἐθεάσαντο. 676. Ἴκρια.] Τὰ καταστρώματα τῶν νεῶν. Τὰ σανιδώματα. Βιβάσθων.] Βαίνων. 677. Νώμα.] Νῦν, διέφερεν, ἐκίνει. Ξυστόν.] Ἐξυσμένον.

κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδὼς,
ὅστ', ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους,
σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ δίηται,
λαοφόρον καθ' ὁδόν· πολέες τέ ἑ θηήσαντο
ἀνέρες, ἠδὲ γυναῖκες· ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
θρώσκων, ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἱ δὲ πέτονται·
ὡς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
φοίτα, μακρὰ βιβὰς, φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν·
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε,
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. Οὐδὲ μὲν Ἕκτωρ
μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
ἀλλ' ὥστ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων
ἔθνος ἐφορμᾶται, ποταμὸν πάρα βοσκομενάων
χηνῶν, ἢ γεράνων, ἢ κύκνων δουλιχοδείρων·
ὡς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρῴροιο,
ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦρσεν ὄπισθε

678. δυωκαιϝεικοσίπηχυ. 679. ϝειδώς. 680. vulg. συναγείρεται.
681. προτὶ ϝάστυ. vulg. προτὶ ἄστυ διώκει. 682. δέ ϝε.
686. δέ ϝοι. 691. ϝέθνος. 694. vulgg. ὦσεν.

679—684. Comparatio referenda unice ad saltum ex una navi in alteram factum. Locus notabilis, cum altero Od. E. 371. quod non modo equis insidere homines, non ignoravit Homerus, etsi equitatum in acie non novit; verum etiam Artis genus novit, τὸ κελητίζειν, desultoris modo, et quidem quatuor equis, ut ejus ætate rem equestrem jam ad artem adductam fuisse appareat. Quod heroum ætate equis ad currus bellicos, non ad equitatum, utebantur, videtur ab inopia et caritate equorum repetendum esse. Si Castor tamen cum fratre equis insedisse narratur: serioribus hoc poetis debetur. Ceterum vel ex h. l. probari potest, morem sæculi Trojani diligenter Homerum servasse: nam suæ ætatis morem sedulo discernit:—ἐκ πολέων. dilectu facto e multis.—681. προτὶ ἄστυ. forte quia oppidani prospiciunt e muris.—682. θηήσαντο *mirantur.*—683. *continuo, sine offensa,* ἀσφαλῶς, ἐπαμείβεται.

688—695. Etiam Hector ante ordines procedit et unam navem adoritur.—690. αἰετὸς αἴθων. *aquila fulva.* ὀρνίθων ἔθνος. vidimus jam B. 459.—693. ἴθυσεν, ὥρμησε κατὰ νεός.—694. Jupiter eum a tergo manu sua impellit, ut instet gressu, nec subsistat. bene πρὸς τὸ ἐκπληκτικὸν τῆς φαντασίας. Aliter Patroclus ab Apolline Π. 791, 2.

678. Κολλητόν.] Κεκολλημένον. Βλήτροισι.] Τοῖς κατὰ τὰς ἁρμονίας γόμφοις, τοῖς ἐπιούροις. 679. Κελητίζειν.] Ἵππον κέλητα ἐλαύνειν. Κέλης, ὁ μονάμπυξ, παρὰ τὸ κέλειν, τὸ βαδίζειν. Ὅθεν καὶ κέλευθος. Ἐπεὶ τὸ παλαιὸν, ὡς ἐπίπαν τοῖς ἅρμασιν ἐχρῶντο. 680. Πίσυρας.] Τέσσαρας. Συναγείρεται.] Συλλέγεται. 681. Σεύας.] Ὁρμήσας. 682. Λαοφόρον.] Λεωφόρον. δι' ἧς ὁ λεὼς ἔρχεται, ὅ ἐστιν, ὁ ὄχλος. Θηήσαντο.] Μετὰ θαύματος εἶδον. 684. Ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται.] Ἐν μέρει ἐπέρχεται. ὅ ἐστιν, ἄλλοτ' ἐπ' ἄλλον μεθιζάνει. 687. Σμερδνόν.] Φοβερόν. 689. Ὁμάδῳ.] Θορύβῳ, πλήθει. 690. Αἴθων.] Διάπυρος, ὀξύς. ἢ, σφοδρὸς κατὰ τὴν πτῆσιν. Μέλας. 691. Ἔθνος.]

χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῷ.
Αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη·
φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
ἄντεσθ' ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.
τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος· ἤτοι Ἀχαιοὶ
οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ, ἀλλ' ὀλέεσθαι·
Τρωσὶν δ' ἤλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου,
νῆας ἐνιπρήσειν, κτενέειν θ' ἥρωας Ἀχαιούς.
οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν.
Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο,
καλῆς, ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
ἐς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν·
τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
δῄουν ἀλλήλους αὐτοσχεδόν. οὐδ' ἄρα τοίγε
τόξων ἀϊκὰς ἀμφὶς μένον, οὐδέ τ' ἀκόντων,
ἀλλ' οἵγ' ἐγγύθεν ἱστάμενοι ἕνα θυμὸν ἔχοντες,
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο,
καὶ ξίφεσι μεγάλοισι, καὶ ἔγχεσιν ἀμφιγύοισι.
πολλὰ δὲ φάσγανα καλὰ, μελάνδετα, κωπήεντα,

701. Τρωσὶ δ' ἐϜέλπετο. quod esse potest et Τρωσὶ δὲ Ϝέλπετο. utrumque bene.—στήθεσσι Ϝεκάστου.

696—704. Redintegrata acerrima pugna, maxime ab Hectore ad navem cui Ajax institerat.—698. ὡς ἐσσυμένως tanta cum contentione, enixe, intentis viribus.—699. 700. Achivi tantum non desperata salute pugnabant.

704—726. Hector una ex reliquis nave apprehensa ignem et incendium minatur. —704. πρύμνηθεν. *a puppi* apprehendit navem, quippe stabant naves puppibus in terram, proris in mare, conversis. Adhuc pugnatum erat a tergo prioris navium ordinis; videntur adeo collectis viribus Achivi Trojanos iterum repressisse.—705. navis Protesilai: cf. sup. B. 701. prima illa appulerat; ideo stabat priore loco in ordine navium anteriore, qua parte Trojani irruerant.—708. τοίγε et Achivi et Trojani; sic iterum 710. ἀλλ' οἵ γε *comminus* pugnarunt, ut, *missilium* usus nullus esset. ἀϊκὴ, ὁρμὴ, ab αἴξ, αἴκος, quod Apollon. III. 1374. adhibet.—709. ἀμφὶς *eminus*. opp. αὐτοσχεδόν. —713. μελάνδετα κωπήεντα. est sane idem quod μελαίνας κώπας ἐνδεδεμένα h. ἔχοντα. At vis poetica inest, dum objiciuntur animo species plures in ense: nigredo, tum manubrium ipsum, quod nunc e contexto et collocatione magnitudinis notionem

Πλῆθος. 693. Κυανοπρῴροιο.] Κυανῷ τὴν πρῷραν κεχρισμένης. 695. Χειρί.] Δυνάμει. 696. Δριμεῖα.] Ὀξεῖα, θερμή. 697. Ἀκμῆτας.] Μὴ κεκοπωμένους, ἀπόνους. Ἀτειρέας.] Ἀκαταπονήτους. 698. Ἄντεσθαι.] Συμβαλεῖν, ἀπαντῆσαι. 705. Ὠκυάλου.] Τῆς ταχέως πλεούσης. Ἐζήτηται δὲ, διὰ ποίαν αἰτίαν μόνην τὴν Πρωτεσιλάου παρέδωκε ναῦν καιομένην. Ῥητέον, ὅτι ᾐδέσθη τινὸς τῶν ζώντων ἐμπρῆσαι, μή πως ἀνανδρίαν αὐτοῦ τὶς δόξῃ καταγιγνώσκειν. 709. Ἀϊκάς.] Διώξεις. ὁρμάς. Ἀμφὶς μένον.] Ἀντὶ τοῦ, περιέμενον. 713. Μελάνδετα.] Σιδηρόδετα, ἢ μέλαινας λαβὰς ἔχοντα. Ἔστι γὰρ ἡ λαβὴ δεσ-

ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων
ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει,
ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶ δὲ κέλευεν·
Οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν.
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι,
ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων·
οἵ μ', ἐθέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν,
αὐτόν τ' ἰσχανάασκον, ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρυόπα Ζεὺς
ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν.
Αἴας δ' οὐκέτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν,
ἀλλ' ἀνεχάζετο τυτθὸν, ὀϊόμενος θανέεσθαι,
θρῆνυν ἐφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς εἴσης·
ἔνθ' ἄρ' ὅγ' ἑστήκει δεδοκημένος· ἔγχεϊ δ' αἰεὶ

717. vulg. δ' ἐκέλευεν. 720. ἀϝέκητι.
724. vulg. τότ' ἔβλαπτε. 729. ἐϝίσης.

habet.—714. ἀπ' ὤμων ἔπεσον. Non satis definias modum: puto esse enses humeris thorace munitis inflictos et aut fractos aut resilientes in terram decidere.—717. ἄφλαστον· in puppi; aplustre, ornamentum ad formam pinnarum; antecesserat πρύμνηθεν.—719. πάντων ἄξιον ἦμαρ. non uno modo hoc quoque dictum esse potest; accipio: *diem, qui compensat omnia*, sc. quæ superioribus temporibus evenere minus fausta et ex voto.—721. κακότητι γερόντων, pusillanimitate, qui consultum esse putaverant, non in acie objicere Achivis juventutem, sed maluerunt eos murorum munimentis tutos vim hostilem aut depellere aut vires eorum consumere.—724. Iterum Jovi tribuitur, e rudis sermonis et ingeniorum more, quod de sana mente deturbare homines dicitur. Si olim stulto consilio omisimus facere quod optimum factu erat, nunc ipsa res nos eo ducit et successum præbet.

727 ad f. Ajax etsi se ab hoste urgeri videns, Achivos hortatur et Trojanos ad navem incendendam properantes retundit. In hortatibus his, non universe ac communiter, sed, ipsius hortantis verbis appositis, quanta vis insit, suus quemque sensus docere potest.

728. ὀϊόμενος, *metuens*.—729. θρῆνυν. tabulatis in puppi relictis, desiluit in *medium* navis partem, *non tectam*, et institit transtris, in quibus remigantes sedent; cf. ad

μός τις τοῦ ξίφους. 717. Ἄφλαστον.] Τὸ λεγόμενον ἀκροστόλιον τῆς νεὼς πρύμνης. Καὶ εἴρηται κατὰ ἀντίφρασιν· εὔθλαστον γάρ ἐστι. 719. Νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε.] Νῦν ἀντὶ τοῦ, πάντων τῶν τολμηθέντων εἰς ἡμᾶς ἀξίαν ἀμοιβὴν παρέσχεν ἡμῖν ὁ Ζεὺς πρὸς τὸ ἑλεῖν τὰς ναῦς. 723. Ἰσχανάασκον.] Κατεῖχον, ἐκώλυον. Ἐρητύοντο.] Κατείχοντο. 727. Βιάζετο.] Κατεπονεῖτο. 728. Ὀϊόμενος.] Ὑπολαμβάνων. 729. Θρῆνυν.] Ὑποπόδιον. Βέλτιον δὲ, θρῆνυν καλεῖσθαι ὑπὸ Ὁμήρου τὰς καθέδρας τῶν ἐρετῶν. ἀναχωρῶν γὰρ ἀπὸ τῆς νεὼς τῶν καταστρωμάτων, ἐπὶ ταύτας ἀφικνεῖται. Τινὲς δὲ, τόπον τῆς νεὼς, βάσιν ἔχοντα, ἐφ' οὗ τὸν κυβερνήτην τοὺς πόδας τιθέναι, ὃ καὶ ἑδώλιόν φασιν. Ἄλλοι δὲ, τὴν ὑποδεχομένην τὸν ἱστὸν τράπεζαν εἶπον. Οἱ δὲ, διαβάθραν ἀπὸ νηὸς ἐπὶ νῆα. Ἑπταπόδην.] Ἑπτὰ ποδῶν τὸ μέγεθος

Τρῶας ἄμυνε νεῶν, ὅστις φέροι ἀκάματον πῦρ.
αἰεὶ δὲ σμερδνὸν βοόων, Δαναοῖσι κέλευεν·
Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω;
ἠέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
οὐ μέν τις σχεδόν ἐστι πόλις, πύργοις ἀραρυῖα,
ᾗ κ' ἀπαμυναίμεσθ', ἑτεραλκέα δῆμον ἔχοντες·
ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων,
πόντῳ κεκλιμένοι, ἑκὰς ἥμεθα πατρίδος αἴης.
τῷ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο.
Ἦ, καὶ μαιμώων ἔφεπ' ἔγχεϊ ὀξυόεντι.
ὅστις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο
σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος,
τὸν δ' Αἴας οὔτασκε, δεδεγμένος, ἔγχεϊ μακρῷ.
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα.

740. Ϝεκάς. 745. vulg. ὀξέϊ δουρί.

vs. 676. ex eoque loco hostem *observat* accedentem et prohibet. Erat quoque sic ad mediam usque corporis partem tectus navis latere, τοίχῳ.—733. sequentia jam alibi vidimus: ut sup. 661, 2. Danai ἥρωες, simpliciter fortes bellatores—μνήσασθε, *exerite vestram virtutem*, intendite eam.—735. ἠὲ φαμὲν, *an putamus*.—736. ἀνδράσι pro *nobis*. 737. πόλις πύργοις ἀραρυῖα. pro urbe munita, cui sint muri, πύργοι.—738. ἑτεραλκέα δῆμον, aut, novum robur, ἑτέραν ἀλκὴν, adjecturam civitatem, aut, quæ in alteram partem victoriam erit inclinatura et, ut Achivi superiores pugnando sint, effectura.—740. πόντῳ κεκλιμένοι, ad extremum littus castra habentes. κλίνεσθαι de situ et positu, aut de habitatione, Ε. 709. nunc de castris, ut quoque Π. 68.—741. φόως *salus* est in manu, fortiter pugnando; non in remittendo a pugna. οὐκ ἐν μειλιχίῃ, ἐν ῥᾳθυμίᾳ.—742. Cum impetu, animose, hostes adeuntes ἐπιφερομένους, *excipit* hasta, *ferit*. Fere ut ἐφέπειν ἔγχει τινὰ insequi hasta et occidere.—Idem quod supra 730. ἔγχεϊ δ' αἰεὶ Τρῶας ἄμυνε νεῶν.

ἔχοντα. 730. Δεδοκημένος.] Ἐπιτηρῶν. 731. Ἄμυνεν.] Ἤμυνεν. 735. Ἀοσσητῆρας.] Βοηθούς. 738. Ἧι κ' ἀπαμυναίμεσθα.] Δι' ἧς ἀμυνοίμεθα τοὺς πολεμίους. Ἑτεραλκέα δῆμον.] Δυνάμενον ὄχλον ἐν μέρει πρὸς τὰ κατεπείγοντα βοηθεῖν τοῖς κατεπτοημένοις. 740. Πόντῳ κεκλιμένοι.] Παρακεκλιμένοι τῇ θαλάσσῃ, περιεχόμενοι. 741. Τῷ ἐν χερσὶ φόως.] Διὸ ἐν ταῖς χερσὶν ἡμῶν, καὶ τῷ μάχεσθαι, ἡ σωτηρία. οὐ γὰρ ἐν τῷ μειλιχίους ἡμᾶς καὶ πράους εἶναι τοῖς πολεμίοις. Ὅ ἐστιν· οὔτις περὶ τὸν πόλεμον φιλανθρωπία. Τὸ δὲ ἑξῆς· οὐχ ἡ προσήνεια πολέμου οἰκεία, ἀλλ' εἰρήνης. Ἢ ἐπὶ δοτικῆς πτώσεως· οὐκ ἐν τῷ πολεμεῖν προσηνῶς, ἡ ἐπιφάνεια τῆς σωτηρίας, ἀλλ' ἐν ταῖς χερσὶν ἡμῶν. Οὐ μειλιχίῃ πολέμοιο.] Ἀρίσταρχος κατὰ δοτικήν. ἵν' ᾖ ὁ λόγος· φῶς ἡμῖν ἐν ταῖς χερσίν ἐστιν, οὐκ ἐν τῇ μειλιχίᾳ τοῦ πολέμου. Ὁ δὲ Θρᾷξ φησίν· οὐκ ἔστιν ἡ προσήνεια πολέμου, ἀλλ' εἰρήνης. 742. Μαιμώων.] Μανιωδῶς, ἀκατασχέτως. Ἔφεπεν.] Ἐπεδίωκεν. ἤ, ἐπήρχετο. 744. Κηλείῳ.] Καυστικῷ. Χάριν Ἕκτορος ὀτρύναντος.] Εἰς χάριν τοῦ Ἕκτορος παρορμῶντος. 745. Οὔτασκεν.] Ἐκ χειρὸς ἐτίτρωσκε. Δεδεγμένος.] Ἐκδεχόμενος, ἐπιτηρῶν. 746. Αὐτοσχεδὸν οὖτα.] Ἐκ τοῦ σύνεγγυς ἐτίτρωσκεν.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Π.

ARGUMENTUM.

PATROCLUS ad Achillem redux, cur lacrimas fundat interrogatus, quo in discrimine Achivi versentur exponit, Achillem objurgat, tandem precatur, ut sibi saltem concedat, ejus armis induto, Myrmidones ad auxilium Achivis ferendum educere—47. Annuit Achilles, præcipit tamen, ut rejectis a classe Trojanis statim ad se redeat—100. Interea Ajax, et urgente hoste, et virium defectu, tandem hasta ictu gladii ab Hectore præcisa, recedere cogitur; ita ignis navi injectus—123. Quo conspecto Achilles Patroclum jubet festinare—129. Armat se Patroclus—154. educuntur Myrmidones—197. Achilles ad virtutem animos inflammat—220. poculo e penu depromto libat et vota facit; gressum copiarum prospicit—256. Procedunt Myrmidones, Patroclo hortante, —275. cujus adspectu perturbati extemplo Trojani fugam circumspiciunt—284. Pyræchme cæso, fugientes a navibus depellit, ignem restinguit Patroclus—301. Iterum collectis et resistentibus Trojanis, gravis fit pugna. Enumerantur cæsi et cædentes—351. donec Trojani vallo excedunt, et cum iis ipse Hector. Patroclus, præceptorum Achillis parum memor, eos extra castra insequitur, proturbat, dissipat, cædit multos—418. Ecce adversus eum procedit Sarpedon; Jove a Junone admonito, ne fatis intercederet, pugna facta, Sarpedon a Patroclo necatur—490. Glaucus a moriente Sarpedone invocatus, ne spoliari se sineret, arcessit Æneam et Hectorem; Patroclus sibi adjungit utrumque Ajacem; instauratur pugna circa Sarpedonis corpus—562. Cæduntur multi, et modo hi modo illi cedunt;—644. tandem Hectore recedente terga vertunt Trojani, Sarpedon spoliatur, corpus in Lyciam defertur—683. Exultans secundo successu Patroclus, contra quam præceperat Achilles, fugientes insequitur, usque sub urbis mœnia;—697. Frustra ab Apolline deterritus muros escendere annititur—711. Hector sub porta Scæa viribus refectis iterum in Achivos invehitur et Patroclum adoritur—732. a quo Cebriones, Hectoris auriga, saxo jacto prosternitur; fit pugna circa corpus spoliandum; cedunt tandem Trojani—782. Nova hac victoria animo elatus Patroclus denuo in Trojanos invectus tandem viribus exhaustis deliquium passus, Apollinis opera, vacillat, ab Euphorbo vulneratus, dum se ad suos recipit, hasta ab Hectore transfigitur—827. Insultanti se Hectori Patroclus simile fatum ominatur—863. Auriga ejus Automedon Hectorem se insequentem effugit—ad f.

Deorum ministeria maxime ad Jovem et Apollinem redeunt: Patroclo et Sarpedone congressis deliberat Jupiter, an Sarpedon, ejus filius, a morte servandus sit; Juno intercedit, ut tamen corpus ad populares

deferatur haud improbat; tum Jupiter quem adhuc ex Ida prospicientem cogitare licet, cf. ad 432. instantem Sarpedonis cædem imbre cruento portendit 431—462. Defenditur ejus corpus a Glauco ab Apolline sanato ex vulnere 508—531. Cum Patroclo fatale esset, hac pugna occumbere, idque statim hac circa Sarpedonis corpus spoliandum contentione fieri posset, iterum Jupiter eventum differt, et, ut Trojanos ille usque sub mœnia urbis fuget, permittit: 644—658. Interea ab Apolline Jovis jussu Sarpedonis corpus in Lyciam perfertur—683. Ab Apolline porro Patroclus a muris Trojæ repellitur 698—710. mox viribus solutis eum inermem dat Euphorbo vulnerandum, et Hectori occidendum: 786—821.

Inscripta ab antiquis rhapsodia ἡ Πατρόκλεια inter nobilissimas carminis partes haud dubie habenda.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Π. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΠΑΤΡΟΚΛΩι δεηθέντι Ἀχιλλεὺς ἐπιτρέπει τὴν αὐτοῦ πανοπλίαν ἀναλαβεῖν, καὶ τοὺς Μυρμιδόνας ἐξάγειν ἐπὶ τὸν πόλεμον· οἱ δὲ, ἐξελθόντες ἔτρεψαν τοὺς Τρῶας. Πάτροκλος δὲ Σαρπηδόνα τὸν Διὸς ἀναιρεῖ, τὸν παρήορον ἵππον τοῦ Ἀχιλλέως ἀνελόντα Πήδασον· ἔπειτα δὲ Πάτροκλον Ἕκτωρ ἀναιρεῖ πληγέντα πρότερον ὑπὸ Εὐφόρβου, Ἀπόλλωνος ἀφελομένου τὴν πανοπλίαν αὐτοῦ.

Πῖ Πάτροκλον ἔπεφνεν ἀρήϊον Ἕκτορος αἰχμή.

ΩΣ οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο.
Πάτροκλος δ' Ἀχιλῆϊ παρίστατο, ποιμένι λαῶν,
δάκρυα θερμὰ χέων, ὥστε κρήνη μελάνυδρος,
ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεὺς,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Τίπτε δεδάκρυσαι, Πατρόκλεις; ἠΰτε κούρη
νηπίη, ἥθ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,

5. τὸν δὲ ϝιδών. 6. ϝέπεα.

1—101. Patroclus lacrimabundus ad Achillem accedit, rogatus nuntiat, quo loco Achivorum res sint; ejus duritiem accusat, impetratque ut Myrmidones in aciem educat.

2. Tumultu pugnæ propiore facto Patroclus, Eurypylo, cujus vulnus curabat, relicto ad Achillem redierat: O. 390—404.—3, 4. Comparationem lacrimantis cum fonte perenni iisdem verss. jam vidimus l. 14, 15. placuit ea veteribus.

7—11. Suavis oratio per ornamenta; pro vulgari fles ut puella.—8. ἀνώγει (sc.

3. Θερμά.] Νεαρὰ, πρόσφατα. Χέων.] Καταστάζων. Μελάνυδρος.] Βαθεῖα, σκοτεινή. Τοῦ γὰρ μελαίνεσθαι αἴτιον τὸ βάθος. Τὰ δὲ ἐξ ἐπιπολῆς ὕδατα λευκὰ, καθότι πλέον ταῖς τοῦ ἡλίου ἀκτῖσι καταυγάζεται. 4. Αἰγίλιπος.] Ὑψηλῆς· ἣν καὶ αἲξ ἀπολείπει διὰ τὸ πολὺ ὕψος. μάλιστα γὰρ ἡ αἲξ ἐν τοῖς κρημνοῖς βόσκεται. Δνοφερόν.] Μέλαν. 5. Ὤικτειρεν.] Ἠλέησε. 8. Νηπίη.]

εἱανοῦ ἁπτομένη, καί τ᾽ ἐσσυμένην κατερύκει·
δακρυόεσσα δέ μιν προτιδέρκεται, ὄφρ᾽ ἀνέληται·
τῇ ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ;
ἠέ τιν᾽ ἀγγελίην Φθίης ἐξ ἔκλυες οἶος;
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱόν,
ζώει δ᾽ Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι,
τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχοίμεθα τεθνειώτων.
ἠὲ σύ γ᾽ Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῇσιν, ὑπερβασίης ἕνεκα σφῆς;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
Τὸν δὲ βαρυστενάχων προσέφης, Πατρόκλεις ἱππεῦ·
ὦ Ἀχιλεῦ, Πηλέος υἱέ, μέγα φέρτατ᾽ Ἀχαιῶν,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
ἐν νηυσὶ κέαται βεβλημένοι, οὐτάμενοί τε.
βέβληται μὲν Τυδείδης κρατερὸς Διομήδης·

9. *Ϝειανοῦ.* 11. *Ϝίκελος.* 19. *ἵνα Ϝείδομεν.* 25. vulg. *βέβληται μὲν ὁ Τ.*

τὴν μητέρα) ἀνελέσθαι αὐτὴν, suscipere in sinum.—12. *πιφαύσκεαι* *renuntias, habes, quod renunties. ἐμφανίζεις. λέγεις.* jam K. 478. 502.—13. *οἶος*, h. e. quam ipse *nondum resciverim:* ex v. 19. ubi est: ut et ego resciscam.—18. *ὑπερβασίης ἕνεκα σφῆς* *suo scelere. sua improbitate.* h. e. *merito suo*, propter injuriam mihi illatam.

21—45. Patrocli verba ad Achillem *prudentia* et *gravitate* se commendant.

25. Diomedes vulneratus erat Paridis telo in planta pedis, Λ. 376, 7. Ulysses a

Μικρὰ κόρη. Θέουσα.] Τρέχουσα. Ἀνελέσθαι.] Ἀναλαβεῖν, βαστάσαι. Ἀνώγει.] Παρεκελεύετο, ἐθέλει. 9. Εἱανοῦ.] Τοῦ πέπλου. Πέπλος ὡς ἐπιπολὺ τὸ γυναικεῖον ἱμάτιον. τὸ δὲ ἀνδρεῖον, χιτών. Κατερύκει.] Κατέχει σπουδάζουσαν αὐτήν. 10. Ποτιδέρκεται.] Προσβλέπει. 11. Τέρεν.] Νῦν, ὑγρόν. Εἴβεις.] Στάζεις, προχέεις. 12. Πιφαύσκεαι.] Ἐμφανίζεις, λέγεις. 14. Ζώειν μὰν ἔτι φασὶ Μενοίτιον.] Αἰακὸς, ὁ Διὸς καὶ Αἰγίνης, γήμας Ἐνδηΐδα τὴν Χείρωνος θυγατέρα, ἔσχε δύο παῖδας, Πηλέα, καὶ Τελαμῶνα. Μιγεὶς δὲ καὶ Ψαμμάθῃ τῇ Νηρέως, γεννᾷ Φῶκον. Τοῦτον Πηλεὺς ἀποκτείνας, ἔφυγεν εἰς Μαγνησίαν τῆς Θετταλίας πρὸς Χείρωνα. Τελαμὼν δὲ, ἐν τῷ λόχῳ τοῦ Καλυδωνίου συὸς ἀνελὼν ἀκουσίως καὶ αὐτὸς ἕνα τῶν συγκυνηγούντων, ἔφυγεν εἰς Σαλαμῖνα· καὶ γήμας Ἐρίβοιαν τὴν Ἀλκάθου ἐγέννησεν Αἴαντα. Μενοίτιος δὲ, ἀποικίσας εἰς Ὀποῦντα, Πάτροκλον ἐτέκνωσεν. Ὁ δὲ, ἀποκτείνας καὶ αὐτὸς ἀκουσίως Ἀμφιδάμαντος παῖδα Κλησώνυμον, καὶ ἐπὶ τούτῳ φυγὼν εἰς Φθίαν πρὸς Πηλέα, κατὰ συγγένειαν ἐπέμφθη παρ᾽ αὐτοῦ πρὸς Χείρωνα. Ὃς αὐτὸν μετ᾽ Ἀχιλλέως ἀνέθρεψεν. Ἡ ἱστορία παρὰ Φιλοστεφάνῳ. 15. Αἰακίδης.] Αἰακοῦ υἱὸς Πηλεύς. 16. Τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχήμεθα τεθνειώτων.] Ὑπὲρ ὧν ἀμφοτέρων λυπηθείημεν ἄν. 17. Ὀλοφύρεαι.] Ὀδύρῃ, οἰκτείρεις. 18. Σφῆς.] Τῆς ἰδίας. 22. Βεβίηκε.] Καταπεπόνηκε. βεβίασται. 23. Ἄριστοι.] Πρόμαχοι. 24. Κέαται.] Κεῖνται· ὅ ἐστιν, ἀργοί εἰσιν. 25. Βέβληται μὲν ὁ

οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς, ἠδ' Ἀγαμέμνων·
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ.
τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ.
μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις.
αἰναρέτη, τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
νηλεὲς, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς,
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα,
πέτραι τ' ἠλίβατοι· ὅτι τοι νόος ἐστὶν ἀπηνής.
εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις,

13. vulg. τίς σευ. 32. ἀϝεικέα.

Soco in costis Λ. 436. sq. Agamemnon a Coone manu hasta trajecta Λ. 251. sq. Eurypylus femore sagitta trajecto a Paride Λ. 580. sq.—29. *ἀμήχανος ἔπλευ* pro *πέλῃ es indomitus; qui flecti nequeas.*—31. *αἰναρέτη. ὁ ἐπὶ κακῷ ἀρετὴν, ἀνδρίαν, ἔχων.*—nam *τὸ αἰνὸν* est *τὸ κακόν.* Sic *αἰνόπαρις. αἰνελένη. αἰνόγαμος.* ergo et *ὁ αἰναρέτης, virtutem cum aliorum malo habens,* h. e. cum animi duritie conjunctam. non ad alios servandos, cum haud moveatur Achivorum clade.—33. Locus a multis expressus ad significandam animi duritiem; inprimis a Virgilio Æn. IV. 365. sq. Convenit hoc cum prisco sermone, quo per ejusmodi symbola, quæ postea tropice dicta sunt versa, sensus hic animi reddebatur. Ita homines natos aiebant e saxis; ita tot fabulæ de feris hominibus e Neptuno natis.—36. *εἰ δέ τινα.* Utitur Patroclus verbis Nestoris sup. 793. sqq. 802. Prohiberi autem divino monito, ne in pugnam prodiret, cum vitæ periculo, non tam suspicari debebat Patroclus, quam potius nosse poterat: v. sup. I.

Τυδείδης.] Ἀντὶ τοῦ, ἐκ βολῆς τέτρωται. Ἐζήτηται δὲ, πῶς Πάτροκλος, περὶ Μαχάονος μηδὲν εἰπὼν, κατάλογον ποιεῖται τῶν τετρωμένων. Καὶ ῥητέον, ὡς βεβαιοῖ τὴν Ἀχιλλέως πρόληψιν, ἵνα εἰς ἔλεον κινήσῃ παραλιπών. Λέγει δὲ περὶ ὧν μᾶλλον ἠγωνία. 26. Οὔτασται.] Ἐκ χειρὸς τέτρωται. Δουρικλυτός.] Ἔνδοξος περὶ τὸ δόρυ. πολεμικός. 28. Ἀμφιπένονται.] Περὶ αὐτὸν ἐνεργοῦσιν, ἀσχολοῦνται. 29. Ἕλκε' ἀκειόμενοι.] Θεραπεύοντες τὰ ἕλκη. Ἀμήχανος.] Ἀπροσμηχάνητος, ἀκαμπής. πρὸς ὃν οὐδέν ἐστι μηχανήσασθαι. Ἔπλευ.] Ἐγένου. 31. Αἰναρέτη.] Ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένε. Αἰνὸν γὰρ, τὸ κακόν. Σεῦ ὀνήσεται.] Ἐκ σοῦ ὄνησιν ἕξει. ὠφεληθήσεται. Ὀψίγονος.] Ὁ μετὰ πολὺν χρόνον ἐσόμενος. μεταγενέστερος. 33. Νηλεές.] Ἀνηλεέστατε, ὠμότατε. 34. Γλαυκὴ δέ σε τίκτε θάλασσα.] Ἡ γλαυκοειδής. Τοῦτο δέ φησι διὰ τὸ τῆς θαλάσσης ἐπικίνδυνον, καὶ ἀνηλεὲς, καὶ τῶν πετρῶν τὸ σκληρόν. 35. Ἠλίβατοι.] Μεγάλαι, ὑψηλαί. Νόος.] Ἀντὶ τοῦ, ἡ ψυχή. Ἀπηνής.] Χαλεπός. 36. Εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις.] Θέτις, καταναγκασθεῖσα ὑπὸ Διὸς Πηλεῖ γαμηθῆναι, τὰ γεννώμενα παιδία εἰς πῦρ ἔβαλλε, νομίζουσα τὰς θνητὰς τῷ πυρὶ σάρκας καταφλέξειν, τὸ δὲ ἀθάνατον διαφυλάξειν. Οὕτως ἓξ παῖδας διέφθειρεν. ἕβδομον δὲ γενόμενον, Ἀχιλλέα, βάλλει ὁμοίως εἰς πῦρ. Θεασάμενος δὲ Πηλεὺς, ἀφήρπασε τὸν παῖδα, καὶ ἐνεγκὼν εἰς τὸ Πήλιον ὄρος, τρέφειν παρέδωκε Χείρωνι. Ὁ δὲ, λεόντων καὶ ἄρκτων μυελοῖς τρέφων, ἐκάλεσεν Ἀχιλλέα. Διδάξας δὲ τὴν ἰατρικὴν τέχνην, καὶ λυρικὴν, καὶ μουσικὴν, ἀπέδωκε τῷ πατρί. Ἀγανακτήσασα δὲ Θέτις, καὶ καταλιποῦσα τὸν Πηλέα, ἐχωρίσθη εἰς θάλασσαν. Στρατευομένῳ δὲ Ἀχιλλεῖ ἐπὶ Ἴλιον προεῖπεν, ὅτι πολεμῶν μὲν

καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
δὸς δέ μοι ὤμοιϊν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κ' ἐμέ σοι ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' Ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο·
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
ὤσαιμεν προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων·
Ὣς φάτο λισσόμενος, μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
οἷ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ὢ μοι, Διογενὲς Πατρόκλεις, οἷον ἔειπες.
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥντινα οἶδα,
οὔτε τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,

41. Fίσκοντες. 45. προτὶ Fάστυ. 47. Foῖ αὐτῷ.
49. ἔFειπες. 50. ἥντινα Foῖδα.

410. sq.—39. φόως, sup. Λ. 796. is, qui e summo discrimine Achivos eripiat ac servet.—40. Valet hoc egregium poetæ inventum ad Achillis gloriam, quanta de ejus virtute persuasio esse debuerit, ut vel ejus conspectu inopinato fugiant Troes.—41. ἐμέ σοι ἴσκοντες, assimulantes, putantes te in conspectum prodiisse.—43. ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο scil. γένηται. εἴη. ut jam Λ. 798.

46, 47. Præivit aliis Homerus h. l. interponendis, tanquam e narrantis persona, iis, quæ audientis animum erigant quidem et doceant, quid eventurum sit, de modo tamen rei gerendæ incertum relinquant.

49—100. Affectus varietate notabilis oratio Achillis; non vaticinium matri datum de se ad Trojam occubituro, sed injuriam ab Agamemnone acceptam, se retinere, quominus Achivis succurrat—59. constitutum itaque sibi fuisse, non movere arma, antequam suam ipsius navem Trojani sint adorti—63. concedere tamen se nunc velle, ut armis suis Patroclus indutus in prælium exeat, in tanta salutis Achivorum desperatione—82. Verum hoc injungit Patroclo, ut, hoste de navibus depulso, statim ad se redeat, ne Achivi omnino bello liberati nullum posthac Achillis desiderium habeant, neve ipse Patroclus in vitæ periculum incurrat.

50. οὔτε θεοπροπίης, ἥντινα οἶδα. vaticinium, quod quidem novi.—51. οὔτε τί μοι, nec mater a Jove mihi renuntiavit, aperuit scil. quod me a pugnando retineat.—52, 53. ἀλλὰ τόδε ἄχος ἐφικνεῖται (ἐπ') ἐμὲ, me incessit, ὅτε, ἐπειδὴ, ἀνὴρ, ὅ τε, ὅς, κράτει προ-

Τρωσὶ, ζωὴν ὀλιγοχρόνιον κτήσεται, πλείστην δὲ τὴν δόξαν· ἀπεχόμενος δὲ τῆς μάχης, ἄδοξον μὲν βίον, πολυχρόνιον δὲ, διάξει. Ἃ μαθὼν Ἀχιλλεὺς, δόξαν αἰώνιον ζωῆς προσκαίρου προκρίνας, ἐστράτευσεν. Ἡ ἱστορία παρὰ Λυκόφρονι. 37. Ἐπέφραδεν.] Εἶπε. 38. Πρόες.] Πρόπεμψον. Ὄπασσον.] Παράσχου, δός. 42. Ἀναπνεύσωσιν.] Ἀναπαύσωνται. 43. Ὀλίγη δέ τ' ἀνάπνευσις πτολέμοιο.] Προσληπτέον τὸ, ἐστίν. ἀντὶ τοῦ, ὀλίγον καιρὸν ἀνάπαυσιν τοῦ πολέμου ἴδωσιν οἱ κεκμηκότες. 44. Ἀϋτῇ.] Νῦν, μάχῃ. 46. Νήπιος.] Νῦν, ἄφρων, καὶ ἀνόητος. 47. Λιτέσθαι.] Ἱκετεύειν, δεῖσθαι. 50. Ἐμπάζομαι.] Ἐπιστρέφο-

ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι,
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκῃ.
αἰνὸν ἄχος τό μοι ἐστίν. ἐπεὶ πάθον ἄλγεα θυμῷ,
κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
δουρὶ δ' ἐμῷ κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης, ὡσεί τιν' ἀτίμητον μετανάστην.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν. οὐδ' ἄρα πως ἦν
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν. ἤτοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπόταν δὴ
νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε, πτόλεμός τε.
τύνη δ' ὤμοιϊν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι·
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
νηυσὶν ἐπικρατέως· οἱ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,

54. vulg. προβεβήκει. 66. vulg. οὐδ' ἄρα περ ἦν.

ὁπόταν, ὅταν ἐθέλῃ ἀμέρσαι (ex seqq. τοῦ γέρως) τὸν ὅμοιον, τὸν ἐν ἴσῃ ἀξίᾳ ὄντα, καὶ ἂψ ἀφελέσθαι αὐτὸν τὸ γέρας.—55. τοῦτό μοι ἐστὶν αἰνὸν ἄχος. Ita interpungo: hic est mihi gravis dolor; hoc animum meum tantopere vexat. Cum ærumnas pertulerim, captivam mihi eripuit Agamemnon.—57. πόλιν εὐτείχεα πέρσας, Lyrnessum, cujus captæ pars prædæ fuerat Briseis. v. B. 90. T. 29.—59. ταύτην ἀφείλετο ἐμὲ, ὡσεὶ φυγάδα τινά. cf. sup. I. 644.

60. ἀλλὰ τὰ μὲν verum mittamus præterita. προτετύχθαι. προγενέσθαι. v. ad Γ. 748. οὐδ' ἄρα πως ἦν. οὐκ ἔξεστιν. οὐ πρέπον, consentaneum non est, pertinaciter iram retinere.—61. Sane quidem constitutum apud me habebam, non, antequam meas ipsius naves adoriturus esset hostis, arma iterum capere ira deposita. οὐ πρὶν—ἀλλ' ὁπόταν. pro εἰ μή· vel πρὶν ἤ.—66. εἰ δὴ, ἐπειδὴ, quandoquidem Trojanorum ingens multitudo περιέχει, circumdat naves.—68. οἱ δὲ κέκλινται (ἐπὶ) ῥηγμῖνι θαλάσσης. illi consistunt in ipso littore, exiguum adhuc spatium loci tenentes; ad tantas angustias illi redacti

μαι. 53. Ἀμέρσαι.] Ἀποστερῆσαι, μερίσαι. 54. Ὅτε κράτεϊ προβεβήκει.] Ὁπότ' ἂν τῷ κρατεῖν προέχῃ. ὅ ἐστιν, ἀξίᾳ τινὶ μείζονι. 55. Τό μοι.] Διό μοι. ἢ, τοῦτό μοι. 56. Ἔξελον.] Ὡς ἐξαίρετον ἔδωκαν. 57. Κτεάτισσα.] Ἐκτησάμην. 59. Ἀτίμητον.] Ἄτιμον. Μετανάστην.] Μέτοικον, φυγάδα. Μέτοικοι δὲ λέγονται οἱ καταλιπόντες τὴν ἰδίαν πόλιν, καὶ ἄλλην οἰκοῦντες. 60. Προτετύχθαι.] Προγεγονέναι. συμβάντα. Οὐδ' ἄρα περ ἦν.] Οὐδαμῶς δυνατὸν ἦν. 61. Ἀσπερχές.] Ἀδιαλείπτως. Κεχολῶσθαι.] Ὀργίζεσθαι. Ἤτοι ἔφην γε.] Καί τοι ἐλογισάμην. 62. Μηνιθμόν.] Μῆνιν, ὀργήν. Παρασχηματισμὸς, ὁ τρόπος. 64. Τύνη.] Σύ. Δωρικῶς. Δῦθι.] Ἔνδυθι. 66. Εἰ δὴ κυάνεον Τρώων νέφος.] Καὶ τὰ ἑξῆς. Ἐὰν δὴ τὸ τῶν Τρώων πλῆθος ὡς νέφος κατέχῃ τὸ ναύσταθμον ἰσχυρῶς. Νῦν γὰρ λέγει νέφος τὸ τῶν στρατιωτῶν πλῆθος. Γράφεται καὶ, ᾖ δή. ἵν' ᾖ, ἐν ᾧ τόπῳ τὸ τῶν πολεμίων πλῆθος ἀμετακίνητόν ἐστιν, ἐκεῖ αὐτὸς ἄρχε Μυρμιδόσι. 67. Ῥηγμῖνι.] Τῷ αἰγιαλῷ. 68. Κεκλί-

Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε,
θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες, ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι
μαίνεται ἐγχείη, Δαναῶν ἄπο λοιγὸν ἀμῦναι·
οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο,
Τρωσὶ κελεύοντος, περιάγνυται· οἱ δ' ἀλαλητῷ
πᾶν πεδίον κατέχουσι, μάχῃ νικῶντες Ἀχαιούς.
ἀλλὰ καὶ ὧς, Πάτροκλε, νεῶν ἄπο λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέως· μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ', ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω·

73. ἤπια Ϝειδείη. 78. περιϜάγνυται.

sunt κλίνεσθαι habitare, nunc castra habere. ut sup. O. 740.—69. Τρώων δὲ πόλις πᾶσα ἐπιβέβηκε, ἐπιβαίνει, ἐπίκειται. tota Trojana civitas, omnem eorum copiæ, adveniunt, ingruunt.

70—79. Paullo quidem jactantius hæc sunt dicta, evenisse Achivis adversa quia ipse aberat; eo tamen loco sunt dicta, quo quis recte suam virtutem prædicare potest, ex sensu injuriæ sibi factæ. οὐ γὰρ ἐμῆς.—Nam antea quod sup. I. 352. sq. gloriatus erat Achilles, quoad ipse interfuerat Achivis, Trojani mœnibus exire ausi non erant.—71. ἐναύλους, iterum Φ. 283. fossas campi. possis ad loca cava referre, quæ inter montes decurrens facit Simois; aberant tamen ea longius a locis, in quibus pugnabatur.—73. εἴ μοι ἤπια εἰδείη. pro ἤπιος εἴη· γένοιτο. æquus h. l. pro graviore vocabulo: homo est arrogans, insolens, stolide ferox.—75. μαίνεται ἐγχείη, antiquo sermone, vibratur: ut jam Il. Θ. 111. nam μαίνεσθαι et ὁρμᾶσθαι eodem sensu dicuntur. —76. οὐδέ πω. amare hæc dicta: Agamemnonem quoque pugna excessisse.—78. Hectoris vox ὄψ, (Eustath. supplet αὐδὴ ex αὐδήσαντος) περιάγνυται. *resonat*, pro vulgari, *auditur*. Homero frequentatum, petitum a *repercussione vocis*, inde sæpe usurpatum a poetis.

80—86. Rejici et expelli castris Trojanos vult Achilles, ne Achivi cum classe pereant; invidet quoque laudem eam Trojanis; at nec Trojanos clade affici vult, ne sui omne desiderium tollatur Achivis.—83. μύθου τέλος ἐν φρεσὶ θείω. ὡς ἐνθῶ φρεσί σου

αται.] Παρακέκλινται. 69. Πόλις.] Τὸ πλῆθος τῶν Τρώων. Πόλις γὰρ διχῶς λέγεται. ἥ τε κατασκευὴ τῶν οἰκοδομημάτων, καὶ τὸ κατοικοῦν πλῆθος. Πόλις οὖν ἀντὶ τοῦ, οἱ πολῖται. ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. 70. Θάρσυνος.] Ἀντὶ τοῦ, τεθαῤῥηκυῖα. προσηγορία ἀντὶ μετοχῆς. 71. Ἐναύλους.] Τοὺς διὰ στενοῦ ῥέοντας ποταμούς. διώρυχας. Διὰ δὲ τούτου προκατασκευάζει ὁ Ποιητὴς τὴν παρὰ τῷ ποταμῷ μάχην τὴν ἐν τῇ Φ. 72. Πλήσειαν.] Πληρώσειαν. Εἴ μοι κρείων Ἀγαμέμνων Ἤπια εἰδείη.] Εἰ προσηνής μοι καὶ εὔνους ὑπάρχει ὁ Ἀγαμέμνων. 74. Οὐ γὰρ Τυδείδεω Διομήδεος.] Καὶ τὰ ἑξῆς. Οὐκ ἔτι γὰρ ἀριστεύει κατὰ τὸν πόλεμον ὁ Διομήδης, πρὸς τὸ ἀποτρέψαι τὰ κακὰ τῶν Ἑλλήνων. 75. Μαίνεται.] Δαιμονίως ἐνεργεῖ, ἐνθουσιᾷ. 76. Ὀπός.] Φωνῆς. 78. Περιάγνυται.] Περιῤῥήγνυται. ἐξ οὗ περιηχεῖ.

ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
πρὸς πάντων Δαναῶν· ἀτὰρ οἱ περικαλλέα κούρην
αψ ἀπονασσωσι, προτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν·
ἐκ νηῶν ἐλάσας, ἰέναι πάλιν. εἰ δέ κεν αὖ τοι
δώῃ κῦδος ἀρέσθαι ἐριγδουπος πόσις Ἥρης,
μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.
μηδ', ἐπαγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι,
Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν·
μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπολλων·
ἀλλὰ παλιν τροπάασθαι, ἐπὴν φάος ἐν νηεσσι
θήῃς, τούσδε δ' ἐᾶν πεδιον καταδηριάασθαι.
αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,

84. vulg. ἄροιο. 85. vulg. ἀτάρ οἱ. 92. προτὶ Fίλιον.
94. FεκάFεργος. 95. vulg. τρωπᾶσθαι. 96. vulg. θείης.

τὸν μῦθον. Aliter nunc *μύθου τέλος* quam sup. I. 56. *οὔπω τέλος ἵκεο μύθων.* Nunc propius dictum ad vulgarem usum, ut periphrasi et ornatui inserviat: *summa orationis* pro ipsa oratione. cf. inf. 630.—84. *ὡς ἄν μοι.* apodosin facio: *ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν.* Scilicet hoc ipsum laudi cessurum erat Achilli, si Myrmidones ab amico educti statim rem erant restituturi.—85, 86. et sic quoque futurum erat, ut Achivi proclives essent ad injuriam reparandam, reddita Briseide.—87—90. *ne pugnam continues fortuna elatus: ne meo honori aliquid inde detrahatur,* cum Achivi jam existimaturi sint, se me non, magnopere nunc egere, cum tu iis intersis.—*εἰ δέ κεν.* Non est adversativa δὲ sed copula. debebat esse, *si igitur.*

91—96. Multo minus urbem expugnare conare; nam hoc ad tuam ipsius perniciem verti potest. *ἐπαγαλλόμενος* cum dilectu, de eo qui effertur successu, exsultat, ferocit: ut mox, P. 473. *τεύχεα δ' Ἕκτωρ αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.* Præivit in usu vocis aliis multis Homerus h. l. Synonyma sunt *γαυριᾷν. ἐπαγαίεσθαι* ap. Apollon. IV. 1261. *πολέμῳ* autem, pugna, pro successu pugnæ ac fortuna secunda.—93. *μή τις ἀπ' Οὐλύμποιο.* Hæc dicta sunt, sive ut vaticinium respiciant, sive ut metum faciant a diis Trojæ defensoribus. *ἐμβήῃ, ἐμβῇ,* de hostili incursu. cum vi, *ἐναντιωθῇ.* ut *ἐμπεσεῖν.*—95, 96. *φάος* nunc salus, liberatis castris et restituta pugna. v. ad Λ. 796.

97—100. Verba hominis ira non excandescentis sed furentis et insanientis.—

86. Ἄψ ἀπονάσσωσι.] Εἰς τοὐπίσω ἀποκαταστήσωσιν, ἀποδώσωσιν. Διατί Ἀχιλλεὺς ἐπὶ καθαιρέσει Διομήδους μέμνηται καὶ Ἀγαμέμνονος, καὶ οὐδενὸς ἄλλου; λέγων· Οὐ γὰρ Τυδείδεω Διομήδεος, Οὐδέπω Ἀτρείδεω. Ῥητέον δὲ, ὅτι Ἀγαμέμνονος μὲν εἰκότως. ἦν γὰρ ἐχθρὸς αὐτοῦ. Καὶ Διομήδους δὲ, διὰ λόγους ὑβριστικοὺς, οὓς εἰς αὐτὸν ἀπέῤῥιψε μετὰ τὴν πρεσβείαν. λέγει γάρ· Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα. 87. Ἰέναι πάλιν.] Ἀντὶ τοῦ, ἴθι, καὶ παραγίγνου. 89. Λιλαίεσθαι.] Προθυμεῖσθαι. 91. Ἐπαγαλλόμενος.] Τερπόμενος, χαίρων. 92. Ἐναιρόμενος.] Ἀντὶ τοῦ, ἐναίρων, ὅ ἐστι, φονεύων. 94. Ἐμβήῃ.] Κατέλθοι. ὅ ἐστιν, ἐμποδὼν στῇ, ἐμποδίσῃ. 95. Πάλιν τροπάασθαι.] Εἰς τοὐπίσω ἀναστρέφειν. Φάος ἐν νήεσσι Θείης.] Ἀντὶ τοῦ, ἐπεὶ δ' ἂν σώσῃς τὰς ναῦς. 96. Δηριάασθαι.] Μάχεσθαι.

μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασι,
μήτε τις Ἀργείων· νῶϊν δ' ἐκδύμεν' ὄλεθρον·
ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι·
δάμνα μιν Ζηνός τε νόος, καὶ Τρῶες ἀγαυοὶ
βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
πήληξ βαλλομένη καναχὴν ἔχε· βάλλετο δ' αἰεὶ
καὶ φάλαρ' εὐποίηθ'. ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν,
ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον. οὐ δὲ δύναντο
ἀμφ' αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεσσιν.
αἰεὶ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι· κὰδ δέ οἱ ἱδρὼς
πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχεν
ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.
Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,

99. vulg. ἐκδῦμεν. v. Obss. 100. vulg. λύοιμεν.
106. vulg. καπφάλαρ'. 109. κὰδ δέ Ϝοι.

99. νῶϊν δ' ἐκδύμεν' ὄλεθρον. νῶϊν δὲ γένοιτο ἐκδύμεναι ὄλεθρον, nobis duobus solis obtingat, ut effugiamus interitum, ut tum soli Trojam expugnemus. Τροίης κρήδεμνα (a capitis fascia ducta voce) τὰ τείχη, τὴν ἄκραν, alibi pro τὴν πόλιν, altero loco occurrit Od. N. 388.

102—111. Ajax, etsi hostibus valde urgentibus, animose tamen pugnat. Redit poeta ad dicta superiore libro O. sub fin. 727. sqq. Locus dilectu verborum et vivida rerum declaratione conspicuus; grammaticorum quoque judicio in Schol. B.

103. Ζηνός τε νόος. decretum id esse a Jove, ut superiores sint Trojani, noverat Ajax. Il. O. 467. sq. rupto nervo arcus Teucri, et nunc ipsa ex pugnæ fortuna intelligebat: ut iterum paullo post 119.—105. καναχὴν ἔχε. quod alias καναχὴν ποιεῖσθαι. καναχεῖν.—106. καὶ φάλαρα. resonabat galea et ornamenta galeæ in fronte, percussa repetitis telorum ictibus. unde E. 743. erat galea τετραφάληρος. appellabatur ea pars galeæ, quæ frontem tegebat, στεφάνη. H. 12.—108. οὐδὲ δύναντο (sc. Τρῶες), ἐρείδοντες (σὺν) βελέεσσι ἀμφ' αὐτῷ, πελεμίξαι (αὐτόν.) *loco movere*, urgendo cum telis. ἐρείδοντες ἀμφὶ αὐτῷ, h. e. ἐπερείδοντες αὐτῷ ἀμφὶ, undique eum urgentes.—111. continuo labore exhaustus viribus deficiebat: κακὸν κακῷ ἐστήρικτο. continuo exserendis viribus, dum alia alii ærumnæ succedebat. Nam quæ continuantur, aut, tanquam juncta, se alterum alterum excipiunt, videntur ἐρείδεσθαι. suffulciunt ea se mutuo, dum se mutuo attingunt. ut ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε N. 131. et δμωαὶ ἀλλήλαις ἐρείδουσαι Od. X. 450.

112. 3. Ad momentum rerum summum, quod ipse Jupiter interventus sui tanquam metam, et Troum fortunæ terminum constituerat sup. O. 596. sq. pervenerat poeta; nunc locus Musis invocandis erat: ut B. 484.

99. Ἐκδῦμεν.] Διαφύγοιμεν. Νῶϊν δ' ἐκδῦμεν ὄλεθρον.] Ἀπαρέμφατον ἐστίν. ἵν' ᾖ, ἡμῖν τὸν ὄλεθρον ἐκδῦναι γένοιτο. Τοῦτο γὰρ λέγει. 100. Τροίης κρήδεμνα.] Νῦν, τὰ τείχη. μεταφορικῶς. Ἰδίως γὰρ κρήδεμνον καλεῖται τὸ τῆς κεφαλῆς κάλυμμα. 103. Δάμνα.] Ἐδάμαζε. 105. Καναχήν.] Ψόφον. 106. Κὰπ φάλαρα.] Κατὰ τὰ φάλαρα. Φάλαρα δὲ εἰσὶ τὰ κατὰ τὸ μέσον τῆς περικεφαλαίας μικρὰ ἀσπιδίσκια, ἅτινα κόσμου χάριν ἐντίθενται. 107. Αἰόλον.] Νῦν, ποικίλον. 108. Ἐρείδοντες.] Ὠθοῦντες. 109. Ἄσθματι.] Τῇ πολλῇ ἀναπνοῇ. 111. Πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.] Πανταχόθεν δὲ αὐτὸν περιε-

ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς
πλῆξ᾽ ἄορι μεγάλῳ, αἰχμῆς παρὰ καυλὸν ὄπισθεν·
ἀντικρὺ δ᾽ ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
πῆλ᾽ αὔτως ἐν χειρὶ κολὸν δόρυ, τῆλε δ᾽ ἀπ᾽ αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
γνῶ δ᾽ Αἴας κατὰ θυμὸν ἀμύμονα, ῥίγησέν τε
ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κεῖρε
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην.
χάζετο δ᾽ ἐκ βελέων· τοὶ δ᾽ ἔμβαλον ἀκάματον πῦρ
νηὶ θοῇ· τῆς δ᾽ αἶψα κατ᾽ ἀσβέστη κέχυτο φλόξ.
ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπεν. αὐτὰρ Ἀχιλλεὺς
μηρὼ πληξάμενος Πατροκλῆα προσέειπεν·
Ὄρσεο, Διογενὲς Πατρόκλεις, ἱπποκέλευθε·
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἰωήν·
μὴ δὴ νῆας ἕλωσι, καὶ οὐκέτι φυκτὰ πέλωνται.
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω.
Ὣς φάτο· Πάτροκλος δὲ κορύσσετο νώροπι χαλκῷ.

117. vulg. κολόν. 120. Ϝέργα—vulg. κείρει. 125. προσέϜειπε.
127. δηΐοιο Ϝιωήν. vulg. δηΐοιο ἐρωήν.

114—123. Ajax hastam suam ab Hectore præcisam videns retrocedit; ignis navi injicitur.—115. *παρὰ καυλὸν τοῦ δόρατος*, hastile, qua parte illud ferro insertum est. cf. N. 162.—117. *πῆλ᾽ αὔτως*. nullo cum effectu, inutiliter. Vivide singula reddita mentem in mediam rem ducunt.—119, 120. *ἔργα θεῶν*, pro, *ὃ ἐγένετο πραχθὲν ὑπὸ θεοῦ. ὅτι Ζεὺς ἐπέκειρε τὰ μήδεα μάχης*, Jovem sentit Ajax *consilia pugnæ præcidisse, intercepisse et evertisse:* ut ideo incassum virtutem pugnando exsererent Achivi.—123. *αἶψα φλὸξ ἀσβέστη κατεκέχυτο αὐτῆς*, *per navem flamma cucurrit*, quæ extingui haud facile potest.

124—129. Incendio navis animadverso Achilles, converso animi affectu, Patroclum etiam festinare jubet.—124. *ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπε*. circumdedit, amplexa est flamma navem, involvit: ut inf. Σ. 348. *τὴν γάστρην*.—128. *Vereor ne* navium interitu intercipiatur omnino reditus: *μὴ ἔτι φυκτὸν εἴη. μὴ φεύγειν ἐξείη*. h. e. *ἀνέρχεσθαι*.

130—275. Cum egressus Patrocli ad pugnam res sit magni momenti in hoc car-

στοίχησε τὰ κακά. 115. Καυλόν.] Τὸ ἄκρον τοῦ δόρατος τὸ εἰς τὴν ἐπιδορατίδα ἐμβαλλόμενον. 116. Ἀπάραξεν.] Ἀπέκοψε. 117. Πῆλεν.] Ἐκράδαινεν, ἔσειε. Κολόν.] Κολοβὸν, ἐστερημένον αἰχμῆς. 118. Βόμβησεν.] Ἤχησε, ποιὸν ἦχον ἀπετέλεσε. 120. Μάχης ἐπὶ μήδεα κείρει.] Ἀντὶ τοῦ, τὰ τῶν μαχομένων ἐνθυμήματα ἐλαττοῖ. κατὰ μεταφορὰν τῶν κειρομένων. 123. Αἶψα κατασβέστη κέχυτο.] Ἢ, ταχέως κατασβεννυμένη. ἢ, ἡ δυσκατάσβεστος. παρωνύμῳ χαρακτῆρι. 124. Ἄμφεπε.] Περιεῖπεν, ἐνήργει. 125. Μηρώ.] Μηρούς. δυϊκῶς. Πληξάμενος.] Πλήξας, παίσας, τύψας. 126. Ἱπποκέλευθε.] Ἐφ᾽ ἵππων ποιούμενε τὴν κέλευθον. οἷον, ταχύτατε. ἱππικέ. ἢ οἷον, παραπλησίαν ἵπποις ὁρμὴν ἔχων. 127. Δηΐοιο.] Πολεμικοῦ. Ἐρωήν.] Νῦν, ὁρμὴν, ἀναφορὰν, πνοήν. 128. Καὶ οὐκ ἔτι φυκτὰ πέλωνται.] Ἀντὶ τοῦ, οὐδὲ φυγεῖν δυνή-

κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνε,
ποικίλον, ἀστερόεντα, ποδώκεος Αἰακίδαο·
ἀμφὶ δ' ἄρ' ὤμοισι βάλετο ξίφος ἀργυρόηλον,
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
εἵλετο δ' ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει·
ἔγχος δ' οὐχ ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο,
βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς·
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
ἵππους δ' Αὐτομέδοντα θοῶς ζευγνύμεν ἄνωγε,
τὸν μετ' Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιστα·
πιστότατος δέ οἱ ἔσκε μάχῃ ἔνι μεῖναι ὁμοκλήν.

139. τά Fοι et vulg. δοῦρα. 147. δέ Fοι.

mine: ornatur ille a poeta eximie; primo quidem in armis Achillis Patroclo induendis—144. et quidem non enarrando, quibus armis ille jam indutus sit, sed, more callide et alibi servato, ut commemoret ordine deinceps sigillatim, quæ Achillis arma Patroclus induerit; itaque, id quod ratio ad sensus tenendos facere jubet, motum et actum induendi ante oculos ponit et succedentes sibi res enarrat, ut eo diutius in iis recognoscendis detineamur. Singula per se sæpius jam sunt memorata; primo loco Γ. 328. sq.

134. θώρηκα, ἀστερόεντα accipiam simpliciter fulgentem. Sic Vulcani domus, οἶκος ἀστερόεις Σ. 370.—138. ἵππουριν, δεινὸν δὲ—habet δεινότητα sejunctio hæc epitheti, pro ἵππουριν καὶ ἔχουσαν λόφον, verbo κυνέην εὔλοφον.—140. nobilis hasta Pelias e fraxino in monte Pelio recisa et dono data Peleo pro munere nuptiali a Pallade. Apollod. III. 13, 5. §. 5.—144. φόνον ἔμμεναι ἡρώεσσι, ex antiquo sermone; πρὸς τὸ φονεύειν. 141—144. iterum, et suo loco, leguntur inf. Τ. 388—391. Plinius XVI. s. 24. fraxinus—*multumque Homeri præconio* (an Ν. 178. sq.?) *et Achillis hasta nobilitata.*

145—154. Equi junguntur currui ab Automedonte Achillis auriga.—147. ὁμοκλὴν, ad excipienda Patrocli jussa in curru regendo—Est hic locus 148. sq. et inf. 381. de equis Achillis clarissimus. add. Τ. 400. sq. Xanthus et Balius a colore dicti, (ut Pedasus ἀπὸ τοῦ πηδᾶν) et, propter celeritatem cursus a vento geniti dicti, et hinc imσονται.

134. Ἀστερόεντα.] Ἤτοι, ἀστέρας ἐμπεποικιλμένους ἔχοντα. ἢ, λαμπρόν. 140. Ἔγχος δ' οὐχ ἕλετ' οἶον.] Προκατεσκεύακε, μόνον αὐτὸ τὸ δόρυ σώζεσθαι, διὰ τὸ ξύλα μὴ ἐργάζεσθαι τὸν Ἥφαιστον. Κατὰ τὸν Πηλέως καὶ Θέτιδος γάμον οἱ θεοὶ συναχθέντες εἰς τὸ Πήλιον ἐπ' εὐωχίᾳ, ἐκόμιζον Πηλεῖ δῶρα. Χείρων δὲ μελίαν εὐθαλῆ τεμὼν εἰς δόρυ παρέσχε. Φασὶ δὲ, Ἀθηνᾶν μὲν ξέσαι αὐτὸ, Ἥφαιστον δὲ κατασκευάσαι. Τούτῳ δὲ τῷ δόρατι καὶ Πηλεὺς ἐν ταῖς μάχαις ἠρίστευε, καὶ μετὰ ταῦτα Ἀχιλλεύς. Ἡ ἱστορία παρὰ τῷ τὰ Κύπρια πεποιηκότι. 142. Ἐπίστατο.] Νῦν ἀντὶ τοῦ, ἠδύνατο. Πῆλαι.] Κραδᾶναι, σεῖσαι. 143. Πηλιάδα μελίην.] Τὴν ἐκ Πηλίου ὄρους Θεσσαλικοῦ τμηθεῖσαν. Μελία δὲ, εἶδος δένδρου. 146. Ῥηξήνορα.] Ἀνδρεῖον. 147. Ὁ-

τῷδε καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην·
τοὺς ἔτεκε Ζεφύρῳ, ἀνέμῳ Ἅρπυια Ποδάργη,
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.
ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει,
τόν ῥά ποτ᾽ Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ᾽ Ἀχιλλεύς·
ὃς καὶ θνητὸς ἐὼν, ἕπεθ᾽ ἵπποις ἀθανάτοισι.
Μυρμιδόνας δ᾽ ἄρ᾽ ἐποιχόμενος θώρηξεν Ἀχιλλεὺς
πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν· οἱ δὲ, λύκοι ὣς
ὠμοφάγοι, τοῖσί τε πέρι φρεσὶν ἄσπετος ἀλκὴ,
οἵ τ᾽ ἔλαφον κεραὸν μέγαν οὔρεσι δῃώσαντες
δάπτουσι· πᾶσι δὲ παρήϊον αἵματι φοινόν·
καί τ᾽ ἀγεληδὸν ἴασιν, ἀπὸ κρήνης μελανύδρου

156. Bentl. λύκοι Ϝώς.

mortales; nam quicquid a mortalibus haud proficiscitur, θεῖον esse credere licebat.—149. ἅμα πνοιῇσι, ut ventum æquarent celeritate. cf. ad M. 207.—151. Tribuitur Achillis equis ortus mythicus; ab Harpyiarum una Podarge prognati sunt compressa a Zephyro, inter pascendum apud Oceanum. Hæc sunt Homerica. Rationes et caussæ mythi, et variationes ejus apud alios poetas et mythicos scriptores, ad poetam haud pertinent. In Od. Υ. 77. species earum et mythus est diversus; propior ille originibus suis, cum procellæ et turbines per Harpyias declararentur: conveniunt ἠΰκομοι Harpyiæ Theogoniæ 267. Verum de his v. dicta ad Virgil. Æn. III. Exc. VII. Quod ad Achillis equos attinet, eos a Neptuno Peleus acceperat inf. 381. Ψ. 277. Apollod. III. 13, 5. §. 5. post Achillis mortem Neoptolemo obtigerunt, cum quo in Elysium abierunt: Quintus III. 740—762. παρὰ ῥόον Ὠκεανοῦ. pro simplici, ad Oceanum ῥέοντα: ut Γ. 5. Σ. 240. et ῥέεθρα Ὠκεανοῦ. Ξ. 245.—152. ἐνίει, ἐνέβαλεν, ἐνετίθει, ἐνέδησεν, ταῖς παρηορίαις, sc. σειραῖς, quibus adjungebatur equus, non ad trahendum currum, sed ut in promtu esset, quoties opus esset ut succederet in locum equi jugalis qui forte vulneratus esset.—153. Thebe capta v. sup. A. 366. sq. in prædæ parte acceperat Pedasum equum Achilles.

155—167. Myrmidonas armare se et ad pugnam procedere jubet Achilles. Locus splendidus! etiam comparatione cum lupis gregatim incedentibus, fera laniata, ad sitim fonte restinguendam; spectat tamen comparatio tantum ad duces Myrmidonum et ad τὸ εἰς τὴν μάχην πρόθυμον et concursum plurium. Fatendum, de nimia copia ornamentorum moneri forte posse; saltem interpositis in medio: ἐν δέ τε θυμὸς στήθεσιν ἄτρομός ἐστι.

157. ἀλκὴ πέρι, περισσῶς. περίεστιν ἐν φρεσὶ ut P. 22. Ω. 61.—159. παρήϊον αἵματι φοι-

μοκλήν.] Ἀπειλήν. 148. Ὕπαγε ζυγόν.] Ἀντὶ τοῦ, ὑπὸ τὸν ζυγὸν ἦγεν. 150. Ἅρπυια.] Ἅρπυιαι, ἤτοι ἀνέμου εἶδος, παρὰ τὸ ἁρπάζειν· ἢ δαίμονες ἁρπακτικαὶ, ὧν τὰ ὀνόματα, Ἀελλὼ, Ὠκυπέτη, Ποδάργη. Τινὲς δέ φασιν, Ἅρπυια Ποδάργη, ἵν᾽ ᾖ ὄνομα φορβάδος λευκοὺς πόδας ἐχούσης. 152. Παρηορίῃσι.] Ταῖς ἔξω τοῦ ζυγοῦ ἡνίαις. Πήδασον.] Ὄνομα κύριον ἵππου. 153. Ἠετίωνος πόλιν.] Θήβας τὰς Ὑποπλακίους λέγει. Ἤγαγεν.] Ἀντὶ τοῦ, ἐκόμισε. Φέρεται γὰρ ὡς αὐτοκίνητον τὸ ἔμψυχον· κομίζεται δὲ τὸ ἄψυχον. 158. Δῃώσαντες.] Διακόψαντες, σπαράξαντες. 159. Δάπτουσι.] Σαρκοφαγοῦσι. Παρήϊον.] Ἀντὶ τοῦ, παρειαὶ, αἱ σιαγόνες. Αἵματι φοινόν.] Πεφοινιγμένον ὑπὸ αἵματος, οἷον πυῤῥόν. 160. Ἀγεληδόν.] Κατὰ ἀγέλας. Ἔστι δὲ ἐπίῤῥημα παραβολῆς δη-

λάψοντες γλώσσῃσιν ἀραιῇσι μέλαν ὕδωρ
ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμὸς
στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
τοῖοι Μυρμιδόνων ἡγήτορες, ἠδὲ μέδοντες,
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο
ῥώοντ'· ἐν δ' ἄρα τοῖσιν Ἀρήϊος ἵστατ' Ἀχιλλεύς,
ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
Πεντήκοντ' ἦσαν νῆες θοαὶ, ᾗσιν Ἀχιλλεὺς
ἐς Τροίην ἡγεῖτο Διῒ φίλος· ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῗσιν ἑταῖροι·
πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο, τοῖς ἐπεποίθει,
σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσε.
τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,
υἱὸς Σπερχειοῖο, διϊπετέος ποταμοῖο·
τὸν τέκε Πηλῆος θυγάτηρ, καλὴ Πολυδώρη,

161. γλώσσῃσι Ϝαραιῇσι. 162. vulg. ἐν δέ γε. 169. ἐν δὲ Ϝεκάστῃ. 172. ἐϜάνασσε.

νόν. *rubet sanguine mala, rictus.*—161—3. Vivida descriptio bibentium luporum: ἐρευγόμενοι φόνον αἵματος ruborem sanguinis, h. e. *rubicundum sanguinem eructantes.* omnia, etiam 163. ad ingluviem luporum referenda sunt. Jungenda sunt λάψοντες ὕδωρ ἀπὸ κρήνης. γλῶσσαι ἀραιαὶ sunt λεπταί.

168—197. Recensus copiarum a Patroclo educendarum et ducum: numero bis mille et quingentorum virorum.—Quinquaginta in unaquaque navi erant; at in Bœotorum navibus centum et viginti: inter hos numeros errant, qui Achivorum copias ad computum revocant. v. ad Β. 494. ἐπὶ κληῗσιν ad transtra, τὰ ζυγά. proprie sunt in latere navis κλεῖδες foramina, per quæ remi in mare demissi aguntur ab iis qui in transtris sedent. Remigarunt autem ipsi milites.

173—199. Ducum quinque, præerant singuli quingentorum virorum turmæ, notitia subjicitur cum notionibus genealogicis heroicarum ætatum. *Menesthius Eudorus* 179. *Pisander* 193. *Phœnix* et *Alcimedon*, 196, 7.

173. Menesthius, Sperchio, Thessaliæ fluvio, natus e Polydora, Pelei filia, Achillis sorore, quæ, Boro nupta, a Sperchio tamen compressa fuerat. Apollod. III. 12, 1. αἰολοθώρηξ pro αἰόλος, *agilis*, simpl. sed nunc cum adjuncto, quod corporis cum motu movet ille thoracem: ut jam Δ. 489.—διϊπετέος ποταμοῖο, epitheton ornans fluminum, quatenus imbribus increscunt aquæ. hoc tamen loco minus bene accommodatum, cum

λωτικόν. Ἴασιν.] Ἀπίασι, πορεύονται. 161. Λάψοντες.] Πιόμενοι, ἀναῤῥοφήσοντες. Πεποίηται δὲ ἡ λέξις ἀπὸ τῆς τῶν κυνῶν γλώττης, ὅτ' ἂν πίνωσι. Καὶ ἐστὶν ὀνοματοποιΐα, ὁ τρόπος. Ἀραιῇσι.] Λεπταῖς. 162. Ἄκρον ἐρευγόμενοι φόνον αἵματος.] Ἀπὸ ἄκρου τοῦ στόματος ἐρευγόμενοι τὴν ποιότητα τοῦ αἵματος. 163. Περιστένεται.] Περιστενοχωρεῖται, περισσῶς στενοῦται. 166. Ῥώοντο.] Σπουδαίως ὥρμων. 167. Ἀσπιδιώτας.] Ὁπλίτας, μαχητάς. 170. Κληῖσι.] Καθέδραις. 173. Ἰῆς στιχός.] Μιᾶς τάξεως. Αἰολοθώρηξ.] Ποικίλον θώρακα ἔχων. 174. Σπερχειοῖο.] Σπερχειὸς, ποταμὸς Θεσσαλίας. Διϊπετέος.] Ἤτοι, ὑπὸ Διὸς πεπτωκότος. διὰ τὸ ὑπὸ τῶν ὀμβρίων ὑδάτων πληροῦσθαι τοὺς χειμάῤῥους. ἢ, διαφανοῦς. 175. Τὸν τέκε Πηλῆος θυγάτηρ καλὴ Πολυδώρη.] Ἐκ τίνος Πηλεὺς Πολυδώρην ἔσχεν; ὡς μὲν Στάφυλος ἐν γ Θεσσαλικῶν, ἐξ Εὐρυδίκης τῆς Ἄκτορος θυγατρός. Φερεκύδης δὲ, ἐξ Ἀντιγόνης τῆς Εὐρυτίωνος. Ἄλλοι δὲ, ἐκ

Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα·
αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἱϊ,
ὅς ῥ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ἕδνα.
τῆς δ' ἑτέρης Εὔδωρος Ἀρήϊος ἡγεμόνευε,
παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς Ἀργειφόντης
ἠράσατ', ὀφθαλμοῖσιν ἰδὼν, μετὰ μελπομένῃσιν
ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου, κελαδεινῆς.
αὐτίκα δ', εἰς ὑπερῷ' ἀναβὰς, παρελέξατο λάθρῃ
Ἑρμείας Ἀκάκητα· πόρεν δέ οἱ ἀγλαὸν υἱὸν
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν, ἠδὲ μαχητήν.
αὐτὰρ ἐπειδὴ τόν γε μογοστόκος Εἰλείθυια
ἐξάγαγε πρὸ φόωσδε, καὶ ἠελίου ἴδεν αὐγὰς,
τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο

178. ἀπερείσια Fέδνα. 182. ὀφθαλμοῖσι Fιδών. 185. δέ Fοι. 188. Fίδε.

Deo Fluvio tribuatur: cujus moris exempla jam plura vidimus.—177. (κατ') ἐπίκλησιν Βώρῳ. ut haberetur et nominaretur Menesthius Bori filius.

179—193. Eudorus Polymelæ filius: quæ e Phylante nata erat. Hæc in choro Dianæ ducto a Mercurio conspecta mox in thalamo compressa puerum ediderat, quem avus Phylas educavit; cum mater nupsisset Echecli Actoris filio.—παρθένιος a virgine non nupta natus. χορῷ καλὴ, καλὴ ἐν τῷ χορεύειν, καλλίχορος.—μετὰ μελπομένῃσι. proprium pro saltare et canere. v. ad Η. 240. Diana χρυσηλάκατος, χρυσότοξος, et κελαδεινὴ ἀπὸ τοῦ κελάδου τῶν θηρευόντων. *Diana venatrix.*—184. εἰς ὑπερῷ' ἀναβὰς in superiore ædium parte erant tum feminarum thalami; domum itaque reducem puellam sequutus compressit Mercurius in gynæceo. At Β. 514. Astyoche a Marte compressa se in thalamum receperat, ibique peperit.—185. Ἑρμείας Ἀκάκητα a monte Arcadiæ Acaco et Acacesio.—187. μογοστόκος Εἰλείθυια quæ laborat circa partum, obstetriciam operam præstat: jam Λ. 270—ἐπειδὴ τόν γε προεξήγαγεν (εἰς) φῶς, (cf. Τ. 118.) καὶ (ἐπειδὴ αὐτὸς, ὁ Εὔδωρος) ἠελίου ἴδεν αὐγάς.

Λαοδαμείας τῆς Ἀλκμαίωνος. 177. Αὐτὰρ ἐπίκλησιν Βώρῳ.] Κατ' ἐπίκλησιν δὲ, καὶ φήμην, Βώρῳ. 178. Ἀναφανδόν.] Φανερῶς. Ὄπυε.] Κατὰ νόμον συνῴκει, ἐγεγαμήκει. Πορών.] Παρασχών. 180. Παρθένιος.] Ὁ ἐκ νομιζομένης παρθένου γεννηθεὶς, φθαρείσης λαθραίως. Χορῷ καλή.] Ἐν τῷ χορεύειν καλλίστη. 181. Κρατύς.] Κρατερὸς, ἰσχυρός. Ἀργειφόντης.] Ὁ Ἑρμῆς. ἁγνὸς καὶ ἀργὸς καὶ καθαρὸς φόνου· εἰρηνικὸς γὰρ ὁ θεός. 182. Μελπομένῃσιν.] Ἀιδούσαις, χορευούσαις. 183. Χρυσηλακάτου.] Καλλιτόξου, ἢ, χρυσῷ τῷ βέλει χρωμένης. Ἠλακάτην γὰρ καλοῦσι τὸ βέλος, καὶ τὸ γυναικεῖον ἐργαλεῖον, ἐξ οὗ τὸ νῆμα ἕλκουσιν. Ὡς ἐκεῖ ὁ Ποιητής· Ἠλακάτη τετάνυστο ἰοδνεφὲς εἶρος ἔχουσα. Καὶ τὸ ὑποϊστίον, ὅταν λέγῃ· Καδδ' αὐτοῦ λίνα χεῦον ἐπ' ἠλάκατα τανύσαντες. Κελαδεινῆς.] Κυνηγετικῆς. Παρὰ τὸν γιγνόμενον ἐν τοῖς κυνηγίοις κέλαδον, ὅ ἐστι, θόρυβον. ὥς που καὶ ἐν θήρᾳ τοῦ Καλυδωνίου συός· Ἡ δ' ἀμφ' αὐτῷ θῆκε πολὺν κέλαδον καὶ ἀϋτήν. 185. Ἑρμείας ἀκάκητα.] Ὁ μὴ δυνάμενος κακωθῆναι ὑπὸ ἑτέρου· μήτε δὲ κακῶσαι ἄλλον. διὰ τὴν οἰκείαν ἀρετήν. ὅθεν καὶ δοτὴρ ἑάων, ὅ ἐστιν, ἀγαθῶν. 187. Μογοστόκος.] Μογοῦσα καὶ πονουμένη περὶ τοὺς τόκους. οἷον λοχεύτρια. 188. Προφόωσδε.] Εἰς τὸ φῶς, καὶ εἰς τὸ φανερόν. Περισσεύει δὲ ἡ πρὸ πρόθεσις. 189. Ἐχεκλῆος κρατερὸν μένος.] Ἐχε-

ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἕδνα·
τὸν δ' ὁ γέρων Φύλας εὖ ἔτρεφεν, ἠδ' ἀτίταλλεν,
ἀμφαγαπαζόμενος, ὡσεὶ θ' ἑὸν υἱὸν ἐόντα.
τῆς δὲ τρίτης Πείσανδρος Ἀρήϊος ἡγεμόνευε,
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν,
ἔγχεϊ μάρνασθαι, μετὰ Πηλείωνος ἑταῖρον.
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ.
πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
αὐτὰρ ἐπειδὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
στῆσεν εὖ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
Μυρμιδόνες, μήτις μοι ἀπειλάων λελαθέσθω,
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι,
πάνθ' ὑπὸ μηνιθμὸν, καί μ' ᾐτιάασθε ἕκαστος·
σχέτλιε, Πηλέος υἱὲ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ·
νηλεὲς, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους.
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
αὖτις· ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.
ταῦτά μ' ἀγειρόμενοι θαμὰ βάζετε. νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
ἔνθα τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·

190. μυρία Fέδνα. 191. Leg. τὸν δὲ γέρων. 192. ὡσεί τε Fόν. 202. ᾐτιάασθε Fέκαστος. 204. ἀFέκοντας. 205. Fοίκαδε. 207. vulg. θάμ' ἐβάζετε. 208. μέγα Fέργον. 210. Fειπὼν,—μένος θυμόν τε Fεκάστου.

193—195. *Pisander*, tertiam turmam ducebat, Mæmali filius, excellens pugna stataria. Idem ἀρήϊος simpliciter fortis, ut et vs. 179. Eudorus erat dictus. Alcimedon 197. iterum memoratus P. 467.

198—209. Achilles hortatur Myrmidones in pugnam egressuros ad fortiter pugnandum.

202. πάνθ' ὑπὸ μηνιθμὸν, per totum tempus, quo in ira perstiti et ab armis destiti. Erat autem dies octavus, a quo Achilles discessum ab Achivis fecerat.—203. χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ. Vides antiquum morem loquendi symbolicum, hominum mores animi a caussis physicis ducentium; bile nutritus aliquis dicitur, pro iracundo; ut sermone serius expolito, biliosus. Eustathius comparat e Bucolico laudatum: ἦ ῥα λεαίνας μασδὸν ἐθήλαξε. (Idyll. III. 16.) Nota sunt e Virgilio Æn. IV. 367. sq. *Nec tibi diva parens.*

210—220. Incessus Myrmidonum ordinibus densis. In hoc jam apparent ve-

κλῆς, Ἄκτορος παῖς. 191. Ἀτίταλλε.] Μετ' ἐπιμελείας ἔτρεφε. 192. Ἀμφαγαπαζόμενος.] Φιλοφρονούμενος, ἀγαπῶν. 199. Κρίνας.] Διατάξας. 202. Πάνθ' ὑπὸ μηνιθμόν.] Ὑπὸ πάντα τὸν τῆς ὀργῆς χρόνον. 203. Χόλῳ.] Νῦν ἀντὶ τοῦ, χολῇ. 207. Θάμ' ἐβάζετε.] Συνεχῶς ἐλέγετε. 208. Φυλόπιδος.] Τῆς κατὰ πλήθη μάχης. Ἕης.] Ἧς, ἧστινος. Ἐράασθε.] Ἐρᾶσθε, ἐπιθυμεῖτε.

μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι·
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσοντο,
Πατροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,
πρόσθεν Μυρμιδόνων πολεμιζέμεν. Αὐτὰρ Ἀχιλλεὺς
βῆ ῥ' ἴμεν ἐς κλισίην· χηλοῦ δ' ἄπο πῶμ' ἀνέῳγε
καλῆς, δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, ἐῢ πλήσασα χιτώνων,
χλαινάων τ' ἀνεμοσκεπέων, οὔλων τε ταπήτων·
ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτοῦ αἴθοπα οἶνον,
οὔτε τέῳ σπένδεσκε θεῶν, ὅτε μὴ Διῒ πατρί.
τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
πρῶτον, ἔπειτα δὲ νίψ' ὕδατος καλῇσι ῥοῇσι·

221. vulg. χηλοῦ δ' ἀπό. 222. τήν Fοι. 223. vulg. εὐπλήσασα una voce. 225. δέ Fοι. 226. αἴθοπα Fοῖνον.

stigia melioris tacticæ Achilli notæ, qua ille, etsi Nestoris ea laus fuit præcipua, inter ceteros Achivos non minus, quam virtute, eminere debuit.—211. στίχες ἤρθησαν, ἡρμόσθησαν, ὡς ὁ τέκτων ἀράρῃ τοῖχον, (proprie jungit τοὺς λίθους, e quibus paries fit) ὣς ἄραρον κόρυθες· sic jungebant se, seu junctæ erant galeæ, h. e. attingebant se invicem propter densos ordines. Ergo ἀράρω modo active modo actione immanente dictum. Notionem mox variata voce reddit, per ἐρείδειν et ψαύειν.—216. κόρυθες ἔψαυον κορύθας.

220—256. Achilles poculo e penu depromto libatione facta preces facit Jovi pro fausto egressu Myrmidonum et Patrocli.

221. Observa, qua arte instituta sit narratio per enumerationem ad conciliandam dignitatem et religiosam augustamque cærimoniam, libationi faciendæ, ex ipsa quoque poculi dignitate.—223. θῆκ' ἐπὶ νηὸς ἄγεσθαι pro ἔδωκεν, ὥστε ἄγεσθαι, ἐπὶ νηός. alioqui dici solet ἐπιτιθέναι νηΐ· εὖ πλήσασα τὸν χηλὸν χιτώνων.—224. οὔλων τε ταπήτων. Vestem stragulam τάπητα, jam vidimus K. 156. οὖλον ἐπὶ τοῦ μαλακοῦ dictum esse docent veteres; proprie est crispus, hinc hirtus, δασύς.—225. δέπας τετυγμένον, pro εὖ τετυγμένον, εὔτυκτον.—228. Tota libandi h. l. tenenda est ratio, ad morem religiosum observan-

211. Ἄρθεν.] Ἡρμόσθησαν, ἐπυκνώθησαν ἐξιόντες. 212. Ἀράρῃ.] Ἁρμόσῃ. 214. Ἄραρον.] Ἥρμοσαν. 216. Ψαῦον.] Ἔψαυον, ἥπτοντο. Ἱππόκομοι.] Ἱππείαις θριξὶ τὸν λόφον κομῶσαι. Λαμπροῖσι φάλοισι.] Τοῖς τῆς περικεφαλαίας ἥλοις. οἵτινες ἀσπιδισκίοις παραπλήσιοί εἰσι. 221. Χηλοῦ.] Κιβωτοῦ. Ἀνέῳγεν.] Ἀνέῳξεν. 224. Ἀνεμοσκεπέων.] Σκέπην τινὰ ποιούντων διὰ τὸν ἄνεμον. Οὔλων τε ταπήτων.] Τῶν δασέων, καὶ ἐχόντων οὐλότητα. 225. Ἔσκεν.] Ἦν, ἔκειτο. 227. Οὔτε τῳ.] Οὔτε τινὶ ἄλλῳ. 228. Τόρ ῥα.] Τοῦτο δή. Θεείῳ.]

νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον·
εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών· Δία δ' οὐ λάθε τερπικέραυνον·
  Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικὲ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ
σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες, χαμαιεῦναι.

230. αἴθοπα Ϝοῖνον. 231. δὲ Ϝοῖνον. 233. Ϝάνα.

dum.—231. *μέσῳ ἕρκει.* Erat ante tentorium, seu tectum, Achillis, tanquam in domo aliqua, aula, in qua Jovis Hercei ara erat, ut in aliis ædibus. v. Od. X. 334, 5. cf. ad Virgil. Æn. II. 512. Exc. XI.

233. *Ζεῦ ἄνα, Δωδωναῖε.* Achilles invocat Jovem nominibus, quæ communia erant ceteris Pelasgis, e quorum medio erant quoque Myrmidones, etsi Achivi iis admixti principatum tenebant. cf. dicta ad Β. 684. Pelasgorum stirps aliqua, antiquiore ætate, forte e Thessalia profecta, Dodonam condiderat; non mirum itaque Pelasgicam religionem eo fuisse deductam. Antiquissimum Pelasgorum numen fuit Jupiter; condito autem oraculo præcipua Jovis religio fuit Dodonæi. ergo Jupiter Dodonæus et Pelasgicus, non minus Achilli domesticum esse debuit numen, quod ab eo nunc invocari potuit. Ita facile compones tradita et disputata inter veteres. *τηλόθι ναίων*, respectu Dodonæ a Troade magno intervallo remotæ et dissitæ.—234. *Δωδώνης δυσχειμέρου.* gelidum fuisse tractum quis miretur, cum silvosa et montana sit regio; propter id ipsum etiamnum agrorum et hominum cultu destituta, incolarum feritate et barbarie infamis. *ἀμφὶ δὲ Σελλοί.* Selli, qui et Helli, Pelasgicus populus, seu tribus aliqua, quam nos dicimus, inter varios populos istum tractum habitantes, in quibus fuere quoque Γραικοί. Hi Selli curam habuere sacri; ex iisdem erant *ὑποφῆται*, qui responsa a deo edita enuntiabant, inter ceteros templi antistites facile principes. Iidem sanctitatem sacro constituerant affectando cultum corporis horri-

Θείῳ. 231. Μέσῳ ἕρκεϊ.] Μέσῃ τῇ σκηνῇ. Λεῖβεν.] Ἔσταζεν, ἔσπενδε. 233. Ζεῦ ἄνα Δωδωναῖε.] Ἐν χωρίῳ τῶν Ὑπερβορέων τῇ Δωδώνῃ τιμώμενε. Τίς δέ ἐστιν ὁ τοῦ Δωδωναίου Διὸς λόγος, καὶ ὁ τόπος, ἐξ οὗ αὐτὸν ἐπικαλεῖται οὕτως; Δευκαλίων, μετὰ τὸν ἐπ' αὐτοῦ γενόμενον κατακλισμὸν, παραγενόμενος εἰς τὴν Ἤπειρον ἐμαντεύετο ἐν τῇ δρυΐ. Πελειάδος δὲ χρησμὸν αὐτῷ δούσης, κατοικίζει τὸν τόπον, συναθροίσας τοὺς περιλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ ἀπὸ τοῦ Διὸς, καὶ Δωδώνης, μιᾶς τῶν Ὠκεανίδων, Δωδώνην τὴν χώραν προσηγόρευσαν. Ἱστορεῖ Θρασίβουλος. Πελασγικέ.] Θεσσαλικέ. Πελασγία γὰρ πρότερον ἡ Θεσσαλία ἐκαλεῖτο. ἐξ οὗ καὶ Πελασγὸς, ὡς ὑπὸ Πελασγῶν τιμώμενος, ἐπεὶ Πελασγοὶ κατῴκησαν τὴν Δωδώνην, ἐκβληθέντες ἀπὸ Βοιωτίας παρὰ Αἰολέων ἐξ Ἄρνης τῆς Φθιώτιδος. Ἡ μέν τοι πόλις, Πελασγία. 234. Μεδέων.] Βασιλεύων. Δυσχειμέρου.] Τῆς κακὸν χειμῶνα ἐχούσης. Σελλοί.] Ἔθνος Ἠπειρωτικὸν τῆς Θεσπρωτίας, κληθὲν ἀπὸ τοῦ παραῤῥέοντος ποταμοῦ Σελλήεντος. Πίνδαρος δὲ Ἑλλοὺς αὐτοὺς κληθῆναι φησὶ, χωρὶς τοῦ πρώτου σ, ἀπὸ Ἑλλοῦ τοῦ Δρυτόμου, ὥς φασι, πρώτου καταδείξαντος τὸ μαντεῖον. 235. Ὑποφῆται.] Ὑπομάντεις, ἱερεῖς. Ὅ ἐστι, χρησμῳδοὶ, θεολόγοι, προφῆται. Ὑποφήτας γὰρ λέγουσι, τοὺς περὶ τὰ χρηστήρια ἀσχολουμένους, καὶ τὰς μαντείας τὰς γιγνομένας ὑπὸ τῶν ἱερέων ἐκφέροντας. Ἀνιπτόποδες, χαμαιεῦναι.] Ἤτοι, βάρβαροι, σκληρῶς τε καὶ νομαδικῶς ζῶντες, ταύτην ἔχοντες δίαιταν, ὡς μὴ δὲ ἀπονίζεσθαι τοὺς πόδας, διὰ τὸ μὴ παραδέχεσθαι τὴν ἐκ τοῦ πρώτου βίου μεταβολήν. Ἢ τοῦτο ἔκ τινος ἔθους ἐπὶ τιμῇ τοῦ θεοῦ ποιοῦντες. Ἔνιοι γὰρ καὶ λουτρῶν ἀπέχονται, καὶ τῆς τοιαύτης ἐπιμελείας. Τινὲς δὲ αὐτοὺς διὰ τοῦτο λέγουσιν ἀνιπτόποδας, ὅτι οὐκ ἐξίασιν ἔξω τοῦ ἱεροῦ. διὸ οὔτε ἀπολούεσθαι ἀνάγκην ἔχουσιν.

ἦ μὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο·
τίμησας μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
ἀλλ' ἕταρον πέμπω, πολέσι μετὰ Μυρμιδόνεσσι,
μάρνασθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ·
θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσὶν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται, ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν
ἡμέτερος θεράπων, ἤ οἱ τότε χεῖρες ἄαπτοι
μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος.
αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο,
τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
τῷ δ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε·
νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε
δῶκε, σόον δ' ἀνένευσε μάχης ἐξ ἀπονέεσθαι.
ἤτοι ὁ μὲν, σπείσας τε, καὶ εὐξάμενος Διῒ πατρὶ,

236. ἐμὸν Fέπος. 238. ἐFέλδωρ. 242. δέ Fοι.
243. Fείσεται. 244. ἤ Fοι. 251. μέν Fοι.

dum, pedibus illotis incedentes, et humi strati.—236. ἦ μὲν δή ποτε—ἠδ' ἔτι καὶ νῦν. pro εἰ μὲν δή ποτε—ἦτε καὶ νῦν. supra Ξ. 234. erat scriptum εἰ μὲν δή ποτε—ἠδ' ἔτι καὶ νῦν. At A. 453. ἤδη μέν ποτε—ἠδ' ἔτι καὶ νῦν. H. 301. ἦ μὲν, ἠδ' αὖτε. si unquam audivisti preces meas—exaudi me nunc.—238. τόδ' ἐέλδωρ. sequitur illud vs. 241. τῷ κῦδος ἅμα πρόες.—239. νηῶν ἐν ἀγῶνι de loco classis, ideoque, in castris.—242. *Obfirma ejus animum:* virtute instrue: *ut Hector intelligat, num Patroclus, vel sine me, eum pugnantem sustineat,* (*et*) *an animose satis mecum congredi ausurus sit, quando ego ipse in pugnam processero.*—243. εἴσεται, ἤ ῥα ἐπίστηται et ἤ μαίνονται. *intelliget, num—an.* Θ. 111. εἴσεται, εἰ μαίνεται. Substituendum esse εἰ haud dubito; εἰ ἤ—ἤ. Sic enim jungitur. At εἰ cum conjunctivo, mirabere? Etiam Θ. 532. εἴσομαι, εἴ κέ μ' ἀπώσεται, ἤ κεν ἐγὼ φέρωμαι. Od X. 7. εἴσομαι, αἴ κε τύχοιμι, πόρῃ δέ μοι εὖχος Ἀθήνη. Hic tamen πόρῃ facile substituas, et antea φεροίμην. inf. 436—9. et 648—651. possit ἦν substitui.—244, 5. χεῖρες μαίνονται. de futuro. proprie μαίνεται ipse pugnator, tum ejus *hasta,* (ut Θ. 111. et sup. Π. 75.) tandem et *manus,* summo cum impetu vibrantes hastam et immittentes in hostem.

249—252. Occupat eventum poeta, narrando, precum tantum partem exauditum iri. Versus sunt notissimi.

253—274. Reposito in penu poculo Achilles exeuntes Myrmidones prospicit: quod

Ἄνδρων δὲ ἐν ἱστορίαις φησὶν, οὕτω κληθῆναι, ἐπεὶ φιλοπόλεμοι ὄντες, οὕτως ἑαυτοὺς ἐσκληραγώγουν. Ἀλέξανδρος δέ φησιν ὁ Πλευρώνιος, ἔθνος εἶναι τοὺς Ἑλλοὺς ἀπόγονον Τυῤῥηνῶν, καὶ διὰ πατρῷον ἔθος, οὕτω τὸν Δία θρησκεύειν. Χαμαιεῦναι.] Οἱ ἐπὶ τοῦ ἐδάφους κοιμώμενοι.

239. Νηῶν ἐν ἀγῶνι.] Ἐν τῷ ἀθροίσματι τῶν νηῶν. ἐν τῷ ναυστάθμῳ. 243. Ἐπίστηται.] Ἐπίσταται. 245. Μῶλον.] Τὴν μάχην ἀπὸ τοῦ παρεπομένου. 246. Ἀπὸ ναῦφι.] Ἀπὸ τῶν νηῶν. 247. Ἀσκηθής.] Ἀβλαβὴς, ὑγιής. 248. Ἀγχεμάχοις.] Συστάδην

ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῷ.
στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης, ἔτι δ' ἤθελε θυμῷ
εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.
Οἱ δ' ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί' ἔχοντας,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
τοὺς δ' εἴπερ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
κινήσῃ ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες
πρόσσω πᾶς πέτεται, καὶ ἀμύνει οἷσι τέκεσσι.
τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες
ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλῆος,
ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες·
γνῷ δὲ καὶ Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων

256. ἐσϝιδέειν. 259. σφήκεσσι ϝεϝοικότες.
260. ἐριθμαίνωσι ϝέθοντες. vulg. ἐριδμαίνουσι. 261. ἔπι ϝοικί'.
264. ἀϝέκων. vulg. κινήσει. 265. ϝοῖσι.

præclaro cum judicio adjicitur, nam animo gestiebat Achilles cum iisdem et ipse exire. Illi spirant iram et pugnandi ardorem; Patroclus eos hortatur.

259—265. Comparatio Myrmidonum cum vespis in eo continetur, quod multitudo magna ira et exasperatis animis effundit se. vss. 263, 4, 5. ornant tantum.

260. *οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες frequenter accedentes lacessunt.* ἔθειν jam. I. 536. vidimus.—261. cf. M. 167, 8.—262. ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι. quæri potest de subjecto. si τιθεῖσιν scil. οἱ σφῆκες, vespæ multis promiscue mala inferunt, sive pueris, sive etiam aliis prætereuntibus, non modo pueris petulantibus. Sin subjectum sunt ipsi pueri, ii malum creant multis promiscue prætereuntibus, quos vespæ a pueris irritatæ appetunt. seqq. 264. non ad pueros nunc referam, sed omnino vesparum naturam declarant; δε est pro γάρ· nam si quis viator imprudens eos lacessierit, etc.

268—274. Patrocli hortatus.—273. γνῷ δὲ καὶ Ἀτρείδης—ἣν ἄτην, et stultitiam et injuriam. οὐδὲν ἔτισεν. ὕβρισεν. v. sup. A. 412.

μαχομένοις. πολεμικοῖς. 259. Σφήκεσσιν ἐοικότες.] Σφηξὶν ὅμοιοι. διὰ τὸ θερμὸν αὐτῶν καὶ πληκτικόν. Ἐξεχέοντο.] Ἀθρόως ἐξῄεσαν. 260. Εἰνοδίοις.] Τοῖς ἐν τῇ ὁδῷ οἰκοῦσιν, ὅ ἐστι, φωλεύουσι· τοῖς τὴν σφηκίαν ἔχουσι παρὰ τὴν ὁδόν. Ἐριδμαίνωσιν.] Ἐρεθίζωσιν. Ἔθοντες.] Συνεχῶς ἐξ ἔθους παραγιγνόμενοι, καὶ βλάπτοντες. 261. Κερτομέοντες.] Ἐρεθίζοντες. 262. Νηπίαχοι.] Νήπιοι, ἄφρονες. 263. Παρά τίς τε κιών.] Τὸ ἑξῆς, παριών τίς. Ὁδίτης.] Ὁδοιπόρος. 264. Οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες.] Ἀκόλουθον ἦν εἰρηκέναι, τῶν δὲ ἄλκιμον.

ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
ἐν δὲ πέσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν, ἀϋσάντων ὑπ' Ἀχαιῶν.
Τρῶες δ', ὡς εἴδοντο Μενοιτίου ἄλκιμον υἱὸν,
αὐτὸν, καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
πᾶσιν ὀρίνθη θυμὸς, ἐκίνηθεν δὲ φάλαγγες,
ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
μηνιθμὸν μὲν ἀποῤῥίψαι, φιλότητα δ' ἑλέσθαι·
πάπτηνεν δὲ ἕκαστος, ὅπη φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ
ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
νηῒ παρὰ πρύμνῃ μεγαθύμου Πρωτεσιλάου·
καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς
ἤγαγεν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
κάππεσεν οἰμώξας· ἕταροι δέ μιν ἀμφὶ φόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν,
ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
ἐκ νηῶν δ' ἔλασε, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δὲ φόβηθεν
Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο
νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.

275. Ϝειπὼν,—μένος θυμόν τε Ϝεκάστου. 276. vulg. ἐν δ' ἔπεσον.
278. Ϝείδοντο. 281. Ϝελπόμενοι. 283. δὲ Ϝέκαστος.
290. vulg. ἀμφεφόβηθεν. 294. vulg. τοὶ δ' ἐφόβηθεν.

275—283. Irruunt Myrmidones subvenientes Achivis: Trojani putantes Achillem cum iis adesse fugam circumspiciunt.—277. ὑπ' Ἀχαιῶν sunt ipsi Myrmidones. quod patet vel ex B. 684.—280. ἐκίνηθεν turbati sunt ordines. ἐλπόμενοι simpl. *putantes*. ἐλπομένων αὐτῶν.—282. φιλότητα δ' ἑλέσθαι præferre et amplecti; h. e. placatum esse, *in gratiam cum Atridis rediisse*.

284—296. Sequuntur strenue facta Patrocli ad navem Protesilai: (ad quam pugnabatur sup. O. 705. sq.) primo ictu ferit *Pyræchmen*, ducem *Pæonum*, de quo v. B. 848. ubi et de *Amydone* Thessaliæ, tum adhuc Thraciæ; quo facto navis jam ambusta a Trojanis relinquitur.—295. Δαναοὶ δ' ἐπέχυντο νῆας ἀνὰ γλαφυρὰς, ut supra O. 653. sq. Achivos videramus intervallis navium cum diu pugnassent pone naves versus littus fugisse: sic nunc Trojanis cedentibus, iisdem intervallis progressi fugientibus instant.

283. Αἰπύν.] Χαλεπόν. 287. Πυραίχμην.] Πεποίηται τὸ ὄνομα τοῦ στρατηγοῦ, παρὰ τὸ πῦρ καὶ αἰχμὴν φέρειν ἐν τῇ νηΐ. 290. Ἀμφὶ φόβηθεν.] Ἑκατέρωθεν ἔφυγον. 291. Παίονες.] Ἔθνος ὅμορον Θρᾳκῶν. 294. Ἡμιδαής.]

ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεὺς,
ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι,
καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπεῤῥάγη ἄσπετος αἰθήρ·
ὣς Δαναοὶ, νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ,
τυτθὸν ἀνέπνευσαν. πολέμου δ' οὐ γίγνετ' ἐρωή·
οὐ γάρ πώ τι Τρῶες Ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπόεικον ἀνάγκῃ.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης,
ἡγεμόνων. πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
αὐτίκ' ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
ἔγχει ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
ῥῆξεν δ' ὀστέον ἔγχος· ὁ δὲ πρηνὴς ἐπὶ γαίῃ
κάππεσ'. ἀτὰρ Μενέλαος Ἀρήϊος οὖτα Θόαντα,

298. vulg. κινήσει. 299. vulg. ἔφανον. 310. vulg. ἐπὶ γαίης.

297—302. Respirant tandem Achivi repressis a navibus, maxime a navi incensa, Trojanis. Comparationis non satis explicite ac dilucide expositæ vis huc redit: ut, quum, de monte, cui nubes incubant, vento exorto nubibus dispulsis repente cœlum serenum factum est: ita, Trojanis fugatis, serenior ac lætior rerum fortuna Achivis obtigit. Declaratur autem pugna per nubem, caliginem, procellam, et pugna in melius mutata per φῶς. ut Il. Z. 6. Ajax Τρώων ῥῆξε φάλαγγα φόως δ' ἑτάροισιν ἔθηκε. Est itaque, quod appellamus, tertium comparationis positum in similitudine salutis, quæ per φῶς declarari solet, cum sereno cœlo. Comparatio autem a cœli caligine dispulsa similis erat jam sup. Θ. 551—7. allata: sed ibi de cœlo serena nocte, stellis per nubes cæruleas igni micantibus. cf. mox 364, 365.—300. ὑπεῤῥάγη ἄσπετος αἰθήρ. luce transmissa per serenum factum nubibus dispulsis. Æther fit ea parte pellucidus, aperitur. ut jam Θ. 554.—302. οὐ γίγνετο πολέμου ἐρωή. idem quod παυσωλή. B. 386. Trojani, etsi a navi incensa depelluntur, adhuc tamen resistunt, *nec effuse fugiunt:* quin pugnant potius acriter. Inde sequitur expositio usque ad 351. multarum utrinque cædium singulorum, ut poeta facere debet ac solet, hominum.—305. νεῶν δ' ὑπόεικον ἀνάγκῃ. nos: *etsi a navibus recedere coacti sunt.*

307—311. Patroclus *Areilycum* cædit, non alibi memoratum. Alter hoc nomine erat ex Achivis, Prothoenoris pater Ξ. 451.—310. femore hasta trajecto, et femorali osse perfracto, concidit præceps Areilycus.

311. *Menelaus* cædit *Thoantem* Trojanum.—313. *Meges* Phylei f. *Amphiclum*

Ἡμίκαυστος, ἡμίφλεκτος. 298. Στεροπηγερέτα.] Ἀστραπτικός. 299. Πρώονες.] Αἱ προνενευκυῖαι τῶν ὀρῶν ἐξοχαί. 300. Νάπαι.] Οἱ ὀρεινοὶ καὶ ἀναπεπταμένοι τόποι. οἱ σύμφυτοι. Οὐρανόθεν δ' ἄρ ὑπεῤῥάγη ἄσπετος αἰθήρ.] Αἴφνης διέλαμψεν αἴθριον. Ὁ δὲ λόγος· ξηροῦ δὲ καὶ πιῤῥώδοις πνεύματος περὶ τὴν παχύτητα τῶν νεφῶν ῥαγέντος ὑπὸ τὸν οὐρανὸν, ἐξέλαμψεν αἰθήρ. τουτέστιν, ἀστραπὴ ἐγένετο. Διορῶνται οὖν, φησι, καὶ τοῦ αἰθέρος ἀστέρες, νεφέλης ῥαγείσης. Ὑπεῤῥάγη.] Διαφανὴς ἐγένετο. Ἄσπετος.] Μέγιστος, πολὺς, καὶ ἀσύνοπτος. 302. Ἐρωή.] Νῦν ὁρμή. Ἔστι δὲ ὅτε τὴν ἡσυχίαν καὶ ἀνάπαυσιν δηλοῖ. 304. Προτροπάδην.] Ἐπειγμένως καὶ ὁλοσχερῶς ἐκστρέψαντες τὰ νῶτα. 305. Ὑπόεικον.] Ἐξίσταντο, ὑπεχώρουν. 308. Στρεφθέντος.] Εἰς φυγὴν κλίναντος.

στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.
Φυλεΐδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας,
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεος αἰχμῇ
νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσε κάλυψε.
Νεστορίδαι δ', ὁ μὲν οὔτασ' Ἀτύμνιον ὀξεϊ δουρὶ
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
ἤριπε δὲ προπάροιθε· Μάρις δ' αὐτοσχεδὰ δουρὶ
Ἀντιλόχῳ ἐπόρουσε, κασιγνήτοιο χολωθεὶς,
στὰς πρόσθε νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
ἔφθη ὀρεξάμενος, πρὶν οὐτάσαι, οὐδ' ἀφάμαρτεν,
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε·
δούπησεν δὲ πεσὼν, κατὰ δὲ σκότος ὄσσε κάλυψεν.
ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
βήτην εἰς Ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
υἷες ἀκοντισταὶ Ἀμισωδάρου· ὅς ῥα Χίμαιραν
θρέψεν ἀμαιμακέτην, πολέσι κακὸν ἀνθρώποισιν.
Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας

315. vulg. μυών. 316. vulg. ὄσσ' ἐκάλυψε. 325. vulg. ὄσσ' ἐκάλυψε.

317. *Antilochus Atymnium*, (diversum ab eo qui E. 581. memorabatur) *Marin* ejus fratrem *Thrasymedes*. Erant illi Lycii, *Amisodari* filii.

312. γυμνωθέντα (κατὰ) τὸ στέρνον, παρ' ἀσπίδα, subter clipeo, qua parte, clipeo incaute reducto, nudatum pectus erat.—314. ἔφθη ὀρεξάμενος, antevertit eum petendo, atque etiam feriendo, (κατὰ τὸ) πρυμνὸν σκέλος. partem superiorem ossis inter femur et genu percussam hasta putabimus: quo loco musculus est crassissimus.—315. περὶ —αἰχμῇ. usus loquendi in vulneribus, hasta infixa: ut Θ. 86. N. 441. 570. et Pindar. Nem. VIII. 40. φασγάνῳ ἀμφικυλισθείς.—316. νεῦρα tendines.—322. τοῦ δ' ἔφθη ὀρεξάμενος. pro κατὰ τοῦδε (v. modo ad 314.) (κατὰ τὸν) ὦμον, πρὶν (τὸν Μάριν) οὐτάσαι τὸν Ἀντίλοχον. Jungenda porro: ἔφθη ὀρεξάμενος, οὐδ' ἀφάμαρτε.—323. ἀκωκὴ δουρὸς ἀπέδρυψε βραχίονα πρυμνὸν (τὸν ἀκρότατον versus humerum) μυώνων, pro ἀπέδρυψε τοὺς μυῶνας) ἀπήραξε δὲ ἄχρις (ἐπὶ τὸ), ὀστέον, *hasta brachium nudavit pulpa carnis et decussit eam usque ad os.* Vulnus letale puta ex defectu, sanguine amisso.

325—329. Mire variata est tota narratio varietate casuum, vulnerum, etiam interpositis narrationibus, ut h. l. de *Amisodaro*, qui *Chimæram* nutriisse dicitur: de qua v. Z. 179. (Apollod. II. 3, 1. §. 6.) Reliqua mythi nos fugiunt. ἀμαιμακέτη, *indomita*, dicta ea est eodem loco.

330—334. *Ajax* Oilei f. *Cleobulum*, 335—341. *Peneleos Lyconem*, 342—4. *Me-*

314. Ἔφθη.] Ἔφθασε, προέλαβεν. Ὀρεξάμενος.] Νῦν, ἐφικόμενος καὶ πλήξας ἐκ χειρός. Πρυμνὸν σκέλος.] Τὸ ἔσχατον μέρος τοῦ σκέλους. Πάχιστος.] Παχύς. 315. Μυών.] Ἡ γαστροκνημία. ἥτις συνέστηκεν ἐκ πολλῶν νεύρων καὶ συνεστραμμένων σαρκῶν. 319. Αὐτοσχεδά.] Ἐγγύθεν, παραχρῆμα. 322. Ὀρεξάμενος.] Ἐπὶ τὸ πατάξαι ὁρμήσας. 323. Πρυμνὸν βραχίονα.] Τὸ ἀκρότατον τοῦ βραχίονος. 324. Δρύψ' ἀπὸ μυώνων.] Ἀπέσυρεν ἀπὸ τῶν μυῶν. Ἀπὸ δ' ὀστέον ἄχρις ἄραξεν.] Ἐπέσχισε δὲ τὴν σάρκα ἄχρι τοῦ ὀστοῦ. 327. Εἰς ἔρε-

ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
λῦσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι·
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος Θάνατος καὶ Μοῖρα κραταιή.
Πηνέλεως δὲ, Λύκων τε, συνέδραμον· ἔγχεσι μὲν γὰρ
ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον· ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν
φάσγανον ἐῤῥαίσθη· ὁ δ' ὑπ' οὔατος αὐχένα θεῖνε
Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔσχεθε δ' οἶον
δέρμα· παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ' Ἀκάμαντα, κιχεὶς ποσὶ καρπαλίμοισι,
νύξ', ἵππων ἐπιβησόμενον, κατὰ δεξιὸν ὦμον·
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῷ
νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε
νέρθεν ὑπ' ἐγκεφάλοιο· κέασσε δ' ἄρ' ὀστέα λευκά·
ἐκ δὲ τίναχθεν ὀδόντες· ἐνέπλησθεν δέ οἱ ἄμφω
αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι

331. ἀλλά Ϝοι. 348. δέ Ϝοι. 351. ἄνδρα Ϝέκαστος. 352. Ϝάρνεσσι.

riones *Acamantem*, 345—350. *Idomeneus Erymantem*, Achivi Trojanos, occiderunt. *Acamas* seu Asii seu Antenoris f. nam duo sunt inter Trojanos hoc nomine; nisi forte hic tertius.—331. βλαφθέντα *offenso pede*. ut Z. 39. ὄζῳ ἔνι βλαφθέντε.—336. μέλεον, ματαίως. incassum.—338. κόρυθος φάλον, *conus*, cui inserta crista; ita fractus ensis *ad capulum*.—340. ἔσχεθε δ' οἶον δέρμα. ἀντεῖχε, restitit, percussa erat transversim media cervix, ita ut, sola cutis parte extrema relicta, *caput pendere* videres, παραείρεσθαι.—349. Erymas χανὼν ἔπρησε (ἐξεφύσησεν. ut A. 481. ἐν δ' ἄνεμος πρῆσεν) τὸ αἷμα ἀνὰ στόμα καὶ κατὰ ῥῖνας. Vulnera et effecta vulnerum plura occurrunt in Homero nostra arte militari non ubique obvia. Genus hoc αἱμοῤῥαγίας notabile 348.

352—419. Trojanos castris fugatos insequitur Patroclus magna cæde facta.

352—7. In Trojanos irruunt Achivi, ut lupi σίνται (βλαπτικοὶ ut leo Λ. 481.) invadunt pecudes, easque fugant: ἐπέχραον. pro præsenti ἐφορμῶσιν, ἐπέρχονται. Similia sæpe illustrarunt viri docti. ὑπ' ἐκ μήλων αἱρούμενοι αἶτε. est ὑφαιρούμεναι ἐκ μήλων

βος.] Εἰς τὸ σκότος. 331. Βλαφθέντα.] Ἐμποδισθέντα. 333. Ὑπεθερμάνθη.] Ἐβαπτίσθη. 334. Πορφύρεος θάνατος.] Μέλας, σκοτεινός. 336. Μέλεον.] Ματαίως. 337. Συνέδραμον.] Ἐκ τοῦ σύνεγγυς ἐμαχέσθησαν. 339. Ἐῤῥαίσθη.] Διεφθάρη, ἐκλάσθη. 340. Ἔδυ.] Κατὰ βάθους εἰσῆλθε. 341. Παρηέρθη.] Παρηνέχθη, παρεκρεμάσθη. 347. Νέρθεν ὑπ' ἐγκεφάλοιο.] Ὑπὸ τὸν ἐγκέφαλον. Κέασσε.] Συνέτριψε, περιέσχισε. 350. Πρῆσεν.] Ἐξεφύσησε, μετὰ πνεύματος ἐξέδωκεν. 352. Ἐπέχραον.] Μετὰ βίας ἐπῆλθον. ἐφώρμη-

σίνται, ὑπ' ἐκ μήλων αἱρεύμενοι, αἵτ' ἐν ὄρεσσι
ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἱ δὲ ἰδόντες,
αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας·
ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἱ δὲ φόβοιο
δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
ἵετ' ἀκοντίσσαι· ὁ δὲ, ἰδρείῃ πολέμοιο,
ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους,
σκέπτετ' ὀϊστῶν τε ῥοῖζον, καὶ δοῦπον ἀκόντων.
ἦ μὲν δὴ γίγνωσκε μάχης ἑτεραλκέα νίκην·
ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους.
Ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω,
αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνῃ·
ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε·
οὐδὲ κατὰ μοῖραν πέραον πάλιν. Ἕκτορα δ' ἵπποι
ἔκφερον ὠκύποδες σὺν τεύχεσι· λεῖπε δὲ λαὸν

354. δὲ Ϝιδόντες. 359. Ϝίετ'—ὁ δὲ, Ϝιδρείῃ. 365. vulg. τείνει. 366. γένετο ϜιϜαχή.

(ἐκείνας τὰς αἶγας ἢ ἐρίφους) αἵτε διετμάγησαν, dissipatæ discurrunt.—356, 7. φόβοιο μνήσαντο, λάθοντο—sollenni usu, pro *usi sunt*, et hoc periphrastice, pro ἔφυγον καὶ οὐκ ἐμάχοντο.

358—364. Hector aliquamdiu resistit Ajaci se telis petenti. tandem 364—383. et ipse castris excedere cogitur; fuga Trojanorum fit effusa; Patroclus eos insequitur extra vallum, Hectorem tamen non assequitur.—358. ἵετο ἐπακοντίσαι Ἕκτορι. σκέπτετο, observavit auditu, eoque, cavit.—362, 3. ἑτεραλκέα νίκην, pugnam in alteram partem inclinatam tandem intellexit esse. voc. jam H. 26. et al. vidimus.

364—6. Comparatio ita constituenda: Fuga facta est turmarum conglobatim et tanto cum impetu quanto nubes collecta a vento procelloso de monte (Olympum nominat) propellitur, ut per cœlum feratur. fere ut sup. 297.

365. Ζεὺς λαίλαπα τείνει. ἐντείνει. ἐπιτείνει, intendit (de flamma P. 737.) facit ut ἐντεταμένως, *intente* flet. h. e. *immittit vehementem procellam* et 366. ὣς τῶν. pro: sic fugiunt Trojani.—367. πέραον πάλιν in animo habet τάφρον ὀρυκτὴν, quæ demum 369. sequitur. οὐδὲ κατὰ μοῖραν, ἀτάκτως, ἀκόσμως—Ita eventum habuit Polydamantis prædictio sup. M. 223. sqq. Ἕκτορα δ' ἵπποι ἔκφερον—Ita is curru vectus fugit. Atqui currus reliquerant ante vallum: sup. M. 75. sq. Verum post ista ab Apolline iis via facta fuerat O. 260, 1. tum (ibid. 384, 5.) Trojam κατὰ τεῖχος ἔβαινον, ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχοντο. Cum tamen vel sic via per fossam latior facta turbam fugientum non caperet; multi currus fracti sunt.—368. λεῖπε δὲ λαὸν sc. ὡς φυγὼν πρὸ

σαν. 353. Σίνται.] Βλαπτικοί. Ὑπ' ἐκ μήλων αἱρεύμενοι.] Ὑφαιρούμενοι τὰ λιπαρὰ τῶν βοσκημάτων. 357. Δυσκελάδου.] Κακὸν ἦχον ἀποτελοῦντος. 361. Σκέπτετο.] Παρεσκέπτετο, ἐφυλάσσετο. Ῥοῖζον.] Ῥύμην, ὁρμὴν, ἦχον. 365. Αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνει.] Ὅτ' ἂν πνεύματος ἦχον καὶ νέφος παραστήσῃ· ὅτε, φησὶν, ὁ Ζεὺς μετὰ τὴν αἰθρίαν κατάστασιν ἐμβολὴν ἀνέμου διεγείρῃ. Αἰθέρος ἐκ δίης.] Πῶς αἰθέρος; τὰ γὰρ πάθη ταῦτα περὶ τὸν ἀέρα συμβέβηκε. Τάχα οὖν συγχεῖται ὁ ἀὴρ πρὸς τὸν αἰθέρα. ὡς κἀν τῇ Λ· Αἵματι μυδαλέας ἐξ αἰθέρος. καί· Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι, καὶ νεφέλῃσιν. Οὐ γὰρ αἱ νεφέλαι ἐν τῷ αἰθέρι. 368. Λεῖπε δὲ λαὸν Τρωϊκὸν, οὓς ἀέκοντας

Τρωϊκὸν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι,
ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ' ἀνάκτων.
Πάτροκλος δ' ἕπετο, σφεδανὸν Δαναοῖσι κελεύων,
Τρωσὶ κακὰ φρονέων· οἱ δὲ ἰαχῇ τε φόβῳ τε
πάσας πλῆσαν ὁδοὺς, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἀέλλη
σκίδναθ' ὑπὸ νεφέων· τανύοντο δὲ μώνυχες ἵπποι
ἄψορρον προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ', ᾗ πλεῖστον ὀρινόμενον ἴδε λαὸν,
τῇ ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον
πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνακυμβαλίαζον.
ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι,
ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα,
πρόσσω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός·
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
Ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεὺς, ὅτε δή τ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ,

369. ἀϝέκοντας. 370. ϝερυσάρματες. 371. ϝάξαντ'. ἅρματ' ἀνάκτων. peccat. v. Obss. 373. δὲ ϝιϝαχῇ. 374. vulg. ἄελλα. 376. προτὶ ϝάστυ. 377. ϝίδε. 379. vulg. ἀνεκυμβαλίαζον. 380. vulg. ἀνὰ τάφρον. 382. ϝιέμενοι. 383. ϝίετο. 386. vulg. ὅτε δή ῥ'.

αὐτῶν.—371. ἄξαντ' ἐν πρώτῳ ῥυμῷ. anteriore, puto, qua jugati sunt equi, temonis parte fracta. ἐν τῷ ἄκρῳ πρὸς τὸν ζυγόν.—372 σφεδανὸν, σφοδρῶς. Lectus versus Λ. 165.

378, 9. Valde animate omnia per totum locum narrata: si curruum humilem et levem structuram cogites, duorum versuum vim melius assequaris.—ἀνακυμβαλίαζον, vox antiqua, pro diversa origine, l. *cum sono subsilierunt*, *l. subsilientes resonuere.* simpliciter saltem, eversi sunt.—380. ἀντικρὺ δ' ἄρα τάφρον. Aucta res incredibilem in modum, Patrocli currum saltu equorum facto trajecisse. Trojanorum certe fuga fiebat per eandem viam, qua aditus erat, aggere per fossam facto; nihil itaque aliud narrari dixerim, quam equos animose concitato cursu eadem via fossam trajecisse: nihil amplius —381. Achillis equi: sup. 145. sqq. οὓς Πηλῆϊ θεοὶ δόσαν. ut et Ρ. 443. Definite Ψ. 277. Ἀθάνατοί τε γάρ εἰσι. Ποσειδάων δ' ἔπορ' αὐτοὺς πατρὶ ἐμῷ, Πηλῆϊ.—382. ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός. ὁ θυμὸς ἐπεκέκλετο Ἕκτορι sc. Patroclum: pro ἐπὶ τὸν Ἕκτορα. *animus eum incitabat in Hectorem:* h. e. ut Hectorem assequeretur. ut sup. 358. ἐπακοντίσαι Ἕκτορι ἵετο.

384—393. Uti torrens ex imbre auctus rapide fertur: sic Trojani fugientes; potenter autem nominat inprimis currus, et strepitum quem facit cursus. Ornatissimus locus interpositis pluribus quæ mentem feriunt. χθὼν βέβριθεν ὑπὸ λαίλαπι. βρίθει sc. ὕδατι, quod sequitur, gravat, opplet aquis, inundat, vi procellæ.—385. ὅτε λαβρότατον χέει ὕδωρ Ζεύς. *cum pluit effuse.*—386. observanda opinio istius quoque ætatis

ὀρυκτὴ τάφρος ἔρυκε.] Ἐν σχήματι πέφρακε. ἔδει γὰρ εἰπεῖν, ὃν ἀέκοντα. 374. Ἐπεὶ ἂρ τμάγεν.] Ἐπειδὴ διεσκεδάσθησαν. Ἀέλλη.] Νῦν, ἡ κόνις. 375. Σκίδνατο.] Ἀνηκοντίζετο. Τανύοντο.] Ἐπιτεταμένως ἔτρεχον. 379. Ἀνεκυμβαλίαζον.] Ἀνεκρότουν, ἀνετρέποντο. 384. Βέβριθε.] Ψόφου ἔγεμεν, ἐβάρει. 385. Ἦματ' ὀπωρινῷ.] Ἐν τῷ τῆς ὀπώρας καιρῷ. 387. Σκολιάς.] Ἀδίκους.

οἱ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες·
τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες,
πολλὰς δὲ κλιτῦς τότ' ἀποτμήγουσι χαράδραι,
ἐς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
ἐξ ὀρέων ἐπὶ κάρ· μινύθει δέ τε ἔργ' ἀνθρώπων·
ὣς ἵπποι Τρωαὶ μεγάλα στενάχοντο θέουσαι.
Πάτροκλος δ', ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετὲς, οὐδὲ πόληος
εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
κτεῖνε ματαΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν·

392. δέ τε Fέργ'. 395. ἔFεργε. 396. Fιεμένους. 398. vulg. ἀπετίννυτο.

hominum, calamitates, inque his inundatas aquis terras, a diis ad puniendos homines improbos immitti. Improbitas autem hominum maxime ista ætate in judiciis memorari solet.—388. κρίνωσι θέμιστας, δικάζωσι δίκας, σκολιὰς pro σκολιῶς. si *ferant sententias iniquas.* θεῶν ὄπιν, *respectum*, ἐπιστροφὴν, et *ultionem.* Illustravit Clarke allatis Od. Φ. 28. Hesiod. Ἔργ. 185. Θ. 222. (et sæpe.)—390. χαράδραι, torrentes, ἀποτμήγουσι, revellunt, κλιτῦς *prominentes rupes.* ἀποτέμνουσι τὰς τῶν ὀρῶν ἀποκλίσεις, ἀποκλίματα.—392. ἐπὶ κὰρ, *declivi ac præcipite cursu:* inundati autem *agri* (ἔργα) *pereunt*, μινύθουσι, h. e. cultura pereunte vastantur; ut igni μινύθουσιν οἶκοι Ρ. 738.

394—418. Patroclus insequitur fugientes; multos interimit.

394. πρώτας ἐπέκερσε, (ἀπέτμηξε Λ. 468. Χ. 456.) φάλαγγας, circumvectus et ultra priores hostium turmas, saltem earum partem, evectus, converso curru fugientes a fronte adortus versus castra repellit. ἂψ παλιμπετὲς, ἂψ πάλιν. Ad Trojanos fugientes hæc spectare quis dubitet? Ceterum versus 397. est inter eos, quorum usus est habitus ad locorum situm declarandum, et creditum est, non longe a castrorum fronte et vallo Scamandrum amne transverso a dextris partibus ad sinistras ferri et cum Simoente jungi debuisse; cæsos itaque fugientes et intra naves et vallum, tum castris elapsos *inter vallum et Scamandrum*, in ipso trajectu: quem a poeta non memorari, est, quod miror. Tum vero multo magis miror, Trojanos jam castris pulsos et per campum fuga dispersos nunc iterum *in castris* cædi, μεσηγὺ νηῶν. Porro insolenti modo inter νῆας et τεῖχος interjectus est ποταμός. Debebant jungi νηῶν καὶ τείχεος, post quæ locum suum habebat ποταμός; nam extra vallum seu castra patebat campus inter duo amnes. Sic Trojani consederant μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων. Tandem ipsa res, cujus fides hoc versu nititur, difficultates habet miras, si audias, a castris digressis superandum fuisse alveum amnis, cujus tamen nulla fit mentio. De his vid. Excurs. ad lib. VI. *de topographia Troadis* p. 306. sq.—398. πολέων δ' ἀπετίνυτο

ἀπὸ τοῦ εὐθέως καὶ ὀρθοῦ παρατετραμμένας ἐπὶ τὸ ἄδικον. ὅ ἐστι, στρεβλάς. 388. Ἐκ δὲ δίκην ἐλάσωσι.] Νῦν, τὸ δίκαιον. Θεῶν ὄπιν.] Τὴν ἐκ θεῶν ἐπιστροφὴν καὶ φροντίδα. 390. Κλιτῦς.] Φάραγγας, ἢ ὀρῶν ἀποκλίσεις. Ἀποτμήγουσιν.] Ἀποτέμνονται, χωρίζουσι. Χαράδραι.] Οἱ ὑπὸ τῶν χειμάῤῥων ἐκρησσόμενοι αὐλῶνες. Παρὰ τὸ χαράσσειν, καὶ τραχύνειν τὴν γῆν. 392. Ἐπὶ κάρ.] Ἤτοι, ἄνωθεν ἐκ τοῦ πρὸς αὐτούς. ἢ, ἐπικάρσιαι καὶ πλάγιαι. ἢ ἐπὶ κεφαλὴν, καὶ εἰς τὸ κάταντες. Ἐπὶ κάρ.] Τοῦ κάρη ἐστὶν ἀποκοπὴ, οὐ τοῦ κάρα. Οὐ λέγει γὰρ ὁ Ποιητὴς ποτὲ κάρα, ἀλλὰ κάρη. Αὐτὸ δὲ τὸ κάρη, τοῦ κάρηνον ἐστὶν ἀποκοπή. Τὰ γὰρ εἰς η οὐδέτερα, ἢ δυϊκά εἰσιν, ἢ πληθυντικά. Μινύθει.] Ἐλαττοῦται, φθείρεται. 394. Ἐπέκερσεν.] Ἀπέτεμεν. 395. Ἔεργε.] Συνήλαυνε. Παλιμπετές.] Εἰς τὰ ὀπίσω πεπτωκότας. 398. Μεταΐσσων.] Μεταδιώκων.

ἔνθ' ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ,
στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.
δούπησεν δὲ πεσών· ὁ δὲ Θέστορα, Ἤνοπος υἱὸν,
δεύτερον ὁρμηθείς· ὁ μὲν εὐξέστῳ ἐνὶ δίφρῳ
ἧστο ἀλείς· ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
ἡνία ἠΐχθησαν· ὁ δ' ἔγχεϊ νύξε παραστὰς
γναθμὸν δεξιτερὸν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων·
ἕλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος· ὡς ὅτε τις φὼς,
πέτρῃ ἔπι προβλῆτι καθήμενος, ἱερὸν ἰχθὺν
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ·
ὣς ἕλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ·
κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν λίπε θυμός.
αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεσσύμενον βάλε πέτρῳ,
μέσσην κακκεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
κάππεσεν· ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
αὐτὰρ ἔπειτ' Ἐρύμαντα, καὶ Ἀμφοτερὸν, καὶ Ἐπάλτην,
Τληπόλεμόν τε Δαμαστορίδην, Ἔχιον τε, Πύριν τε,
Ἰφέα τ', Εὔϊππόν τε, καὶ Ἀργεάδην Πολύμηλον,
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
Σαρπηδὼν δ' ὡς οὖν ἴδ' ἀμιτροχίτωνας ἑταίρους

401. Θέστορα, Ϝήνοπος. 403. ἧστο Ϝαλείς. 406. vulg. εἷλκε. 408. Ϝήνοπι. 411. vulg. Ἐρύαλον. 416. vulg. Πύρην. 417. Ϝιφέα. 419. Ϝίδ'.

ποινήν. εἰσεπράττετο (τοὺς Τρῶας) δίκην (ἀντὶ) πολέων scil. ex Achivis, qui cæsi fuerant. fecit sibi solvere, *ultionem expetiit*, ultus est. Similiter inf. Φ. 28.—399. *Pronous* et qui sequuntur,—401. Thestor, Enopis f. 411. Erylaus, et qui vs. 415, 6, 7. enumerantur, a Patroclo occisi, ne sollicite quæras, sunt Trojani; alibi non memorati.—401. ὁ δὲ, *porro* Patroclus, δεύτερον ὁρμηθεὶς νύξε jungenda sunt: interpositis mediis: ὁ μὲν ad ἠΐχθησαν.—403. ἧστο ἀλεὶς, *metu contrahens se*; συσταλεὶς, quod alibi est καταπτήσσειν et πτώσσειν, voces ἐναργεῖς. Iterum Φ. 571. X. 308. v. inf. ad 714. Tum v. 405. τὸν γναθμὸν διέπειρε διὰ τῶν ὀδόντων.—406. εἷλε καὶ εἷλκεν αὐτὸν ὑπὲρ ἄντυγος (διὰ) δουρός. δόρατι. Patroclus hasta, quam immiserat, retracta e Thestoris corpore cum hasta traxit eum transfixum supra oram currus. ὡς ὅτε τις ἕλκει ἰχθύν.—407. ἱερὸν ἰχθὺν, seu ornans epitheton, *ingentem*, seu certum genus, de quo ambigitur. v. saltem Athen. VII. 7. p. 282, 3, 4. Oppian. Halieut. V. 624. sq. ubi Schneid.—λίνῳ, *linea piscatoria*; καὶ χαλκῷ, et *hamo* ex ære; unde ille fulgens, ἤνοψ, est.

419—505. *Sarpedon* cum *Patroclo* congressus jugulatur. Res sic ornata, ut Ju-

Ἀπετίννυτο ποινήν.] Δίκην εἰσεπράττετο. 403. Ἀλείς.] Συσταλείς. Ἐκ γὰρ πλήγη φρένας.] Ἀντὶ τοῦ ἐξεπλάγη. 404. Ἠΐχθησαν.] Ὡρμήθησαν. 405. Γναθμόν.] Σιαγόνα. 407. Προβλῆτι.] Προβεβλημένῳ. ἐκκειμένῳ. Ἱερὸν ἰχθύν.] Ἤτοι, μέγαν. 408. Θύραζε.] Ἔξω. Λίνῳ.] Τῇ ὁρμιᾷ, ἢ τῷ ἀγκίστρῳ. Ἤνοπι χαλκῷ.] Διαυγεῖ χαλκῷ. Λέγει δὲ, τῷ ἀγκίστρῳ. 412. Κεάσθη.] Ἐσχίσθη. 413. Βριαρῇ.] Ἰσχυρᾷ. 414. Θυμοραϊστής.] Ὁ τὴν ψυχὴν διαφθείρων, καὶ ἀπολλύων. 419. Ἀμιτροχίτωνας.] Ἀζώστους, ἢ, μίτρᾳ καὶ θώρακι

χερσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας,
κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
Αἰδὼς, ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοοὶ ἐστέ·
ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, ὄφρα δαείω,
ὅστις ὅδε κρατέει· καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας· ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν.
Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.
Πάτροκλος δ' ἑτέρωθεν, ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
οἱ δ', ὥστ' αἰγυπιοὶ, γαμψώνυχες, ἀγκυλοχεῖλαι,
πέτρῃ ἔφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχωνται·
ὣς οἱ, κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Τοὺς δὲ ἰδὼν ἐλέησε Κρόνου παῖς ἀγκυλομήτεω,
Ἥρην δὲ προσέειπε κασιγνήτην ἄλοχόν τε·
Ὤ μοι ἐγὼ, ὅτε μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
διχθὰ δέ μοι κραδίη μέμονε, φρεσὶν ὁρμαίνοντι,

424. πολλὰ ϜέϜοργε. 427. Ϝίδε. 429. vulg. μάχονται.
431. δὲ Ϝιδών. 432. Ϝήρην δὲ προσέϜειπε.

piter de fato Sarpedonis dubitet, Juno autem nequaquam differendum esse fatum contendat. 422—457. Edit Jupiter signa futuræ cædis—462.

ἀμιτροχίτωνας ἑταίρους. Lyciis peculiare hoc fuisse videtur, ut thoraces nulla subjecta mitra seu fascia, quæ atterendæ cuti et tuendis inguinibus inserviret, haberent. —421. κέκλετο τοῖς Λυκίοις καθαπτόμενος αὐτῶν ἐπέεσσι.—422. νῦν θοοὶ ἐστὲ, alacres.—424. ὅστις ὅδε κρατέει, *quinam hic sit, qui* superior est pugnando.—428. puta duo vultures in prædam, ἕλωρ, incidisse.

431. τοὺς δὲ ἰδὼν—Non apposuit poeta, ubi locorum Jupiter versari nunc putandus sit; adhucne ex Ida prospiciens: an in Olympo sedens? Vidimus sane eum sedentem in Ida O. 150. sq. Confabulatur nunc cum Junone: vs. 432. quæ in Olympum redierat O. 79. Inf. 665. alloquitur Apollinem; is vs. 677. ex Ida descendit. Ita putes Jovem adhuc in Ida sedere. Apollo supra ex mandato Jovis in Ida accepto Hectorem recreaverat: O. 236. sq.—261. Hectori mox in prælio anteit et terrorem Achivis injicit vs. 307. Licet puto, rem sic constituere: quandoquidem Jupiter cum Junone confabulatur, illa autem in Olympum redierat, sup. O. 77. necesse est etiam Jovem nunc, et per sequentes libros, cf. Σ. 356. in Olympo sedere; Apollinem autem, qui Ilio quasi excubat, et modo in muris, modo in propinquo colle sedet, vs. 677. ex Ida, h. e. ex locis ad Idam, circa Ilium, descendere in campum, in quo pugnatur; nisi ille versus ab interpolatoris manu illatus est, et Apollo nunc in Olympo sedere est putandus: nam in hac maxime parte passim laboratum esse vidimus, ut interventus deorum locis suis inseretur.

433—438. ὦ μοι ἐγώ. Locus, similis alteri de Hectoris fatis X. 168. sqq. propter Fati notionem notabilis, quod ab Jove differri potuit, omnino tolli non potuit. cf. sup. Z. 488. Jupiter animo fluctuat, differatne id quod fatale erat, Sarpedonem Patrocli manu occumbere, an nunc exitum habere decretum fatale jubeat. μοῖρά ἐστι, μόρσιμον τὸν δαμῆναι.

435. διχθὰ μέμονε κραδίη, μενοινᾷ. ὁρμᾷ. ut jam E. 482.

μὴ χρωμένους. 420. Δαμέντας.] Ἀναιρεθέντας. 421. Καθαπτόμενος.] Ἐπιπλήσσων, ὀνειδίζων. 422. Πόσε.] Ποῦ. 428. Γαμψώνυχες.] Ἐπικαμπεῖς ὄνυχας ἔχοντες. 429. Κλάζοντε.] Φθεγγόμενοι, κράζοντες. 435. Μέμονε.] Δι-

ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θείω ἀναρπάξας Λυκίης ἐνὶ πίονι δήμῳ,
ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἕρδ', ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
αἴκε ζῶν πέμψῃς Σαρπηδόνα ὅνδε δόμονδε,
φράζεο, μήτις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
υἱέες ἀθανάτων, τοῖσι κότον αἰνὸν ἐνήσεις.
ἀλλ' εἴ τοι φίλος ἐστὶ, τεὸν δ' ὀλοφύρεται ἦτορ,
ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
αὐτὰρ ἐπὴν δὴ τόνγε λίπῃ ψυχή τε καὶ αἰών,
πέμπειν μιν Θάνατόν τε φέρειν, καὶ νήδυμον Ὕπνον,
εἰσόκε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται·
ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔται τε,
τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε.

439. πότνια Ϝήρη. 440. ἔϜειπες. 445. vulg. ζωόν. Σαρπηδόνα Ϝόνδε. 447. Ϝόν. 448. περὶ Ϝάστυ. 456. ἔνθα Ϝὲ—τε, Ϝέται τε.

436. ἤ μιν θείω ἦ δαμάσσω. cf. sup. ad 243.—438. δαμάσσω, permittam ut occumbat ille.

439—457. Juno dissuadet fati dilationem; suggerit autem pro solatio hoc, ut corpus Sarpedonis in Lyciam deferatur. Videtur fama fuisse de Sarpedonis sepulcro in Lycia; cujus generis monumenta erant frequentia, tumuli cum cippis, ut in campo Trojæ tumulus Ili, Æsyetæ. probabile itaque erat corpus Sarpedonis in Lyciam esse reportatum.—454. πέμπειν, πέμπε, Θάνατον καὶ Ὕπνον, ὥστε φέρειν μιν. Locus a multis observatus, et iterum ac tertium inf. 671. 681. repetitus, notabilis propter Mortem et Somnum junctos ad auferendum corpus. Infra iidem sunt gemelli. Ducta hinc est disputatio notissima inter Lessingium et Klotzium, veniente in subsidium Herdero: adde Viscontium Mus. Pio-Clement. t. III. p. 59.—456. ταρχύσουσι, justa ei facient, τύμβῳ τε στήλῃ τε. habitum igitur hoc pro justorum munere persoluto, illa ætate, si tumulus factus esset, cum cippo imposito. Itaque tumulos etiamnum in istis terris oculis obvios monimenta sepulcralia esse probabiliter cre-

ανοεῖται. 441. Πεπρωμένον.] Πέρατος ἠξιωμένον, εἱμαρμένον. 442. Ἐξαναλῦσαι.] Ἐλευθερῶσαι, ἐκλῦσαι. 449. Κότον.] Νῦν φιλονεικίαν. Ἐνήσεις.] Ἐμβαλεῖς. 456. Ταρχύσουσι.] Θάψουσι.

αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε,
παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
φθίσειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
ἔνθ' ἤτοι Πάτροκλος ἀγακλειτὸν Θρασύμηλον,
ὅς ῥ' ἠῢς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
τὸν βάλε νείαιραν κατὰ γαστέρα· λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
δεύτερος ὁρμηθείς· ὁ δὲ Πήδασον οὔτασεν ἵππον
ἔγχεϊ δεξιὸν ὦμον· ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων,
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός·
τὼ δὲ διαστήτην· κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
σύγχυτ', ἐπειδὴ κεῖτο παρήορος ἐν κονίῃσι.
τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς εὕρετο τέκμωρ·
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
ἀΐξας ἀπέκοψε παρήορον, οὐδ' ἐμάτησε.
τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν.
τὼ δ' αὖτις συνίτην ἔριδος περὶ θυμοβόροιο.

460. τόν Ϝοι. 464. ἦε Ϝάνακτος. 476. vulg. πέρι.

dunt viri docti.—459. *αἱματοέσσας δὲ ψιάδας.* Petitum hoc ab imbre cruento, prodigio, quod portendere creditum est eventum rerum infaustum et magnam calamitatem. At h. l. per verba 460. *παῖδα φίλον τιμῶν* alia caussa prodigii missi memoratur, ut edatur illud a Jove in honorem Sarpedonis filii. Profecta videtur hæc opinio ab ea notione, qua magnorum virorum mortes per prodigia denuntiari creduntur, quasi rerum naturam sensus aliquis morte magni viri attingat. Est saltem phantasma per se præclarum!

462—489. Pugna Sarpedonis et Patrocli—468. Pedasus erat equus mortalis: sup. 152. cui prope adstitisse puta Patroclum, nam pedes pugnabat.—*ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων.* infremuit animum *exspirans.* In tanta verborum copia sonum qualemcumque reddentium sunt quoque *βράχειν. μάκειν.*—470. *κρίκε δὲ ζυγὸν,* (qui alias *ὁ ζυγὸς*) *gemebat,* equis in diversa tendentibus. Ita *turbatæ* quoque habenæ (*συνεχέχυντο*) equis turbantibus.—471. *παρήορος.* cf. v. 152. Pedasus.—472. *εὕρετο τέκμωρ,* finem, nunc, *auxilium, remedium.*—474. *ἀπέκοψε παρήορον* supra Θ. 87. de eadem re Nestor *ἵπποιο παρηορίας ἀπέταμνε.* idque *haud moratus,* quod est *οὐδ' ἐμάτησε.* quod jam E. 233. lectum.—475. *ἐν δὲ ῥυτῆρσι τάνυσθεν.* iterum constiterunt equi et annixi sunt adductis loris ut currum traherent. ut sup. 375. *τανύοντο δὲ μώνυχες ἵπποι.* intenderunt se, cursum concitando.—476. *περὶ ἔριδος.* Alias *συνιέναι ἔριδι. μάχῃ.*

459. Ψιάδας.] Ψεκάδας, δρόσους. 461. Φθίσειν.] Ἀπολέσειν. 468. Ἀΐσθων.] Ἀλγῶν. ἐκπνέων. 469. Μακών.] Μυκησάμενος. φθεγξάμενος βαρύ. 470. Κρίκεν.] Ἐψόφηκεν, ἤχησε, ποιὸν ἦχον ἀπετέλεσε. 471. Παρήορος.] Ὁ ἔξω τοῦ ζυγοῦ ἵππος. παράσειρος λεγόμενος. 473. Τανύηκες.] Ἐκτεταμένον, εἰς μῆκος ἔχον τὴν ἀκμήν. 474. Οὐδ' ἐμάτησεν.] Οὐδὲ ἐματαιοπράγησεν, ἢ ἠμέλησεν. 475. Ἰθυνθήτην.] Ἐπ' εὐθείας ἔστησαν τεταγμένοι. Ῥυτῆρσι.] Χαλινοῖς, ἡνίαις· Παρὰ τὸ ἐρύειν, ὅ ἐστιν, ἕλκειν. Τάνυσθεν.] Ἀπευθύνθησαν. 476. Ἔ-

Ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὤρνυτο χαλκῷ
Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρὸς,
ἀλλ' ἔβαλ', ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ.
ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωῒς,
ἠὲ πίτυς βλωθρὴ, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι, νήϊον εἶναι·
ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθὼν,
αἴθωνα, μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσιν,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος·
ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων
κτεινόμενος μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι, καὶ θαρσαλέον πολεμιστήν·
νῦν τοι ἐελδέσθω πόλεμος κακὸς, εἰ θοὸς ἐσσί.

494. ἐϝελδέσθω.

477. Cum duas hastas gestarent pugnantes, alter fit congressus altera hasta emissa. —481. φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ. qua parte septum transversum includit cor, separando thoracem a ventre, ἀμφιείργουσι τὸ κῆρ.—κῆρ ἀδινὸν, propter membranas et musculos densos. Descripsit diaphragma.—482. ἤριπεν, ὡς ἐρείπει, ilex vel populus vel pinus procera.—491. μενέαινε debet esse h. l. idem quod ἐστέναχε. cum respondeat τῷ· ὤλετο δὲ στενάχων· per se autem de motu animi dicitur seu cupientis seu irascentis: ut sit προθυμεῖσθαι et θυμοῦσθαι· nunc saltem dixero esse, *graviter spiravit.*

492—501. Sarpedon moriens Glaucum hortatur, ut cum Lyciis corpus suum tueatur, ne a Patroclo spolietur. Erat id tanto æquius, quod Glaucum sub vallo vulneratum sup. M. 387. sqq. Sarpedon ultus erat. Mirum videri potest, non modo, cum Eustathio, hoc, quod præcordiis læsis verba facit Sarpedon, verum hoc quoque, quod Patroclus adstat et Glaucum impune mandata ejus accipere permittit. Mihi videtur res ita probabilis, si cogites hasta eminus emissa Patroclum paullo post demum accurrisse ad repetendam hastam; interea Glaucum a Sarpedone esse appellatum; mox accurrente Patroclo recessisse.—494. ἐελδέσθω, *nunc tibi curæ sit pugna, ærumnosa.*—

ριδος πέρι.] Περὶ τῆς φιλονεικίας. 481. Ἔρχαται.] Συνέρχονται. Ἀδινόν.] Πυκνὸν, συνετόν. Ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ.] Ἔνθα αἱ φρένες εἰσὶ περὶ τὸ φύσει λαμπρὸν καὶ ἡδὺ μέρος τῆς ψυχῆς. 482. Ἀχερωΐς.] Δένδρον, ὃ καλεῖται λεύκη. Ἔνιοι δὲ φηγοῦ εἶδος εἶπον αὐτήν. 483. Βλωθρή.] Εὐαυξὴς, μεγάλη. 484. Νεήκεσι.] Νεωστὶ ἠκονημένοις. Νήϊον.] Ναυπηγήσιμον ξύλον. 486. Βεβρυχώς.] Βρυχώμενος, ποιὸν ἦχον ἀποτελῶν, πιλῶν τοὺς ὀδόντας, καὶ συναρμόζων αὐτούς. 489. Γαμφηλῇσι.] Σιαγόσι. γνάθοις. 491. Μενέαινε.] Νῦν, ἐλειποψύχει. Ἀλλαχοῦ δέ φησι· Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν. ἀντὶ τοῦ, ὀργιζόμεθα. Καί· Μενέαινεν κῦδος ἀρέσθαι. ἀντὶ τοῦ, προεθυμεῖτο. Ὀνόμηνεν.] Ἐξ ὀνόματος ἐκάλεσεν. 494. Ἐελδέσθω.] Ἐπιθυμείσθω. 498. Κα-

πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας,
πάντη ἐποιχόμενος, Σαρπηδόνος ἀμφὶ μάχεσθαι·
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
ἔσσομαι ἤματα πάντα διαμπερὲς, εἴ κέ μ' Ἀχαιοὶ
τεύχεα συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα.
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν,
ὀφθαλμοὺς, ῥῖνάς θ'· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων,
ἐκ χροὸς ἕλκε δόρυ, προτὶ δὲ φρένες αὐτῷ ἕποντο·
τοῖο δ' ἅμα ψυχήν τε, καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν.
Μυρμιδόνες δ' αὐτοῦ σχέθον ἵππους φυσιόωντας
ἱεμένους φοβέεσθαι, ἐπεὶ λίπον ἅρματ' ἀνάκτων.
Γλαύκῳ δ' αἰνὸν ἄχος γένετο φθογγῆς ἀΐοντι·
ὠρίνθη δέ οἱ ἦτορ, ὅτ' οὐ δύνατο προσαμῦναι.
χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αἰνῶς
ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῷ
τείχεος ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύνων.
εὐχόμενος δ' ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
Κλῦθι, ἄναξ, ὅς που Λυκίης ἐν πίονι δήμῳ

502. μιν Ϝειπόντα. 504. vulg. εἷλκε. 507. Ϝιεμένους—ἅρμα Ϝάνακτος.
509. δέ Ϝοι. 513. ἄρα Ϝεῖπε Ϝεκηβόλῳ. 514. Κλῦθι, Ϝάναξ.

498. κατηφείη, ut Γ. 51.—500. νεῶν ἐν ἀγῶνι. *apud naves*, ἐν ναυστάθμῳ. latius nunc quam O. 428. et sup. 239. pro, in pugna ad naves orta, etsi continuata in campo, cum inde pulsi essent Troes.—504. φρένες membranæ præcordiorum.—506, 7. Myrmidones curru Sarpedonis potiri volebant.—507. Sive λίπον sive λίπεν legatur, molestus est versus. Si: ἐπεὶ λίπεν ἅρματ' ἀνάκτων vera est lectio, est: *cum currus vacuus relictus esset a dominis*: Sarpedone et auriga 463. ἐλίπησαν, ἐρημώθησαν.

508—531. Glaucus vulnerata manu telo Teucri (M. 387, 8.) ægre ferens, quod Sarpedonem tueri non poterat, invocat Apollinem et ab eo sanatur.—509. ὠρίνθη dolore et ira. Locus, qui sequitur, est ἐναργέστατος. Cernimus ante oculum dolentem Glaucum, χειρὶ ἐπίεζε τὸν βραχίονα.—512. ἀρὴν ἑτάροισιν ἀμύνων, *propulsans malum a suis, eos tutatus*. Junxi: Τεῦκρος ἔβαλέ μιν ἰῷ ἐπεσσύμενον τείχεος ὑψηλοῖο, melius sic,

τηφείη.] Αἰσχύνη. Ὄνειδος. 499. Διαμπερές.] Διόλου. 500. Νεῶν ἐν ἀγῶνι.] Ἐν τῷ ἀθροίσματι τῶν νηῶν. 501. Ἔχεο.] Ἀντέχου τῆς μάχης, καὶ προΐστασο. 502. Τέλος θανάτοιο κάλυψε Ὀφθαλμοὺς ῥῖνάς τε.] Ὁ δὲ θάνατος αὐτὸν ἔλαβε τούς τε ὀφθαλμοὺς καὶ τὰς ῥῖνας· ἐπεὶ οἱ τελευτῶντες, οὐ βλέπουσιν, οὔτε ἀναπνέουσιν, οὔτε φρένας ἔχουσι. 504. Προτὶ δὲ φρένες.] Προσείχοντο δὲ αὐτῷ αἱ φρένες. Φρένες.] Ἀεὶ ὁ Ποιητὴς φρένας καλεῖ τὸ διάφραγμα. 505. Τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν.] Τούτου δὲ κατ' αὐτὸ τήν τε ψυχὴν καὶ τὴν τοῦ δόρατος αἰχμὴν ἐξείλκυσε. 507. Λίπον ἅρματ' ἀνάκτων.] Ἔλιπον τὰ ἅρματα τῶν δεσποτῶν. 508. Φθογγῆς.] Φωνῆς. Ἀΐοντι.] Ἀκούοντι. 509. Ὠρίνθη.] Συνεχύθη. 510. Ἐπίεζεν.] Ἐξέθλιβε.

εἷς, ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν
ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερὸν, ἀμφὶ δέ μοι χεὶρ
ὀξείης ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερσῆναι δύναται· βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ·
ἔγχος δ' οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
ἐλθὼν δυσμενέεσσιν· ἀνὴρ δ' ὤριστος ὄλωλε,
Σαρπηδὼν, Διὸς υἱός· ὁ δ' οὐδ' οὗ παιδὸς ἀμύνει.
ἀλλὰ σὺ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
κοίμησον δ' ὀδύνας, δὸς δὲ κράτος, ὄφρ' ἑτάροισι
κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν·
αὐτός τ' ἀμφὶ νέκυι κατατεθνειῶτι μάχωμαι.
  Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.
αὐτίκα παῦσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.
Γλαῦκος δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, γήθησέν τε,
ὅττι οἱ ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
πρῶτα μὲν ὤτρυνε Λυκίων ἡγήτορας ἄνδρας,
πάντῃ ἐποιχόμενος, Σαρπηδόνος ἀμφὶ μάχεσθαι.
αὐτὰρ ἔπειτα μετὰ Τρῶας κιε, μακρὰ βιβάσθων,
Πουλυδάμαντ' ἐπὶ Πανθοΐδην, καὶ Ἀγήνορα δῖον·
βῆ δὲ μετ' Αἰνείαν τε, καὶ Ἕκτορα χαλκοκορυστὴν,
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
  Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἰς ἐπικούρων,
οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης
θυμὸν ἀποφθινύθουσι· σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν.

522. vulg. οὐδ' ᾧ παιδὶ ἀμύνει. οὐ Ϝοῦ παιδός. 523. με, Ϝάναξ. v. Obss. 529. δέ Ϝοι. 530. Ϝῆσιν. 531. ὅτι Ϝοι. 537. Ϝέπεα.

quam ut sit ἔβαλε τείχεος. pro ἀπὸ τοῦ τείχεος. *desuper de muro.* v. M. 387, 8.—516. κηδομένῳ, ὡς νῦν ἐγὼ κήδομαι, dolore crucior.—517. χεὶρ δὲ ἀμφιελήλαταί μοι ὀδύνῃσιν, διαπέπαρται, διελήλαται, est transfixa dolore ex vulnere: propter brachii motum inter pugnam.—522. ὁ δ' οὐδ' (ἀπὸ, ὑπὲρ) οὗ παιδὸς ἀμύνει (τὸν λοιγόν).—525. Λυκίοισιν ad κεκλόμενος, ἐποτρύνω (αὐτούς).—531. ὅττι οἱ. *in ejus gratiam.* εὐξαμένοιο (αὐτοῦ).

532—553. Glaucus vulnere sanato fortissimos Trojanorum arcessit ad Sarpedonis corpus tuendum et in Achivos irruit.—540. θυμὸν ἀποφθινύθουσι, *vitam perdunt:* ut

515. Δύνασαι δέ τε πάντοσ' ἀκούειν Ἀνέρι.] Δύναται δὲ πανταχόθεν εὐχὴ εἰς σὲ παραγενέσθαι λυπουμένου ἀνδρός. 516. Κηδομένῳ.] Ἀνιωμένῳ, λυπουμένῳ. 518. Ὀξείης.] Δριμείαις, χαλεπαῖς. Ἐλήλαται.] Διαπέπαρται. 519. Τερσῆναι.] Ξηρανθῆναι. Βαρύθει.] Βαρύνεται. 524. Κοίμισον.] Νῦν, κατάπαυσον. 525. Κεκλόμενος.] Παρακελευόμενος. 534. Βιβάσθων.] Προβαίνων.

κεῖται Σαρπηδὼν, Λυκίων ἀγὸς ἀσπιστάων,
ὃς Λυκίην εἴρυτο δίκῃσί τε καὶ σθένεϊ ᾧ·
τὸν δ' ὑπὸ Πατρόκλῳ δάμασ' ἔγχεϊ χάλκεος Ἄρης.
ἀλλὰ, φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῷ,
μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι, ὅσσοι ὄλοντο,
τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.
Ὣς ἔφατο· Τρῶας δὲ κατακρῆθεν λάβε πένθος
ἄσχετον, οὐκ ἐπιεικτὸν, ἐπεί σφισιν ἕρμα πόληος
ἔσκε, καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ' αὐτῷ
λαοὶ ἕποντ', ἐν δ' αὐτὸς ἀριστεύεσκε μάχεσθαι.
βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ' ἄρα σφιν
Ἕκτωρ, χωόμενος Σαρπηδόνος. αὐτὰρ Ἀχαιοὺς
ὦρσε Μενοιτιάδαο Πατροκλῆος λάσιον κῆρ·
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,
οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους.
κεῖται ἀνὴρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών· ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες,
τεύχεά τ' ὤμοιϊν ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῷ.
Ὣς ἔφαθ'· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.

542. σθένεϊ Fῷ. 545. ἀFεικίσσωσι. 559. ἀFεικισσαίμεθ'.

ἀπώλεσε θυμὸν et similia.—542. ὃς Λυκίην εἴρυτο. munera regis ex istarum ætatum notione h. l. reddita vides: tueri populum, justitia et fortitudine, illud pace, jure dicundo, hoc bello, pugnando. δίκῃσι judiciis, sententiis. l. pro δίκῃ, justitia.—543. Ἄρης pro *pugna*. et 546. Δαναῶν sc. ἕνεκα vel περί· ut 553 quoque.—548. κατακρῆθεν, vel κατάκρηθεν, quod nos *penitus*; prorsus. proprie, inde a vertice, a fastigio sc. ad ima.

553—562. Patroclus his conspectis arcessit et ipse auxiliatum Ajacem utrumque. —556. φίλον ἔστω σφῶϊν scil. ἐστὶ τοῖος, εἶναι τοῖος ἦτε.—558. ὃς πρῶτος v. M. 397. primus labefactavit vallum, et ab ea saltem parte primus irrupit.—559. ἀλλ' εἴ μιν. ut Lat. *quid? si. præclara res esset, si.* sed videamus, an.

542. Εἴρυτο.] Ἔσωζε. Δίκῃσί τε καὶ σθένεϊ ᾧ.] Εὐδικίᾳ καὶ δυνάμει ἰδίᾳ. 544. Πάρστητε.] Ἐγγὺς στῆτε. Νεμεσσήθητε.] Μεμπτὸν ἡγήσασθε. 545. Ἀεικίσσωσι.] Ὑβρίσωσιν, αἰκίσωνται, τιμωρήσωνται. 548. Κατακρῆθεν.] Κατὰ τῆς κεφαλῆς, κατὰ κρατός. 549. Ἄσχετον.] Ἀκατάσχετον, ἄφοβον. Οὐκ ἐπιεικτόν.] Οὐ μέτριον, οὐ φορητόν. Ἕρμα.] Ἔρεισμα, φύλαγμα. 550. Ἔσκεν.] Ἦν, ὑπῆρχεν. Ἀλλοδαπός.] Ἀλλογενὴς, ξένος. 552. Λελιημένοι.] Συστραφέντες, προθυμηθέντες. 554. Λάσιον κῆρ.] Συνετόν. Λάσιον κῆρ.] Συνετὴ ψυχή. Περίφρασις, ὁ τρόπος. 556. Σφῶϊν.] Ὑμῖν. 558. Ὃς πρῶτος ἐσή-

οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,
Τρῶες καὶ Λύκιοι, καὶ Μυρμιδόνες καὶ Ἀχαιοὶ,
σύμβαλον ἀμφὶ νέκυι κατατεθνειῶτι μάχεσθαι,
δεινὸν ἀΰσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
βλῆτο γὰρ οὔτι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν,
υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπειγεὺς,
ὅς ῥ' ἐν Βουδείῳ εὖ ναιομένῳ ἤνασσε
τὸ πρίν· ἀτὰρ τότε γ', ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας,
ἐς Πηλῆ' ἱκέτευσε, καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
οἱ δ' ἅμ' Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἕπεσθαι
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
τόν ῥα τόθ' ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
χερμαδίῳ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῷ
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο φθιμένου ἑτάροιο·
ἴθυσεν δὲ διὰ προμάχων, ἴρηκι ἐοικὼς
ὠκεῖ, ὅστε φόβησε κολοιούς τε, ψῆράς τε·
ὣς ἰθὺς Λυκίων, Πατρόκλεις ἱπποκέλευθε,

567. ὀλοϝήν. 568. ὀλοϝός. 569. ϝελίκωπας.
572. vulg. εὐναιομένῳ. ἐϝάνασσε. 576. ϝίλιον. 582. ἴρηκι ϝεϝοικώς.
583. vulg. ὅστ' ἐφόβησε.

563—632. Enarrantur singula strenue facta *in pugna circa Sarpedonis corpus:* ἀμφὶ νέκυι 565. quod in animum revocat inf. 638, 649, 661.—567, 8. Ad miraculum est ornatum, quod de pulverea nube in tumultu pugnantium concitata dici poterat: ut dictum est simpliciter E. 499—505. ubi subjicitur 607. ἀμφὶ δὲ νύκτα Θοῦρος Ἄρης ἐκάλυψε μάχῃ. Narratum erat: pugnatum esse acerrime; sequitur nunc, et nubes pulveris omnia caligine obduxerat. Versum hoc est in Jovis studium, et consilium ut clara esset fama pugnæ circa Sarpedonem factæ. Similia infra in pugna circa Patrocli corpus P. 268, 269, et 367. ubi v. notam.

571—580. Epigeus Budeo urbe cædis perpetratæ reus ad Peleum supplex confugerat; nunc Achillem comitatus ab Hectore cæditur. Βούδειον in Thessalia, et quidem Phthiotide, probabiliter editur.

581—592. Patroclo, ut sodalem ulcisceretur irruenti, cedunt Trojani. Sthene-

λατο τεῖχος Ἀχαιῶν.] Ἀντὶ τοῦ, διεσάλευσεν, ἐπλήρωσεν εἰσελθών. 563. Ἐκαρτύναντο.] Ἰσχυροποίησαν, ἠσφαλίσαντο. 572. Βουδείῳ.] Βούδειον, πόλις Θεσσαλίας. 574. Ἐς Πηλῆα.] Ἀντὶ τοῦ, πρὸς Πηλέα. 578. Ἄνδιχα.] Διχῶς, εἰς δύο. 583. Ψῆρας.] Ψάρας.

ἔσσυο καὶ Τρώων· κεχόλωσο δὲ κῆρ, ἑτάροιο.
καὶ ῥ᾽ ἔβαλε Σθενέλαον, Ἰθαιμένεος φίλον υἱὸν,
αὐχένα χερμαδίῳ, ῥῆξε δ᾽ ἀπὸ τοῖο τένοντας.
χώρησαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.
ὅσση δ᾽ αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,
ἥν ῥά τ᾽ ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ,
ἠὲ καὶ ἐν πολέμῳ, δηΐων ὕπο θυμοραϊστέων·
τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ᾽ Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,
ἐτράπετ᾽, ἔκτεινε δὲ Βαθυκλῆα μεγάθυμον,
Χάλκωνος φίλον υἱὸν, ὃς Ἑλλάδι οἰκία ναίων,
ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι.
τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρὶ,
στρεφθεὶς ἐξαπίνης, ὅτε μὶν κατέμαρπτε διώκων·
δούπησεν δὲ πεσών· πυκινὸν δ᾽ ἄχος ἔλλαβ᾽ Ἀχαιοὺς,
ὡς ἔπεσ᾽ ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο·
σταν δ᾽ ἀμφ᾽ αὐτὸν ἰόντες ἀολλέες. οὐδ᾽ ἄρ᾽ Ἀχαιοὶ
ἀλκῆς ἐξελάθοντο, μένος δ᾽ ἰθὺς φέρον αὐτῶν.
ἔνθ᾽ αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστὴν
Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς

595. Ἑλλάδι Ϝοικία.

laum, aversum, saxo percutit et cervicem frangit.—588. recedunt Trojani per tantum spatium, quantum pertingit jaculi jactus: et quidem tergis versis; unde v. 594. Glaucus vertit se ἐτράπετο et 598. στρεφθείς.—589. *αἰγανέης ταναοῖο jaculi longioris.*—590. πειρώμενος, experiens sc. quam longissime jaculari possit. Est enim absolute dictum pro vires experiri. E. 279. νῦν αὖ τ᾽ ἐγχείῃ πειρήσομαι αἴκε τύχοιμι. Plenior erat oratio in simili sententia O. 358. γεφύρωσε δὲ κέλευθον μακρὴν ἠδ᾽ εὐρεῖαν, ὅσον τ᾽ ἐπὶ δουρὸς ἐρωὴ γίγνεται, ὁππότ᾽ ἀνὴρ σθένεος πειρώμενος ἧσιν.—591. δηΐων ὕπο—forte pro ἐν δηΐοις. inter.

593—602. Glaucus conversus e fuga interimit Bathyclem; tum Trojani se ei iterum ad pugnandum adjungunt.—595. Ἑλλάδι. pago seu urbe Thessaliæ v. ad B. 684.—598. ὅτε μιν κατέμαρπτε διώκων. Bathycles fugientem Glaucum jamjam assequutus.—601. ἀμφ᾽ αὐτὸν, seu Glaucum; seu circa cæsum: ut armis spoliari posset.

603—607. Meriones, Idomenei sodalis, interimit Laogonum.—604. *Jovis Idæi* sacerdotem h. l. videmus, unde patet, aram et sacrum Jovis in Ida fuisse, poetam-

589. Αἰγανέης.] Εἴδους ἀκοντίου, πρὸς αἰγῶν ἄγραν ἐπιτηδείου. Ταναοῖο.] Εἰς μῆκος τεταμένης, μακρᾶς. 595. Ἑλλάδι.] Ἑλλὰς, πόλις Θεσσαλίας. ἧς οἱ πολῖται πρῶτοι εἶχον τοῦτο, καλεῖσθαι Ἕλληνες. Ἀπὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ Πύῤῥας. Ὕστερον δὲ πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν Ἕλληνες, ὀνόματι κοινῷ, ὥς φησι Θουκυδίδης ἐν τῇ Α. Πρότερον δὲ ἐκεῖνοι μόνοι Ἕλληνες ἐκαλοῦντο, οἱ δὲ ἄλλοι κατὰ ἔθνη ἕκαστος. ὥσπερ καὶ ὁ Ποιητὴς ἐν τῷ καταλόγῳ λέγει· Μυρμιδόνες δὲ καλοῦντο, καὶ Ἕλληνες, καὶ Ἀχαιοί. 596. Ὄλβῳ.] Εὐδαιμονίᾳ, πλούτῳ. 600. Κεχάροντο.] Ἐχάρησαν. 603. Κορυστήν.] Πολεμι-

Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμῳ·
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος·
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
ἔγχεος· ἐνθάδ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης·
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
ᾤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο, φώνησέν τε·
Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστήν περ ἐόντα,
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σε βάλον περ.
Τὸν δ' αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα·
Αἰνεία, χαλεπόν σε, καὶ ἴφθιμόν περ ἐόντα,
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σευ ἄντα
ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.

609. *Ϝέλπετο.* 610. *ἄντα Ϝιδών.* 618. Vulg. *εἴ σ' ἔβαλόν περ.*

que probabiliter Jovi sedem in Ida tribuere potuisse. Sacerdotes autem ab armis tractandis nec abhorrere, nec liberari illa ætate, jam aliquoties vidimus.

608—631. Æneas Merione frustra hasta petito indignatur; Merionen ei respondentem, Patroclus increpans, pugnandi, non verba inaniter faciendi, locum esse ait. —609. *τεύξεσθαι (αὐτοῦ) προβιβῶντος ὑπασπίδια. ὑπ' ἀσπίδος. ut clipeo se tegeret.* Non bene jungeres: *τεύξεσθαι ὑπασπίδια*, ut hastam subter telum incideret corpori. Vidimus jam N. 158. *κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων.*—612, 613. De his v. ad N. 443, 4. Tertius locus est inf. P. 528, 9. Placet inter plura, *Martem* appellari *impetum*, intento pugnantis robore, *hastæ emissæ impressum*, vim suam amittere. —617. *ὀρχηστήν περ ἐόντα* ad motum corporis refer in evitanda hasta, uti chori cum motu corporis et gestu ducebantur. Ne autem hæc, etsi per se satis otiosa, pro nugatoriis habeantur, sic eloquere: Bene tibi, quod motu corporis evitasti hastam! quæ, qua vi jacta erat, facile te trajecisset. *τάχα confestim.*—620—625. Non expectandum esse Æneæ ait, ut omnes hastæ ab eo emissæ attingant eos qui petunστήν. 609. Τεύξεσθαι.] Ἐπιτυχεῖν. Ὑπασπίδια προβιβῶντος.] Ὑπὸ τὴν ἀσπίδα βαίνοντος. 610. Ἄντα ἰδών.] Ἀντικρὺ σκοπήσας. 612. Ἐνισκίμφθη.] Ἐγκατεσχέθη, ἐνεπάγη. Οὐρίαχος.] Τὸ ὄπισθεν μέρος τοῦ δόρατος. ὃ καὶ σαυρωτὴρ καλεῖται. Πελεμίχθη.] Διεσείσθη, ἐτινάχθη. 613. Ἄρης.] Νῦν, ὁ σίδηρος. 617. Ὀρχηστήν περ ἐόντα.] Εὐκίνητον κατὰ τὸν πόλεμον. ὅ ἐστι, συγκεκροτημένον τὰ πολεμικὰ καλῶς. Ἐπυῤῥίχιζον γὰρ τοῖς ὅπλοις οἱ Κρῆτες πρὸς ἄσκησιν τῶν πολεμικῶν. ὅ ἐστι, σὺν τοῖς ὅπλοις τὴν πυῤῥίχιον καὶ ἔνοπλον ὄρχησιν ἠσκοῦντο. Τρία γὰρ εἴδη ὀρχήσεως· πυῤῥίχη, σίκιννις, ἥτις ἐστὶν ἱερατική, καὶ ὁ σκορδακισμὸς, αἰσχρός τις ὢν καὶ βεβήλοις ἁρμόδιος. 621. Σβέσαι μένος.] Καθελεῖν τὴν δύναμιν. κτεῖναι.

εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
αἶψά κε, καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς,
εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
Ὣς φάτο· τὸν δ' ἐνένιπτε Μενοιτίου ἄλκιμος υἱός·
Μηριόνη, τί σὺ ταῦτα, καὶ ἐσθλὸς ἐὼν, ἀγορεύεις;
ὦ πέπον, οὔτι Τρῶες ὀνειδείοις ἐπέεσσι
νεκροῦ χωρήσουσι· πάρος τινὰ γαῖα καθέξει·
ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ', ἐνὶ βουλῇ·
τῷ οὔτι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.
Ὣς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
τῶν δ' ὥστε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν
οὔρεος ἐν βήσσης, ἕκαθεν δέ τε γίγνετ' ἀκουή·
ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης,
χαλκοῦ τε, ῥινοῦ τε, βοῶν τ' εὖ ποιητάων,
νυσσομένων ξίφεσι τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεσσι, καὶ αἵματι, καὶ κονίῃσιν,
ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι

625. ᾽ΑϜίδι. 628. Ϝεπέεσσι. 630. Ϝεπέων. 632. Ϝειπών. ἕσπετο Ϝισόθεος. 634. Ϝέκαθεν. 636. vulg. εὐποιητάων. 640. Ϝείλυτο.

tur. tu enim mortalis es etc.—623. *βάλοιμί σε μέσον, τυχὼν* (*σου*). Non *τυχεῖν* in Homero cum quarto casu ponitur.—629. *νεκροῦ* Sarpedonis; *πάρος τινὰ* e propugnantibus, ne corpore potiantur Trojani.—630. *ἐν γὰρ χερσὶ τέλος πολέμου* summa belli sita est in viribus; ad verba quæ quis facit, redit summa rerum in consiliis, quæ habentur: non autem in pugna.—631. *μῦθον ὀφέλλειν. protrahere.* multa verba facere. Nam *ὀφέλλειν* non modo de *copia et auctu*, (cf. inf. 651.) verum et de tempore protracto.

633—665. Pugna congredientium circa Sarpedonis corpus redintegrata a Patroclo et Merione: donec cedentibus Lyciis spoliatur a Patroclo Sarpedonis corpus. Hæc simplex narratio epica arte ornatur. Comparationem 633. cum lignatorum ictibus et fragore inde orto per silvam nemo improbet.—636. fragor fit allisis et percussis æreis thoracibus galeisque et scutis.—638, 9, 640. adeo pulvere, vulneribus, telis immissis totus erat obtectus, ut vix agnosceret eum aliquis *καί περ φράδμων, ἐγνωκὼς αὐτόν*.—*εἴλυτο*, proprie ad *κονίῃσιν* spectat. *ἐνεκάλυπτο*.

641—4. Comparatio in turbæ confusæ motu constituenda est; *πρὸς τὸ πλῆθος καὶ*

626. Ἐνένιπεν.] Ἐπέπληξεν, ὠνείδισεν. 628. Οὔτοι Τρῶες ὀνειδείοις ἐπέεσσι Νεκροῦ χωρήσουσιν.] Ἀντὶ τοῦ, οὐδὲ ὀνειδιζόμενοι, οὐδὲ κακολογούμενοι, οἱ Τρῶες ὑπείξουσι τοῦ πολέμου. 630. Ἐν γὰρ χερσὶ τέλος πολέμου· ἐπέων δ' ἐνὶ βουλῇ.] Ὁ πόλεμος μὲν γὰρ χειρῶν δεῖται πρὸς κατόρθωσιν· βουλὴ δὲ καὶ ἐκκλησία λόγων. 631. Ὀφέλλειν.] Αὔξειν. 633. Δρυτόμων.] Ξυλοτόμων. 635. Εὐρυοδείης.] Μεγαλαμφόδου, πλατείας. 638. Φράδμων.] Διαγνωστικὸς, ὀξὺς, ἢ ἔμπειρος. Ὁ δὲ λόγος· οὐδὲ ὁ πάνυ γνώριμός φησι καὶ συνήθης τῷ Σαρπηδόνι, ἠδύνατο γνωρίσαι αὐτὸν, διὰ τὸ αἵματι καὶ κόνει πεφύρθαι. 640. Εἴλυτο.] Ἐκεκάλυπτο. 641. Ὁμίλεον.] Συνεστρέφοντο.

σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας,
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον. οὐδέ ποτε Ζεὺς
τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινὼ,
ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῷ
πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων,
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
αὐτοῦ ἐπ' ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
χαλκῷ δῃώσῃ, ἀπό τ' ὤμων τεύχε' ἕληται,
ἢ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειε πόνον αἰπύν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ὄφρ' ἠῢς θεράπων Πηληϊάδεω Ἀχιλῆος
ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
ὤσαιτο προτὶ ἄστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα φύζαν ἐνῶρσεν·
ἐς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλους
Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι μένον, ἀλλὰ φόβηθεν
πάντες, ἐπεὶ βασιλῆα ἴδον βεβλημένον ἦτορ,
κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἐπ' αὐτῷ

643. ὥρῃ Ϝειαρινῇ. 648. vulg. κᾀκεῖνον. 652. δέ Ϝοι. 655. προτὶ Ϝάστυ. 656. vulg. ἀνάλκιδα θυμόν. 659. vulg. ἀλλ' ἐφόβηθεν. 660. βασιλῆα Ϝίδον.

τὸ πρόθυμον ait Sch. B. neque assumenda tenuitas animalculorum. ὁμιλεῖν de turba (ὁμίλῳ) pugnantium, μυῖαι βρομεῖν dicuntur κατὰ πέλλας περιγλαγέας, pro, *inter* vasa lacte plena; seu per locum, in quo vasa reposita sunt.

644—655. Varia pugnæ fortuna petitur a Jovis consilio ac decreto, deliberatione facta, statimne nunc Hectori traderet Patroclum necandum, an permitteret, ut antea iterum superior esset pugna Patroclus. Jovem nunc ex Olympo prospicere, recordandum est; cf. ad 432.—647. φράζετο μερμηρίζων, ἢ δῃώσῃ, ἢ ὀφέλλειε. v. ad vs. 243.

656—665. Hectore fugiente fugiunt Trojani et Lycii. Sarpedonis corpus spoliatur a Patroclo.

658. γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα h. *voluntatem* Jovis, cui est cedendum; ut bene Ernesti. Declaranda verba sunt ex Θ. 69. Unde tamen Hector mentem Jovis intellexit? scilicet cum videret, imparem se esse Achivorum virtuti et robori. Supra 362. eodem sensu Hector γίγνωσκε μάχης ἑτεραλκέα νίκην.—660. βεβλημένον (κατὰ τὸ)

642. Σταθμῷ.] Τῇ τῶν βοσκημάτων στάσει καὶ ἐπαύλει. Βρομέωσι.] Ποιὸν ἦχον ἀποτελοῦσι. Γλαγέας.] Γάλακτι πεπληρωμένας. 643. Ὥρῃ ἐν εἰαρινῇ.] Ἐν τῇ τοῦ ἔαρος ὥρᾳ. Γλάγος.] Γάλα. Δεύει.] Βρέχει, ὑγραίνει, ἢ πληροῖ. 646. Κατ' αὐτούς.] Ἀντὶ τοῦ, ἐπ' αὐτούς. 652. Δοάσσατο.] Ἔδοξεν, ἐφάνη. 658. Διὸς ἱρὰ τάλαντα.] Τὰ τοῦ Διὸς ζυγὰ, τὰ ἱερὰ τάλαντα. 661.

κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
οἱ δ' ἄρ' ἀπ' ὤμοιϊν Σαρπηδόνος ἔντε' ἕλοντο,
χάλκεα, μαρμαίροντα, τὰ μὲν κοίλας ἐπὶ νῆας
δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα,
πολλὸν ἄπο προφέρων, λοῦσον ποταμοῖο ῥοῇσι,
χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
θήσουσ' ἐν Λυκίης εὐρείης πίονι δήμῳ·
ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔται τε,
τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων·
βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν·
αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας,
πολλὸν ἄπο προφέρων, λοῦσε ποταμοῖο ῥοῇσι,
χρῖσεν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσε·
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν· οἵ ῥά μιν ὦκα
κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.

670. ἄμβροτα Fείματα Fέσσον. 674. ἔνθα Fὲ—κασίγνητοί τε, Fέται τε.
680. ἄμβροτα Fείματα Fέσσε.

ἦτορ, hasta trajectis præcordiis.—662. *εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων. ex quo utrinque acerrime pugnatum erat.* v. ad Λ. 336. Ξ. 389.

667—683. Sarpedonis corpus, etsi nudum, in patriam reportatur. Jovis jussu ab Apolline id curatum narrat poeta.

667. ἐλθὼν κάθηρον, h. e. ἐλθὲ καὶ κάθαιρε Σαρπηδόνα (κατὰ τὸ) αἷμα ἐκ βελέων (*purga Sarpedonis corpus a sanguine e vulneribus*) καὶ ἔπειτα λοῦσόν μιν. molesta est in his junctura verborum: apertior sententia mox vs. 678, 9, 680.—669. ποταμοῖο ῥοῇσιν. Scamandrum intelligimus, quippe locis in quibus pugnabatur, propiorem. cf. sup. ad 395—397.—670. *ambrosia* etiam h. l. pro unguento quo corruptio avertitur.—671. e Junonis suasu sup. 453. sqq. quæ confer. Suavissimum autem inventum hoc et magno poeta dignum: cum Sarpedonis corpus exanimum transferendum esset in patriam, deportari illud a *Somno et Morte*, gemellis. Variatum in Quinto II. 549. sq. Memnone cæso mittuntur a matre Aurora Venti ad absportandum corpus et iterum in Glauco cæso IV. pr.—673. θήσουσι. καταθήσουσιν. inf. 683. κάτθεσαν ἐν δήμῳ Λυκίης, ἐν χώρᾳ, γῇ.—677. In Ida adhuc sedisse Jovem putes, ut mandatis a Jove acceptis Apollo Ida descenderet: quod ceteris haud convenit. Jovem enim in Olympo sedisse proditur locis aliis. v. Not. ad vs. 431.

Ἀγύρει.] Τῷ ἀθροίσματι. 681. Πομποῖσι.] Τοῖς παραπέμπουσιν αὐτὸν καὶ παρακομίζουσι. Κραιπνοῖσι.] Ταχέσι.

682. Διδυμάοσι.] Διδύμοις. 683. Ἐν πίονι δήμῳ. Ἐν πολλῷ καὶ εὐδαίμονι ὄχλῳ.

Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας,
Τρῶας καὶ Λυκίους μετεκίαθε· καὶ μέγ' ἀάσθη,
νήπιος· εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν,
ἦτ' ἂν ὑπέκφυγε Κῆρα κακὴν μέλανος θανάτοιο.
ἀλλ' αἰεί γε Διὸς κρείσσων νόος, ἠέ περ ἀνδρῶν,
ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι·
ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκεν.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Πατρόκλεις, ὅτε δή σε θεοὶ θανατόνδε κάλεσσαν;
Ἄδρηστον μὲν πρῶτα, καὶ Αὐτόνοον, καὶ Ἔχεκλον,
καὶ Πέριμον Μεγάδην, καὶ Ἐπίστορα, καὶ Μελάνιππον·
αὐτὰρ ἔπειτ' Ἔλασον, καὶ Μούλιον, ἠδὲ Πυλάρτην·
τοὺς ἕλεν· οἱ δ' ἄλλοι φύγαδε μνώοντο ἕκαστος.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
Πατρόκλου ὑπὸ χερσί, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν·
εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου
ἔστη, τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων.
τρὶς μὲν ἐπ' ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων,

685. ἀϝάσθη. 686. εἰ δὲ ϝέπος. 691. ὅς ϝοι.
697. μνώοντο ϝέκαστος. vulg. φύγαδ' ἐμνώοντο. 701. ὀλόϝα.

684—711. Patroclus, iterum conscenso curru, Achillis mandatorum immemor, juveniliter exsultans, Trojanos fugientes persequitur, multisque cæsis ipsos muros Trojæ adortus ab Apolline repellitur.

685. *μέγ' ἀάσθη*, vel: *ἐβλάβη τὰς φρένας. admodum stulte egit.* vel: et *magnum sibi malum arcessivit.*—688. Sed fatale hoc erat, Patroclum in fugam conjectos Trojanos persequi, quo longius a castris provectus, et viribus exhaustis deficiens, necaretur; ut ejus mortis ulciscendæ cupiditate incensus Achilles iterum arma sumeret: cum jam effectum esset id, quod Jupiter propositum habuerat, ut Achivi, propulsis a Patroclo et Myrmidonibus Trojanis, quos ipsi Achivi sustinere haud potuerant, intelligerent, omnem eorum salutem in Achillis virtute positam esse.—689. *ἀφείλετο, ἀφαιρεῖται.*—690. *ὁτὲ δ' αὐτος—interdum autem pugnandi ardorem injicit.*—691. *θυμὸν ἀνῆκε. eum exstimulavit*, ut longius quam debebat a castris procederet.—697. *φύγαδε μνᾶσθαι*, h. *τρέπεσθαι εἰς φύγα, φυγήν.*—700. Apollo a muris Trojæ prospiciens tanquam tutela urbis; alibi ex acropoli.—702. *ἐπ' ἀγκῶνος τείχεος ἔβη.* de conatu; voluit conscendere; *ἐπέβη τοῦ ἀγκῶνος, adortus est murum*, qua parte prominebat

685. Μετεκίαθεν.] Ἀντὶ τοῦ, μετήρχετο. Ἀάσθη.] Ἐβλάβη. 697. Ἐμνώοντο.] Μνήμην ἐποιοῦντο. 698. Ὑψίπυλον.] Ὑψηλὴν, μεγάλην. 699. Περὶ πρὸ γὰρ ἔγχεϊ θῦε.] Ὑπὲρ γὰρ τοὺς ἄλλους ἴσχυε. καθ' ὑπερβολὴν καὶ ἐνθουσιωδῶς ὥρμα. ὅ ἐστιν, ἐμμανῶς ἐμάχετο σὺν τῷ δόρατι. 702. Ἀγκῶνος.] Νῦν, τῆς τοῦ τείχους ἐξοχῆς. 703. Ἀπεστυφέλιξεν.] Ἀπεσείσατο. 708.

χείρεσσ' ἀθανάτῃσι φαεινὴν ἀσπίδα νύσσων·
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
δεινὰ δ' ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων·
Χάζεο, Διογενὲς Πατρόκλεις, οὔ νύ τοι αἶσα,
σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
οὐδ' ὑπ' Ἀχιλλῆος, ὅσπερ σέο πολλὸν ἀμείνων.
Ὣς φάτο· Πάτροκλος δ' ἀνεχάζετο πολλὸν ὀπίσσω,
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
Ἕκτωρ δ' ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους·
δῖζε γὰρ, ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσσας,
ἦ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.
ταῦτ' ἄρα οἱ φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων,
ἀνέρι εἰσάμενος αἰζηῷ τε, κρατερῷ τε,
Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
ὃς Φρυγίῃ ναίεσκε ῥοῇς ἔπι Σαγγαρίοιο·
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ', ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
τῷ κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.

704. vulg. χείρεσιν. 705. δαίμονι Fῖσος. 706. FεκάFεργος.
711. Fεκατηβόλου.—vulg. ἀλευόμενος. 714. ὁμοκλήσειε Fαλῆναι.
715. ἄρα Fοι. 716. ἀνέρι Fεισάμενος. 720. τῷ μιν ἐFεισάμενος vel μιν Fεισάμενος. Tum vulg. προσεφώνεε Φοῖβος Ἀπόλλων.

pars muri inflexa in cubiti morem: (*Rondel*)—704. dignum dei numine, quod manu repulso clipeo Patroclum repulit. Similis Minervæ tactus, quo sagittam a Menelao avertit Δ. 127. sq.—706. δεινὰ δ'—in apodosi δέ.—709. Ab Achille Trojam non captam esse, præmonuit poeta; ut plura ex post-Iliacis h. e. ex iis, quæ Iliadis argumento seriora sunt.

712—725. Receperat se Hector cum copiis, ab hoste cedere coactus, sub mœnia; inde animo confirmato conversus iterum in Achivos invehitur; tribuitur hoc monito Apollinis in Asii personam versi.

712. Porta Scæa Achivis obversa cf. Γ. 149. Ζ. 392, 393. Substitit Hector ἐν Σκαιῇσι· circa portam.—714. ἀλῆναι. συστραφῆναι. ἀλέω idem quod εἰλέω. Utque εἰλέω, scribitur, sic et scribitur ἀλέω. In prioribus libris non nisi Ε. 823. obvium: abhinc autem sæpius Σ. 76. ἀλήμεναι. Inde sup. 403. ἀλεῖς. ἀλὲν ὕδωρ Ψ. 420. ἀλέντες Φ. 534. ubi vide. ἔαλη et ἐάλη Ν. 408 et al. pro ἥλη. ἀλεν Χ. 12.—716. *Asius* Hecubæ frater e Dymante; eoque Hectoris patruus a matre. Diversus hic Asius ab Hyrtaci filio quem vidimus Β. 837. sq. Μ. 35. sq. cæsum Ν. 384. sq.—723. τῷ κε τάχα στυγερῶς πο-

Πέρθαι.] Πορθηθῆναι. Ἀγερώχων.] Ἄγαν ἐντίμων, πολεμικῶν. Σημαίνει δὲ ἀλλαχοῦ τὸ αὐθαδῶν, καὶ ὑβριστῶν. 713. Δίζεν.] Ἀμφέβαλλεν, ἐδίσταζε. Κλόνον.] Ταραχὴν, θόρυβον.] 714. Ὁμοκλήσειεν.] Ἀπειλήσει, κελεύσει. Ἀλῆναι.] Συστραφῆναι. 717. Μήτρως.] Μητρὸς ἀδελφός. 723. Ἀπερωήσειας.]

ἀλλ' ἄγε, Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους,
αἴκεν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν.
Κεβριόνῃ δὲ κέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
ἵππους ἐς πόλεμον πεπληγέμεν. αὐτὰρ Ἀπόλλων
δύσεθ' ὅμιλον ἰών· ἐν δὲ κλόνον Ἀργείοισιν
ἧκε κακὸν, Τρωσὶ δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα, οὐδ' ἐνάριζεν·
αὐτὰρ ὁ Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους.
Πάτροκλος δ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε,
σκαιῇ ἔγχος ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον
μάρμαρον, ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν,
ἧκε δ' ἐρεισάμενος, οὐδὲ δὴν χάζετο φωτός.
οὐδ' ἀλίωσε βέλος· βάλε δ' Ἕκτορος ἡνιοχῆα
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆος Πριάμοιο,
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέϊ λᾶϊ·

726. ϝειπών. 727. vulg. δ' ἐκέλευσε. 732. vulg. ἔπεχε.
735. τόν ϝοι. v. Obss.

λίμου ἀπερωήσειας. quod 721. ἀποπαύεσθαι a pugnando, nunc est ἀπερωεῖν. *magno cum malo tuo;* male tibi hoc foret, quod ita feriaris et otiosus adstas, κολαστέος εἶς. loquitur autem ex avunculi persona et auctoritate.—724. ἔφεπε ἵππους Πατρόκλῳ, *immitte currum. irrue in Patroclum.*

727—782. Hector in Achivos invectus Patroclum petit: qui de curru desiliens saxo Cebrionem Hectoris aurigam prosternit, eique illudens spolia colligere incipit; Hector obsistit; exoritur inter utrumque pugna—765. mox adjungunt se pugnantibus utrinque alii, donec die jam advesperascente Achivi Cebrionis corpore potiuntur;—782.—Cebriones auriga successerat in locum Archeptolemi cæsi sup. Θ. 312. 318.

735. πέτρον, τόν οἱ περιεκάλυψεν ἡ χείρ. h. e. χερμάδιον. χειροπληθῆ.—736. οὐδὲ δὴν χάζετο φωτός. Ex vulgari usu χάζεσθαι est recedere, ὑποχωρεῖν. ut inf. 817. E. 440, 3, et al. Ita sensus esset: nec Patroclus multum ab Hectore abstitit, pro, prope ei adstitit. si subjectum esse dixeris πέτρον, quod tamen incommode fit, saxum non multum recessit, abfuit, quominus eum attingeret; attigit tamen Cebrionem. Sensus tamen postulat, ut accipiatur: *nec Patroclus* ab Hectore *aberravit multum.* Altera lectio est ἅζετο, non veritus est, pro ἀπείσχετο. etiam durius dictum. Mutavi interpunctionem.—737. *Nec saxum incassum emisit* οὐχ ἅλιον βέλος ἧκε. Sic Od. E. 104. Διὸς νόον ἁλιῶσαι. Inter hæc quærere licet, cur non hasta usum esse fecerit poeta Patroclum sed saxo? forte, ut servaret hastam in Hectorem; saltem variandi con-

Ἀποχωρήσειας. 724. Πατρόκλῳ ἔφεπε.] Ἐπὶ τῷ Πατρόκλῳ ὅρμα, διώκων αὐτόν. 728. Πεπληγέμεν.] Μαστίζειν. 731. Ἔα.] Συνεχώρει, εἴα. Ἐνάριζεν.] Ἀνῄρει, ἐφόνευε. 735. Μάρμαρον.] Λευκὸν λίθον. Ὀκριόεντα.] Τραχύν. 736. Ἐρεισάμενος.] Πᾶσαν δύναμιν εἰσενεγκάμενος, καὶ ἐπιπεσών. Οὐ δὲ δὴν ἅζετο φωτός.] Οὐδὲ ἐπὶ πολὺν χρόνον ἀπείχετο τοῦ ἀνδρός. 737. Ἀλίωσε.] Μάταιον ἐποίησε. Βέλος.] Νῦν φησι τὸν λίθον. 738. Ἀγακλῆος.] Ἄγαν ἐνδόξου. 739. Μετώπιον.] Τὸ τῆς περικεφαλαίας, τὸ κατὰ τοῦ μετώπου

ἀμφοτέρας δ' ὀφρῦς σύνελε λίθος, οὐδέ οἱ ἔσχεν
ὀστέον· ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
αὐτοῦ πρόσθε ποδῶν· ὁ δ' ἄρ', ἀρνευτῆρι ἐοικὼς,
κάππεσ' ἀπ' εὐεργέος δίφρου· λίπε δ' ὀστέα θυμός.
τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεις ἱππεῦ·
Ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾷ.
εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε, τήθεα διφῶν,
νηὸς ἀποθρώσκων, εἰ καὶ δυσπέμφελος εἴη·
ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ·
ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν.
Ὣς εἰπὼν, ἐπὶ Κεβριόνῃ ἥρωϊ βεβήκει,
οἶμα λέοντος ἔχων, ὅστε, σταθμοὺς κεραΐζων,
ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
ὣς ἐπὶ Κεβριόνῃ, Πατρόκλεις, ἆλσο μεμαώς.
Ἕκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε.
τὼ περὶ Κεβριόναο, λέονθ' ὣς, δηρινθήτην,

740. οὐδέ Fοι. 742. ἀρνευτῆρι FεFοικώς. 743. εὐFεργέος.
751. Fειπών. 753. στῆθος, ἑFή.

silio.—740. οὐκ ἀντεῖχεν os frontale.—742. ἀρνευτῆρι ἐοικώς· urinatoris specie jam supra usus erat M. 385.

745—750. Condonandus est χλευασμὸς rudioribus hominibus; abhorret melior humanitas, et melius animi judicium ac decori sensus; friget tamen vel sic inepta cavillatio.—κυβιστᾷν, ἵστασθαι ἐπὶ κεφαλῇ, quæ et κύβη fuit: et homines dicti κυβιστητῆρες.—747. πολλοὺς ἂν κορέσειε, *magnam testarum copiam paraturus esset*; declaratum per id quod sequitur, ut satietatem ita afferat vescentibus—τήθεα διφῶν, genus ostrearum. ἐρευνῶν. proprie ψηλαφῶν.—748. εἰ καὶ δυσπέμφελος εἴη. sc. ὁ πόντος. vel ἅλς, ap. Hesiod. Ἐργ. 618. ναυτιλίη δυσπέμφελος. Theog. 440. οἱ γλαυκὴν δυσπέμφελον ἐργάζονται. quem versum Schol. A. ad l. l. excitat.

751—776. Super Cebrionis corpore pugnatur a victore Patroclo et ab Hectore; utrique suæ se adjungunt copiæ.

751. ἐπιβεβηκέναι et 754. ἐφάλλεσθαι vel ἐφῆλθαί τινι eodem sensu.—In comparatione est impetus leonis ad mortem vulnerati, qui putandus est in eum, a quo vulneratus est, collectis viribus et ira irruere; vulnus tamen ipsum ad comparationem non spectat; non vulneratus erat Patroclus, nec a Cebrione.—755. Diversa hæc comparatio a superiore: nunc duo leones fame in rabiem acti de cadavere, in quod ambo inciderant, pugnant: sic duo viri bellicosi, vs. 759. digladiantur inter se de corpore Cebrionis.

κεφάλαιον. 740. Σύνελε.] Συνέτριψεν. Ἔσχεν.] Ἐπέσχεν, ἐκώλυσεν. 742. Ἀρνευτῆρι.] Κυβιστητῆρι. Ἀπὸ μεταφορᾶς τῶν ἀρνῶν. οὗτοι γὰρ ἐν τῷ τρέχειν τὴν κεφαλὴν ἐπισείουσιν. 744. Κερτομέων.] Παροξύνων, χλευάζων. 745. Ἐλαφρός.] Εὐκίνητος. 747. Τήθεα.] Εἶδος ὀστρέων. Οἱ δὲ ἁπλῶς, ὄστρεα. Διφῶν.] Ζητῶν, ἐρευνῶν. 748. Δυσπέμφελος.] Δυσάρεστος, δυσκίνητος. ἢ, ὡς Ἡσίοδός φησι, δυσχείμερος. 751. Ἐπὶ Κεβριόνῃ ἥρωϊ.] Ἀντὶ τοῦ, ἤλαυνεν ἐπὶ τῷ Κεβριόνῃ. 752. Οἶμα.] Ὅρμημα. Σταθμούς.] Νῦν, τὰς ἐπαύλεις. Κεραΐζων.] Πορθῶν. Διαφθείρων. ἀφανίζων. 754. Ἆλσο.] Ὥρμησας, ἥλω. 756. Δηρινθήτην.] Ἐμαχέσαντο.

ὥ τ᾽ ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο,
ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀϋτῆς,
Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ,
ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν, οὐχὶ μεθίει·
Πάτροκλος δ᾽ ἑτέρωθεν ἔχε ποδός· οἱ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
  Ὡς δ᾽ Εὖρός τε Νότος τ᾽ ἐριδαίνετον ἀλλήλοιϊν
οὔρεος ἐν βήσσῃς βαθέην πελεμιζέμεν ὕλην,
φηγόν τε, μελίην τε, τανύφλοιόν τε κράνειαν,
αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων·
ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ᾽ ἀλλήλοισι θορόντες
δήουν, οὐδ᾽ ἕτεροι μνώοντ᾽ ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ᾽ ὀξέα δοῦρα πεπήγει,
ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες·
πολλὰ δὲ χερμάδια μεγάλ᾽ ἀσπίδας ἐστυφέλιξε
μαρναμένων ἀμφ᾽ αὐτόν· ὁ δ᾽ ἐν στροφάλιγγι κονίης
κεῖτο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
  Ὄφρα μὲν Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
τόφρα μάλ᾽ ἀμφοτέρων βέλε᾽ ἥπτετο, πῖπτε δὲ λαός·

761. Ϝίεντ᾽. 769. Ϝηχῇ—δέ τε Ϝαγνυμενάων. 771. ὀλοϜοῖο.

brionis.—762. ἐπεὶ ἔλαβε τὸν νεκρὸν (ἐν) τῇ κεφαλῇ vel κατὰ τῆς κεφαλῆς, si scripseris κεφαλῆφι.—765. pugna asperrima exoritur circa Cebrionis corpus, ut supra de Sarpedonis corpore. Comparatur illa cum pugna duorum ventorum ex adversis partibus ruentium. ἐριδαίνετον (ὡς) πελεμιζέμεν pro πελεμίζοντες, *certatim agitant*, ita ut rami mutuo sibi illidantur.—769. πάταγος δέ τε dura omissio τοῦ, γίνεται· cf. Λ. 800. Comparatio ornatissima.—773. ἀπὸ νευρῆφι θορόντες. ἀποθορόντες τῆς νευρᾶς.—776. λελασμένος ἱπποσυνάων pro ἱπποσύνης. et hoc pro vulgari τῆς ἱππασίας. non tam illudendi quam miserandi caussa adjectum. *peritus ille auriga ecce jacet.*

777—828. Post medium diem, Sole jam vergente, inclinata est pugna et Trojani coacti cedere corpus Cebrionis Achivis spoliandum. Patroclus successu ferociens mortem sibi arcessit; manu Apollinis percussus, et viribus privatus, ab Euphorbo a tergo vulneratus, tandem ab Hectore confectus. De notatione autem temporis parum tempestiva v. Excurs. ad XII. *de castrorum oppugnatione* sub. f.

761. Ἵεντο.] Προεθυμοῦντο. 764. Σύναγον.] Συνέβαλλον, συνῆπτον. 765. Ἐριδαίνετον.] Ἐρίζουσι, φιλονεικοῦσι. 766. Πελεμιζέμεν.] Κινεῖν. 767. Τανύφλοιον.] Μακρὸν φλοιὸν ἔχουσαν, εὖϊνον. 768. Τανυήκεας.] Ἐκτεταμένους, μακρούς. 769. Πάταγος.] Ψόφος. Ἀγνυμενάων.] Κατασσομένων, κλωμένων. 770. Θορόντες.] Ἐπιπηδῶντες. 775. Στροφάλιγγι.] Συστροφῇ. 776. Μέ-

ἦμος δ' Ἠέλιος μετενίσσετο βουλυτόνδε,
καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν·
ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο.
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε·
τρὶς μὲν ἔπειτ' ἐπόρουσε, θοῷ ἀτάλαντος Ἄρηϊ,
σμερδαλέα ἰάχων· τρὶς δ' ἐννέα φῶτας ἔπεφνεν·
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
ἔνθ' ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή·
ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ
δεινός. ὁ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν·
ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε.
στῆ δ' ὄπιθε, πλῆξεν τε μετάφρενον, εὐρέε τ' ὤμω
χειρὶ καταπρηνεῖ· στρεφεδίνηθεν δέ οἱ ὄσσε.

779. vulg. μετενείσσετο. 781. ἥρωα Fέρυσσαν. 785. σμερδαλέα FιFάχων. 786. δαίμονι Fῖσος. 791. vulg. πλῆξεν δέ. 792. δέ Fοι.

780. ὑπὲρ αἶσαν hactenus, quod fato constitutum erat hoc die Trojanos superiores fieri pugna; attamen nunc in fugam conjecti sunt: hac de forma loquendi v. ad Z. 487, 8. cf. P. 321.—καὶ iterum in apodosi.—787. Non magna sagacitate opus est ad assequendum, qui fundus veri facti, quod aut fama acceperat Homerus aut sumserat tanquam acceptum, subesse videri debeat: nimia virium intentione, qua usque ad furorem et rabiem inflammatus sævierat, tandem exhaustus Patroclus stupori ac defectioni animi propior fuerat; ita ut arma movere ulterius haud posset. Est hoc, quod alias est θέλγειν, ut N. 435. Neptunus ὑπ' Ἰδομενῆϊ δάμασσε Alcathoum θέλξας ὄσσε φαεινά, πέδησε δὲ φαίδιμα γυῖα· οὐδὲ γὰρ ἐξοπίσω φυγέειν δύνατ' οὔτ' ἀλέασθαι etc. Virgilius similem fortunam Turni expressit: cum saxum arreptum in Æneam torquere vellet, lib. XII. 903. *Sed neque currentem se nec cognoscit euntem, Tollentemve manu saxumque immane moventem; Genua labant, gelidus concrevit frigore sanguis.* Epice hoc præclarum in modum ornavit poeta: Patroclum Apollo percussit manu, vertigo obnubilavit oculos; capite pendente decidit galea; hasta confracta est, clipeus prolapsus, thoracis vincula soluta: ita mens obstupuit, genua labarunt, mentis haud compos stetit. Ita ab Euphorbo hasta percutitur; recedens ab Hectore conficitur. Nihil in his est, quod non et per se probabile, et ingeniose inventum, et cum poetica vi enuntiatum sit. Hectoris quidem gloria valde est imminuta, cum tertius accesserit; ut inf. 850. ipse Patroclus facinus elevat. Verum deorum interventu aguntur omnia epice, quæ alicujus momenti sunt. v. paullo post ad vs. 818.

792. Apollo a tergo Patroclum manu magna percutit. Ad sensum nostrum, cum hoc nulla cum virtute, etiam aliqua cum fraude, fiat, indignum id deo esse bene sensit Koeppen olim noster. Attamen non nisi de *potentis* numinis vi ac robore nunc est cogitandum; et, si res ad sensum revocanda erat, ut erat, tergo tacto et percussu manus, statu et mente aliquem dejectum esse, satis potenter et ἐναργῶς redditum est τὸ ὑπερβάλλειν et ὑπερέχειν δυνάμει, quod diis tribuitur. Jam autem dii contactu, seu manuum seu virgæ, homines aut roborant, sic O. 694, 5. aut infirmant, aut alio modo afficiunt. ut supra Neptunus Ajaces N. 59. sq. Patroclum a muro Troja rejicit Apollo χείρεσσιν ἀσπίδα νύσσων sup. 704. Nec aliter vates Hebræi. Neptunus l. c. quidem σκηπανίῳ, quod tenebat, utebatur; arcu vel sagitta, vel ense aut hasta vix

γας μεγαλωστί.] Μέγας ἐπὶ μέγαν τόπον. 779. Μετενείσσετο.] Μετῆλθε. Βουλυτόνδε.] Ἐπὶ τὴν ἑσπέραν. δείλης. καθ' ὃν καιρὸν οἱ βόες ἀπολύονται τῶν ἔργων. 792. Καταπρηνεῖ.] Κατεστραμμένῃ. Στρεφεδίνηθεν.] Περιεστράφησαν

τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων.
ἡ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ' ἵππων
αὐλῶπις τρυφάλεια· μιάνθησαν δὲ ἔθειραι
αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν,
ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν·
ἀλλ' ἀνδρὸς θείοιο κάρη, χαρίεν τε μέτωπον
ῥύετ' Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
ᾗ κεφαλῇ φορέειν. σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος.
πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος,
βριθὺ, μέγα, στιβαρὸν, κεκορυθμένον· αὐτὰρ ἀπ' ὤμων
ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα·
λῦσε δέ οἱ θώρηκα ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων.
τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὑπὸ φαίδιμα γυῖα·
στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξεῖ δουρὶ
ὤμων μεσσηγὺ σχεδόθεν βάλε Δάρδανος ἀνὴρ,
Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
ἔγχεΐ θ', ἱπποσύνῃ τε, πόδεσσί τε καρπαλίμοισι·
καὶ γὰρ δὴ τότε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων,
πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο.

795. δὲ Ϝέθειραι. 800. Ϝῇ κεφαλῇ—δέ Ϝοι. 801. δέ Ϝοι ἐν χερσὶ Ϝάγη.
804. δέ Ϝοι θώρηκα Ϝάναξ. 810. ἐϜείκοσι. vulg. δή ποτε.

uti potuit Apollo. 792. χειρὶ καταπρηνεῖ jam O. 114. alte demissa ad ictum et impacta.—στρεφεδίνηθεν δέ οἱ ὄσσε. Oculorum *vertigo ei oborta est*; ἰλιγγίασε. nam ἴλιγγα vel ἴλιγγον appellant.—793. κυνέην βάλε Φοῖβος Ἀ. an *manu sua*, poeta non adjecit; sed enumerat simpliciter effecta contactus Apollinis; ut et 804. λῦσε δέ οἱ. non manu; sed effectum est ut fieret.—794. καναχὴν ἔχε ut alia vidimus pro καναχὴν ἐποιήσατο. ἐκανάχησε. ἐψόφησεν. αὐλῶπις τρυφάλεια. v. E. 182.—796. πάρος γε μὲν οὐ θέμις ἦεν. δεινῶς est adjectum pro nostro: *ah! antea hoc nunquam erat factum!* nam Achilles ea utebatur.—801. πᾶν δέ οἱ. tota hasta, quantaquanta illa erat.—803. ἀσπὶς τερμιόεσσα a τέρμις pro τέρμα *usque ad talos pertingens.* ποδηνεκής. ut χιτὼν τερμιόεις. Od. T. 242. Hesiod. Ἔργ. 537. λῦσε autem sc. balteo soluto, ita ut Patroclus discinctus adstaret.—805. τὸν δ' ἄτη φρένας εἷλε. Potens vocabulum h. l. de *perturbatione et occæcatione mentis* dictum, stupore divinitus immisso. v. ad T. 91. sq.—808. *Euphorbus*, Panthoi f. quem inf. P. 47—60. a Menelao cæsum videbimus. Est is, quem Pythagoras aliquando se fuisse meminerat: quod ex Horat. I. 28, 10. tenemus. Add. Ovid. Met. XV. 160. sq. Pausan. II. 17. ὃς (κατὰ τὴν) ἡλικίην, (τοὺς ὁμήλικας) ἐκέκαστο (ὑπὲρ τοὺς ἄλλους. ὑπερεῖχε) ἔγχει, hastæ usu. Ita N. 431. Hippodamia Anchisæ filia πᾶσαν ὁμηλικίην ἐκέκαστο κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσίν. Ita nunc Euphorbus: *excellebat pugna cominus facienda, arte aurigandi et pedum celeritate.*—810. βῆσεν ἀφ' ἵππων. ἀπεβίβασεν. ἀπέβαλεν. dejecerat curru cæsos.—811. atque his

αὐτοῦ οἱ ὀφθαλμοὶ, οἱονεὶ ἐσκοτώθησαν. 795. Αὐλῶπις.] Τὸ τῆς περικεφαλαίας ἀνάστημα, καὶ αὐτὴ ἡ περικεφαλαία. Μιάνθησαν.] Ἐμολύνθησαν. Ἔθειραι.] Αἱ κόμαι. 796. Οὐ θέμις.] Οὐ δίκαιον. 803. Τερμιόεσσα.] Ποδήρης, ἡ ὅλον τὸν ἄνθρωπον σκέπουσα. μεγάλη. 808. Ἡλικίην.] Τοὺς ἡλικιώτας. Ἐκέκαστο.] Ὑπερεῖχεν, ἐκεκόσμητο. 810. Βῆσεν ἀφ' ἵππων.] Ἀπέβαλεν, ἀπεβίβασε τῶν ἵππων. 811. Σὺν ὄχεσφι διδασκόμενος.] Ἀντὶ τοῦ ἁρματομαχεῖν ἐπιστάμενος, ἐν

ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεις ἱππεῦ,
οὐδὲ δάμασσ᾽· ὁ μὲν αὖτις ἀνέδραμε, μίκτο δ᾽ ὁμίλῳ,
ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον· οὐδ᾽ ὑπέμεινε
Πάτροκλον, γυμνόν περ ἐόντ᾽, ἐν δηϊοτῆτι.
Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς
ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, Κῆρ᾽ ἀλεείνων.
Ἕκτωρ δ᾽, ὡς εἶδε Πατροκλῆα μεγάθυμον
ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέϊ χαλκῷ,
ἀγχίμολόν ῥα οἱ ἦλθε κατὰ στίχας, οὖτα δὲ δουρὶ
νείατον ἐς κενεῶνα· διὰ πρὸ δὲ χαλκὸν ἔλασσε.
δούπησεν δὲ πεσὼν, μέγα δ᾽ ἤκαχε λαὸν Ἀχαιῶν.
ὡς δ᾽ ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,
ὥ τ᾽ ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον,
πίδακος ἀμφ᾽ ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω·
πολλὰ δέ τ᾽ ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·
ὣς πολέας πέφνοντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα·
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα·

817. ἐς Fέθνος. 818. Fεῖδε. 820. ῥά Foι. 824. vulg. τώ τ᾽.
829. καί Foι—Fέπεα. vulg. πτερόεντ᾽ ἀγόρευε.

rebus gestis inclaruerat cum ille, tiro adhuc, illo ipso tempore primum in pugnam progressus esset.—813. ὁ μὲν αὖτις ἀνέδραμε. mox 817. ἂψ ἐχάζετο. Euphorbi autem hastam non alte penetrasse puta; nec eam tam facile extrahere potuisset: ictu tantum labefactasse Patroclum videtur. Tota narratio comparata est ad mirationem et miserationem herois Patrocli. Contra 818. sq. ad nostrum sensum parum decore poeta adaptavit personæ Hectoris, quod is non nisi ex hostis jam victi cæde laudem habet. Sed jam sæpe et ad h. l. etiam a Koeppen monitum, non uno loco hoc facere poetam: Hectoris robur in saxi ingentis jactu elevatur opera Jovis M. 450. Ita et Achillis virtus in Hectoris cæde privatur sua laude Minervæ interventu X. 214. sq. 267. sq. Scilicet poeta mirationem epicam magis in numinis viribus humana vi majoribus quærit, quam in heroum robore humanæ naturæ attemperato.—820, 1. νείατον ἐς κενεῶνα. aut adverso in hostes ore Patroclus recesserat, quod probabile, aut, ut in conflictu permista turba pugnantium fit, Hector recedentem obliquo ictu aut etiam antevertens in infima alvo percutere hasta potuit; ut sup. 806. a tergo aggressus Patroclum ferierat Euphorbus.—823. ὡς δ᾽ ὅτε. Ingeniose variata et ornata adjecta pugnæ caussa, siti, comparatio. Similis locus erat sup. 756. sq. Egregie adjectum aprum πολλὰ ἀσθμαίνοντα, nam etiam Patroclus *viribus exhaustus* occubuerat.

829—842. Ad affectum movendum faciunt quæ subjiciuntur, priore loco Hectoris ferociter gloriantis, tum 843—854. Patrocli eum graviter monentis et futura ominantis verba. Est autem locus cum his comparandus alter de Hectoris morte, ubi Achillis gloriatio X. 330. sq. Hectoris moribundi verba 337. sq. et prædictio de Achillis morte instante 355. sq. ad typum simillimum expressa sunt.

πολέμῳ γυμναζόμενος. Διδασκόμενος πολέμοιο.] Ἐκμανθάνων τὰ τοῦ πολέμου ἔργα. 820. Ἀγχίμολον.] Σύνεγγυς. σημαίνει δὲ τὸ μετ᾽ ὀλίγον. 822. Ἤκαχε.] Ἐλύπησεν. 823. Ἀκάμαντα.] Ἰσχυρὸν, μέγαν. Ἐβιήσατο.] Κατηγωνίσατο. 825. Πίδακος ἀμφ᾽ ὀλίγης.] Περὶ μικρᾶς πηγῆς. 827. Πέφνοντα.]

Πάτροκλ', ἦ που ἔφησθα πόλιν κεραϊζέμεν ἀμὴν,
Τρωϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτὸς
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅς σφιν ἀμύνω
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
ἆ δεῖλ', οὐδέ τοι, ἐσθλὸς ἐὼν, χραίσμησεν Ἀχιλλεὺς,
ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·
μή μοι πρὶν ἰέναι, Πατρόκλεις ἱπποκέλευθε,
νῆας ἐπὶ γλαφυρὰς, πρίν γ' Ἕκτορος ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι·
ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθε.
Τὸν δ' ὀλιγοδρανέων προσέφης, Πατρόκλεις ἱππεῦ·
ἤδη νῦν, Ἕκτορ, μεγάλ' εὔχεο· σοὶ γὰρ ἔδωκε
νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ με δάμασσαν
ῥηϊδίως· αὐτοὶ γὰρ ἀπ' ὤμων τεύχε' ἕλοντο.
τοιοῦτοι δ' εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν,
πάντες κ' αὐτόθ' ὄλοντο, ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
ἀλλά με Μοῖρ' ὀλοὴ, καὶ Λητοῦς ἔκτανεν υἱὸς,

840. vulg. νῆας ἀνά. 845. οἵ μ' ἐδάμασσαν. 847. ἐϝείκοσι.
848. vulg. πάντες ἄν. 849. ὀλοϝή.

830. ἦ που ἔφησθα. *Sane quidem*, quantum intelligere licet, *cogitaveras* et *animo præsumseras nostram urbem diripere.*—831. ἐλεύθερον ἦμαρ ἀπούρας, *erepta libertate.* γυναῖκας ἄξειν. proprium de captivis; gravius ἕλκειν.—833—6. Non memineras, me pro matronis Trojanis pugnare. Ἐναργὴς oratio, quod pugnantis speciem ante oculos ponit, dum *curru invectum* se memorat, quodque ἵπποι memorantur, qui ποσσὶν ὀρωρέχαται, ὀρέγονται, *intendunt se*, concitate currunt, ad pugnandum,—ἦμαρ ἀναγκαῖον, quod alias ἦμαρ δούλιον, h. δουλοσύνην.—836. σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται. hoc ipso simili fato corporis Hectoris præluditur.—837. Achilles, etsi fortis vir, interitum a te haud propulit, ὅς που *qui forte, ut probabile fit*, μένων ipse παρὰ νηυσὶ, vetuit redire te nisi cæso Hectore.—839. ἰέναι pro πόλιν ἰέναι, ἀνιέναι, ἐπανελθεῖν.—840, 1. graphice, pro *non nisi Hectore cæso.*

842—854. Patroclus, ὀλιγοδρανέων, *animam agens.* ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν, A. 593. Patroclus, inquam, partim elevat jactanter dicta ab Hectore, partim minatur ultionem suæ cædis, quam expetiturus esset Achilles. Hoc præclare in prædictionem vertit, quæ moribundis tribui solet, quippe quorum dicta et auctoritatem habere solent et veritatem. Nam *cadit persona, manet res.* Unde opinio hominum nata, μαντικὰς esse animas corpore jam solvendas; quam et philosophi adoptarunt. cf. inf. X.

Φονεύοντα. 830. Ἀμήν.] Ἡμετέραν. 833. Τάων δὲ πρόσθ' Ἕκτορος.] Τούτων δὲ προπολεμοῦσιν οἱ τοῦ Ἕκτορος ἵπποι. τοῦτ' ἔστιν αὐτὸς ὁ Ἕκτωρ ἐπ' αὐτῶν ὀχούμενος. 834. Ὀρωρέχαται.] Ἐκτείνονται τρέχοντες, ὁρμῶντες. 836. Ἦμαρ ἀναγκαῖον.] Ἀνάγκης ἡμέραν φησὶ τοῦ θανάτου. 839. Ἱπποκέλευθε.] Ἱππικέ. 843. Ὀλιγοδρανέων.] Ὀλίγον ἰσχύων ἐκ τῶν τοῦ σώματος μελῶν.

ἀνδρῶν δ' Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
οὔ θην οὐδ' αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκε Θάνατος καὶ Μοῖρα κραταιὴ,
χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε.
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει,
ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνειῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
τίς δ' οἶδ', εἴ κ' Ἀχιλεὺς, Θέτιδος πάϊς ἠϋκόμοιο,
φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;
Ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
εἴρυσε, λὰξ προσβάς· τὸν δ' ὕπτιον ὦσ' ἀπὸ δουρός.
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο·
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι
ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα.

855. μιν Ϝειπόντα. 857. Ϝόν. 860. τίς Ϝοῖδ'.
863. Ϝείρυσε. 866. Ϝίετο.

358.—852. *οὐ θὴν οὐδ' αὐτὸς βέῃ* *vivis* pro *vives, superstes eris.* a *βέομαι*, incedo, vitam ago. v. ad O. 194.

855—858. Mors Patrocli ad sensum veterum expressa: anima corpore liberata in Hadis sedem abit, lamentando fatum suum, quod ex juvenili corpore excessit. *λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην* *vigorem juvenilem*, juventam. Sic igitur *ἀκμάζον τὸ σῶμα καὶ εὐσθενὲς* invita relinquere anima visa est rudiore ætate hominibus. Sic iterum de Hectore: X. 362, 363. iisdem vss. At seriores Homero substituerunt sententias ex suis philosophematibus ab Homero alienas. Ita Sch. B. *λυπεῖται ἡ ψυχὴ, μήποτε ἀνάξια πράξασα ἑαυτῆς ἀναξίοις περιπέσῃ, καὶ ὅτι σῶμα ἐᾷ ἀκμάζον.* De hoc judicio v. Cic. de Div. I. 30. ubi cf. Davis. Hæc, etsi tenuia visa, animo imprimenda sunt, tanquam notiones, quibus multa alia tanquam fundo innituntur.

858—867. Placet Hector in ferocia persistens, et animose respondens, tum, relicto corpore, currum Patrocli, ut eo potiatur, persequens.

850. Σὺ δέ με τρίτος ἐξεναρίζεις.] Ἀντὶ τοῦ, μετὰ πολλοὺς σκυλεύεις. Ἐζήτηται δὲ, πῶς τέσσαρας καταριθμήσας, μοῖραν, Ἀπόλλωνα, Εὔφορβον, Ἕκτορα, ἐπιφέρει· Σὺ δέ με τρίτος ἐξεναρίζεις. ἔστι δὲ λέγειν, ὅτι τὴν μοῖραν οὐκ ἀπηρίθμησεν ὡς κοινὴν πᾶσιν ἀνθρώποις ἐπικειμένην. ἔνιοι δὲ τὸ ἑξῆς, οὕτως ἀποδιδόασι· Ἀλλά με μοῖρ' ὀλοὴ, καὶ Λητοῦς ἔκτανεν υἱός. Ἀνδρῶν δ' Εὔφορβος τρίτος, σὺ δέ μ' ἐξεναρίζεις. ἢ σὺ δέ με τρίτος ἐξεναρίζεις, ἵν' ᾖ πολλοστός. 856. Ἐκ ῥεθέων.] Ἐκ τῶν μελῶν, ἐκ τοῦ σώματος. Πταμένη.] Πτᾶσα, ὑποχωρήσασα. Ἄϊδόσδε βεβήκει.] Εἰς τὸν ᾅδην κατῄει. 857. Πότμον.] Μόρον. Γοόωσα.] Λυπουμένη, θρηνοῦσα. Λιποῦσ'.] Καταλιποῦσα. Ἀνδροτῆτα.] Ἀνδρίαν. Ἥβην.] Τὸ σῶμα, τὴν ἡλικίαν. 861. Φθήῃ.] Φθάσει. 867. Ἄμβροτοι.] Ἀθάνατοι.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Ρ.

ARGUMENTUM.

HECTORE Patrocli currum et aurigam Automedontem persequente, Menelaus Patrocli corpus tuetur; 1—8. Euphorbum Panthi f. spoliare corpus audentem hasta percussum prosternit—60. prostratum ne spoliaret, deterret Hector in pugnam rediens cum turba Trojanorum in Menelaum ducta—113. Pugnabat illa in læva aciei parte, 116. nam Patroclus videtur cecidisse in media acie; eodem in cornu inf. 682. Antilochus pugnat. Menelaus advocat Ajacem ad tuendum Patrocli corpus: at illud interea spoliaverat Hector et eorum adventu cum spoliis ad suos redierat.—127. Stant ambo, Ajax et Menelaus, ante corpus nudum.—139. Glaucus Hectorem objurgat, quod et Sarpedonem ab Achivis cædi ac spoliari siverit, et nunc Ajace veniente a Patrocli corpore subducendo recesserit; potiundum esse Patrocli corpore, ut redimantur eo reddito Sarpedonis arma—168. Hector, ceteris pugnare jussis, ipse arma Achillis, quibus spoliato Patrocli corpore potitus erat, induit, quippe et validiora et terrorem injectura Achivis—197. Jupiter ipse instantem ei mortem auguratur 198—209. Redux in pugnam suos hortatur, pollicitus dimidiam partem armorum Patrocli ei, qui corpore potitus fuerit—236. Hectore Trojanos ducente versus se, Ajacis Telamonii monitu Menelaus vociferans advocat Ajacem, Oilei f., Idomeneum, Merionem cum aliis—261. Trojanis tamen ingruentibus corpus Patrocli deserunt Achivi; at Ajax iterum conversus impetum in Trojanos corpus trahentes facit, eosque dissipat—287. Exoritur pugna cruenta circa Patrocli corpus: cæduntur e Trojanis Hippothous—303. ex Achivis Schedius—311. inde Phorcyn Hippothoi corpus tuitus; utrumque spoliant Achivi—318. In eo jam res erat, ut Trojani fugerent, cum ecce Æneas procedit, hortatu Apollinis incitatus, eosque iterum in hostem ducit—343. Pugnatur multis cum cædibus—365. Obducitur cœlum pulvere sub pugnantium pedibus circa Patrocli corpus orto—377. Thrasymedes interea et Antilochus, Nestoris filii, alia aciei parte præliantur, ignari mortis Patrocli—383. Ita omni parte pugnatur acriter: circa Patrocli tamen corpus acerrime;—401. Necdum tamen Achilles de Patrocli morte resciverat—411. [Interea pugna nihil remittit, dum mutuo se utrinque incendunt, hortantur—425.] Automedon qui Hectorem insequentem effugerat, equos, Patrocli morte mœrentes, postquam aliquamdiu constiterant, nec ultra citraque procedere voluerant, videns, Jove equos incitante, iterum in prælium redit,—458. et Alcimedonte currum conscendere jusso, in pugnam prodit;—483. qua re animad-

versa Hector ad equos in potestatem redigendos procurrit, adjuncto Ænea et aliis; contra Automedon Ajaces et Menelaum auxilio vocat; Aretum hasta trajicit, ipse Hectoris hastam evitat, qui adventantibus Ajacibus, cum Ænea et Chromio, recedit, spoliandumque Aretum relinquit—542. quo facto Achivi vires recipiunt; Minerva, Phœnicis faciem mentita, animos addente;—573. at ab Apolline, sub Phænopis Asii forma latente de cæso Trojano Pode monitus, dolore stimulatus Hector, impetum in Achivos facit, et, Jove tonante, fugam iis injicit.—596. Fugiunt vulnerati Peneleos et Leitus, Bœoti, fugit cæso Cœrano Idomeneus et Meriones.—625. Ajax fugam divinitus immissam sentiens, Menelaum jubet circumspicere Antilochum, ut mittatur ad nuntium de Patrocli morte Achilli ferendum; caligine ex pulveris moti nube dispulsa Menelaus ad Antilochum procedit; mandatisque ei datis ad Patrocli corpus revertitur—706. Menelao auctore consilium capitur, ut ipse et Meriones corpus absportent, Ajaces autem hostem imminentem avertant—723. Insequuntur eos abeuntes Trojani, ab Ajacibus subinde se convertentibus repressi; fit tamen fuga fœda Achivorum—f.

Deorum opera in hoc libro P est tantum episodica; nam Hectorem in persequendo Automedonte, auriga Patrocli, occupatum, dum interea Euphorbus cæditur, revocat Apollo 72—82. Achivisque metum incutit 118. Hectore erepta Patroclo arma Achillis induente, Jupiter instantem ejus mortem ominatur, superiorem tamen pugna hujus diei eum fore promittit 198—209. Idem Jupiter studet Achivis corpus Patrocli tuentibus 268—272. Cedentibus Trojanis Apollo, assumta specie Periphantis, Epyti f. præconis, Æneam, ut virtutem exserat, hortatur 321—334. Jupiter autem equos Patroclo cæso mœrentes et tanquam defixos stantes movet, ut iterum in pugnam revertantur 441—456. mox idem missa Minerva, quæ Iridis specie cœlo descendit, cum ad hoc usque tempus illa in Olympo sedisset, cum ceteris diis inde a Θ. 426. sq. etiam O. 123. sq. Achivos concitat, inprimis Menelaum Phœnicis speciem mutuata 544—573. Menelaus Poden necat—581. Tum Hectorem Apollo Phænopis, Asii f. persona sumta, concitat, ut ad eam pugnæ partem advolet; confirmatur ille animo tonitru audito.—696. Inscripta fuit rhapsodia: Μενελάου ἀριστεία saltem in tuendo Patrocli corpore.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ρ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΠΕΡΙ τοῦ Πατρόκλου σώματος κρατερὰ συνίσταται μάχη, καθ' ἣν Εὔφορβος μὲν ἀναιρεῖται ὑπὸ Μενελάου, Ἕκτωρ δὲ τὴν Ἀχιλλέως ἐνδύεται πανοπλίαν, καὶ ἀνθίσταται τοῖς Ἕλλησι. Οἱ δὲ περὶ Μενέλαον Ἀντίλοχον διαπέμπονται πρὸς Ἀχιλλέα, τὸν Πατρόκλου θάνατον ἀγγελοῦντα. Ὑποδύντες δὲ καὶ ἀράμενοι τὸ σῶμα τοῖς ὤμοις, ἐκφέρουσι τῆς μάχης· οἱ δὲ Αἴαντες προμαχοῦσι καὶ ἀπείργουσι τοὺς πολεμίους.

Ῥῶ, Δαναοὶ Τρῶές τε νέκυν πέρι χεῖρας ἔμισγον.

ΟΥΔ' ἔλαθ' Ἀτρέος υἱὸν, Ἀρηΐφιλον Μενέλαον,

1—60. Menelaus, cum vidisset Patroclum cæsum, ante aciem procurrit ad corpus tuendum. Occurrit ei Euphorbus, Panthi f. frustraque minis terret; pugna facta

Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι·
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ·
ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν', ὥς τις περὶ πόρτακι μήτηρ,
πρωτοτόκος, κινυρὴ, οὐ πρὶν εἰδυῖα τόκοιο.
ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος.
πρόσθε δέ οἱ δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐίσην,
τὸν κτάμεναι μεμαὼς, ὅστις τοῦ γ' ἀντίος ἔλθοι.
οὐδ' ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ
ἔστη, καὶ προσέειπεν Ἀρηΐφιλον Μενέλαον·
Ἀτρείδη Μενέλαε, Διοτρεφὲς, ὄρχαμε λαῶν,
χάζεο, λεῖπε δὲ νεκρὸν, ἔα δ' ἔναρα βροτόεντα·
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην.
τῷ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
οὔτ' οὖν πορδάλιος τόσσον μένος, οὔτε λέοντος,

5. πρὶν Ϝειδυῖα. 7. δέ Ϝοι—ἐϜίσην. 11. προσέϜειπε.
16. leg. τῷ μ' ἐάα. 17. μελιϜηδέα.

Euphorbus occiditur et spoliatur a Menelao.—4. ὥς τις περὶ πόρτακι μήτηρ. πόρταξ, s. πόρτις. Suavis comparatio, suavior per adjecta, quod mater, δάμαλις, est πρωτοτόκος, et οὐ πρὶν εἰδυῖα τόκοιο. Observatio ad historiam naturæ spectans in poeta notatu est digna.—9. Spoliandi corporis jus erat apud eum, cujus manu Patroclus occubuerat, Hectorem; is vero persequebatur Automedontem cum equis: v. Π. extr. cf. inf. 75. Proximo loco id sibi vindicabat Euphorbus, Panthi f. qui prior vulnus intulerat: Π. 807, 8. Itaque ille Menelaum recedere jubet. οὐ γάρ τις. fui enim ego is, qui primum (ante Hectorem) vulnus ei intulit.—18. Menelaus jactabunde hæc dicta a Panthi filio dolens in mentem ei revocat fratrem ejus Hyperenorem a se cæsum: sup. Ξ. 516. etsi ibi nihil de conviciis vs. 26. ab eo in Menelaum jactis memoratum. nisi ibi ἔφατο est putavit, credidit.

20—23. Panthi prolem magnos spiritus habere, audaciam et confidentiam præ se

2. Τρώεσσι δαμείς.] Ἀντὶ τοῦ ὑπὸ τῶν Τρώων ἀναιρεθείς. 4. Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε.] Περιέβαινε δὲ, καὶ ὑπερεμάχει αὐτοῦ. Πόρτακι.] Νεογνῇ βοΐ. οἱονεὶ πόριϊ. παρὰ τὸ νεωστὶ πορεύεσθαι, καὶ βαίνειν. 5. Πρωτοτόκος.] Πρώτως τετοκυῖα. τῷ οὖν τόνῳ παροξυτόνως, ἵν' ᾖ ἐνεργητικόν. προπαροξυτόνως δὲ δηλοῖ ἡ λέξις τὴν πρώτως τεχθεῖσαν. Κινυρή.] Ὀδυρτικὴ, θρηνητική. Οὐ πρὶν εἰδυῖα τόκοιο.] Οὐ πρότερον οὖσα ἔμπειρος τοκετοῦ. 9. Ἐϋμελίης.] Ἤτοι ὁ καλὰ μέλη ἔχων καὶ εὔμορφος. ἢ ὁ τῇ μελίᾳ χρώμενος, τουτέστι πολεμικὸς καὶ ἀνδρεῖος. 13. Ἔα δ' ἔναρα βροτόεντα.] Ἔκειντο γὰρ ἐπὶ τῆς γῆς λύσαντος αὐτὰ Ἀπόλλωνος. 16. Ἀρέσθαι.] Ἀπενέγκασθαι, κτήσασθαι. 17. Ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.] Ἀφέλωμαί σου τὴν προσφιλεστάτην ψυχήν. 19. Ὑπέρβιον.] Ὑπερβίως, ὑπερηφάνως. Εὐχετάασθαι.] Αὐχεῖν, καυχᾶσθαι. 20. Πορδάλιος.]

οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνατο, καί μ' ὑπέμεινε,
καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδέ ἑ φημὶ, πόδεσσί γε οἷσι κιόντα,
εὐφρῆναι ἄλοχόν τε φίλην, κεδνούς τε τοκῆας.
ὣς θήν καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κε μευ ἄντα
στήῃς. ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
  Ὣς φάτο, τὸν δ' οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα·
νῦν μὲν δὴ, Μενέλαε Διοτρεφὲς, ἦ μάλα τίσεις
γνωτὸν ἐμὸν, τὸν ἔπεφνες· ἐπευχόμενος δ' ἀγορεύεις·
χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.

21. ὀλοϝόφρονος. 25. ϝῆς. 27. οὐδέ ϝε—πόδεσσί γε ϝοῖσι.
30. vulg. στήῃς et σ' ἐγών.

ferre solere declarat. οὐ μένος πορδάλιός ἐστι τόσον, ὅσον (μένος) φρονέουσιν υἷες Π. Est ergo μένος φρονεῖν, *animum spirare* ut μέγα φρονεῖν sup. Π. 758. pro vulgari: ὅσον μένος ἐστὶ τῶν υἱῶν Π. ὅσον φρονοῦσι.—22. βλεμεαίνει, βρέμει, σθένει, ut alibi, et inf. 135. quod nunc adjicitur περὶ, est pro, περισσῶς vel περιβλεμεαίνει, prius præferam. Quid sit fremere robore, v. ad O. 337. M. 42.—24. οὐδὲ—ἧς ἥβης ἀπόνητο h. e. *præmatura morte obiit.* De Hyperenore cæso v. Ξ. 516. ὅτε μ' ὤνατο, ὠνείδισεν. ἐμέμψατο. ab ὄνω, quod vulgo ὄνοω.—29. οὕτως δή, καὶ σὸν μένος λύσω.—27. non salvus et vivus rediit. πόδεσσιν οἷσι κιόντα, scil. cum respectu, quod mortuus prælio exportatus est.

33—42. Fratris cæsi mentione facta exacerbatus Euphorbus ultionem ejus minatur.—36. θαλάμοιο νέοιο. ex more, quia novis nuptis novæ ædes in συνοικίᾳ exstruebantur. v. sup. B. 701.—37. ἀρητὸν γόον *horrendum* luctum, detestabilem, ab ἀρᾶσθαι.

Πόρδαλις τὸ ζῶον. ἡ δὲ δορὰ παρδαλῆ. ὁ μὲν ἀπὸ τοῦ προσάλλεσθαι. ἡ δὲ ἀπὸ τοῦ περιβάλλεσθαι. 22. Περὶ σθένεϊ βλεμεαίνει.] Περὶ τὸ ἑαυτοῦ σθένος ἐνθουσιωδῶς βλέπει καὶ μετὰ πολλῆς δυνάμεως. 25. Ἧς ἥβης ἀπόνηθ'.] Τῆς ἰδίας ἀκμῆς, ὅ ἐστι νεότητος, ἀπέλαυσεν. Ὤνατο.] Ἐξεφαύλισεν, ὠνείδισεν, ἐμέμψατο. 26. Ἔφατο.] Νῦν ἐλογίσατο, ὁτὲ δὲ εἶπε. 28. Κεδνούς.] Κηδεμονικούς, ἐντίμους. 29. Ὣς θήν.] Ὣς δή. 32. Πρίν τι κακὸν παθέειν. ῥεχθὲν δέ τε νήπιος ἔγνω.] Τοῦτο ἀπὸ παροιμίας εἴληπται. νηπίου γὰρ καὶ ἄφρονός ἐστι, μετὰ τὸ πραχθῆναι τὸ κακὸν, θεραπείαν καὶ ἐπανόρθωσιν αὐτοῦ ζητεῖν. ὁ γὰρ ἄφρων οὐ προορᾷ τὸ μέλλον, ἀλλὰ πραχθὲν γιγνώσκει. 35. Γνωτὸν ἐμόν.] Ἀντὶ τοῦ τιμωρίαν δώσεις ὑπὲρ τοῦ ἐμοῦ γνωτοῦ, ὅ ἐστιν ἀδελφοῦ. 36. Χήρωσας.] Χήραν καὶ ἔρημον ἐποίησας. Θαλάμοιο νέοιο.] Νεωστὶ κατεσκευασμένου, προσφάτου. 37. Ἀρητόν.] Ἤτοι βλαβερόν. παρὰ τὴν

ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας
Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ·
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται,
οὐδέ τ' ἀδήριτος, ἠδ' ἀλκῆς, ἠδὲ φόβοιο.
Ὣς εἰπὼν, οὔτησε κατ' ἀσπίδα πάντοσ' ἐΐσην·
οὐδ' ἔρρηξεν χαλκὸς, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀσπίδι ἐν κρατερῇ· ὁ δὲ δεύτερος ὤρνυτο χαλκῷ
Ἀτρείδης Μενέλαος, ἐπευξάμενος Διῒ πατρί·
ἂψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας·
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
αἵματί οἱ δεύοντο κόμαι, Χαρίτεσσιν ὁμοῖαι,

42. vulg. οὔτ' ἀλκῆς οὔτε φόβοιο. 43. Ϝειπὼν—ἐϜίσην. 44. δέ Ϝοι vulg. χαλκόν. 45. legendum ἀσπίδ' ἐνὶ κρατερῇ. 51. αἵματί Ϝοι.

unde πολυάρητος. iterum Ω. 741.—38. καταπαύοιμι ἂν τὸν γόον αὐτῶν.—41. πόνος, μάχη, ἠδὲ (περὶ) ἀλκῆς ἢ (περὶ) φόβοιο, h. περὶ νίκης ἢ φυγῆς, οὐκ ἔσται. pro ἔστω, δηρὸν ἀπείρητος οὐδέ τ' ἀδήριτος. *non differenda est amplius pugna, qua cernatur, uter vincat an vincatur.* πειρατέος νῦν ὁ πόνος ἐστί. h. e. μαχητέον ἐστί. age ordiamur pugnam.

43—69. Euphorbus, hasta incassum emissa, a Menelao transfigitur, et spoliatur, nemine e Trojanis accedere audente.—47. κατὰ στομάχοιο θέμεθλα ad imum guttur. τὴν φάρυγγα. Nam στόμαχος Homero de faucibus, sup. Γ. 292. recedebat ille adverso corpore.—48. χειρὶ πιθήσας *confisus* pro *usus* manuum robore, ut jam sæpe vidimus.

51—60. Ad miserationem movendam adjecta κόμαι Χαρίτεσσιν ὁμοῖαι h. ταῖς κόμαις τῶν Χαρίτων. Charites a comæ pulcritudine commendari, non mirum est; ξανθὰς

ἀράν· ὅ ἐστι βλάβην. ἢ τὸν ἀπευκτόν. ἐλλείπει δὲ τὸ γάμον. 38. Ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην.] Καταπαύσαιμι τοῦ θρήνου τοὺς ἀθλίους γονέας τοῦ Ὑπερήνορος, ἀνελών σε. καὶ καρατομήσας δώσω τὴν κεφαλήν σου καὶ τὰ ὅπλα αὐτοῖς. Κατάπαυμα.] Κατάπαυσις. 40. Φρόντιδι.] Ὄνομα κύριον τῆς Πάνθου γυναικὸς ἡ Φρόντις. τὴν γὰρ παρατέλευτον συλλαβὴν δεῖ ὀξυτονεῖν. ἵν' ᾖ κύριον θηλυκόν. ἔστι καὶ ἀρσενικὸν ὁ Φρόντις ἐν Ὀδυσσείᾳ. 41. Ἀλλ' οὐ μὰν ἔτι δηρόν.] Ἀλλ' οὐδαμῶς ἐπὶ πολὺν χρόνον ἄπειροι γενώμεθα τῆς ἀλλήλων δυνάμεως καὶ μάχης. Πόνος.] Ἔργον, πρᾶξις. 42. Ἀδήριτος.] Χωρὶς μάχης, ἀφιλόνεικος. 47. Ἀναχαζομένοιο.] Ἀναχωροῦντος. Κατὰ στομάχοιο θέμεθλα.] Κατὰ τὴν ἀρχὴν, καὶ θέσιν τοῦ στομάχου. ὅ ἐστι τοῦ βρόχθου, οὐ μὴν τῆς κοιλίας. Θέμεθλα.] Ῥίζας, βάσεις. 48. Ἔρεισεν.] Ἤρεισεν, ἐπεβάρησε. Χειρὶ πιθήσας.] Ἐπακολουθήσας τῇ χειρί. 49. Αὐχένος.] Σπονδύλου, ἢ τραχήλου. Ἀκωκή.] Ἡ ἐπιδορατίς. 51. Δεύοντο.] Νῦν ἐβρέχοντο. Χαρίτεσσιν ὁμοῖαι.] Ἀντὶ τοῦ ταῖς τῶν Χαρίτων κόμαις ἶσαι. ἀπίθανον δέ ἐστιν. ἀμόρφωτος γὰρ ἡ κόμη, εἰ μὴ οὕτως. Μακεδόνες δὲ καὶ Κύπριοι Χάριτας λέγουσι

πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,
καλὸν, τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσι
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
ἐλθὼν δ' ἐξαπίνης ἄνεμος, σὺν λαίλαπι πολλῇ,
βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ·
τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον
Ἀτρείδης Μενέλαος, ἐπεὶ κτάνε, τεύχε' ἐσύλα.
ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθὼς,
βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ, ἥτις ἀρίστη·

54. ἔθ' Ϝάλις. cum vitio. forte ὃ Ϝάλις. ὃ, καθ' ὅ. *ubi.*

Χάριτας dixit Pindar. Nem. V. extr.—52. πλοχμοί θ' οἳ χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο. συνεσφιγμένοι ἦσαν. Cincinni fasciis auro argentoque ornatis vincti, religati.

53—60. Elaborata comparatio: qualis olea floribus conspicua a turbine correpta prosternitur; talis Euphorbus a Menelao cæsus procubuit. Ut lætius efflorescat arbor, prosunt humidum solum, pervius aeri locus, an etiam eo spectat χῶρος οἰοπόλος? num quod unius arboris tanto magis assidua est cura? ut fere Eustathius; an quod sola sata eo magis conspicua est arbor, quam in oliveto? aut quod sic minus est obnoxia injuriæ a prætereuntibus? At Schol. B. ne vicinia aliarum olearum alimenta radicibus subtrahat. Bene Koeppen laudat Catull. LXII. 49. *ut flos in septis secretus nascitur hortis ignotus pecori, nullo contusus aratro, quem mulcent auræ, firmat sol, educat imber.* Propert. I. 2, 11. adspice ut—*surgat et in solis felicius arbutus antris.* Monet idem in Ossiano similia occurrere loca; et quot non loca similia occurrunt in recentioribus poetis! etsi non ubique ex cognitione et usu naturæ petita. —54. ὅθι ἅλις ἀναβέβρυχεν ὕδωρ. ἀναβρύχει. cum strepitu ebullit, ἀναβλύζει.—56. παντοίων ἀνέμων, adjectum, quia motus a ventis vim magnam habet ad alendas et roborandas plantas: quæ motu non minus vigent quam corpora animantium; fit τὸ φυτὸν εὔτονον. Unde ἀνεμοτρεφὲς ἔγχος Λ. 256. τὸ ἔρνος τηλεθάον, seu θάλλον. βρύει ἄνθει λευκῷ. floribus abundat verno tempore.—59, 60. Comparatio hæc erat: οἷον, ὡς, ἄνεμος ἐκστρέφει ἔρνος καὶ ἐκτανύει ἐπὶ γαίῃ, τοῖον ἐξετάνυσεν Εὔφορβον Μενέλαος. pro hoc cum adjuncto dictum: τεύχε' ἐσύλα.

61—69. Nemo e Trojanis propius accedere ausus est, ut leonem in armenta irru-

τὰς συνεστραμμένας καὶ οὔλας μυρσίνας, ἃς φαμὲν στεφανίτιδας. 52. Πλοχμοί.] Πλόκαμοι. Ἐσφήκωντο.] Ἐσφιγμένοι ἦσαν, ἐδέδεντο. ὅθεν καὶ σφήκωμα εἴρηται. ἢ ὅτι πεπλεγμένοι ἦσαν. 53. Ἔρνος.] Φυτόν. Οἷον δὲ τρέφει ἔρνος ἀνήρ.] Ποσειδῶν καὶ Ἀθηνᾶ περὶ τῆς Ἀττικῆς ἐφιλονείκουν. καὶ Ποσειδῶν μὲν ἐπὶ τῆς ἀκροπόλεως τῆς Ἀττικῆς κρούσας τῇ τριαίνῃ κῦμα θαλάσσης ἐποίησεν ἀναδοθῆναι, Ἀθηνᾶ δὲ ἐλαίαν. κριτὴς δὲ αὐτῶν γενόμενος Κέκροψ, ὁ τῶν τόπων τῆς Ἀττικῆς βασιλεὺς, τῇ θεᾷ προσένειμε τὴν χώραν εἰπὼν, ὅτι θάλασσα μέν ἐστι πανταχοῦ, τὸ δὲ φυτὸν τῆς ἐλαίας ἴδιον Ἀθηνᾶς. ἡ ἱστορία παρὰ Καλλιμάχῳ. Ἐριθηλές.] Μεγάλως θάλλον, ἀειθαλλές. 54. Οἰοπόλῳ.] Ἤτοι ἐρήμῳ, καὶ μονήρει, ἢ ἐν ᾧ οἶες πολεῖσθαι, καὶ ἀναστρέφεσθαι δύνανται. ὅ ἐστι βόσκεσθαι. Ἅλις.] Πολὺ, ἀθρόας. Ἀναβέβροχεν.] Ἀντὶ τοῦ ἀναπέπωκεν. ἐὰν δὲ ἀναβέβρυχε, δηλοῖ τὸ ἀναβρύειν. ὅ ἐστιν ἀναπηδᾶν, καὶ ἀναβάλλεσθαι μετὰ ψόφου. 55. Τηλεθάον.] Πάνυ θάλλον, εὐανθές. Δονέουσι.] Δονοῦσι, κινοῦσι. 56. Βρύει.] Θάλλει, γέμει. 58. Βόθρου.] Βάθους τοῦ ὀρύγματος. Ἐξετάνυσσεν.] Ἐξέτεινεν, ἥπλωσεν. 61. Ὀρεσίτροφος.] Ὁ ἐν ὄρει τεθραμμένος. 64, Λαφύσ-

τῆς δ' ἐξ αὐχέν' ἔαξε, λαβὼν κρατεροῖσιν ὀδοῦσι,
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
δῃῶν, ἀμφὶ δὲ τόν γε κύνες τ' ἄνδρες τε νομῆες
πολλὰ μάλ' ἰΰζουσιν ἀπόπροθεν, οὐδ' ἐθέλουσιν
ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
Ἀτρεΐδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ Ἕκτορ' ἐπῶρσε, θοῷ ἀτάλαντον Ἄρηϊ,
ἀνέρι εἰσάμενος Κικόνων ἡγήτορι Μέντῃ·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
ἀνδράσι γε θνητοῖσι δαμήμεναι, ἠδ' ὀχέεσθαι,
ἄλλῳ γ', ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος, Ἀρήϊος Ἀτρέος υἱὸς,
Πατρόκλῳ περιβὰς, Τρώων τὸν ἄριστον ἔπεφνε,

63. ἔϝαξε. 71. ϝοι. 72. ὅς ῥά ϝοι. 73. ἀνέρι ϝεισάμενος. 74. ϝέπεα.

entem et bovem dilaniantem nec pastores nec canes aggredi audent. Similis erat locus sup. Λ. 414. 417, 8. inf. Ρ. 725. sq. Σ. 579. sq. Ornata singula, et quidem ex propria leonis natura, si expenderis. δῃῶν adjectum, *dilaniando.*—66. ἰΰζουσι, clamant ἰῢ, ἰῢ.

70—113. Menelaum, quo minus spoliet Euphorbum, prohibet Hector. Tribuitur Apollini, Trojanorum tutelari deo, quod Hector Menelaum adoritur. Assumit ille personam Mentæ, e ducibus Ciconum. ῥεῖα φέροι pro *abstulisset.* ἔφερεν ἄν. ἀγάσσατο. *invidisset,* pro, *vetuisset,* more Homerico. Ergo Menelaus non abstulit Euphorbi spolia. In fano tamen Junonis apud Mycenas adhuc Pausaniæ ætate (II. 17. p. 148.) monstrabatur ἀνάθημα ἀσπὶς, ἣν Μενέλαός ποτε ἀφείλετο Εὔφορβον ἐν Ἰλίῳ. Ergo creditus est Menelaus abstulisse saltem clipeum: quem Pythagoras agnovisse narratur a Diogene Laert. et aliis. Clipeus etiam ab Horatio nobilitatus Carm. I. 28, 11. ubi v. Mitscherlich.

74—89. Quod Hector facere debuit, cum currum Achillis, quo vectus fuerat Patroclus, frustra persequeretur, ut rediret ad pugnam, facit nunc monitu Mentæ, cujus personam Apollo induerat.

75. ἀκίχητα, ἀκιχήτως. ita ut κιχάνειν τοὺς ἵππους, assequi nequiret.—76. οἱ δ' ἀλεγεινοὶ δαμήμεναι, pro ἀλεγεινόν ἐστιν, αὐτοὺς δαμῆναι ὑπὸ θνητῶν ἀνδρῶν. jam vidimus: Κ. 402, 3. et similia alibi. ὀχέεσθαι ἄλλῳ γε. h. l. passive, *ab auriga regi.* Vulgare

σει.] Λάπτει. ὃ ἐστι μετὰ σκυλμοῦ λάβρως, καὶ μετὰ σπαραγμοῦ ἐσθίει. 65. Δῃῶν.] Διακόπτων, διαιρῶν. 66. Ἰΰζουσιν.] Ἀγροικικῇ φωνῇ προσφέρονται. προσφωνοῦσι. Πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἰοῦ ἐπίῤῥημα. 67. Χλωρόν.] Νῦν χλωροποιόν. ὠχρόν. 71. Ἀγάσσατο.] Ἐφθόνησε. 73. Κικόνων.] Κίκονες ἔθνος Θρᾳκῶν. 75. Ἀκίχητα.] Ἀκιχήτως, ἀκαταλήπτως, ἀφθάστως. 76. Ἀλεγεινοί.] Ἀλγεινοὶ, δυσχείρωτοι. 77. Ὀχέεσθαι.] Ἐποχεῖσθαι. 83. Με-

Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας·
παπτῆνε δ' ἄρ' ἔπειτα κατὰ στίχας· αὐτίκα δ' ἔγνω
τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ
κείμενον· ἔῤῥει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν.
βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ,
ὀξέα κεκληγὼς, φλογὶ εἴκελος Ἡφαίστοιο
ἀσβέστῳ. οὐδ' υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼ, εἰ μέν κε λίπω κατὰ τεύχεα καλὰ,
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
μή τις μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται·
εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
αἰδεσθεὶς, μή πώς με περιστείωσ' ἕνα πολλοί·
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαιόλος Ἕκτωρ.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι,
ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη·

82. *Ϝειπών.* 83. vulg. *ἀμφιμελαίνας.* 88. *φλογὶ Ϝείκελος.* 89. ac si esset *ἀσβέστῳ 'ιδ' υἱόν.* 90. *ἄρα Ϝεῖπε πρὸς ὅν.* Forte fuit: *ὀχθήσας δ' ἄρ' ἔφη πρὸς Ϝόν.* 93. *ὅς κε Ϝίδηται.* 98. vulg. *ἐθέλει.* 99. *τάχα Ϝοι.*

esset, *ὥστε τινὰ ἐποχεῖσθαι αὐτοῖς.* ut inf. 449.—82. *ἀμπόνον ἀνδρῶν. ἀνὰ τὴν μάχην. ἀνὰ τοὺς μαχομένους.*—83. *ἄχος ἀμφιεπύκασε φρένας Ἕκτορος, obduxit, tanquam nubes, oppressit.* ut jam Θ. 124. 316. tum *μελαίνας φρένας* vidimus jam A. 103.—86. *κατ' οὐταμένην ὠτειλὴν, cominus inflictum vulnus.*

89—113. Menelaus Hectori imparem se esse videns, deliberat quid facto opus sit: constituit tandem in præsenti recedere a Patrocli corpore; advocato tamen Ajace statim redire.

91. *τεύχεα* Euphorbi.—92. *ἐμῆς ἕνεκα τιμῆς. mei ulciscendi caussa.* v. A. 159. *τιμὴν ἀρνύμενοι Μενελάῳ.*—94. *verendum mihi est, εὐλαβοῦμαι, μή τις* et iterum idem supplendum 95. *εὐλαβοῦμαι, μή πως.*—96. *Τρῶας δ'* pro *γάρ.*—97. *διελέξατο, διαλογίζεται.* Colligit nunc, sibi recedendum esse.—98. *πρὸς δαίμονα adverso numine. ἐναντιωθέντος θεοῦ.* ut contra Hector pugnat *ἐκ θεοῦ* 101. h. e. *σὺν δαίμονι.* iterum sic 104. *καὶ πρὸς δαίμονά περ.*—99. *ὃν κε θεὸς τιμᾷ.* ei studet adeoque *eum pugna superiorem esse vult,*

λαίνας.] Νῦν συνετάς. 85. Ἀπαινύμενον.] Ἀφαιρούμενον. Ἐπὶ γαίῃ.] Ἐπὶ τῇ γῇ. 86. Ὠτειλήν.] Τὸ ἐκ βολῆς τραῦμα. 88. Ὀξέα.] Μεγάλα. Ἡφαίστοιο.] Νῦν πυρός. 90. Πρὸς ὅν.] Πρὸς τὸν ἴδιον. 92. Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς.] Ἀντὶ τοῦ, ὃς ἐμὲ τιμήσας κεῖται. ἢ ὃς κεῖται ἕνεκα τοῦ ἐμὲ τιμωρῆσαι τοὺς Τρῶας. 95. Περιστείωσι.] Περιστοιχίσωσι, περιστῶσι. 97. Διελέξατο.] Διελογίσατο. 98. Ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι.] Ὁπότ' ἄν φησιν ἐθέλει τὶς ἀνθρώπῳ μάχεσθαι, οὗ θεὸς προέστηκεν, ἐν κακοῖσι γίγνεται, ὅ ἐστι διὰ φωτὸς εὑρίσκεται δαίμονι μαχόμενος. ἀντὶ τοῦ δι' ἀνθρώπου. ὃς γὰρ ἂν δι' ἀνθρώπου θεῷ μάχηται. 99. Τάχα οἱ

τῷ μ' οὔ τις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφι πολεμίζει.
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης,
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλείδῃ, Ἀχιλῆϊ. κακῶν δέ κε φέρτατον εἴη.
  Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
αὐτὰρ ὅγ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν
ἐντροπαλιζόμενος· ὥστε λῖς ἠϋγένειος,
ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν·
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης,
θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
θεσπέσιον γάρ σφι φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·
βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα·
  Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος

100. ὅς κε Fίδηται. 104. Fερυσαίμεθα. 105. vulg. φέρτερον.
112. ἀFέκων. 114. ἵκετο Fέθνος. 119. Fέπος.

ut jam aliquoties vidimus: v. c. O. 611, 612. κυλίσθη, κυλίεται. ἐπέρχεται.—105. κακῶν δέ κε φέρτατον εἴη. εἴη ἂν τοῦτο βέλτιστον ὡς ἐν τοῖς κακοῖς, *in his malis quibus premimur.*

106—124. Recedit Menelaus a corpore Patrocli, mox autem adsumto socio Ajace ad illud redit. Discedit ἐντροπαλιζόμενος, quia invitus, subinde respiciens.

112. ἦτορ παχνοῦται. ut sollenne poetis, quoties seu subito terrore, seu metu et formidine constrictum pectus frigore corripitur, horret.—116. μάχης ἐπ' ἀριστερὰ πάσης. versus Simoentem puto. Patroclus in media fere acie pugnasse putandus. Non video quidem, quomodo hoc satis definiri possit. Si de acie Achivorum agitur, qua vallo exierant, læva spectabat versus Simoentem. Sin de fuga; ratio inversa esse debuit.—120. περὶ Πατρόκλοιο θανόντος σπεύσομεν. super Patrocli corpore studium adhibebimus. αἴκε ut saltem spoliatum illud reportemus ad Achillem.

μέγα πῆμα κυλίσθη.] Ἐπηνέχθη, ἐπῆλθε κακόν τι αὐτῷ ἐκ θεοῦ. 101. Χωρήσαντα.] Ὑποχωρήσαντα. Ἐκ θεόφιν.] Νῦν ἐκ θεοῦ προῤῥήσεως. 102. Ἀγαθοῖο.] Ἀνδρείου. 105. Κακῶν δέ κε φέρτερον εἴη.] Τῶν δὲ παρόντων κακῶν τοῦτο ἂν εἴη τὸ ἄριστον. ἢ ἐκ πολλῶν τῶν προγεγονότων κακῶν τὸ ἄμεινον γένοιτο. 109. Ἐντροπαλιζόμενος.] Ἐπιστρεφόμενος συνεχῶς. Λῖς.] Λέων. Αἰολικῶς. Ἠϋγένειος.] Ὁ καλὸν γένειον ἔχων. 110. Σταθμοῖο.] Τῆς ἐπαύλεως, τῆς αὐλείου θύρας. Δίωνται.] Διώξουσιν, ἐκ τοῦ δίημι. 112. Παχνοῦται.] Συστέλλεται, ὑπὸ λύπης πήγνυται. δάκνεται. ἡ μεταφορὰ ἀπὸ τῆς πάχνης. 120. Πέπον.] Νῦν προσφιλέστατε.

σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ.
Ὣς ἔφατ'· Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα,
ἕλχ', ἵν' ἀπ' ὤμοιϊν κεφαλὴν τάμοι ὀξεϊ χαλκῷ,
τὸν δὲ νέκυν Τρωῇσιν ἐρυσσάμενος κυσὶ δοίη·
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος, ἠΰτε πύργον.
Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων·
ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὅγε τεύχεα καλὰ
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας,
ἑστήκει, ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν·
ᾧ ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕλῃ
ἄνδρες ἐπακτῆρες· ὁ δέ τε σθένεϊ βλεμεαίνει,
πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων·
ὣς Αἴας περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
Ἀτρεΐδης δ' ἑτέρωθεν, Ἀρηΐφιλος Μενέλαος,
ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
Γλαῦκος δ', Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,

127. Τρωῇσι Ϝερυσσάμενος. 131. προτὶ Ϝάστυ. 133. vulg. hic et 139. εἱστήκει—περὶ Ϝοῖσι. 134. vulg. συναντήσονται.

125—139. Cum advenirent Ajax et Menelaus, vident Hectorem Patrocli corpus spoliasse et in eo occupatum esse, ut caput amputet; tum illi eum conterritum fugant; et corpus Patrocli protegunt.—127. ἐρυσσάμενος. ubi corpus ad se raptaverit, pertraxerit.—132. ἀμφικαλύψας Μενοιτιάδην σάκει.—133. ὡς τίς τε λέων περὶ οἷσι τέκεσσι. pro περιστῇ. περιβῇ. Elaborata comparatio: ducit νήπια sc. τὰ τέκνα, τοὺς σκύμνους. leo h. l. leæna; nam illa σκυμναγωγεῖ.—135. σθένεϊ βλεμεαίνει, ira, animo, *fremit:* sup. 22.—136. πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται· proprium leonis, *demissa* et *corrugata fronte despicere*, supercilio demisso, cumque eo ipsis palpebris, unde tanto major fit vultus torvitas. Plinius VIII. 16. s. 19. *Quum pro catulis feta dimicat, oculorum aciem traditur defigere in terram, ne venabula expavescat.* hoc itaque vulgo creditum. Adhibent quoque alii poetæ: Val. Fl. I. 758. *quam multa leo cunctatus in arta Mole virum* (inclusus venatorum turba) *rictuque genas et lumina pressit* (frendet et palpebras contrahit.)—139. πένθος ἀέξων pro ἔχων. Lat. *fovens.* retinens; ut Apollon. I. 1339. οὐ θήν τοι ἀδευκέα μῆνιν ἀέξω. et II. 643. θάρσος. cf. inf. vs. 226.

140—168. Cum Hector, spoliis Patrocli potitus, Menelao et Ajace supervenienti-

134. Νήπι' ἄγοντι.] Ἐπιφερομένῳ τοὺς σκύμνους. σημειωτέον δὲ ὅτι καὶ οἱ ἄῤῥενες τῶν λεόντων σκυμναγωγοῦσιν. 135. Ἐπακτῆρες.] Κυνηγοὶ, ἀπὸ τοῦ ἐπάγεσθαι τοὺς κύνας. 136. Ἐπισκύνιον.] Τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος. ἤτοι δέρμα, τὸ συνοφρύωμα τοῦ μετώπου. ὅθεν καὶ σκύζεσθαι τὸ ὀργίζεσθαι. διὰ τὸ ἐνδιάθετον γίγνεσθαι τὸ μέρος τοῖς ὀργιζομένοις. Κάτω ἕλκεται.] Κάτω ἕλκει, κατασπᾷ. παθητικὸν ἀντὶ ἐνεργητικοῦ. 139. Ἀέξων.] Αὔξων, μεγάλως λυποί-

Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο·
ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει, φύξηλιν ἐόντα.
φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς
οἷος σὺν λαοῖσι, τοὶ Ἰλίῳ ἐγγεγάασιν·
οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
εἶσι περὶ πτόλιος· ἐπεὶ οὐκ ἄρα τὶς χάρις ἦεν
μάρνασθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον,
σχέτλι'· ἐπεὶ Σαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον,
κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι·
ὅς τοι πόλλ' ὄφελος γένετο πτόλεΐ τε καὶ αὐτῷ,
ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
τῷ νῦν, εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,
οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος.

141. ὑπόδρα Ϝιδών. 142. Ἕκτορ Ϝεῖδος. 144. Ϝάστυ.
145. σὺν λαοῖς, τοὶ Ϝιλίῳ. 148. vulg. δηΐοισι μετ' ἀνδράσι.
151. Ἀργείοισι Ϝέλωρ. 153. οὔ Ϝοι. 155. Ϝοίκαδ'.

bus, recessisset, objurgatur a Glauco, Sarpedonis familiari (H. 491.) quod non Patrocli corpus ipsum abstractum Ilium absportaverit, ita enim Sarpedonis arma ab Achivis redimi potuisse.—168. Quibus permotus Hector, iterum in aciem prodire constituit; ut autem tanto majorem terrorem Achivis incutiat, arma Patrocli antea induit—232. Ceterum, si poetæ artificium hoc imputari potest: magna sane cum arte et sagacitate effectum est, ut Hector ad induenda Patrocli arma permoveatur, quæ res ad ejus cædem magnum momentum habitura erat, dum Glauci objurgatione eum stimulatum et incensum narrat poeta. Novi consilii nova a poeta caussa fuit inventa. Accedit, quod ita quoque avertit poeta et prohibuit id, quod Achivis intolerabile visum foret, si effectum fuisset, ut arma Achillis Patroclo detracta in urbe suspensa pro tropæo essent. Neque ita carmen finiri potuisset, nisi Achilles urbe expugnata arma recepisset: dedecori enim fuisset, si non nisi Hectoris corpore reddito ea recuperare voluisset.

142. *κατὰ μάχης ἐδεύεο* sc. *ἀλκῆς* ut N. 786. et simpl. eo sensu *δεύεσθαι, ἐπιδεύεσθαι.* Omnino, inferiorem esse, cedere. Alibi adjicitur *ἀνδρῶν* E. 636. *Ἀχαιῶν* Ω. 385. similiter *δεύεσθαι* Ψ. 484.—143. *φύξηλιν ἐόντα paridum*, qui adeo *fugam* circumspicit, fugere solet. *Immerito tibi adest fama præclara fortitudinis, cum tam ignavus sis, ut retrocesseris* adveniente Menelao et Ajace.—145. pro Ilii incolis, oppidanis dictum.—146, 7. *μαχησόμενος—εἶσι. ἐλεύσεται. ad pugnandum procedet.*—147. *οὔ τις χάρις ἦεν, ἐστί.* quandoquidem apud te nulla gratia initur; beneficium gratus non agnoscis; etsi aliquis continuis cum hoste pugnis atteritur.—150. *ἐπεὶ Σαρπηδόν' ἅμα.* non, quod occubuit Sarpedon, imputat Hectori, verum quod Sarpedonis corpus haud eripuerit, ne spoliaretur a Patroclo. Π. 656. 663. Nam Apollinis cura corpus absportatum esse putandus est ignorare Glaucus.—155. *οἴκαδ' ἴμεν* scil. *δεῖ. κάλλιόν ἐστι.* domum redire præstat; nisi *ἴμεν* pro *εἰσόμεθα.* domum redeamus. *πεφήσεται* ut alias *φαίμενος.*

142. Ἐδεύεο.] Νῦν ἀπελείπου. 143. Φύξηλιν.] Δειλὸν, φυγάδα. 145. Ἐκγεγάασιν.] Ἐκγεγέννηνται. ὅ ἐστιν, εἰσίν. ἐνοικοῦσιν. 151. Ἕλωρ.] Ἕλκυσμα, σπάραγμα. Κύρμα.] Ἐπίτευγμα τοῖς πολεμίοις. 153. Ἀλαλκέμεναι.] Ἀπαλεξῆσαι, βοηθῆσαι. 155. Πεφήσεται.] Νῦν προφανῶς γενήσεται, ἀναφανήσεται. ὅτε δὲ τὸ φονευθήσεται.

εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη
ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται, οἳ περὶ πάτρης
ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω·
εἰ δ' οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἔλθοι τεθνειὼς, καί μιν ἐρυσαίμεθα χάρμης,
αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες.
ἀλλὰ σύγ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
στήμεναι ἄντα, κατ' ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ,
οὐδ' ἰθὺς μαχέσασθαι· ἐπεὶ σέο φέρτερός ἐστι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαιόλος Ἕκτωρ·
Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες;
ὢ πόποι, ἦτ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων
τῶν, ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
ὅς τέ με φῂς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.

159. Πάτροκλον Ϝερυσαίμεθα Ϝίλιον. 160. προτὶ Ϝάστυ—Πριάμοιο Ϝάνακτος. 161. μιν Ϝερυσαίμεθα. 163. ἀγοίμεθα Ϝίλιον. 167. κατ' ὄσσε Ϝιδών. 169. ὑπόδρα Ϝιδών. 170. ἔϜειπες. 171. vulg. ὢ πέπον. 173. ἔϜειπες.

νεται. *instat, adest.* Non male 156. εἰ γὰρ usque ad ἔθεντο, precative accipi potest. nunc vulgo εἰ γὰρ—apodosis est αἶψά κε.—158. πόνον καὶ δῆριν ἔθεντο. ἐποιοῦντο. ποιοῦνται. μάχονται—163. ἔντεα λύσειαν, simpl. *reddent.* ἀνταποδώσουσι.—αὐτὸν δὲ Sarpedonis corpus.—164. πέφαται pro ἐστὶ γὰρ ὁ πεφασμένος. ὁ φονευθεὶς Πάτροκλος, familiaris, θεράπων viri inter Achivos eminentissimi, ut pro ejus corpore redimendo nihil recusaturi sint Achivi. Reliqua vs. 164, 5. lecta jam Π. 271, 2.—167. κατ' ὄσσε ἰδών. κατιδὼν τὼ ὄσσε αὐτοῦ. *adpsectum, vultum cum conspexisses.* Ita ὄσσε sup. Ξ. 286. πάρος Διὸς ὄσσε ἰδέσθαι.

169—181. Punxerat Hectorem Glauci objurgatio: excusat discessum suum ex pugna, et virtutis suæ tanto luculentius nunc documentum se editurum esse promittit.

170. τοῖος ἐών. e seqq. constituendum. *cum prudens homo sis.*—171. περιεῖναι ἄλλων

156. Πολυθαρσές.] Πολλοῦ θάρσους ποιητικόν. 157. Εἰσέρχεται.] Ἀργιαίνει, ἐπέρχεται. 158. Δῆριν.] Φιλονεικίαν. 159. Ἐρυσαίμεθα.] Βαστάσωμεν, ἑλκύσωμεν. 160. Εἰ δ' οὗτος.] Εἰ γὰρ οὗτος. ὁ δὲ ἀντὶ τοῦ γάρ. 163. Λύσειαν.] Λυτρώσειαν. 164. Πέφαται.] Νῦν ἀνῄρηται. 165. Ἀγχέμαχοι.] Γενναῖοι. ὥστε ἐγγὺς ἑστῶτες ἀλλήλων μάχεσθαι. 166. Οὐκ ἐτάλασσας.] Οὐκ ἐκαρτέρησας, οὐχ ὑπέμεινας. 167. Κατ' ὄσσε ἰδών.] Κατιδὼν τοῖς ὀφθαλμοῖς. 170. Ὑπέροπλον.] Μέγα. ὑπερήφανον. αὔθαδες. 171. Ἦτ' ἐφάμην.] Ὄντως ἐλογισάμην. Περὶ φρένας ἔμμεναι ἄλλων.] Φρονήσει διαφέρειν τῶν λοιπῶν. 173. Ὠνοσάμην.] Ἐμεμψάμην. 174. Ὅς τέ με φῄς.] Ὅστις με λέγεις. ἐνεστώς ἐστι καὶ ἐγκλίνεται.

οὔτοι ἐγὼ ἔῤῥιγα μάχην, οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί γε Διὸς κρείσσων νόος αἰγιόχοιο·
ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
ῥηϊδίως· ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο, καὶ ἴδε ἔργον·
ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
ἤ τινα καὶ Δαναῶν ἀλκῆς, μάλα περ μεμαῶτα,
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος.
Ὣς εἰπὼν, Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
ὄφρ' ἂν ἐγὼ Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς.
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ
δηΐου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρους
ὦκα μάλ', οὔπω τῆλε, ποσὶ κραιπνοῖσι μετασπὼν,
οἳ προτὶ ἄστυ φέρον κλυτὰ τεύχεα Πηλεΐδαο.
στὰς δ' ἀπάνευθε μάχης πολυδακρύτου, ἔντε' ἄμειβεν.
ἤτοι ὁ μὲν τὰ ἃ δῶκε, φέρειν προτὶ Ἴλιον ἱρὴν,
Τρωσὶ φιλοπτολέμοισιν· ὁ δ' ἄμβροτα τεύχεα δῦνε

179. Fίδε Fέργον. 181. vulg. μέγα περ. 183. Fειπών.
185. vulg. ἐστέ. 191. προτὶ Fάστυ. 193. τὰ Fὰ—προτὶ Fίλιον.
194. vulg. τεύχε' ἔδυνε.

κατὰ τὰς φρένας, φρεσί. τῶν, h. τούτων, οἳ Λ.—κατὰ τοῦτο, τούτου ἕνεκα, ὃ εἶπες.—176. Suam itaque fugam divinitus injectam pronuntiat Hector, quia multitudine et vi majore fuit superatus; fere ut modo Menelaus v. 98. Jovis *voluntas*, decretum, omnem virtutem hominis infringit.—177. ἀφείλετο. ἀφαιρεῖται. ὁτὲ δε—ἄλλοτε δὲ, *modo autem*. Versus repetiti ex Π. 688, 9, 690. nescio an satis commode hoc loco.—180. supple: εἰ, ἠὲ—ἢ—181. εἰ ἀλκῆς σχήσω τινὰ μέγα περ μεμαῶτα. *an aliquem, etsi magno ille cum impetu fertur, prohibiturus sim, ne* Patrocli corpus tueatur: scilicet aut terrendo eum, aut vulnerando et occidendo.

183—197. Armis Patrocli, ut tanto majorem Achivis metum injiciat, Patrocli exemplum æmulatus, qui iisdem Achillis armis indutus Trojanos perterrefecerat, corpus munire se velle pronuntiat Hector, et eos, qui ea in urbem absportabant, vs. 130, 1. (ut ibi ἀνάθημα fierent in fano) insequutus, ea induit. Præclara, ut ad v. 232. dictum est, œconomia in hoc, quod via et ratio idonea reperta est, ut, Hectore cæso, Achilles sua arma recuperare posset. Prodiit autem Hector iisdem armis altero die, quandoquidem noctem in armis exegerat.

189, 190. ὦκα μάλα μετασπὼν, cum *celeriter eos insequutus esset.*—193. Deb. ὁ, (at ille) τὰ μὲν ἃ—τὰ δὲ Ἀχιλῆος.—194. ἄμβροτα τεύχεα ipse poeta interpretatur: ἃ θεοὶ οὐρανίωνες οἱ πατρὶ φίλῳ ἔπορον. pro, πατρὶ αὐτοῦ. Erant Pelei arma in nuptiis cum Thetide a diis dono data, cf. Σ. 84, 85.

175. Ἔῤῥιγα.] Ἔφριξα, ἐφοβήθην. 178. Ὅτε δέ.] Ἐνίοτε δέ. 182. Σχήσω.] Ἐπίσχω, κωλύσω. 187. Ἐνάριξα.] Ἐσκύλευσα. 190. Μετασπών.] Ἐπακολουθήσας. ἐπιδραμών. διώξας. 192. Ἄμειβεν.] Ἐνήλλασσεν. 196.

Πηλείδεω Ἀχιλῆος, ἅ οἱ θεοὶ οὐρανίωνες
πατρὶ φίλῳ ἔπορον, ὁ δ᾽ ἄρα ᾧ παιδὶ ὄπασσε
γηράς· ἀλλ᾽ οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
Τὸν δ᾽ ὡς οὖν ἀπάνευθεν ἴδε νεφεληγερέτα Ζεὺς
τεύχεσι Πηλείδαο κορυσσόμενον θείοιο,
κινήσας ῥα κάρη προτὶ ὃν μυθήσατο θυμόν·
Ἆ δειλ᾽, οὐδέ τι τοὶ θάνατος καταθύμιός ἐστιν,
ὃς δή τοι σχεδὸν ἐστι· σὺ δ᾽ ἄμβροτα τεύχεα δύνεις
ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι·
τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε, κρατερόν τε·
τεύχεα δ᾽ οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
εἵλευ· ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
τῶν ποινήν, ὅ τοι οὔ τι μάχης ἐκ νοστήσαντι
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος.
Ἦ, καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων.
Ἕκτορι δ᾽ ἥρμοσσε τεύχε᾽ ἐπὶ χροΐ· δῦ δέ μιν Ἄρης
δεινὸς ἐνυάλιος· πλῆσθεν δ᾽ ἄρα οἱ μέλε᾽ ἐντὸς
ἀλκῆς καὶ σθένεος. μετὰ δὲ κλειτοὺς ἐπικούρους
βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ σφισι πᾶσι,

195. τά Fοι. 196. ὁ δ᾽ ἄρα Fῷ. 198. ἀπάνευθε Fίδε. 200. προτὶ Fόν. 207. vulg. ἐκνοστήσαντι. 211. ἄρα Fοι. 213. μέγα FιFάχων.

198—209. Quod poeta interponere poterat, ut moneret, de paullo post successura rerum mutatione, cum mors immineat Hectori: id ingeniose Jovi tribuit, cum indignatione miseranti Hectorem.—201. *οὐδέ τι τοι.* pro *οὔ τι.* ut *nec vero* pro, *non.* nulla tibi est cogitatio *de morte.*—205. *οὐ κατὰ κόσμον. non ut par erat*, fortiori; vel *σὺν ὕβρει. ὑπερηφάνως*; vel *parum prudenter.* nam varie exponi potest.—207. *τῶν ποινήν, ὅ.* h. e. *καθ᾽ ὅ*, pro *ἀντὶ τούτου, ὅτι. compensationem.* faciam ut tu nunc eximiæ virtutis laudem consequaris, ut hoc tibi sit pro compensatione mortis instantis. Cum affectu autem dictum hoc, quod, pro: Hector e pugna salvus haud redibit, Andromachen dixit ejus reducis non esse arma deposita excepturam: quod illa facere solebat: cf. Θ. 186. sq.—209. *ἐπένευσε σὺν ὀφρύσι.* antea concusserat caput, 200. nunc annuit; utrumque tacite.

210—232. Hector armis Achillis indutus incendi animum sentiens sociorum copias (nam ab ea aciei parte socii pugnasse putandi sunt) ad pugnam hortatur, eique qui corpus Patrocli Ajaci, qui id maxime tuebatur, erepturus sit, promittit partem spoliorum Patrocli.

210. *Ἕκτορι δ᾽ ἥρμοσε τεύχε᾽. ἁρμόσαι* nunc vi media, *se aptare, aptum esse.* ut jam Γ. 333.—213. *ἰνδάλλετο σφίσι Πηλείωνι. visus ipsis est similis esse Achilli.* Qui mox

Ὤπασσεν.] Ἔδωκε. 197. Γηράς.] Ἀντὶ τοῦ γηράσας. 200. Προτὶ ὃν μυθήσατο θυμόν.] Πρὸς τὴν ἑαυτοῦ ψυχὴν ἔφη. 202. Δύνεις.] Ἐνδύῃ. 204. Ἐνηέα.] Προσηνῆ, πρᾶον. 205. Οὐ κατὰ κόσμον.] Οὐ κατὰ τὸ προσῆκον. ἐφ᾽ ὕβρει. 207. Ποινήν.] Τιμωρίαν. οἱ δὲ ἀμοιβὴν καὶ χάριν. 210. Δῦ δέ μιν Ἄρης.] Εἰσῆλθε δὲ αὐτὸν πολέμου ἐπιθυμία καὶ ὁρμή. 211. Ἐνυάλιος.] Πολεμικός. 213. Ἰνδάλλετο.] Εἰκάζετο. ὡμοιοῦτο τῷ Ἀχιλλεῖ δηλονότι.

τεύχεσι λαμπόμενος, μεγαθύμῳ Πηλείωνι.
ὄτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσι,
Μέσθλην τε, Γλαῦκόν τε, Μέδοντά τε, Θερσίλοχόν τε,
Ἀστεροπαῖόν τε, Δεισήνορά θ', Ἱππόθοόν τε,
Φόρκυν τε, Χρομίον τε, καὶ Ἔννομον οἰωνιστήν·
τοὺς ὅγ' ἐποτρύνων, ἔπεα πτερόεντα προσηύδα·
Κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων,
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος, οὐδὲ χατίζων,
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον·
ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
τὰ φρονέων, δώροισι κατατρύχω καὶ ἐδωδῇ
λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
τῷ τις νῦν ἰθὺς τετραμμένος, ἢ ἀπολέσθω,
ἠὲ σαωθήτω· ἣ γὰρ πολέμου ὀαριστύς.
ὃς δέ κε Πάτροκλον, καὶ τεθνειῶτά περ, ἔμπης
Τρῶας ἐς ἱπποδάμους ἐρύσῃ, εἴξῃ δέ οἱ Αἴας,
ἥμισυ τῷ ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸς

214. vulg. *μεγαθύμου Πηλείωνος.* 215. *ὄτρυνε δὲ Fέκαστον ἐποιχόμενος Fεπέεσσι.* 219. *Fέπεα.* 222. *ἤγειρα Fέκαστον.* 226. *δὲ Fεκάστου.* 230. *Fερύσῃ, εἴξῃ δέ Fοι.* vulg. *ἐρύσει* et *εἴξει.*

216. memorantur, sunt e sociis: ut quoque intelligas, ex 220.—225. *τὰ φρονέων hoc animo, consilio.* *δώροισι κατατρύχω καὶ ἐδωδῇ λαούς.* Locus inservit illustrandis vitæ priscæ institutis. Nondum stipendia erant constituta, nec tributa descripta, unde ea solverentur; ita nec alebat rex copias. Pro stipendiis sunt *δῶρα*, quibus evocantur socii, et commeatum præbent Trojani: cf. Σ. 290.—226. *θυμὸν ἀέξω*, recreo vos. sc. rebus necessariis provisis. *ἀέξειν*, augere, tum alere, fovere, firmare, fortunare et quocunque modo melius majusve reddere. cf. Μ. 214. sup. Ρ. 139.—227. *Quare unusquisque recta in hostem conversus*, invadens aciem adversam imperterrito animo, *aut pereat, aut salvus discedat*, *ἢ ἀπολέσθω ἠὲ σαωθήτω.* h. e. *putato sibi aut pereundum, aut sibi non, nisi victori, incolumi abeundum esse.* *ἣ γὰρ (τοῦτο γάρ ἐστι) πολέμου ὀαριστύς.* *hæc sunt belli commercia, hæc est prælii lex et conditio.* Quod nos efferimus, aut pereundum est aut vincendum: alterum hoc effert per *σαοῦσθαι·* ut jam vidimus Ο. 502, 503. *νῦν ἄρκιον ἢ ἀπολέσθαι ἠὲ σαωθῆναι* exclusa salute e fuga. *ὀαριστὺς* proprie est *ὁμιλία*, *confabulatio*, ut Ξ. 216. eoque, negotium quod aliquis cum altero peragit; *μετὰ προμάχων ὀαριστὺν* vidimus Ν. 291. *hæ sunt belli vices.*

220. Φῦλα.] Ἔθνη, γένη. Περικτιόνων.] Περιοίκων. 221. Πληθὺν διζήμενος.] Πλήθους δεόμενος. 224. Ῥύοισθε.] Σώζοιτε. 225. Κατατρύχω.] Καταδαπανῶ, ἀνιῶ, εἰς ταλαιπωρίαν ἄγω. Ἐδωδή.] Τροφή. ὁ δὲ λόγος καταπονῶν τοὺς Τρῶας, ἀναγκάζω παρέχειν τοῖς συμμάχοις δωρεὰς καὶ εὐωχίας. 226. Ἀέξω.] Αὔξω. 227. Ἰθὺς τετραμμένος.] Ἐπ' εὐθείας ὁρμῶν. 228. Ἣ γὰρ πολέμου ὀαριστύς.] Αὕτη γάρ ἐστιν ἡ τοῦ πολέμου ὁμιλία. ὅ ἐστιν, οὕτως δεῖ ἀναστρέφεσθαι ἐν τῷ πολέμῳ καὶ ἀριστεύειν. αὕτη γὰρ ἀρετὴ πολεμούντων. 230. Εἴξει.] Ὑπείξει, ὑποχωρήσει. 231. Ἀποδάσσομαι.] Ἀπομερίσω. 233. Βρίσαν-

ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται, ὅσσον ἐμοί περ.
  Ὣς ἔφαθ'· οἱ δ' ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν,
δούρατ' ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
νεκρὸν ὑπ' Αἴαντος ἐρύειν Τελαμωνιάδαο·
νήπιοι· ἦτε πολέσσιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα.
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
  Ὦ πέπον, ὦ Μενέλαε Διοτρεφὲς, οὐκέτι νῶϊ
ἔλπομαι αὐτώ περ νοστησέμεν ἐκ πολέμοιο.
οὔ τι τόσον νέκυος πέρι δείδια Πατρόκλοιο,
ὅς κε τάχα Τρώων κορέει κύνας, ἠδ' οἰωνοὺς,
ὅσσον ἐμῇ κεφαλῇ πέρι δείδια, μή τι πάθῃσι,
καὶ σῇ· ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει
Ἕκτωρ· ἡμῖν δ' αὖτ' ἀναφαίνεται αἰπὺς ὄλεθρος.
ἀλλ' ἄγ', ἀριστῆας Δαναῶν κάλει, ἤν τις ἀκούσῃ.
  Ὣς ἔφατ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος·
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
  Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
οἵτε παρ' Ἀτρείδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
δήμια πίνουσι, καὶ σημαίνουσιν ἕκαστος

232. δέ Ϝοι. 234. σφισι Ϝέλπετο. 235. Ϝερύειν. 237. Ϝεῖπε. 239. Ϝέλπομαι. 240. 242. vulg. περιδείδια. 250. σημαίνουσι Ϝέκαστος.

233—6. Verbis Hectoris erecti socii Trojanorum invadunt Achivos. βρίσαντες ἔβησαν impressione facta urgent, ἰθὺς ἴσαν. δούρατ' ἀνασχόμενοι, parati ad hastam emittendam. 236. Ajax multos ἐπὶ τῷ νεκρῷ prostravit.

237—262. Ajace monente, cum tanta Trojanorum turma ingrueret, Menelaus invocat e proximo principes ex Achivis, ut sibi adsint. Subveniunt Ajax Oilei, Idomeneus, Meriones, cum aliis multis.

240—244. Parum dignum Ajace esse dixeris, quod de se magis quam de Patroclo sollicitus est. Sed videtur sententia inesse: nunc non minus, atque etiam multo magis, *nobis ipsis* metuo, quam Patrocli corpori.—240. Est ὁ νέκυς Πατρόκλου.—243. πολέμοιο νέφος, Ἕκτωρ, περικαλύπτει πάντα. Lyrico conveniens oratio, non epico poetæ; *Hector, pugnæ nubes, obducit omnia.* ut ap. Pindar. Nem. X, 16. Amphiaraus est *belli* s. pugnæ *procella.* Altera ratio est: Ἕκτωρ καλύπτει νέφος πολέμοιο περὶ πάντα, obducit Hector nubem pugnæ omnibus, pugnam facit, movet, omni parte. hoc saltem epicum. Alias simpliciter dicitur νέφος πολέμου per se. ut Virgil. Æn. X. 809. Æneas *nubem belli, dum detonet, omnem sustinet* vim et impetum pugnæ, pugnantium; et κυάνεον Τρώων νέφος ἐπιβέβηκε νηυσὶν dixerat Π. 66.—250. δή-

τες.] Σφοδρῶς ἐπελθόντες, βαρήσαντες. 236. Πολέσσιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα.] Ἀντὶ τοῦ, πολλῶν ἐπ' αὐτῷ ψυχὴν ἀφείλετο. 241. Κορέει.] Κορέσει, πληρώσει. 242. Ὅσσον ἐμῇ κεφαλῇ πέρι δείδια, μήτι πάθῃσιν.] Ὅσον περὶ ἐμαυτοῦ φοβοῦμαι μήτι πάθωμεν. 243. Ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει.] Ἐπεὶ πανταχόθεν ἡμᾶς ἐσκότωσεν ὁ Ἕκτωρ καθάπερ νέφος πολέμου. 244. Αἰπὺς ὄλεθρος.] Ὑψηλός. ἀφ' οὗ μέγας καὶ δεινός. 247. Διαπρύσιον.] Διαπορεύσιμον, μέγα. 249. Παρ' Ἀτρείδῃς.] Τὸ πλῆρες παρὰ τοῖς Ἀτρείδαις. 250. Δήμια πίνουσι.] Τὰ δημόσια τὰ παρὰ τοῦ δήμου ἐξαιρέτως διδό-

λαοῖς, ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ·
ἀργαλέον δέ μοι ἐστὶ διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῷ,
Πάτροκλον Τρῳῇσι κυσὶ μέλπηθρα γενέσθαι.
Ὣς ἔφατ'· ὀξὺ δ' ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας·
πρῶτος δ' ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα·
τὸν δὲ μετ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.
τῶν δ' ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ' εἴποι,
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν.
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ.
Ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διϊπετέος ποταμοῖο
βέβρυχε μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι

252. διασκοπιᾶσθαι Ϝέκαστον. forte ἅπαντας.
259. Ἐνυαλίῳ 'νδρειφόντῃ. 260. v. Obss.

μια πίνουσι, τὰ δήμια, δημόσια, χρήματα. pro *δημίως*, publico sumtu; epulis a rege habitis adhibentur: ut autem rex haberet unde tantæ copiæ suppeterent, provisum erat partim *τῷ τεμένει*, agro ei publice assignato, partim muneribus a populo afferri solitis.—251. *ἔκ τε Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.* junctura sollennior erat, *καὶ οἷς—ὀπηδεῖ*, h. *πάρεστιν, ἐστί.* Supra A. 97. *τιμὴ δ' ἐκ Διός ἐστι.* Sententia versus, qui abesse poterat, ergo est: et qui dignitatem regiam habent; nihil amplius; sed, ex istarum ætatum sermone, eam divinitus obtigisse, aiunt; quemadmodum omnia præclara sunt *θεῖα.* De jure divino nihil cogitarunt isti homines.—253. *τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.* ardet pugna; pro vulgari, *μάχη γίνεται.* sed cum notione adjuncta, late et acriter pugnari, omni aciei parte.—254. *ἀλλά τις. ἕκαστός τις. ἕκαστος.* venito sponte, pro se.—255. *κυσὶ μέλπηθρα γενέσθαι prædam:* sed cum notione dilaniationis. Vidimus jam N. 233.—257. *ἀνὰ δηϊοτῆτα* per pugnæ ordines seu turmas.—260. *ᾗσιν ἐνὶ φρεσὶν οὐνόματ' εἴποι.* adjecta sunt priora, antiqua orationis copia: *quis dixerit apud se*, quis exputet animo. *μετόπισθε* erit *post* et *præter* hos duo. *μετὰ τούτους.*—262. *προὔτυψαν* invadunt procurrendo. jam lecta vox N. 136.

263—318. Redintegratur pugna circa Patrocli corpus; primo Trojani corpus abstrahunt; fortiter resistunt Achivi; Hippothous ab Ajace, Schedius ab Hectore, Phorcyn ab Ajace vita privantur.

263. Trojani invadunt Achivos, cum clamore qui cum maris fragore comparatur. Ornatur comparatio dilectu loci, in quo maximus fluctuum fremitus fit, memorato: *ἐπὶ προχοῇσι ποταμοῖο*, aqua amnis erumpente allisis fluctibus repressa. *ποταμὸς διϊπε-*

μενα τοῖς βασιλεῦσι καταναλίσκουσι. καὶ σημαίνει ἕκαστος. 252. Διασκοπιᾶσθαι.] Διασκέπτεσθαι. 253. Δέδηεν.] Ἐξῆπται, διεγήγερται. 254. Ἀλλά τις αὐτὸς ἴτω.] Ἀλλ' ὑπὸ ἰδίας γνώμης παραγενέσθω. Νεμεσιζέσθω.] Μεμφέσθω, ἄξιον ἡγείσθω μέμψεως, αἰδείσθω. 255. Τρῳῇσι.] Τρωϊκαῖς. Μέλπηθρα.] Ἑλκύσματα, παίγνια. οἱ γὰρ κύνες, ὁπότ' ἂν χορτασθῶσι, τοῖς λειψάνοις παίζουσι. μολπὴ νῦν ἡ παιδιά. 256. Ὀξύ.] Ὀξέως, ταχέως. 262. Προὔτυψαν.] Πρῶτον ἐνέβαλον. 263. Προχοῇσι.] Ταῖς εἰς θάλασσαν χύσεσι, καὶ ἐκβολαῖς τῶν ποταμῶν. Διϊπετέος ποταμοῖο.] Καταφεροῦς, πρανοῦς. ἤτοι τοῦ ὑπὸ Διὸς πληρουμένου οἷον χειμάῤῥου. ἢ διαφανοῦς καὶ οἱονεὶ διαπεπετασμένου. 264. Βέβρυχε.] Ποιὸν ἦχον ἀπετέλεσεν. ὀνοματοποιΐα ὁ τρόπος. 265. Ἐρευγο-

ἠϊόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω·
τόσση ἄρα Τρῶες ἰαχῇ ἴσαν. αὐτὰρ Ἀχαιοὶ
ἔστασαν ἀμφὶ Μενοιτιάδῃ, ἕνα θυμὸν ἔχοντες,
φραχθέντες σάκεσι χαλκήρεσιν· ἀμφὶ δ' ἄρα σφι
λαμπρῇσι κορύθεσσι Κρονίων ἠέρα πολλὴν
χεῦ· ἐπεὶ οὐδὲ Μενοιτιάδην ἔχθαιρε πάρος γε,
ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο·
μίσησε δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι
Τρωῇσι· τῷ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς.
νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν. οὐδέ τιν' αὐτῶν
Τρῶες ὑπέρθυμοι ἕλον ἔγχεσιν, ἱέμενοί περ·
ἀλλὰ νέκυν ἐρύοντο. μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοὶ
μέλλον ἀπέσσεσθαι· μάλα γὰρ σφέας ὦκ' ἐλέλιξεν
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα·
ἴθυσεν δὲ διὰ προμάχων, συῒ εἴκελος ἀλκὴν
καπρίῳ, ὅστ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς
ῥηϊδίως ἐκέδασσεν, ἑλιξάμενος, διὰ βήσσας·

265. Bentl. βοόϝωσι. 266. Τρῶες ϝιϝαχῇ. 270. vulg. ἤχθηρε.
273. ϝοι. 274. ϝελίκωπας. 276. ἔγχεσι ϝιέμενοι. 277. νέκυν ϝερύοντο.
278. ὦκα ϝέλιξεν, ex mente Dawesii. 279. περὶ μὲν ϝεῖδος, περὶ δ' ϝέργα.
281. συῒ ϝείκελος. 283. ἐκέδασσε, ϝελιξάμενος.

τῆς jam Π. 174.—265. ἐρευγομένης ἁλὸς ἔξω, ἐξ ἁλὸς, ἐξερευγομένης πρὸς τὸν ποταμὸν καὶ τὰς ἠϊόνας, puta fluctibus e mari in littus se evolventibus.—268. ἀμφὶ δ' ἄρα σφι λαμπρῇσι κορύθεσσι (ταῖς κόρυσιν αὐτῶν) Κρονίων ἠέρα πολλὴν χεῦ—Caliginem ex pulvere per pugnantes excitato coortam per noctem declaratam inf. 367. sq. videtur poeta in ostentum vertere quo Jupiter moneat, se nolle Patrocli corpus insepultum abjici. Forte ad terrorem, qui averteret Trojanos a corpore Patrocli, valere hoc debuit. Simplicior tamen ratio hæc est: Cum dicendum esset: exorta est acerrima pugna; eaque declarari posset per pulverem caligine omnia obducentem, revocatur res, more solito, ad Jovem. Jam, quod Jovi proprie tribuitur, est, quod pro corpore Patrocli tuendo Achivorum ille virtutem inflammat, cum nollet illud insepultum abjici. Ita conveniunt sequentia, inprimis 273. quod Achivos ad tuendum corpus concitat Jupiter. 272. μίσησεν ut φθονεῖν, pro *nolle*.—275. νεκρὸν δὲ, pro γάρ. mutato subjecto nunc sunt οἱ προλιπόντες Achivi.

277—287. Trojanos Patroclum abstrahere volentes Ajax denuo repellit.—278. ἐλέλιξε, effecit ut se converterent Achivi. 279. ὃς περιῆν Δαναῶν κατὰ τὸ εἶδος καὶ ἔργα, μάχην.—281. συῒ καπρίῳ. comparationem jam vidimus cum apro similem Λ. 414. add. Μ. 41. sq.—283. ἐκέδασσεν, pro σκεδάζει, διὰ βήσσας.—285. μετεισάμενος, *irruendo*.

μένης ἁλὸς ἔξω.] Ἐκβρασσομένης τῆς θαλάσσης εἰς τὸ ἔξω μέρος. 270. Ἤχθηρεν.] Ἐμίσησε, μισητὸν ἡγήσατο. 275. Ὑπέτρεσαν.] Ὑπὸ δέους ἔφυγον. 278. Ἐλέλιξε.] Συνείλησε, συνέτρεψεν. 279. Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο.] Ὃς καὶ εὐμορφίᾳ καὶ τοῖς λοιποῖς ἔργοις διέφερε τῶν λοιπῶν πάντων Ἑλλήνων μετὰ τὸν Ἀχιλλέα. 283. Ἐκεδασσεν.] Ἐσκόρπισε. Διὰ

ὡς υἱὸς Τελαμῶνος ἀγαυοῦ, φαίδιμος Αἴας,
ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας,
οἳ περὶ Πατρόκλῳ βεβασαν, φρόνεον δὲ μάλιστα
ἄστυ ποτὶ σφέτερον ἐρύειν, καὶ κῦδος ἀρέσθαι.
ἦτοι τὸν, Λήθοιο Πελασγοῦ φαίδιμος υἱὸς,
Ἱππόθοος ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην,
δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος. τάχα δ' αὐτῷ
ἦλθε κακὸν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
τὸν δ' υἱὸς Τελαμῶνος, ἐπαΐξας δι' ὁμίλου,
πλῆξ' αὐτοσχεδίην, κυνέης διὰ χαλκοπαρήου·
ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ,
πληγεῖσ' ἔγχεΐ τε μεγάλῳ καὶ χειρὶ παχείῃ·
ἐγκέφαλος δὲ, παρ' αὐλὸν, ἀνέδραμεν ἐξ ὠτειλῆς,
αἱματόεις, τοῦ δ' αὖθι λύθη μένος· ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
κεῖσθαι· ὁ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ,
τῆλ' ἀπὸ Λαρίσσης ἐριβώλακος· οὐδὲ τοκεῦσι
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
ἔπλεθ', ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος

287. Ϝάστυ—Ϝερύειν. 292. τό Ϝοι—ἐρύκακε Ϝιεμένων.
302. δέ Ϝοι. 305. ἄντα Ϝιδών.

288—303. Hippothous Lethi f. v. B. 840. sq. Patrocli corpus fune pedi illigato abstracturus ab Ajace occiditur.

293. τὸν δ' manifeste pro γάρ.—294. (κατ') αὐτοσχεδίην (πληγὴν), *cominus* ut jam M. 192.—195. ἤρικε, *dissiluit. diffracta est.* ἐρεικόμενος vidimus N. 441. Ceterum hastæ desuper sic capitis vertici infigendæ cominus modum vix assequaris.—297. παρ' αὐλὸν per conum galeæ, cui alias inseritur crista.—301. *Larissa* hæc, quod probabile fit, est Æolidis: B. 841. v. Strabo XIII. p. 921. D. appellata Φρικωνὶς et ἡ ἐν Κύμῃ. Consederat autem ibi Pelasgicæ stirpis populus.

304—311. Hector Ajacem hasta petens trajicit *Schedium*, e Phocensium ducibus:

βήσσας.] Ἀντὶ τοῦ διὰ βησσῶν, ὅ ἐστι βασίμων τόπων. 285. Μετεισάμενος.] Ἐπ' αὐτοὺς ἐλθών. 286. Φρόνεον.] Διενοοῦντο, ἤλπιζον. 294. Χαλκοπαρήου.] Χαλκὰς παραγναθίδας ἐχούσης. 295. Ἤρικε.] Διεσχίσθη, ὅθεν καὶ ἐρείκη, καὶ τὰ ὄσπρια ἐρίγματα, παρὰ τὸ καταψοφεῖν. Ἱπποδάσεια.] Ἡ ἐξ ἱππείων τριχῶν ἔχουσα τὸν λόφον. 297. Ἐγκέφαλος δὲ παρ' αὐλὸν ἀνέδραμεν.] Ὁ δὲ ἐγκέφαλος παρὰ τὴν ἀνάτασιν τοῦ κράνους σφόδρα καὶ ἐκτεταμένως τῇ τοῦ αἵματος ῥύσει συνεξέῤῥευσε. αὐλὸς γὰρ καλεῖται πᾶν τὸ στενὸν καὶ ἐπίμηκες, κατὰ μεταφορὰν τοῦ ὀργάνου. ὅθεν τὸ στάδιον δίαυλον ἐκάλουν, διὰ τὸ μῆκος. νῦν οὖν αὐλόν φησι τὸν τοῦ αἵματος ἀκοντισμόν. ἔστι δὲ ὅτε καὶ τὸ ἐπίμηκες τοῦ δόρατος. 302. Θρέπτρα.] Τροφεῖα.

τυτθόν· ὁ δὲ Σχεδίον, μεγαθύμου Ἰφίτου υἱὸν,
Φωκήων ὄχ᾽ ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆϊ
οἰκία ναιετάασκε, πολέσσ᾽ ἄνδρεσσιν ἀνάσσων·
τὸν βάλ᾽ ὑπὸ κληῗδα μέσην· διὰ δ᾽ ἀμπερὲς ἄκρη
αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε.
δούπησε δὲ πεσὼν, ἀράβησε δὲ τεύχε᾽ ἐπ᾽ αὐτῷ.
Αἴας δ᾽ αὖ Φόρκυνα δαΐφρονα, Φαίνοπος υἱὸν,
Ἱπποθόῳ περιβάντα, μέσην κατὰ γαστέρα τύψε·
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς
ἤφυσ᾽· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
χώρησαν δ᾽ ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκροὺς,
Φόρκυν θ᾽, Ἱππόθοόν τε· λύοντο δὲ τεύχε᾽ ἀπ᾽ ὤμων.
  Ἔνθα κεν αὖτε Τρῶες Ἀρηϊφίλων ὑπ᾽ Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν, ἀναλκείῃσι δαμέντες·
Ἀργεῖοι δέ κε κῦδος ἕλον, καὶ ὑπὲρ Διὸς αἶσαν,
κάρτεϊ καὶ σθένεϊ σφετέρῳ· ἀλλ᾽ αὐτὸς Ἀπόλλων

306. *μεγαθύμου Ϝιφίτου.* vulg. *μεγάθυμον.* 308. *Ϝοικία—ἄνδρεσσι Ϝανάσσων.* 317. *μέγα ϜίϜαχον, Ϝερύσαντο.* 320. *Ϝίλιον.*

de quo v. B. 517. et de *Panopeo* seu Panope, Phocidis urbe, B. 510.—309. ὑπὸ κληῗδα, in omoplata, subter jugulo, qua jungitur cervix humero. v. Not. ad E. 461. Θ. 325.

312—315. Ajax *Phorcynem* interimit. Erat is B. 862. e Phrygum ducibus; memoratus supra v. 218. Corpus cæsi Hippothoi 289. tuebatur, ne spoliaretur.—314. θώρηκος γύαλον, proprie cavam partem thoracis. Lecti jam vss. N. 507, 508.

316—343. Cæde Phorcynis perculsi Trojani recedunt: verum ab Apolline, sub Periphantis persona latente, excitatus Æneas Trojanos iterum adversus hostem ducit.

320. ἀναλκείῃσι δαμέντες. δι᾽ ἀναλκείας, *ignavia.*—321.—καὶ ὑπὲρ Διὸς αἶσαν. præter Jovis voluntatem fatalem. Idem mox 327. et ὑπὲρ θεόν. B. 155. ὑπέρμορον. Z. 487. simpliciter ὑπὲρ αἶσαν inf. Υ. 30. 336. Φ. 517. ὑπὲρ μέρον. ὑπὲρ μοῖραν. Quæ loca si inter se comparaveris, *de fato* priscos homines ita statuisse intelligas ut crederent fieri aliquid etiam *præter fatum* posse, *sive*, jam omnino fatale non sit, *sive* ut non hoc tempore fatale sit ut id eveniat; unde fit, ut *fatum differri* posse crediderint; sive, ut alio exsequendi modo, per alios homines, fato id constitutum sit; quemadmodum fatale erat, Trojam ab Achivis deleri, non autem ab Achille. Et hactenus Jovis aliqua vis et potestas est in fato differendo, accelerando: etsi subverti ab eo fatum omnino nequit. Ex loco, in qua versamur, etiam hoc intelligitur, posse Jovis decretum, saltem pro tempore, interverti, *ubi magna hominis seu dei virtus se exeruerit:* cf. 328, 9, 330. posse quoque hominum incuria, errore, stultitia, ignavia aliquid evenire, quod fatale non esset, ut B. 156. discessus Achivorum. Subtiliter excutere velle, quomodo id cum notione numinis conveniat, vanum esset; nam homines illi habuere vix ipsi aliquid apud se explorati. Illud tamen videntur perspectum habuisse; ut deorum studia propitia locum habeant, etiam hominum operam, virtutem et prudentiam in actum esse deducendam secundum id quod olim in prover-

307. Πανοπῆϊ.] Φωκίδος πόλις. 313. Περιβάντα.] Ὑπερασπίζοντα. 315. Ἤφυσε.] Διεῖλεν, ἔκοψεν. Ἀγοστῷ.] Ἀγκῶνι, πήχει. 321. Καὶ ὑπὲρ Διὸς αἶσαν.] Καὶ παρὰ τὴν τοῦ Διὸς γνώμην.

Αἰνείαν ὤτρυνε, δέμας Περίφαντι ἐοικὼς,
κήρυκ' Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι
κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς·
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσαισθε
Ἴλιον αἰπεινὴν, ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεϊ τε σθένεϊ τε πεποιθότας, ἠνορέῃ τε,
πλήθεϊ τε σφετέρῳ, καὶ ὑπερδεᾶ δῆμον ἔχοντας;
ὑμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται, ἢ Δαναοῖσι,
νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον, οὐ δὲ μάχεσθε.
Ὣς ἔφατ'· Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα
ἔγνω ἐσάντα ἰδών· μέγα δ' Ἕκτορα εἶπε βοήσας·
Ἕκτορ τ', ἠδ' ἄλλοι Τρώων ἀγοὶ, ἠδ' ἐπικούρων,
αἰδὼς μὲν νῦν ἥδε γ', Ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι, ἀναλκείῃσι δαμέντας.
ἀλλ' ἔτι γάρ τις φησὶ θεῶν, ἐμοὶ ἄγχι παραστὰς,
Ζῆν', ὕπατον μήστωρα, μάχης ἐπιτάῤῥοθον εἶναι.

323. Περίφαντι ϝεϝοικώς. 324. ὅς ϝοι. 325. μήδεα ϝειδώς. 326. μιν ἐϝεισάμενος vel μιν ϝεισάμενος. 328. ϝίδον. 330. vulg. ὑπερδέα. 331. vulg. ἡμῖν. 333. δὲ ϝεκηβόλον. 334. ἐσάντα ϝιδών—Ἕκτορα ϝεῖπε. 337. ϝίλιον.

bio erat σὺν Ἀθηνᾷ καὶ τὴν χεῖρα κίνει.—323. *Periphas.* Epyti f. præco *Anchisæ*; diversus a Periphante Ætolo sup. E. 842.—325. φίλα φρεσὶ μήδεα εἰδὼς, simpl. φίλα φρονέων, φιλόφρων.—327. quid sit, ὑπὲρ θεὸν diserte expositum est vss. 328, 329, 330. cf. ad 321. *deo invito. contra quam deus constituerit, aut constituisse videri possit.* Est enim sententia nulla alia quam hæc: se vidisse viros fortes res arduas gerere et in summis periculis versari, ut illis pereundum esse crederes, tamen eluctatos esse discrimen virtute, robore et animi firmitate, copiarumque alacritate, etsi exiguo valde eæ essent numero.—330. πλήθεϊ τε σφετέρῳ, simpliciter λαοῖς, *copiis suis*, quas ducunt. καὶ ὑπερδεᾶ δῆμον ἔχοντας, *etsi valde inferiores numero copias haberent.* ὑπερδεὴς, ὑπερβαλλόντως ἐνδεής. valde deficiens aliqua re, nunc, numero.—331. πολὺ (sc. μᾶλλον) βούλεται.

333, 4. Æneas nunc Apollinem sub Periphantis persona latentem agnoscit; poeta tamen non monuit, quo indicio: quod alias facere solet. Ignorat tamen Æneas, quis deus fuerit 338.—336. αἰδὼς ἥδε γε. αἰσχύνη nostro sermone: esset hoc aliquid pudendum, opprobrium.—339. Potest Jupiter esse absolute dictus Ζεὺς μήστωρ ὕπα-

324. Κήρυκι Ἠπυτίδῃ.] Ἠπύτου παιδὶ, ἢ φωνητικῷ. 327. Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεόν.] Ὁ νοῦς, πῶς ἂν καὶ παρὰ τὴν θείαν βουλὴν ῥύσησθε τὴν πόλιν, ὅτε τοῦ Διὸς συμπράττοντος ὑμῖν διὰ τὴν ἰδίαν ἀσθένειαν λείπεσθε. Καὶ ὑπὲρ θεόν.] Καὶ παρὰ τὴν γνώμην τοῦ θεοῦ. 329. Κάρτεϊ τε σθένεϊ τε πεποιθότας.] Καὶ τῷ κράτει ἡμῶν καὶ τῇ δυνάμει θαῤῥοῦντας. 330. Πλήθεϊ τε σφετέρῳ καὶ ὑπερδέα δῆμον ἔχοντας.] Τῷ πλήθει τοῦ λαοῦ, καί περ ἐλαττουμένους, ἀλλὰ περιόντας τῶν πολεμίων διὰ τὴν ἀνδρίαν. Ὑπερδέα δῆμον ἔχοντας.] Ὑπερδέοντα. ὅ ἐστι γενναῖον. καὶ ὑπεράγοντα τῇ δυνάμει τοὺς ἀντιτεταγμένους ἔχοντας πλείονας. 332. Τρεῖτε.] Δεδίττεσθε, φοβεῖσθε. 354. Ἔρχατο.] Πεφραγμένοι

τῷ ῥ' ἰθὺς Δαναῶν ἴομεν, μηδ' οἵ γε ἕκηλοι
Πάτροκλον νηυσὶ πελασαίατο τεθνειῶτα.
Ὣς φάτο· καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη.
οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
ἔνθ' αὖτ' Αἰνείας Λειώκριτον οὔτασε δουρὶ,
υἱὸν Ἀρίσβαντος, Λυκομήδεος ἐσθλὸν ἑταῖρον.
τὸν δὲ πεσόντ' ἐλέησεν Ἀρηΐφιλος Λυκομήδης·
στῆ δὲ μάλ' ἐγγὺς ἰὼν, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἱππασίδην Ἀπισάονα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν·
ὅς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει,
καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
τὸν δὲ πεσόντ' ἐλέησεν Ἀρήϊος Ἀστεροπαῖος,
ἴθυσεν δὲ καὶ ὁ πρόφρων Δαναοῖσι μάχεσθαι·
ἀλλ' οὔπως ἔτι εἶχε· σάκεσσι γὰρ ἔρχατο πάντη
ἑσταότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο.
Αἴας γὰρ μάλα πάντας ἐπῴχετο, πολλὰ κελεύων·
οὔτε τιν' ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει,
οὔτε τινὰ προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν, σχεδόθεν δὲ μάχεσθαι.
ὣς Αἴας ἐπέτελλε πελώριος· αἵματι δὲ χθὼν
δεύετο πορφυρέῳ. τοὶ δ' ἀγχηστῖνοι ἔπιπτον

340. οἵ γε Ϝέκηλοι. 343. οἱ δὲ Ϝελίχθησαν Bentl. et Dawes. v. ad Α. 530. 344. vulg. Λειόκριτον. 354. ἔτι εἶχε—et γὰρ Ϝέρχατο. v. Obss.

τος, ut Θ. 22. cf. inf. 477. tunc est ἐπιτάῤῥοθος (κατὰ) μάχης, ut Μ. 180. Recte tamen etiam μήστωρ μάχης jungitur ut alibi μήστωρ ἀϋτῆς, φόβου. auctor. moderator.

343—377. Conversis nunc, Æneæ hortatu, Trojanis, ab Ænea Leocritus, a Lycomede Apisaon, cæduntur; hunc Asteropæus ulcisci studet, verum Achivorum ordines perrumpere nequit; fit tamen cædes multorum cominus pugnantium;—365. Ita circa Patrocli corpus pulverulenta caligo excitatur, dum ceteris locis eminus pugnatur eoque aeris prospectus liber manet.

344. *Leocritus*, Arisbantis f. aliunde ignotus. At *Lycomedes* Creontis f. aliquoties inter principes Achivorum memoratus, Ι. 84. Μ. 366. Τ. 244.—348. *Apisaon*, Hippasi f. inter Pæones fortissimus post *Asteropæum*, et ipsum e Pæonibus ad Axium Thraciæ, v. sup. ad Μ. 102. Φ. 140. Alius *Apisaon*, Phausii f. memoratur sup. Λ. 577.—354. ἀλλ' οὔπως ἔτι εἶχε, οὐκ ἐδύνατο ὑπερσχεῖν αὐτούς. ἐφραγμένοι γὰρ ἦσαν σάκεσι, quod sup. 268. φραχθέντες, septi.—357. ἀνώγει. *hortatus est, ne quis.* ἀνώγει, οὔτε χάζεσθαι.—Ajax ordines densos servare eos jussit, ita ut nemo nec recederet, nec procurreret, ut solebant facere πρόμαχοι, inprimis curribus. ut sup. Δ. 303, 4.—359. ἀμφ' αὐτῷ sc. τῷ νεκρῷ.—361. ἀγχηστῖνοι, ἐφεξῆς. ἐπάλληλοι. jam vidimus Ε. 141.

ἦσαν. 355. Πρὸ δὲ δούρατ' ἔχοντο.] Προεῖχον δὲ αὐτοῦ τὰ δόρατα. 359. Ἀμφ' αὐτῷ βεβάμεν.] Περιβεβηκέναι καὶ ὑπερασπίζειν. 361. Ἀγχηστῖνοι.] Ἐπάλληλοι, πυκνοί.

νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων,
καὶ Δαναῶν· οὐδ' οἳ γὰρ ἀναιμωτί γε μάχοντο·
παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνηντο γὰρ αἰεὶ
ἀλλήλοις ἀν' ὅμιλον ἀλεξέμεναι πόνον αἰπύν.
Ὣς οἱ μὲν μάρναντο δέμας πυρός· οὐδέ κε φαίης
οὔτε ποτ' Ἠέλιον σόον ἔμμεναι, οὔτε Σελήνην·
ἠέρι γὰρ κατέχοντο μάχης ἔπι, ὅσσοι ἄριστοι
ἕστασαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνειῶτι.
οἱ δ' ἄλλοι Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοὶ
εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι· πέπτατο δ' αὐγὴ
Ἠελίου ὀξεῖα, νέφος δ' οὐ φαίνετο πάσης
γαίης, οὐδ' ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο,
ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα,
πολλὸν ἀφεσταότες· τοὶ δ' ἐν μέσῳ, ἄλγε' ἔπασχον
ἠέρι καὶ πολέμῳ, τείροντο δὲ νηλέϊ χαλκῷ,
ὅσσοι ἄριστοι ἔσαν. Δύο δ' οὔπω φῶτε πεπύσθην,

363. vulg. γ' ἐμάχοντο.

366—377. Ad majus phantasma extulit, quod ipsa res offerebat, ut in turba cominus circa Patrocli corpus pugnantium nubes pulveris excitaretur, contra quam ceteris in locis. Idque jam prædictum erat sup. 268, 9. ἀμφὶ δ' ἄρα σφιν Κρονίων ἠέρα πολλὴν χεῦε. Omnino hic locus est disertus de ista pulveris caligine, nocte, nube: collatis 371. 376. 644. add. sup. Π. 567. Conf. Quintus XI. 247, 257. VIII. 442. sq.

367. οὔτε ποτ' ἠέλιον σόον ἔμμεναι οὔτε σελήνην. antiquo sermone, de cœlo obscurato, ut nullum sidus conspici posset.—Bene Sch. br. *diceret aliquis* ἀμφότερα τὰ στοιχεῖα, ἥλιον καὶ σελήνην, ἐκλείπειν ἀπὸ τῆς ἀχλύος. Ceterum hæc, etsi multum aucta re, meliore cum judicio dicta sunt, quam illa in poetis obvia, *telis lucem, cœlum*, eripi vel obscurari: cujusmodi loca ad h. l. attulit Barnes; quanquam in his ipse Virgil. Æn. XI. 611. est: *fundunt undique tela—cœlumque obtexitur umbra.* Notum quoque est illud Persæ: *Sagittarum multitudine cœlum obscuratum iri*, respondente Lacone: *ita in umbra pugnabimus.*—368. μάχης ἔπι, κατὰ τῆς μάχης, ἐν μάχῃ. In toto hoc loco 366—388. videntur plura a diversis interposita esse.—371. εὔκηλοι πολέμιζον. ἐμάχοντο ἐκήλως, ἡσύχως. πέπτατο αὐγὴ ἠελίου. ἐξήπλωτο. diffusa solis lux. magis proprie est dictum Od. Ζ. 44. μάλ' αἴθρη πέπταται ἀννέφελος. opp. sol obscuratus per nubes. Itaque liber et clarus sol exsplendescebat. τὴν βαθεῖαν οὖν αἰθρίαν ἐδήλωσε poeta. Sch. B.—373. sq. Habemus tanquam in tabula speciem pugnarum istius ævi: Pugnatur turmatim; nunquam tota acie concurritur; acrius diversis locis, segnius aliis, eminus et per intervalla missilibus jactis.

377—383. Ex quo Trojani castris pulsi excesserant, Π. 294. sqq. Nestoris filii, Thrasymedes et Antilochus, pugnabant in alia aciei parte, et quidem in sinistra:

362. Ὑπερμενέων.] Ὑπερεχόντων τῇ δυνάμει, ἀνδρείων. 363. Ἀναιμωτί.] Δι' αἵματος καὶ φόνου. 364. Φθίνυθον.] Ἐφθείροντο, ἀνῃροῦντο. 366. Δέμας πυρός.] Τρόπον καιομένου πυρὸς, θερμοῦ. Οὐ δέ κε φαίης Οὔ τέ ποτ' ἠέλιον σόον ἔμμεναι, οὔτε σελήνην.] Εἴποι δ' ἄν τις ἀμφότερα τὰ στοιχεῖα ἥλιον καὶ σελήνην ἐκλείπειν ἀπὸ τῆς πολλῆς ἀχλύος. 371. Εὔκηλοι.] Ἥσυχοι, εὐδιάδοχοι. ἐπιφέρει γὰρ, μεταπαυόμενοι δ' ἐμάχοντο. ὅ ἐστιν, οἱ μὲν ἀναπαυόμενοι, οἱ δὲ μαχόμενοι ἐκ διαδοχῆς καὶ ἀναπαύσεως. Πέπτατο.] Ἐξήπλωτο ἡ λαμπηδών. 373. Γαίης οὐδ' ὀρέων.] Οὔτε ἀπὸ γῆς, οὔτε ἀπὸ τῶν ὀρῶν.

ἀνέρε κυδαλίμω, Θρασυμήδης, Ἀντίλοχός τε,
Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο
ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι.
τὼ δ', ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων,
νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὡς ἐπετέλλετο Νέστωρ,
ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν.
τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει
ἀργαλέης· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεὶ
γούνατά τε, κνῆμαί τε, πόδες θ' ὑπένερθεν ἑκάστου,
χεῖρές τ', ὀφθαλμοί τε, παλάσσετο μαρναμένοιϊν,
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο.
ὡς δ' ὅτ' ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην
λαοῖσι δώῃ τανύειν, μεθύουσαν ἀλοιφῇ·
δεξάμενοι δ' ἄρα τοίγε διαστάντες τανύουσι
κυκλόσ', ἄφαρ δέ τε ἰκμὰς ἔβη, δύνει δέ τ' ἀλοιφὴ,
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διαπρό·
ὣς οἵγ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
εἵλκεον ἀμφότεροι· μάλα γάρ σφισιν ἔλπετο θυμὸς,
Τρωσὶν μὲν, ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς,
νῆας ἔπι γλαφυράς. περὶ δ' αὐτοῦ μῶλος ὀρώρει
ἄγριος. οὐδέ κ' Ἄρης λαοσσόος, οὐδέ κ' Ἀθήνη
τόν γε ἰδοῦσ' ὀνόσαιτ', οὐδ' εἰ μάλα μιν χόλος ἵκοι.

386. ὑπένερθε Ϝεκάστου. 392. δέ τε Ϝικμάς. 395. σφισι Ϝέλπετο. vulg. ἤλπετο. 396. μὲν, Ϝερύειν προτὶ ϜίΛιον. 399. τόν γε Ϝιδοῦσ'.

682. μάχης ἐπ' ἀριστερὰ πάσης. itaque de Patrocli cæde nihil audierant.—380. ἐν πρώτῳ ὁμάδῳ, ante ordines inter promachos.—381. ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων, προορώμενοι, *reputantes* quæ cædes et fuga fieri posset, nisi ipsi fortiter pugnarent; *pugnabant seorsum a ceteris* qui circa Patrocli corpus stabant. ὄσσομαι, ἐπιόσσομαι plerumque ad præsagium refertur. ut Σ. 224. Nisi dixeris, h. l. esse idem quod ὄπτεσθαι, *intueri*.

384—401. Iterum ad pugnam circa Patrocli corpus redit narratio. Comparatur a v. 389. conatus utrinque abstrahendi corpus cum opera eorum, qui oleo inunctum corium molliunt.—384. *at illi per totum diem gravem pugnam sustinebant* ἔριδος μέγα νεῖκος, ut alibi ἔρις καὶ νεῖκος, utrumque pro μάχη· ὀρώρει pro ἦν ut et alibi.—390. μεθύουσαν ἀλοιφῇ βοείην. ἐλαίῳ διάβροχον. Nondum usum norant faciliorem cuneo vel clavo affigendi extremas pellis extendendæ oras.—398. οὐδέ—ὀνόσαιτο. Vidimus jam sup. N. 127. præterea edocti sumus, deos delectari adspectu virtutis hominum. Quod adjectum οὐδ' εἰ μάλα μιν χόλος ἵκοι, rei speciem auget; et ductum est ex eo, quod dii alterutri parti pugnantium quæ vincitur, putantur esse adversi et infesti:

384. Πανημερίοις.] Δι' ὅλης ἡμέρας. 392. Ἄφαρ δέ τε ἰκμὰς ἔβη. δύνει δέ τ' ἀλοιφή.] Ταχέως δὲ ἡ ὑγρασία διέρχεται τοῦ στέατος, οὖσα ἐλαιώδης. 393. Τάνυται.] Διατείνεται, διαχεῖται. 398. Λαοσσόος.] Ὁ τῶν λαῶν τὸ πλῆθος διοικῶν καὶ σώζων. ὁτὲ δὲ εἰς φυγὴν τρέπων.

τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων
ἤματι τῷ ἐτάνυσσε κακὸν πόνον. Οὐ δ' ἄρα πώ τι
ἤδεε Πάτροκλον τεθνειότα δῖος Ἀχιλλεύς·
πολλὸν γὰρ ἀπάνευθε νεῶν μάρναντο θοάων,
τείχει ὑπὸ Τρώων· τό, μιν οὔποτε ἔλπετο θυμῷ
τεθνάμεν, ἀλλὰ ζωὸν, ἐνιχριμφθέντα πύλῃσιν,
ἂψ ἀπονοστήσειν· ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν,
ἐκπέρσειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ σὺν αὐτῷ.
πολλάκι γὰρ τόδε μητρὸς ἐπεύθετο, νόσφιν ἀκούων,
ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα.
δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον, ὅσσον ἐτύχθη,
μήτηρ, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
  Οἱ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντες,
νωλεμὲς ἐγχρίμπτοντο, καὶ ἀλλήλους ἐνάριζον·
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·
  Ὦ φίλοι, οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι
νῆας ἐπὶ γλαφυράς· ἀλλ' αὐτοῦ γαῖα μέλαινα

402. Ϝῄδεε. 404. οὔποτε Ϝέλπετο. vulg. ἤλπετο. 406. τὸ Ϝέλπετο. 407. ἄνευ Ϝέθεν. 408. vulg. τόγε. 409. ἥ Ϝοι. 410. οὔ Ϝοι ἔϜειπε. 411. ῥά Ϝοι. 414. Ϝείπεσκε.

h. l. Minerva Trojanis, Mars Achivis. λαοσσόος. v. N. 128.—400. ἐτάνυσσε κακὸν πόνον. pugnam ærumnosam intendit, fecit ut multo acrior et pertinacior fieret. ut ἐντεταμένως pugnaretur. v. ad Λ. 336.

401—411. οὐδ' ἄρα πω. Interponitur iterum memoratio de Achille, quod nondum Patrocli mortem resciverat.—404. τείχει ὑπὸ Τρώων *versus urbem*, longius a castris; itaque 405. ἐνιχριμφθέντα πύλῃσιν dixit: ubi ad urbem accesserit. τό μιν οὔποτε pro δι' ὅ, *quamobrem*.—408. A matre resciverat duplicem fati vicem, aut ad Trojam proficiscendum et ibi gloria parta moriendum, aut domi esse manendum sup. Ι. 410. Quæ sæpe simpliciter ita efferuntur; eum rescivisse, brevis ævi se futurum Α. 352. 416. Hoc tunc maxime locum habuit, ex quo ad Trojam profectus erat; nam nunc liquebat, eum domum non esse rediturum: Σ. 59, 60. 360. Τ. 420. 1, 2. Π. 36. 50, (a Chirone id edoctum esse Achillem ait Horat. Epod. XIII. 13.) sed ante mœnia Trojæ occubiturum Ψ. 80, 81. et Apollinis telo Φ. 278. memorato quoque Paride Χ. 359. Τ. 416, 417. Hoc loco Ρ. 406. sq. docemur præterea: *prædictum Achilli fuisse, Trojam eum nunquam esse expugnaturum.* add. Π. 709. Tertium est inf. Σ. 8—11. eo adhuc superstite fortissimum Myrmidonum esse occubiturum. De Patroclo nihil monitum fuerat: contra Patroclum sibi superstitem futurum crediderat Achilles inf. Τ. 328. sqq. At ipse ei præceperat, ne Trojam sine se expugnare vellet: sup. Π. 83. sq. 88. sq. Igitur alterum οὐδὲ σὺν αὐτῷ ad vaticinium, alterum ἄνευ ἕθεν ad præceptum referendum. νόσφιν *seorsum* ab aliis, secreto. accessit superioribus tandem quartum θεοπρόπιον· Hectore cæso non diu superstitem fore Achillem Σ. 95, 96. Alluditur Hectoris ultimis verbis Χ. 358. sq. Ω. 85, 86.

412—423. Utrinque et Achivi et Trojani se ad fortiter pugnandum hortantur.—416. ἀλλ' αὐτοῦ γαῖα χάνοι. *sed terra potius nos illico hiatu facto excipiat;* terra prius condamur, occultemur; quam relinquamus Patrocli corpus Trojanis absporr-

404. Τό μιν.] Διὸ αὐτόν. 415. Εὐκλεές.] Ἔνδοξον. 416. Ἀλλ' αὐτοῦ γαῖα μέλαινα Πᾶσι χάνοι.] Ἀλλ' ἐν τῷ αὐτῷ τόπῳ πάντες γῆς χάσματι

πᾶσι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη·
ἢ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
ἄστυ ποτὶ σφέτερον ἐρύσαι, καὶ κῦδος ἀρέσθαι.
Ὧδε δέ τις Τρώων μεγαθύμων αὐδήσασκεν·
ὦ φίλοι, εἰ καὶ μοῖρα παρ᾽ ἀνέρι τῷδε δαμῆναι
πάντας ὁμῶς, μήπω τις ἐρωείτω πολέμοιο.
ὣς ἄρα τις εἴπεσκε, μένος δ᾽ ὄρσασκεν ἑκάστου.
Ὣς οἱ μὲν μάρναντο· σιδήρειος δ᾽ ὀρυμαγδὸς
χάλκεον οὐρανὸν ἷκε δι᾽ αἰθέρος ἀτρυγέτοιο.
Ἵπποι δ᾽ Αἰακίδαο, μάχης ἀπάνευθεν ἐόντες,
κλαῖον, ἐπειδὴ πρῶτα πυθέσθην ἡνιόχοιο
ἐν κονίῃσι πεσόντος ὑφ᾽ Ἕκτορος ἀνδροφόνοιο.
ἦ μὰν Αὐτομέδων, Διώρεος ἄλκιμος υἱὸς,
πολλὰ μὲν ἂρ μάστιγι θοῇ ἐπεμαίετο θείνων,
πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ᾽ ἀρειῇ·

419. Ϝάστυ—Ϝερύσαι. 423. τις Ϝείπεσκε—ὄρσασκε Ϝεκάστου. vulg. ὄρσασκεν ἑταίρου.

tandum. In medio posita sunt τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη. id quod nobis utique optabilius esset, scilicet, quam discedere.

424—483. Equi Achillis, effugiendo Hectorem, jam aliquantum a pugna digressi, repente substiterant, nec sine Patroclo in castra redire voluerant. Jove annuente, ut, etsi Trojanis hodierna pugna victoribus, incolumes tamen in castra redeant, revertuntur in pugnam, et discurrunt per ordines. Cum tamen Automedon, eos regendo, simul armis tractandis vacare non posset: Alcimedontem currum conscendere jubet, ipse ad pugnandum descendit.

424. σιδήρειος δ᾽ ὀρυμαγδὸς—Vix *subtilius* indagare licet, quæ notio et huic et ei quod sequitur, χάλκεον οὐρανὸν, poetæ menti obversata fuerit: obscura utique, ad sensum tamen animi movendum potens. Per se σιδήρειος ὀρυμαγδὸς est fragor *e ferro armorum*, et χάλκεος οὐρανὸς *cœlum æreo solo* instructum, quale ad Α. 426. vidimus. Potest tamen quoque cœlum *firmum*, *stabile*, *æternum* esse, et *ferreus fragor*, *durus* ad auditum, adeoque ingens. Hocque præferam, quia ista ætate ferrum in armis nondum memoratur. δι᾽ αἰθέρος ἀτρυγέτοιο. *vastum per aerem:* ut mare, ἅλς ἀτρύγετος, vi oppositi, γῆς τρυγηφόρου, frugiferæ. Α. 316.—426. Sequitur locus *de equis humano sensu instructis* notabilis ad sensus veterum hominum agnoscendos ab usu, cura et amore jumentorum profectus. Adjecit alia mox superstitio, uti de equis flentibus: quod et in ostentum versum. Abiere ea serius in ornamenta et phantasmata poetica. Exempla collegit Barnes ad vs. 438.—427. ἡνιόχοιο Patrocli, qui Achillis auriga erat, etsi mox ἐπιβάτης factus cf. ad Τ. 401. ne arguteris cum Popio. πυθέσθην, ᾔσθοντο. si tamen illis sensus vere humanus tribuitur: quidni, dixeris, et auditus?—430. ἐπεμαίετο incessebat equo flagro, proprie ad percutiendum elevato corpore prominebat. μαίεσθαι, μᾶσθαι enim ἐπί τι de motu et impetu seu corporis seu animi, incumbere, immittere. Jam vidimus Ε. 748. Iterum Υ. 109. Φ. 339.

δεχθεῖεν. 418. Μεθήσομεν.] Ἀμελήσομεν. 422. Ἐρωείτω.] Ἀμελείτω, ὑποχωρείτω. 424. Σιδήρειος δ᾽ ὀρυγμαδός.] Ἤτοι στερεὸς, ἢ ἀπὸ ὅπλων τοῦ σιδήρου ψόφος. 427. Πυθέσθην ἡνιόχοιο.] Ἡνίοχος γὰρ ἦν Πάτροκλος Ἀχιλλέως, Πατρόκλου δὲ Αὐτομέδων, Αὐτομέδοντος δὲ Ἀλκιμέδων. 429. Ἦ μάν.] Καί τοι δή. 430. Θείνων.] Τύπτων, ὅθεν καὶ θὶς ὁ αἰγιαλὸς, παρ᾽ ὅσον τύπτεται ὑπὸ τῶν κυμάτων. 431. Ἀρειῇ.] Ἀπειλῇ.

τὼ δ' οὔτ' ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
ἠθελέτην ἰέναι, οὔτ' ἐς πόλεμον μετ' Ἀχαιούς·
ἀλλ', ὥστε στήλη μένει ἔμπεδον, ἥτ' ἐπὶ τύμβῳ
ἀνέρος ἑστήκει τεθνειότος, ἠὲ γυναικὸς,
ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντε,
οὔδει ἐνισκίμψαντε καρήατα· δάκρυα δέ σφι
θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοιϊν,
ἡνιόχοιο ποθῇ· θαλερὴ δὲ μιαίνετο χαίτη,
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωσε.
μυρομένω δ' ἄρα τώ γε ἰδὼν, ἐλέησε Κρονίων,
κινήσας δὲ κάρη, προτὶ ὃν μυθήσατο θυμόν·
Ἆ δειλὼ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
θνητῷ, ὑμεῖς δ' ἐστὸν ἀγήρω τ', ἀθανάτω τε.
ἦ ἵνα δυστήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον;
οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
ἦ οὐχ ἅλις, ὡς καὶ τεύχε' ἔχει, καὶ ἐπεύχεται αὔτως;
σφῶϊν δ' ἐν γούνεσσι βαλῶ μένος, ἠδ' ἐνὶ θυμῷ,
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
νῆας ἐπὶ γλαφυράς· ἔτι γάρ σφισι κῦδος ὀρέξω,
κτείνειν, εἰσόκε νῆας ἐϋσσέλμους ἀφίκωνται,
δύῃ τ' Ἠέλιος, καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.

436. vulg. ἔχοντες. 437. vulg. ἐνισκήψαντε. 438. vulg. μυρομένοισιν. 439. vulg. πόθῳ. 440. vulg. ἀμφοτέροισι. 441. τώ γε Ϝιδών. 442. προτὶ Ϝόν. 443. Πηλῆϊ Ϝάνακτι. 447. ἐπιπνείει. 450. ἦ οὐ Ϝάλις. 451. vulg. γούνασσι.

—432. ἐπὶ πλατὺν Ἑλλήσποντον. Monitum jam ad H. 86. latius apud Homerum patere Hellesponti nomen, etiam ad mare ante fretum; ita *latum* dici eum jure, respectu ipsius freti et oris angustioris.—434. στήλη ἐπὶ τύμβῳ *columna* sepulcralis, cippus, non signum: ut quoque Λ. 371.—440. χαίτη ζεύγλης ἐξεριποῦσα. *excidens* (ut E. 47. Ξ. 414. et al.) *jugo.* παρὰ ζυγὸν, scilicet ex more antiquo ὁ ζυγὸς, *jugum*, h. e. lignum transversum, loris alligatum temoni; perforatum binis extremis partibus, ita ut per hos orbes ζεύγλας, immittantur capita boum. Idem versus legitur T. 406.—443. τί σφῶϊ δόμεν. πρὸς τί. διὰ τί. ἔδομεν ὑμᾶς homini mortali, cum vos sitis immortales. Π. 381.—444. ἀγήρω τ' ἀθανάτω τε per quæ duo notio constituta erat naturæ non humanæ, adeoque divinæ. vid. M. 323.—447. γαῖαν ἔπι pro ἐπὶ γῆς, κατὰ γῆν.—453. σφίσι, Trojanis: paullo durius.—455. κνέφας ἱερὸν divina, alma nox. cf. Λ.

436. Ἀσφαλέως.] Παραμόνως. 437. Ἐνισκήψαντε.] Ἐμπελάσαντες, ἐμπεσόντες. 440. Ζεύγλης.] Ζεύγεος, ζυγοῦ. Ἐξεριποῦσα.] Πεσοῦσα. 443. Ἆ δειλώ.] Ὦ δειλότατοι, καὶ ἐλεεινότατοι. 446. Ὀϊζυρότερον.] Ταλαιπωρότερον. 447. Ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.] Ὅσα ζῶα ἐπὶ τῆς γῆς ἕρ-

Ὣς εἰπὼν, ἵπποισιν ἐνέπνευσε μένος ἠΰ.
τὼ δ' ἀπὸ χαιτάων κονίην οὖδάσδε βαλόντε,
ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς.
τοῖσι δ' ἔπ' Αὐτομέδων μάχετ', ἀχνύμενός περ ἑταίρου,
ἵπποις ἀΐσσων, ὥστ' αἰγυπιὸς μετὰ χῆνας.
ῥέα μὲν γὰρ φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ,
ῥεῖα δ' ἐπαΐξασκε πολὺν καθ' ὅμιλον ὀπάζων.
ἀλλ' οὐχ ᾕρει φῶτας, ὅτε σεύαιτο διώκειν·
οὐ γάρ πως ἦν, οἶον ἐόνθ' ἱερῷ ἐνὶ δίφρῳ
ἔγχει ἐφορμᾶσθαι, καὶ ἐπίσχειν ὠκέας ἵππους.
ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο·
στῆ δ' ὄπιθε δίφροιο, καὶ Αὐτομέδοντα προσηύδα·
Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν
ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς;

456. Ϝειπών. 463. vulg. ὅτ' ἐσσεύαιτο. 466. Ϝίδε.

194. ubi hi duo versus lecti. et iterum ibid. v. 208, 9. Male repetitus saltem vs. 455. δύη τ' ἠέλιος. repugnat enim ordini rerum narratarum. v. in Excursu ad lib. XII. (M) de castrorum oppugnatione et reliquis prælii tertii sub f. Supervenit vespera inf. Σ. 239.

456—482. Equos puta diu pervicaciter resistentes tandem novo impetu retro in pugnam, unde venerant, cum curru ruisse. Hoc in rem miram versum et ad interpositum Jovis numen revocatum est. Consilio utique Automedontis factum hoc non erat; nam equos se regere non posse ipse fatetur: 475. sq. forte, quod Koeppen bene conjicit, quia novum aurigam, Automedontem non audiebant equi, desiderantes Patroclum aurigam, cujus voci adsueverant. Solus autem ille curru invectus arma tractare non poterat; quo animadverso Alcimedon se offert aurigam. Necesse est hunc aurigandi peritiorem fuisse; ut patet 465. sq.

459. τοῖσι δ' ἔπ' et ad Τρῶας καὶ Ἀχαιοὺς referri potest et ad ἵππους. hoc præfero, ut distinguatur versu sequenti: τοῖσι δ' ἔπ', ἐπὶ τούτοις ἵπποις, ἀΐσσων ἐμάχετο, irruebat in hostem. ἀχνύμενός περ, nunc est quippe, quidem. Temere itaque equi per turmas ferebantur nullo cum fructu.—462. ὀπάζων. διώκων ut versu sequ. redditur.—464. οὔπως γὰρ ἦν, οὐ δυνατὸν ἦν, αὐτὸν, οἶον ἐόντα. Patet ex h. l. quod sane per se intelligitur, curruum usum in hoc quoque parum fuisse probandum, quod non modo e duobus viris fortibus alter non pugnabat, sed regendis equis vacabat, verum etiam, quod, altero occiso, alter quoque pugnæ inutilis erat, quippe cui equi regendi essent. Automedonti nunc se Alcimedon παραβάτην offert; Automedon tamen, cum Alcimedontem aurigandi arte præstare se nosset, ei offert, ut ipsi aurigetur. Ita Alcimedon fit ἡνίοχος, at Automedon παραβάτης. nec tamen de curru pugnat, sed pedes ante currum: 483. 501.—464. ἱερῷ ἐνὶ δίφρῳ præstat inter plura accipere, ἱερῷ, præclaro. cf. ad Κ. 56.—465. καὶ ἐπίσχειν ἵππους, h. e. ἡνιοχεύειν. 467. Alcimedon inter principes Myrmidonum memoratur Π. 197.—468. sq. Dramatice narrata res per sermones utriusque habitos; quod per se patet, νηκερδῆ, ἀνωφελῆ, inutilem, vanam fuisse discur-

πει καὶ κινεῖται βαδίζοντα. 460. Ἵπποις ἀΐσσων.] Σὺν τοῖς ἵπποις ὁρμῶν. 463. Ἐσσεύατο.] Ὥρμησεν. 464. Ἱερῷ ἐνὶ δίφρῳ.] Ἤτοι μεγάλῳ, ἢ ἱεροῖς ἐλαύνοντι ἵππους. 465. Ἐπίσχειν.] Ἐπέχειν, κωλύειν. 469. Νηκερδέα.] Ἀκερδῆ, ἀνωφελῆ, βλαβεράν.

οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο· τεύχεα δ' Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.
Τὸν δ' αὖτ' Αὐτομέδων προσέφη, Διώρεος υἱός·
Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος,
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
εἰ μὴ Πάτροκλος, θεόφι μήστωρ ἀτάλαντος,
ζωὸς ἐών; νῦν δ' αὖ Θάνατος καὶ Μοῖρα κιχάνει.
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.
Ὣς ἔφατ'· Ἀλκιμέδων δὲ βοῇ θοὸν ἅρμ' ἐπορούσας,
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
Αὐτομέδων δ' ἀπόρουσε. νόησε δὲ φαίδιμος Ἕκτωρ,
αὐτίκα δ' Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο
ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι·
τῷ κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ
σῷ ἐθέλεις· ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊ
τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἄρηϊ.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἐῢς πάϊς Ἀγχίσαο.
τὼ δ' ἰθὺς βήτην, βοέῃς εἰλυμένω ὤμους
αὔῃσι, στερεῇσι· πολὺς δ' ἐπελήλατο χαλκός.
τοῖσι δ' ἅμα Χρομίος τε, καὶ Ἄρητος θεοειδής,

481. vulg. *βοηθόον.* 488. *ἐϜελποίμην.* 489. vulg. *νῶϊν.*
492. *Ϝειλυμένω.* 494. *θεοϜειδής.*

sationem equorum Automedontis.—476. *ἐχέμεν δμῆσίν τε μένος τε* videtur esse pro *δαμᾷν τὸ μένος.* aut *ἔχειν μένος* seorsum pro habere robur ad regendum.—477. *θεόφι μήστωρ ἀτάλαντος* ad prudentiam referre præstat. v. sup. 339.—478. *Μοῖρα κιχάνει αὐτὸν, occupat, tenet.* iterum inf. 672. Χ. 303. 436.—480. *ἐγὼ δ' ἵππων ἀποβήσομαι,* ut pedes pugnet.—481. *ἐπορούσας ἅρμα θοὸν βοῇ, ἐν μάχῃ.*

483—542. Curru Patrocli iterum conspecto, Hector Ænea adsumto, tum viris fortibus, Chromio et Areto, ejus potiundi consilium init:—490. quo animadverso Automedon et ipse arcessit Ajaces et Menelaum—515. simulque emittit hastam transfigitque Aretum—524. Hector frustra Automedontem hasta cum petiisset, adventu Ajacis utriusque perterritus cum Ænea et Chromio retrocedit, Automedonti Aretum spoliandum relinquit;—538. qua de re Automedon gloriatur—542.

485. *βουληφόρε* de viro principe, ut statim Β. 24. vidimus: *οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.*—490. *οὐ τλαῖεν ἂν (οἱ ἡνίοχοι) μαχέσασθαι Ἄρηϊ, πολέμῳ, στάντες ἐναντίβιον, νῶϊ ἐφορμηθέντε:* casus absolute positi, nobis eos invadentibus.—492. Incedebant

476. Δμῆσιν.] Καταπόνησιν, ὑποταγήν. Αἱρησέμεν.] Λήψεσθαι. 492. Βοέῃς.]
481. Βοηθόον.] Ἐν πολέμῳ ταχύν. 488. Ἀσπίσιν. 493. Αὔῃσι.] Ξηραῖς, κού-

ἤισαν ἀμφότεροι. μάλα δέ σφισιν ἔλπετο θυμὸς
αὐτώ τε κτενέειν, ἐλάαν τ' ἐριαύχενας ἵππους.
νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτί γε νέεσθαι
αὖτις ἀπ' Αὐτομέδοντος· ὁ δ', εὐξάμενος Διῒ πατρὶ,
ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφὶ μελαίνας·
αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον·
Ἀλκιμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππω,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἔγωγε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω,
νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλώῃ.
Ὣς εἰπὼν, Αἴαντε καλέσσατο, καὶ Μενέλαον·
Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ', οἵ περ ἄριστοι,
ἀμφ' αὐτῷ βεβάμεν, καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν·
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ.
τῇδε γὰρ ἔβρισαν πόλεμον κατὰ δακρυόεντα
Ἕκτωρ, Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι·
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
ἥσω γὰρ καὶ ἐγώ· τὰ δέ κεν Διῒ πάντα μελήσει.

495. σφισι Ϝέλπετο. 499. vulg. ἀμφιμελαίνας. 501. vulg. ἵππους. 505. vulg. φοβῆσαι δέ. 506. πρώτησι Ϝαλῴη. 507. Ϝειπών. 509. vulg. ὅσσοι ἄριστοι.

adversus hostem scutis pectori et ori prætentis, adeoque ipsis humeris.—498. Automedon firmato animo Hectorem accedentem excipit, ut tamen Alcimedon currum in propinquo habeat, rogat, scilicet ut vulneratus aut turba oppressus saluti fuga prospicere possit.—499. φρένας μελαίνας. sup. 83.—503. Ἕκτορα μένεος σχήσεσθαι, Hectorem pervicaciter instituturum sibi esse ait, *non destiturum, antequam aut curru Achillis potiatur aut occumbat.* proprie: eum *non se ab impetu cohibiturum.* sup. I. 234. οὐδ' ἔτι φασὶ σχήσεσθαι, πρίν. cf. inf. 638, 9.—506. aut antequam ipse ceciderit inter προμάχους.—507. Ajaces et Menelaum advocat Automedon.—509. ἐπιτράπετε οἵπερ (τούτοις οἳ) ἄριστοι (pro τοῖς ἀρίστοις) τὸν νεκρὸν, ὥστε αὐτοὺς ἀμφιβῆναι αὐτῷ ad propulsandum hostem.—514. ταῦτα θεῶν ἐν γούνασι κεῖται ut nos, in alicujus sinu aliquid deponere; sic Homericum, in alicujus sedentis gremio res poni, sive tanquam a supplice, sive ut v. c. puer in patris gremio; sive ut, quæ diis vota vel dona offerun-

φαις. Ἐπελήλατο.] Ἐπεπήγει. 501. Ἀπόπροθεν.] Χωρὶς, ἄποθεν. Ἰσχέμεν.] Κατέχειν. 502. Ἐμπνείοντε μεταφρένῳ.] Καταπνέοντες, ὅ ἐστι καταφυσῶντες αὐτοῦ τὸ μετάφρενον. ὅ ἐστιν ἐγγὺς ὄντες τοῦ νώτου. 503. Σχήσεσθαι.] Ἀποσχῆσαι, παῦσαι. 506. Ἁλώη.] Ληφθείη. 509. Ἐπιτράπεθ'.] Ἐν ἐπιτροπῇ ἔσται. 510. Βεβάμεν.] Ἐμβεβηκέναι, ὑπερασπίζειν. 511. Νῶϊν δὲ ζωοῖσιν.] Ἡμῖν δὲ ἐν τοῖς ζῶσιν. 514. Θεῶν ἐν γούνασι κεῖται.] Οἱονεὶ παράκειται. ἢ, ἐν ἐξουσίᾳ τῶν Θεῶν ἐστίν. 515. Ἧσω.] Ἀκοντίσω, πέμψω.

Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' εἴσην·
ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός·
νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.
ὡς δ' ὅταν ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνήρ,
κόψας ἐξόπιθε κεράων βοὸς ἀγραύλοιο,
ἶνα τάμῃ διὰ πᾶσαν, ὁ δὲ προθορὼν ἐρίπῃσιν·
ὣς ἄρ' ὅγε προθορὼν πέσεν ὕπτιος· ἐν δέ οἱ ἔγχος
νηδυΐοισι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῷ·
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
πρόσσω γὰρ κατέκυψε· τὸ δ' ἐξόπιθε δόρυ μακρὸν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
ἔγχεος· ἐνθάδ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης·
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν ὡρμηθήτην,
εἰ μὴ σφῶ' Αἴαντε διέκριναν μεμαῶτε,
οἵ ῥ' ἦλθον καθ' ὅμιλον, ἑταίρου κικλήσκοντος.
τοὺς δ' ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ, Αἰνείας τ', ἠδὲ Χρομίος θεοειδής·
Ἄρητον δὲ κατ' αὖθι λίπον, δεδαϊγμένον ἦτορ,

517. πάντοσ' ἐϝίσην. 518. leg. διὰ πρὸ δ' ἐείσατο.
522. ϝῖνα. 523. δέ ϝοι. 526. ἄντα ϝιδών.
531. vulg. εἰ μή σφω. 534. θεοϝειδής.

tur, in simulacrorum sedentium gremio.—518. διὰ πρὸ δὲ εἴσατο χαλκὸς, διῆλθε. ut jam E. 538. Mox 519. ἔλασσεν sc. Alcimedon.—520. ὡς δὲ βοῦς προθορὼν ἐρίπῃ, ὣς ἄρ' ὅγε ἔπεσε προθορὼν, etsi ὕπτιος, *cum saltu, subsultim.* Nam ita fert natura, ut percussum corpus erigat se, sed cum sensu læsionis corruat: in tergum, pondere in eam partem inclinato.—522. ἶνα τάμῃ διὰ πᾶσαν, διατάμῃ τὴν νωτιαῖαν φλέβα, tendinem, νεῦρον.—523, 4. hasta in visceribus hærens agitat se, vibratur, ὀξέως κραδαίνεται, ex impetu casus supino ruentis corpore. quod 528. πελεμίχθη.—527—9. *hasta infixa est solo tanto cum impetu, ut summa pars aliquantum vibratione se moveret, donec motus hastæ subsisteret.* Quam varie ὄβριμος Ἄρης accipi possit, vidimus ad N. 443, 4. cf. alter locus Π. 612, 613. Placebat, si Martius impetus pugnantis robore impressus vim suam remittit.—531. Advenerant interea Ajaces cum Menelao Automedontis clamore excitati 507. quorum metu recedunt Hector, Æneas et Chromius. σφῶε—μεμαῶτε sunt jungenda pro αὐτώ.

518. Ἔρυτο.] Ἐφύλαξεν, ἐκώλυσεν. 520. Αἰζήϊος.] Ἀκμαῖος, νέος. 521. Κεράων.] Κεράτων. Ἀγραύλοιο.] Ἐν ἀγρῷ αὐλιζομένου. ἢ ὑπαιθρίου. ἀγρίου. 522. Ἶνα τάμῃ διὰ πᾶσαν.] Ὅλην ἀποτέμοι τὴν νωτιαίαν φλέβα. Ἐρίπησι.] Κατενεχθείη, πέσῃ. 524. Νηδυΐοισι.] Τοῖς ἐντοσθίοις, τοῖς ἐντέροις, ὅ ἐστι σπλάγχνοις. νηδὺς γὰρ ἡ κοιλία. Κραδαινόμενον.] Σειόμενον. 528. Ἐνισκίμφθη.] Ἐνερείσθη, ἔπεσεν. Οὐρίαχος.] Τὸ ἄκρον μέρος τοῦ δόρατος τὸ ὄπισθεν. Πελεμίχθη.] Ἐκινήθη, ἐσείσθη. 530. Αὐτοσχεδόν.] Ἐκ τοῦ σύνεγγυς. 531.

κείμενον. Αὐτομέδων δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Ἦ δὴ μὰν ὀλίγον γε, Μενοιτιάδαο θανόντος,
κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων.
Ὣς εἰπὼν, ἐς δίφρον ἑλὼν ἔναρα βροτοεντα
θῆκ', ἀνὰ δ' αὐτὸς ἔβαινε, πόδας καὶ χεῖρας ὕπερθεν
αἱματόεις, ὥς τίς τε λεων κατὰ ταῦρον ἐδηδώς.
Ἂψ δ' ἐπὶ Πατροκλῳ τετατο κρατερὴ ὑσμινη,
ἀργαλεη, πολύδακρυς. ἔγειρε δε νεῖκος Ἀθηνη,
οὐρανοθεν καταβᾶσα· προῆκε γὰρ εὐρυόπα Ζεὺς,
ὀρνύμεναι Δαναούς· δὴ γὰρ νοος ἐτράπετ' αὐτοῦ.
ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολεμοιο,
ἢ καὶ χειμῶνος δυσθαλπέος· ὅς ῥά τε ἔργων
ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονὶ, μῆλα δὲ κήδει·

537. Fέπος. 540. Fειπών. 541. vulg. ἂν δ' αὐτός.
547. Fῖριν. 549. τε Fέργων.

543—592. Instauratur pugna iterum circa Patrocli corpus; redit quoque eo Menelaus, ab Athene sub Phœnicis persona monitus, statimque Poden occidit—581. Eodem etiam Hector revertitur ab Apolline compellatus—592. Sequitur pugna acerrima.

546. Jovis animus non tam *mutatus*, quod alioqui v. c. K. 45. est τὸ τρέπεσθαι τὸν νοῦν. quam *conversus ad hoc*, dicendus est, quod sequitur. Ita possis laudare E. 676. Od. Δ. 260.—547. Comparatio Minervæ de cælo delapsæ cum arcu cælesti non unum sensum admittit: aut ut ejus iter et motus cum arcu per aerem orto comparetur, aut ut intuentibus speciem illa iridis præberet, aut ut illa in nube, quæ iridem reddit, lateret. Postremum verisimilius: nam nube se obtexerat, occultaverat: πυκάσασα ἓ αὐτὴν, καλύψασα. sive ea cærulea, aut rubens, sive candida sit putanda. Redit autem comparatio ad hæc verba: descendit cælo Athene nube nigricante induta, qualis esse solet ea nubes, quæ arcum cælestem in cælo exhibet. Reliqua ornantia sunt. Porro ex h. l. manifestum fit, arcum cælestem inter ostenta habitum esse, modo procellæ ingruentis, modo belli seu pugnæ. Hoc disertius quam supra Λ. 28. ἴρισσιν—ἅς τε Κρονίων ἐν νέφεϊ στήριξε, τέρας μερόπων ἀνθρώπων. Quomodo in prius inciderint, facile est ad assequendum: si procellas, inprimis Ioniæ, cogites, grandines et imbres afferentes, infestas repentino frigore suborto pecudibus: avocantes autem ab opere rustico agricolas, ut se intra tuguria sua recipiant; at posterius a mero tropo petitum videtur, ut suborta tempestas, atra nubes repente obducta, color ferrugineus ac purpureus, videretur symbolicum signum esse similis rerum mutationis, h. e. belli instantis. Ita enim fert multitudinis superstitio, ut phænomena physica ad res humanas, consilia et fata, transferant.—χειμὼν μῆλα κήδει, βλάπτει,

Διέκριναν.] Διεχώρισαν. 535. Δεδαϊγμένον.] Μεμερισμένον. 539. Κῆρ ἄχεος μεθέηκα.] Μικρὸν δέ τι τῆς ἐπὶ Πατρόκλῳ λύπης κεκούφισμαι τὴν ψυχήν. 542. Ἐδηδώς.] Καταβεβρωκώς. 543. Τέτατο.] Ηὔξετο. 546. Δὴ γὰρ νόος ἐτράπετ' αὐτοῦ.] Εἰς τοῦτο γὰρ ἐτράπη αὐτοῦ ἡ γνώμη. 547. Πορφυρέην.] Νῦν ποικίλην. Ἶριν δὲ λέγει νῦν, τὸ γιγνόμενον περὶ τὸν ἀέρα πάθος. ὅ ἐστι νέφος ὑγρόν. 549. Δυσθαλπέος.] Δυσθερμάντου, ψυχροῦ. 550. Κήδει.] Κα-

ὡς ἡ, πορφυρέῃ νεφέλῃ πυκάσασα ἑ αὐτὴν,
δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνουσα προσηύδα,
ἴφθιμον Μενέλαον, ὁ γάρ ῥά οἱ ἐγγύθεν ἦεν,
εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν·
Σοὶ μὲν δὴ, Μενέλαε, κατηφείη καὶ ὄνειδος
ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
τείχει ὑπὸ Τρώων ταχέες κύνες ἑλκήσωσιν·
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
Τὴν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
Φοῖνιξ, ἄττα, γεραιὲ παλαιγενὲς, εἰ γὰρ Ἀθήνη
δοίη κάρτος ἐμοὶ, βελέων δ' ἀπερύκοι ἐρωήν·
τῷ κεν ἔγωγ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν·
ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει
χαλκῷ δηϊόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει.
Ὣς φάτο· γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
ὅττι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων·
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνεσσιν ἔθηκε,

551. πυκάσασά Fε. 552. Fέθνος,—φῶτα Fέκαστον. 553. vulg. ἐποτρύνασα. 554. ῥά Fοι. 555. Fεισαμένη. 558. vulg. ἑλκύσωσιν. 560. προσέFειπε. 564. ἐσεμάσσατο. non ἐσεμάσατο. 568. ῥά Fοι. 569. vulg. γούνασσιν.

per morbos e frigore in medio æstu exorto.—555. Phœnicis personam assumere poterat Minerva, quia is cum Patroclo exierat in aciem sup. Π. 196. φωνὴν ἀτειρέα, epitheton ornans, jam N. 45. vidimus: est proprie *firma*, valida.—562. βελέων ἐρωὴν, nunc ὁρμήν. impetum. τὰ βέλη βεβλημένα. πετόμενα.—563. τῷ κεν. οὕτως ἄρα.—564. μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν. iterum occurrit Υ. 425. Sensus expeditus est: moriendo, morte sua *magno mœrore* Patroclus *animum meum affecit*. At grammatica ratio molestias creat. Videtur accipiendum esse: μᾶσθαι, ὁρμᾷν, est idem quod ἐφάπτεσθαι. ergo εἰσμᾶσθαι, cum vi in animum descendere, ingredi, de dolore alto, qui *repente opprimit animum*. καθικέσθαι τῆς ψυχῆς.—565. *At Hector ignea virtute grassatur, furit.*

569—573. Menelaus Phœnicis seu Minervæ hortatu firmatus pertinaciter in repellendis a Patrocli corpore Trojanis persistit: hæc pertinacia, τὸ ἐπίμονον, quod per

κοῖ, βλάπτει, ἀνιᾷ, λυπεῖ. 551. Πυκάσασα.] Σκεπάσασα, καλύψασα. 556. Κατηφείη.] Στυγνότης, λύπη. ἀπὸ τοῦ κάτω ἔχειν τὰ φάη. 557. Ἔσσεται.] Γενήσεται. 561. Φοίνιξ.] Νῦν ὄνομα κύριον τοῦ Ἀχιλλέως τροφέως. Ἄττα.] Τροφεῦ. Ἔστι δὲ νεωτέρου πρὸς πρεσβύτερον ἠθικὴ προσφώνησις. Παλαιγενές.] Πάλαι γεγονὼς, πρεσβύτα. 562. Ἀπερύκοι.] Ἀποκωλύοι. 563. Τῷ κεν.] Ὅπως ἄν. 564. Ἐσεμάσσατο θυμόν.] Καθῆψε, καὶ ἐλύπησε τὴν ψυχὴν καὶ ἐναπεμάξατο. 566. Ὀπάζει.] Νῦν κατόπιν διώκει. 568. Πάμπρωτα.] Πάντων πρώτη. 569. Βίην.] Δύναμιν.

καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν,
ἥτε, καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο,
ἰσχανάᾳ δακέειν· λαρόν τέ οἱ αἷμ᾽ ἀνθρώπου·
τοίου μιν θάρσευς πλῆσε φρένας ἀμφὶ μελαίνας·
βῆ δ᾽ ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
ἔσκε δ᾽ ἐνὶ Τρώεσσι Ποδῆς, υἱὸς Ἠετίωνος,
ἀφνειός τ᾽, ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής·
τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος,
ἀΐξαντα φόβονδε· διὰ πρὸ δὲ χαλκὸν ἔλασσε.
δούπησεν δὲ πεσών. ἀτὰρ Ἀτρείδης Μενέλαος
νεκρὸν ὑπ᾽ ἐκ Τρώων ἔρυσε μετὰ ἔθνος ἑταίρων.
  Ἕκτορα δ᾽ ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς οἱ ἁπάντων
ξείνων φίλτατος ἔσκεν, Ἀβυδόθι οἰκία ναίων·
τῷ μιν ἐεισάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
  Ἕκτορ, τίς κέ σ᾽ ἔτ᾽ ἄλλος Ἀχαιῶν ταρβήσειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ᾽ οἴχεται οἶος ἀείρας

570. Ϝοι. 571. ἥ, καὶ Ϝεργομένη vel quod præferam ἐϜεργομένη cum Bentleio. 572. τέ Ϝοι. 577. Ϝοι. 581. Ϝέρυσε μετὰ Ϝέθνος. 583. ὅς Ϝοι. 584. Ἀβυδόθι Ϝοικία.
585. τῷ μιν Ϝεισάμενος vel ἐϜεισάμενος—ϜεκάϜεργος.

θάρσος designatur, cum pervicacia muscæ comparatur.—572. ἰσχανάᾳ, ἀντέχεται, (iterum Ψ. 310.) *perseverat mordendo et dulcis ei est sanguis humanus:* pro, dulcedine enim sanguinis allicitur.—573. Simili pervicacia in pugnando replevit ejus pectus: ἔπλησέ μιν φρένας sanguine præcordia: ἀμφὶ, circum circa vel ἀμφιέπλησε, nam sic in ceteris locis: Α. 103, 104. Ρ. 83. 499.—575. *Podes Eetionis* f. alibi non memoratus: erat is Hectoris familiaris, quem is ad epulas vocare solebat. κατὰ ζωστῆρα 578. vulneratus, *a tergo* tamen; fugiebat enim. cf. aliud exemplum Υ. 414. similis vulneris.—577. δήμου. κατὰ τῶν δημοτῶν. ut Μ. 213.

582. *Phænopis* specie assumta Apollo Hectorem qui adventu Menelai et Ajacis a Patrocli corpore recesserat (vs. 533.) et alia parte pugnabat, increpat et ad ulciscen-

570. Μυίης θάρσος.] Τὸ ἐπίμονον τοῦ ἥρωος λέγει. οὕτως γὰρ ἀποτρεπόμενος εἰς ἄλλον τόπον ἔτρεχεν εἰς τὸν αὐτόν. 571. Ἐργομένη.] Κωλυομένη, διωκομένη. Ἀνδρομέοιο.] Ἀνθρωπείου. 752. Ἰσχανάα.] Ἐπιθυμεῖ. Λαρόν.] Προσηνὲς, γλυκύ. 573. Θάρσευς.] Θάρσους. Μελαίνας.] Νῦν συνετάς. 577. Δήμου.] Δημοτῶν. Εἰλαπιναστής.] Ὁμοτράπεζος, συνευωχητής. 579. Διὰ πρὸ δὲ χαλκὸν ἔλασσε.] Διήλασε δὲ τὸ δόρυ, ὥστε διελθεῖν εἰς τοὔμπροσθεν. 584. Ἀβυδόθι.] Ἐν Ἀβύδῳ. Ἄβυδος δὲ πόλις Τροίας Ἑλλησπόντου. 587. Ὅς τὸ πάρος περ μαλθακὸς αἰχμητής.] Πρέποντας πολεμίῳ τοὺς λόγους περιτέθεικεν ὁ Ποιητὴς, ἐπεί τοι οὐκ οἶδε δειλὸν τὸν Μενέλαον. βοὴν γὰρ ἀγαθὸν πανταχοῦ καλεῖ αὐτὸν, ὅ ἐστιν ἐν μάχῃ. 588. Μαλθακός.] Ἀνειμένος τῷ σώματι. ἀσθενής.

νεκρὸν ὑπ᾽ ἐκ Τρώων· σὸν δ᾽ ἔκτανε πιστὸν ἑταῖρον,
ἐσθλὸν, ἐνὶ προμάχοισι, Ποδῆν, υἱὸν Ἠετίωνος.
Ὣς φάτο· τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
Καὶ τότ᾽ ἄρα Κρονίδης ἕλετ᾽ αἰγίδα θυσσανόεσσαν,
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν·
ἀστράψας δὲ, μάλα μεγάλ᾽ ἔκτυπε, τὴν δ᾽ ἐτίναξε·
νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ᾽ Ἀχαιούς.
Πρῶτος Πηνέλεως Βοιώτιος ἦρχε φόβοιο·
βλῆτο γὰρ ὦμον δουρὶ, πρόσω τετραμμένος αἰεὶ,
ἄκρον ἐπιλίγδην· γράψε δέ οἱ ὀστέον ἄχρις
αἰχμὴ Πουλυδάμαντος· ὁ γὰρ ἔβαλε σχεδὸν ἐλθών.
Λήϊτον αὖθ᾽ Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ,
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, παῦσε δὲ χάρμης.
τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἔλπετο θυμῷ
ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
Ἕκτορα δ᾽ Ἰδομενεὺς μετὰ Λήϊτον ὁρμηθέντα
βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
ἐν καυλῷ δ᾽ ἐάγη δολιχὸν δόρυ. τοὶ δ᾽ ἐβόησαν

597. vulg. ἦρξε. 599. δέ Ϝοι. 600. vulg. γάρ ῥ᾽ ἔβαλε.
603. οὐκέτι Ϝέλπετο. vulg. ἤλπετο. 607. ἐϜάγη. sed v. Obss.

dam Podis cædem incendit—592. quo facto ille, ostento tonitru confirmatus, Achivos aggreditur, qui conturbati fugam circumspiciunt: usque ad 596. *Phænops* vs. 583. memoratus Asii erat filius. *Asius* hic videtur idem cum filio Dymantis, fratris Hecubæ, esse Π. 717. sq.—593. Jovem ægidem pro clipeo incutere terroris caussa, jam vidimus Δ. 166, 167. ut et *fimbriatam* ægidem Ε. 738. Ο. 229. 320. Quæ h. l. adjiciuntur, videntur notionem ægidis, clipei ære fulgentis, revocare ad fulmen nigra nube erumpens. Quod Hectore novo cum impetu in Achivos incurrente factum est, ut illi fugam circumspicerent, præclare a terrore divinitus injecto repetitur.

597. *Peneleos* et 601. *Leitos*, primi fugiunt, Bœotorum duces sup. Β. 494. juncti quoque Ν. 91, 92. ubi illum Polydamas, Panthi f. hunc Hector vulnerat.—599. ἐπιλίγδην *strictim, in cute* h. in carne, satis tamen alte usque ad os.—603. τρέσσε δὲ, Leitus, dextra vulnere percussa.—605. Leiti, in quem Hector irruebat, cædem avertit curru invectus Idomeneus, Hectore hasta in pectore percusso, fracta tamen hasta; at Hector hastam in Idomeneum torsit, quæ ab eo aberrans Cœranum trajecit, aurigam Merionis, qui vs. 620 arreptis habenis versus castra fugit una cum Idomeneo.—607. ἐν καυλῷ. fracta est hasta ea parte, qua ferrum hastili junctum erat. ut Ν. 162. Inclamant Trojani seu ea fracta lætantes seu Hectori metuentes.

591. Ἄχεος νεφέλη.] Πύκνωμα τῆς λύπης περιφραστικῶς. πλῆθος λύπης. 594. Μαρμαρέην.] Ἀντὶ τοῦ λαμπράν. 597. Φόβοιο.] Φόβου. Φόβος δὲ νῦν ἡ συνδίωξις. 599. Ἄκρον ἐπιλίγδην.] Οὐ κατὰ βάθος, ἀλλ᾽ ὅσον ἐπιψαῦσαι ἐξ ἐπιπολαίου τὴν ἐπιφάνειαν. Γράψεν.] Ἐπέξεσεν. Ἄχρις.] Ἕως τέλους. 601. Χεῖρ᾽ ἐπὶ καρπῷ.] Πρὸς τῇ χειρί. 607. Ἐν καυλῷ.] Τὸ ἄκρον τοῦ δόρατος, τὸ ἐμβαλ-

Τρῶες. ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
δίφρῳ ἐφεσταότος. τοῦ μὲν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν·
αὐτὰρ ὁ Μηριόναο ὀπάονά θ', ἡνίοχόν τε,
Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ' αὐτῷ·
πεζὸς γὰρ τὰ πρῶτα, λιπὼν νέας ἀμφιελίσσας
ἤλυθε, καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·
καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ·
αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας
ὦσε δόρυ πρυμνὸν, διὰ δὲ γλῶσσαν τάμε μέσσην.
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε·
καὶ τάγε Μηριόνης ἔλαβε χείρεσσι φίλῃσι
κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
Μάστιε νῦν, εἵως κε θοὰς ἐπὶ νῆας ἵκηαι·
γιγνώσκεις δὲ καὶ αὐτὸς, ὅτ' οὐκέτι κάρτος Ἀχαιῶν.
Ὣς ἔφατ'· Ἰδομενεὺς δ' ἵμασε καλλίτριχας ἵππους
νῆας ἐπὶ γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ.
Οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεὺς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην·
τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
Ὢ πόποι, ἤδη μέν κε καὶ, ὃς μάλα νήπιός ἐστι,
γνοίη, ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει.

629. vulg. *μέν γε.*

—611. *Cœranus*, Cretensis, *Lycto* quam B. 647. memoratam vidimus, oriundus, ideoque Idomenei et Merionis popularis, Merionis auriga.—612. *πεζὸς γὰρ* sc. Idomeneus: quod vidimus N. 210. sq. 240. sq. ergo 609. *δίφρῳ ἐφεσταὼς* ille sc. Cœrano admoto. Videtur adeo Meriones curru descendisse et pedes pugnasse. Ubi Cœranus, qui curru Idomeneum receperat, hasta Hectoris trajectus prolapsus est, Meriones habenis humi collectis Idomeneum in castra se recipere jubet; e seqq. 717. apparet, Merionen in pugna permansisse; itaque Idomeneum, habenis ei traditis, jubere poterat 622. *μάστιε νῦν.*—613. *et præbiturus fuisset ille morte sua Trojanis materiem magnæ laudis.*—615. *φάος, salutem :* ut sæpe.—617. Debebat sequi, Ἕκτωρ γὰρ τὸν, τοῦτον, ἔβαλε. obliquo ictu a latere stans, Cœrano in curru equos circumagente.

626—701. Trojanis cum Hectore in Achivos magna cum vi irruentibus, Achivorum rebus ipse Ajax metuens, Achilli Patrocli mortem nuntiari cupiens, Menelaum mittit ad Antilochum, ut is nuntium perferat;—701. Menelaumque reducem, Merione socio adsumto, corpus Patrocli abstrahere et in castra reportare jubet.

λόμενον τῇ αἰχμῇ. ὅ ἐστι τῇ ἐπιδορατίδι. 612. Πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας.] Ὁ Μηριόνης δηλονότι πεζὸς παρεγένετο ἀπὸ τοῦ ναυστάθμου. 614. Κοίρανος.] Νῦν ὄνομα κύριον. 621. Κύψας.] Ὡς πεζός.

τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅστις ἀφείη,
ἢ κακὸς, ἢ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες·
οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι·
εἴη δ', ὅστις ἑταῖρος ἀπαγγείλειε τάχιστα
Πηλείδῃ· ἐπεὶ οὔ μιν ὀΐομαι οὐδὲ πεπύσθαι
λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος.
ἀλλ' οὔ πῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν.
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·

633. πᾶσι Ϝετώσια. 635. Ϝερύσσομεν, v. obss. 642. ὅτι Ϝοι.
643. Ϝιδέειν. 646. ὀφθαλμοῖσι Ϝιδέσθαι.

631, 2, 3. Trojanos magis propitia cum fortuna pugnare, ἐναργῶς declarat per cædes et vulnera quæ faciunt. Aliquoties jam νόον Διὸς intelligi vidimus, alterutra parte superiore reddita: ut O. 379. 490. Π. 362. Sive ab imbelli sive a valida manu emissa sint tela, feriunt; ita Jupiter ea cuncta dirigit, ἔμπης nihilominus, nullo discrimine, elliptice, καίπερ ἢ κακὸς ἤτε ἀγαθὸς ἀφείη αὐτὰ, τὰ βέλη.—634. Cum *videret* Ajax, *resisti amplius Trojanis non posse*, nec eos in fugam verti, consilium mutat, idque agit, ut corpus Patrocli saltem absportare et se in castra salvos recipere studeant Achivi.—637. ἀκηχέδαται, ἀκήχηνται, *mœrent et solliciti sunt de nostra salute*—φασὶ, *putant, metuunt*, τὸ μένος καὶ χεῖρας Ἕκτορος (h. τὸν Ἕκτορα) οὐ σχήσεσθαι. *non esse Hectorem sibi temperaturum*, pugnandi finem facturum;—ἀλλ' (ἡμᾶς) ἐμπεσεῖσθαι νηυσὶν, *nos ad naves esse fugituros*. Jubet ita statuere usus loquendi τοῦ σχέσθαι, σχήσεσθαι, continere se, si comparas sup. 502, 3. I. 651. et al. tum ἐν νηυσὶ πεσέεσθαι quod de Achivis in naves irruituris sollenne: B. 175. Λ. 823. et utrumque junctim I. 234, 5. M. 106, 107. 125, 126.—640. Videri debet Ajax spem aliquam habuisse in Achille, fore ut, audita Patrocli morte, pervicaci animo fracto, succedente ira et ulciscendi studio, ad servandum amici corpus, ne Trojani eo potirentur, (inf. 692.) in pugnam proditurus sit. Saltem præparat poeta ea quæ mox lib. sequ. eventura sunt. adde inf. 709—711.

643—650. Est et hic locus inter eos, in quibus poeta inopinato magnos sensus animi movet; quod Jupiter in cælo, facit ipse in carmine, ut fulgur e nube atra excitet. Pugnantium studiis moto pulvere, caligo obduxerat locum, ut prospectus ereptus esset; seu vento moto, seu quod subsederat pulvis motus, mox prospiciendi copia Ajaci datur. At ornatur res 645, 6, 7. animosa Ajacis oratione: de qua notus Longini locus est c. 7. Ἐν δὲ φάει καὶ ὄλεσσον ingentes animi spiritus prodit: ut saltem videamus, per quos perimus utque cæde eorum facta haud inulti moriamur.—643. ἀλλ' οὔ πῃ—τοιοῦτον. quærit Ajax *idoneum* nuntium: secundum dicta sup. O. 207. et Pindar. P. IV. 493. sq. Antilochus autem communis erat amicus, inprimis Achilli gratus, cujus etiam cineri communem urnam habuit mortuus Od. Ω. 77.

637. Ἀκηχέδαται.] Λυποῦνται. 641. Πεπύσθαι.] Ἀκηκοέναι, ἐγνωκέναι.

646. Αἴθρην.] Αἴθρη, ὁ ἀνέφελος, καὶ εὔδιος ἀήρ. 647. Φάει.] Φωτί. τὸ αὐ-

ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως.
  Ὣς φάτο· τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα.
αὐτίκα δ' ἠέρα μὲν σκέδασε, καὶ ἀπῶσεν ὀμίχλην·
ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη.
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
  Σκέπτεο νῦν, Μενέλαε Διοτρεφὲς, αἴκεν ἴδηαι
ζωὸν ἔτ' Ἀντίλοχον, μεγαθύμου Νέστορος υἱόν·
ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
εἰπεῖν, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
  Ὣς ἔφατ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος·
βῆ δ' ἰέναι, ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
ὅστ', ἐπεὶ ἄρ κε κάμησι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,
οἵτε μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι,
πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ' οὔτι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίοι ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταὶ, τάς τε τρεῖ ἐσσύμενός περ·
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῷ·
ὣς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
ἤϊε πόλλ' ἀέκων· πέρι γὰρ δίε, μή μιν Ἀχαιοὶ
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν·
πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσ' ἐπέτελλεν·
  Αἴαντ', Ἀργείων ἡγήτορε, Μηριόνη τε,
νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
μνησάσθω· πᾶσι γὰρ ἐπίστατο μείλιχος εἶναι
ζωὸς ἐών· νῦν αὖ Θάνατος καὶ Μοῖρα κιχάνει.

647. ἔϝαδε. 651. ϝεῖπε. 652. αἴκε ϝίδηαι. 655. ϝειπεῖν ὅτι ῥά ϝοι. 666. ἀϝέκων. 667. φόβοιο ϝέλωρ. 668. vulg. Αἰάντεσσι κέλευε.

657—692. Menelaus *invitus* discedit a Patrocli corpore: eo spectat comparatio elaboratissima cum leone insidiante armentis, et re infecta abeunte.—657. ἀπὸ μεσσαύλοιο. *a corte, a villa.* Ad seqq. cf. Λ. 547. sq. et ibi dicta. Nunc 658. ὅς τε junge inf. 664. cum ἠῶθεν ἀπὸ νόσφιν ἔβη. ἐρεθίζων *tendando*, undique aggressus. πειρώμενος. 664. τετιηότι θυμῷ. λυπηθείς. sup. Λ. 555.—667. μὴ προλίποιέν μιν (διὰ) φόβου, ἕλωρ δηΐοισι.—670. ἐνηείης. laudata in Patroclo benevolentia et humanitas erga omnes aliquoties. v. ad 204. νῦν τις, ἕκαστος. ut sæpe.—672. κιχάνει non *consequitur, occupat*, sed, *tenet*: ut sup. 478.

τὸ δὲ δηλοῖ τὸ σέλας. Εὔαδεν.] Ἤρεσε. 652. Σκέπτεο.] Σκέπτου, ὅρα. 659. Βοῶν ἐκ πῖαρ ἑλέσθαι.] Ἐξαρπάσαι τὴν λιπαρωτάτην τῶν βοῶν. 667. Πρὸ φόβοιο.] Ἀντὶ τοῦ, ὑπὸ φόβου. ἢ πρὸ τοῦ ἀναγκασθῆναι φεύγειν. Ἕλωρ.] Ἕλκυσμα. 670. Ἐνηείης.] Πραότητος, προσηνείας. Δειλοῖο.] Δειλοῦ, ἀθλίου.

Ὣς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
πάντοσε παπταίνων, ὥστ' αἰετὸς, ὅν ῥά τέ φασιν
ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτὼξ,
θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος· ἀλλά τ' ἐπ' αὐτῷ
ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣς τότε σοὶ, Μενέλαε Διοτρεφὲς, ὄσσε φαεινὼ
πάντοσε δινείσθην, πολέων κατὰ ἔθνος ἑταίρων,
εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιτο.
τὸν δὲ μάλ' αἶψα νόησε, μάχης ἐπ' ἀριστερὰ πάσης,
θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
ἀγχοῦ δ' ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, Διοτρεφὲς, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
γιγνώσκειν, ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὥριστος Ἀχαιῶν
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν,
εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ.
Ὣς ἔφατ'· Ἀντίλοχος δὲ κατέστυγε, μῦθον ἀκούσας·

680. *κατὰ Ϝέθνος.* 681. *ζώοντα Ϝίδοιτο.* vulg. *ἴδοιο.*
682. vulg. *αἶψ' ἐνόησε.* 692. *Ϝειπεῖν.*

673—692. Menelaus per aciem dispiciens, cum aquila, prædam indagante, comparatur. Tandem ille Antilochum prospicit. Pugnabat ille in sinistro cornu ut sup. 116. Ajax: qui inde fuerat avocatus; eumque nuntium de Patrocli casu ad Achillem perferre jubet, ut is ad Patrocli corpus servandum in aciem prodeat.—*ἀγγελίη* vs. 686. est ipsa res nuntiata, ipse casus, quem evenisse nollet.

685. *εἰ δὲ βούλει, ἄγε δεῦρο ἐλθὲ, ὄφρα.* Ita explenda sunt ex grammatica ratione. nam *εἶδε* non potest jungi, sed hoc fit in *εἶτε. εἴθε. εἴγε.* 688. *πῆμα κυλίνδει.* Jani Λ. 347.—692. *αἴ κε* pro *ἵνα* et h. l. vs. 693. Ad vs. 692, 3. notata sup. ad 640.

694—701. Antilochus contristatus ad Achillem perfert nuntium de Patrocli morte. *κατέστυγε. ἐλυπήθη. στύζειν. στύξαι, στυγεῖν.* et tandem *στυγέω.* omnino de contristatione, ex variis animi affectibus, terrore, *φρίσσειν*, metu, odio, itaque *καταστύζω*,

674. Αἰετός.] Ὄρνις διορατικὸς καὶ ὀξὺς ἐν τῷ ὁρᾷν, καὶ ἵπτασθαι. φησὶ γὰρ Ἀριστοτέλης, ὡς ἵστησιν τοὺς νεοσσοὺς πρὸς τὸν ἥλιον ἀναγκάζων βλέπειν, καὶ ὁ δυνηθεὶς ὁρᾷν, τοῦ ἀετοῦ ἐστιν υἱός· ὁ δὲ μὴ, ἐκβέβληται, καὶ γέγονεν ἁλιαίετος. 675. Δέρκεσθαι.] Ὁρᾷν, βλέπειν. Ὑπουρανίων.] Μεγάλων. 676. Πτώξ.] Λαγωός. ἀπὸ τοῦ πτώσσειν. 677. Θάμνῳ.] Συμφύτῳ τόπῳ. Ἀμφικόμῳ.] Πανταχόθεν κομώσῃ. 680. Δινήθην.] Ἐδινοῦντο. ὅ ἐστι περιεστρέφοντο. 693. Γυμνόν.] Ἄνευ τῶν ὅπλων. 694. Κατέστυγε.] Κατεστύγνασεν, ἐν στυ-

δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἀλλ' οὐδ' ὣς Μενελάου ἐφημοσύνης ἀμέλησε·
βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ
Λαοδόκῳ, ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους.
τὸν μὲν δακρυχέοντα πόδες φέρον ἐκ πολέμοιο,
Πηλεΐδῃ Ἀχιλῆϊ κακὸν ἔπος ἀγγελέοντα.
Οὐδ' ἄρα σοί, Μενέλαε Διοτρεφές, ἤθελε θυμὸς
τειρομένοις ἑτάροισιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
Ἀντίλοχος· μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη·
ἀλλ' ὅγε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν,
αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
στῆ δὲ παρ' Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα·
Κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσιν,
ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν. οὐδέ μιν οἴω
νῦν ἰέναι, μάλα περ κεχολωμένον Ἕκτορι δίῳ·
οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
ἡμεῖς δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
ἡμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν.
Τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
πάντα κατ' αἶσαν ἔειπες, ἀγακλεὲς ὦ Μενέλαε·
ἀλλὰ σὺ μὲν καὶ Μηριόνης, ὑποδύντε μάλ' ὦκα,

695. Ϝεπέων—τὼ δέ Ϝοι. 696. δέ Ϝοι. 699. ὅς Ϝοι. 701. κακὸν Ϝέπος. 707. θέων vulg. κιών. 713. νεκρὸν Ϝερύσσομεν v Obss. forte ἡμὲν ὅπως νεκρόν τε Ϝερύσσομεν. 714. vulg. φύγοιμεν. 716. ἔϜειπες.

κατίστυγε, cohorruit. κατεπλάγη. cf. ad Θ. 515.—699. *Laodocus* ignotus aliunde; diversus ab Antenoris filio Δ. 87. pro Antilochi auriga videtur esse habendus.

702—722. Menelaus, Thrasymede qui cum Antilocho pugnaverat v. 378. Pylios in hostem ducere jusso, ad Patrocli corpus propere redit, et cum Ajace convenit de eo absportando.—704. etsi Pylii valde cuperent ut cum iis pugnaret.—705. Θρασυμήδεα δῖον ἀνῆκεν ἀμύνειν αὐτοῖς h. e. ἐπώτρυνε μάχεσθαι, tanquam partibus Antilochi qui abierat susceptis.—709. οὐδέ μιν, Achillem. *nec tamen spero eum esse huc venturum,* cum sit, γυμνὸς vs. 711. sine armis: perpetuo loquendi usu.—717—721. Ajax jubet Menelaum cum Merione corpus Patrocli humeris suscipere et auferre; se cum Ajace Oilei a tergo Trojanos repellere velle.

γνότητι καὶ κατηφείᾳ ἐγένετο. 695. Ἀμφασίη.] Ἀφασία, ἔκπληξις, ἀφωνία. 696. Ἔσχετο.] Ἐπεσχέθη. 697. Ἐφημοσύνης.] Ἐντολῆς. 702. Ἤθελεν.] Ἠδύνατο. 705. Ἀνείκεν.] Ἤτοι ἀνέπεισεν, ἢ ἐνέβαλεν ἀφηγεῖσθαι τῆς μάχης. 714. Ἐνοπῆς.] Ἀθρόας μάχης. 716. Ἀγακλεές.] Λίαν ἔνδοξε.

νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου· αὐτὰρ ὄπισθε
νῶϊ μαχησόμεθα Τρωσί τε καὶ Ἕκτορι δίῳ,
ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι, οἳ τὸ πάρος περ
μίμνομεν ὀξὺν Ἄρηα παρ' ἀλλήλοισι μένοντες.
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
ὕψι μάλα μεγάλως· ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε
Τρωϊκὸς, ὡς εἴδοντο νέκυν ἄραντας Ἀχαιούς·
ἴθυσαν δὲ, κύνεσσιν ἐοικότες, οἵτ' ἐπὶ κάπρῳ
βλημένῳ ἀΐξωσι πρὸ κούρων θηρητήρων·
ἕως μὲν γάρ τε θέουσι, διαῤῥαῖσαι μεμαῶτες·
ἀλλ' ὅτε δή ῥ' ἐν τοῖσιν ἑλίξεται, ἀλκὶ πεποιθὼς,
ἄψ τ' ἀνεχώρησαν, διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος·
ὣς Τρῶες, εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
νύσσοντες ξίφεσί τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺς
σταίησαν, τῶν δὲ τράπετο χρὼς, οὐδέ τις ἔτλη
πρόσσω ἀΐξας, περὶ νεκροῦ δηριάασθαι.
  Ὣς οἵ γε μεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
νῆας ἐπὶ γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατό σφιν
ἄγριος, ἠΰτε πῦρ, τό τ' ἐπεσσύμενον πόλιν ἀνδρῶν,
ὄρμενον ἐξαίφνης, φλεγέθει. μινύθουσι δὲ οἶκοι

718. vulg. ὀπίσσω. 720. Ϝῖσον. 723. δ' Ϝίαχε v. Obss. fuit Ϝίαχε δ' ἔπι. 724. Ϝείδοντο—αἴραντας vulg. αἴροντας. 725. κύνεσσι ϜεϜοικότες. 728. ἐν τοῖσι Ϝελίξεται. 733. vulg. τρέπετο. 735. vulg. ὧς οἵγ' ἐμμεμαῶτε. 738. δὲ Ϝοῖκοι.

722—733. Ita absportatur corpus Patrocli, Trojanis insequentibus et subinde repulsis.—Comparatio eorum valde ἐναργὴς cum canibus aprum persequentibus: 726. οἵ τ' ἐπαΐξωσι κάπρῳ. ἕως μὲν 727. et 730. est pro τέως, *aliquantum. aliquotenus.*—728. *cum aper animosus se converterit in eorum medio.*—733. τῶν δὲ τράπετο χρώς. *expalluerunt:* ut jam vidimus N. 279.

735—741. Progredientibus Achivis qui ad castra cum Patrocli corpore recedunt, pugna insequentium Trojanorum per campos protracta cum incendio comparatur latius serpente.

737. ἠΰτε πῦρ scil. ἐπιτείνεται, increbescit, crescit. de vento sup. Π. 365. 738. μινύθουσι δὲ οἶκοι. Sic Π. 392. eluvie aquarum μινύθει ἔργα ἀνθρώπων intereunt. h. l. incen-

720. Ἶσον.] Ὅμοιον. 722. Ἀγκάζοντο.] Εἰς τὰς ἀγκάλας ἐλάμβανον. 723. Λαὸς Τρωϊκός.] Οἱ πολλοὶ Τρῶες. 726. Πρὸ κούρων θηρητήρων.] Πρὸ νέων θηρατῶν. 728. Ἑλίξεται.] Ἐπιστρέφεται. 733. Ἐτράπετο χρώς.] Ἠλάσσετο ἡ ἰδέα τοῦ προσώπου. 734. Δηριάασθαι.] Μάχεσθαι, φιλονεικεῖν. 738. Ὅρμενον.] Ὁρμώμενον, διεγειρόμενον. Φλεγέθει.] Φλέγει. Μινύθουσιν.] Ἐλαττοῦνται, δι-

ἐν σέλαϊ μεγάλῳ· τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο·
ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν.
οἱ δ' ὥσθ' ἡμίονοι, κρατερὸν μένος ἀμφιβαλόντες,
ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν
ἢ δοκὸν, ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς
τείρεθ', ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ, σπευδόντεσσιν·
ὣς οἵ γε μεμαῶτε νέκυν φέρον. αὐτὰρ ὄπισθεν
Αἴαντ' ἰσχανέτην, ὥστε πρὼν ἰσχάνει ὕδωρ
ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηκώς·
ὅστε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι
πλάζων, οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες·
ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
Τρώων· οἱ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,

739. Ϝὶς v. Obss. 746. vulg. οἵγ' ἐμμεμαῶτε. 747. vulg. ὥσπερ. 752. ἀνέϜεργον.

dio.—739. τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο. vel transitive, *ventus facit ignem fremere.* vel τὸ δ' ἔπι βρέμει. ut sit ἐπὶ τοῦτο. pro τῷ δ' ἐπιβρέμει.—741. τοῖς ἐπήϊεν, a tergo insectando prosequebatur.

742—752. Comparatione a jumentis petita declaratur et labor portantium corpus Patrocli et virtus resistentium insequentibus Trojanis. κρατερὸν μένος ἀμφιβαλόντες. μένος non potest de onere dictum esse, sed esse debet ipsorum mulorum; illi igitur onus trahendo summa vi annituntur, robur suum intendunt, itaque ἀμφιβάλλουσι μένος aut sibi, induunt, assumunt, robur suum, aut περιβάλλουσι μένος ipsi oneri portando, adhibent, περιλαμβάνουσι. Prius tamen convenit alteri loquendi formæ, ἐπιειμένος ἀλκὴν, H. 164. et al. ἀναιδείην A. 149. indutus, pro instructus, exerens. Ita ἀμφιβάλλειν, περιβαλεῖν χιτῶνα, σάκος, ergo et robur, μένος.—744, 5. ἐν δέ τε θυμὸς τείρεται αὐτοῖς σπεύδουσι.—747. ὄπισθεν Αἴαντ' ἰσχανέτην scil. Τρῶας. quod sequitur demum vs. 752. μάχην ἀνέεργον Τρώων.—748. πρὼν τετυχηκὼς (a τευχέω, quod factum τυχέω. idem quod τυγχάνω ex τεύχω· unde τέτυγμαι, τετύχθαι. ex quo τετύκω) (διὰ) πεδίοιο διαπρύσιον. per campum in longum spatium ductus, stans: h. e. extentus, procurrens, crepido, agger.—750. πᾶσι (ῥεέθροις) ῥόον πεδίονδε, εἰς πεδίον, τίθησι, πλάζων sc. αὐτὰ, faciens aquam exspatiari in vicina loca plana. Situm locorum fingere licet apud animum non uno modo: dummodo cogites aquarum vim imbribus auctam de montium jugis in planitiem camporum delatam, et in cursu intra alveum pergentem, donec incidat in oppositam molem, quæ aquas collectas ultra ripas exundare et per plana loca se explicare cogit.

753—761. Fugam tandem capessunt Achivi haud dubiam.—756. οὖλον κεκλήγοντες, αφθείρονται. 739. Ἐπιβρέμει.] Ἐπηχεῖ, ψοφεῖ. 742. Κρατερὸν μένος ἀμφιβαλόντες.] Περιβαλόντες καὶ ἀντερείσαντες ἀλλήλοις τὰς ἑαυτῶν δυνάμεις. ὅ ἐστι συνάψαντες καὶ ἰσώσαντες. 743. Παιπαλόεσσαν.] Δυσπρόσβατον, τραχεῖαν. Ἀταρπόν.] Ἀντὶ τοῦ ἄτροπον ὁδόν. 744. Δόρυ.] Ξύλον. 747. Ἰσχανέτην.] Ἐπεῖχον τὴν ὁρμὴν, καὶ ἐπεκώλυον. Πρών.] Ὑλώδης τόπος, ἐξοχὴ ὄρους. 748. Ὑλήεις.] Ὑλώδης, ξυλώδης. Πεδίοιο διαπρύσιον τετυχηκώς.] Παρ' ὅλον τὸ πεδίον παρατεταμένως διήκων. 751. Πλάζων.] Πλανῶν. νῦν δὲ ἀνακόπτων, καὶ ἀνακρούων. 752. Ἀνέεργον.] Ἀνέστελλον.

Αἰνείας τ᾽ Ἀγχισιάδης, καὶ φαίδιμος Ἕκτωρ.
τῶν δ᾽ ὥστε ψαρῶν νέφος ἔρχεται, ἠὲ κολοιῶν,
οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
κίρκον, ὅ τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν·
ὣς ἄρ᾽ ὑπ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν,
οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης·
πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ᾽ ἀμφί τε τάφρον,
φευγόντων Δαναῶν· πολέμου δ᾽ οὐ γίγνετ᾽ ἐρωή.

756. πρὸ Ϝίδωσι.

sturni conspecto accipitre, οὖλον, ὀλεθρίως, eoque anxie, tanquam instante sibi exitio; ac si jam morte teneantur; νέφος, sturnorum globatim volantium: Plin. X. 34. loco a viro docto notato.—757. *Circus* accipitrum genus Aristot. H. A. IX. 38. Erat quoque sup. Π. 582. in simili loco pro circo memoratus accipiter: ἴθυσεν δὲ διὰ προμάχων, ἴρηκι ἐοικὼς ὠκεῖ, ὅς τε φόβησε κολοιούς τε ψῆράς τε. 761. πολέμου δ᾽ οὐ γίγνετ᾽ ἐρωή. jam Π. 302. continuata est pugna.

755. Ψαρῶν.] Συναγελαστικὸν δὲ ὁ κολοιὸς καὶ φιλάλληλον. ὡς ἡ παροιμία· Αἰεὶ κολοιὸς ποτὶ κολοιὸν ἵζάνει. φασὶ δὲ οὕτως φιλαλλήλους εἶναι, ὡς εἴτις ἔλαιον ἀπόθηται, ἀφορῶντας εἰς τὴν σκιὰν καὶ κατιόντας δῆθεν πρὸς τοὺς ἑταίρους ἐλαιοῦσθαι καὶ ἁλίσκεσθαι. εἶδος ὀρνέων. Νέφος.] Νῦν τὸ πολὺ τῶν ὀρνέων πλῆθος. 756. Οὖλον κεκλήγοντες.] Ὀξὺ βοῶντες. ἢ πυκνόν. 757. Κίρκον.] Εἶδος ἀετοῦ, ὁ λεγόμενος ἱέραξ. ὁ γὰρ ἀετὸς τὰ μεγάλα φονεύει. Σμικρῇσι.] Σμικραῖς. ἡ λέξις Ἰώνων. 761. Ἐρωή.] Ὁρμὴ, δίωξις.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Σ.

ARGUMENTUM.

REPORTATIO corporis Patrocli in castra summam prioris partis libri constituit. Interea dum Ajaces repellunt Trojanos ne eos, qui Patrocli corpus portant, retardent, Antilochus ad Achillem nuntium de Patrocli morte perfert—21. ille ingenti dolore furit—35. audit mater Thetis et accurrit, doloris caussam rogat, ex eo audit—93. dolet et ipsa, quod norat Patroclo cæso ipsi quoque filio mortem instare—96. quo audito mortem saltem amici ulcisci constituit Achilles—126. Docet mater, cum amissis Patroclo spoliato armis, inermis in pugnam prodire nequeat, nova se ei arma allaturam esse a Vulcano fabricanda—147. Appropinquantibus jam ad castra Achivis instat tamen Hector, ut Patrocli corpore potiatur; donec, Iride monente, Achilli in animum venit, in vallum castrorum prodire et Trojanos vel solo conspectu terrere, ut fugiant. Patrocli corpus in castra ducitur. Ita dies, cujus acta inde a libro XI. (Λ.) narrata erant, occidit—238.

Trojanis, qui ante castra Achivorum constiterant, concione habita, suadet Polydamas, ut in urbem se recipiant, nec Achillem in pugnam postero die prodituruin acie in campi planitie instructa excipiant, sed eum a muris pugnando avertant—283. Contra Hector fortunæ diei instandum ratus, altero die castra oppugnare constituit; assentientibus Trojanis—313. At Achilles luctui per noctem indulget, nec se humaturum esse Patroclum denuntiat, nisi Hectoris necem ultus fuerit; decernit simul XII. captivos e Trojanis in ejus funere immolare; interea captivas corpus circumstare lamentantes, nunc autem illud lavare, ungere et linteo obtegere jubet 355. Objurgat Jupiter Junonem propter rerum summam ab ea sic administratam, ut Achilles iterum in pugnam prodeat—368. Thetis interea Vulcanum adit, a Charite, inde ab ipso Vulcano honorifice excepta,—427. quid petitum veniat, exponit.—462. Vulcanus promtam voluntatem ostentans discedit in officinam, et armorum fabricam aggreditur;—477. Inprimis in scuti fabrica et signis in eo expressis exponendis copiosus est poeta usque ad libri extrema: et ab episodio hoc rhapsodiæ hujus laus et nomen (ὁπλοποιΐα a veteribus inscripta fuit) est profectum.

Deorum ministerium non abest ab hoc libro. Ut taceam, quæ in ornamentis sunt, Minervam augere clamorem Achillis et oris terrorem 205. 217. auditis filii lamentis Thetis e mari progressa accurrit, filium caussam luctus rogat, et arma se ei esse curaturam promittit 35—147. Postea Thetidis adventus in Olympo, ingressus in Vulcani ædes, preces Vulcano factæ, deique facilitas in annuendo et armis fabricandis narra-

tur inde a 369. Hæc ipsius actionis epicæ partem constituere videri possunt. Præter hæc Iris a Junone missa Achillem excitat, ut in vallum prodeat, et Trojanos terreat—166—202. Interponitur quoque altercatio Junonis et Jovis 356—368. in Olympo facta.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Σ. ῾ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

᾿ΑΧΙΛΛΕΥΣ τὸν Πατρόκλου θάνατον ἐπιγνοὺς ὀδύρεται· ἀνελθοῦσα δὲ ἡ Θέτις ἐκ τῆς θαλάσσης, παρηγορεῖ αὐτὸν, καὶ παραινεῖ ἀπέχεσθαι τοῦ πολέμου, ἕως ἂν αὐτῷ ὅπλα κομίσῃ παρὰ τοῦ Ἡφαίστου. κελευσάσης δὲ Ἥρας, ἄοπλος προσελθὼν ἐπὶ τὴν τάφρον, ἐπιφαίνεται τοῖς πολεμίοις, καὶ αὐτὸν ἐκπλαγέντες φεύγουσι· καὶ κατὰ τὴν φυγὴν πολλοὶ διαφθείρονται. τὸ δὲ τοῦ Πατρόκλου σῶμα διασώσαντες οἱ Μυρμιδόνες λούουσιν· Ἥφαιστος δὲ Ἀχιλλεῖ πανοπλίαν κατασκευάζει.

Σίγμα, Θέτις Ἀχιλῆϊ παρ' Ἡφαίστου φέρεν ὅπλα.

ὨΣ οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο.
Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε.
τὸν δ' εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων,
τὰ φρονέοντ' ἀνὰ θυμὸν, ἃ δὴ τετελεσμένα ἦεν.
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼ, τί τ' ἄρ' αὖτε καρηκομόωντες Ἀχαιοὶ
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπε,
Μυρμιδόνων τὸν ἄριστον, ἔτι ζώοντος ἐμεῖο,

5. ἄρα Ϝεῖπε πρὸς Ϝὸν v. Obss. f. ἄρ' ἔφη. 7. vulg. ἐπικλονέονται. 9. ἔϜειπε.

1—21. Nuntium de Patroclo cæso ad Achillem perfert Antilochus.

7. Achivi ἀτυζόμενοι κλονέονται διὰ τοῦ πεδίου, ἐπὶ νηυσίν. Ita veteres: nisi mavis νηυσὶν ἐπικλονέονται. Sentiebat Achilles pugnæ tumultum et spargi latius per campum et admoveri castris ac navibus.—8. μὴ δή μοι. avertant dii, ne eventum habeat, quod mihi mater e prædictione aliquando nuntiavit, fore ut me vivente fortissimus Myrmidonum ad Trojam occumbat. Fuisse hoc tertium e vaticiniis de Achille vidimus in Nota ad P. 408. Quatenus autem Patroclus, ipse Locrus, inter Myrmidones referri potuerit, quæsitum est a veteribus. Saltem dici potest, ducem eum Myrmi-

1. Ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο.] Οὕτως μὲν δὴ οὗτοι ἐμάχοντο δίκην θερμοῦ πυρός. 3. Νεῶν ὀρθοκραιράων.] Ὀρθὰς κεραίας ἐχούσων. ὀρθοπρύμνων. καλεῖται δὲ κεραία τὸ ἐπάνω τοῦ ἱστοῦ δεδεμένον πλάγιον ξύλον, οὗ ἐξάπτεται ἡ ὀθόνη. 5. Ὀχθήσας.] Στενάξας. 7. Ἀτυζόμενοι.] Φοβούμενοι. 9. Διεπέφραδε.] Διεσάφησεν, εἶπεν. Ἐζήτηται δὲ, πῶς οὐκ ἔστιν Αὐτομέδων μηνυτὴς τῆς τοῦ Πατρόκλου ἀναιρέσεως, ἀλλ' Ἀντίλοχος, καὶ διατὶ γυμνὸς τρέχει. ῥητέον οὖν, ὅτι Αὐτομέδοντα μὲν αἰσχρὸν ἦν μετὰ τῶν ἵππων ἔρχεσθαι πρὸς Ἀχιλλέα ἄπρακτον, τῶν ἄλλων ἀγωνιζομένων περὶ τοῦ σώματος. Ἀντίλοχος δὲ ταχύτατος ὢν τῶν ἄλλων προεκρίθη. καὶ γυμνὸς ἄπεισι, μετὰ τῶν ὅπλων τὰς συμφορὰς ἐκπομπεύειν παραιτούμενος· ἢ διὰ τὸ μὴ βαρούμενον τοῖς ὅπλοις χρονίσαι τῇ ὁδῷ. 10. Μυρμιδόνων τὸν ἄριστον.] Ἄκτωρ γένει μὲν ἦν

χερσὶν ὑπὸ Τρώων λείψειν φάος Ἠελίοιο.
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱὸς,
σχέτλιος· ἦτ' ἐκέλευον, ἀπωσάμενον δήϊον πῦρ,
ἂψ ἐπὶ νῆας ἴμεν, μηδ' Ἕκτορι ἶφι μάχεσθαι.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς,
δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
Ὤ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφὶ μάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ.
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν,
χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον·
νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη·
αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
δμωαὶ δ', ἃς Ἀχιλεὺς ληΐσσατο, Πάτροκλός τε,
θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε

14. Ἕκτορι Fῖφι. 16. τόφρα Fοι. 29. μέγα FίFαχον.

donum fuisse, inter quos cum patre vixerat.—12. ἦ μάλα δὴ τέθνηκε. Achilli de Patrocli virtute ita persuasum erat, ut eo vivo Achivos versus castra recedere posse haud crederet.—13. ἦτ' ἐκέλευον. sup. Π. 83. sqq.—19. ἀγγελίη ἣ μὴ ὤφελλε γενέσθαι. ipsa res quæ nuntiatur. Laudatur narrationis brevitas et gravitas.

22—35. Achillis dolor, miseratio captivarum, et Antilochi affectus, graphice omnia sunt adumbrata. Achillis autem insanus dolor exhibitus est ad ductum barbarorum hominum nullo in animi affectu sibi temperantium, itaque efferatis quoque animis e dolore sævientium; abjecto in terram corpore volutantur, manu pulverem corradunt, sibi injiciunt, vociferantur.—23. κόνιν αἰθαλόεσσαν aut simpliciter pulverem atrum; aut cinere ex foco adstante et fuligine permistum.—25. νεκταρέῳ δὲ χιτῶνι εὐώδει. Jam lectum Γ. 385. νεκτάρεον ἑανόν.—29. ἐκ δὲ θύραζε ἔδραμον. ergo in ca-

Λοκρός. Γήμας δὲ Αἴγιναν τὴν Ἀσωποῦ τοῦ Θηβαίου ποταμοῦ θυγατέρα μετὰ τὴν Διὸς μίξιν, καὶ καταμείνας ἐν Οἰνώνῃ ἐγέννησε Μενοίτιον. ὃς ἀνελθὼν ἐπὶ τὴν πατρῴαν Ὀποῦντα, Πάτροκλον ἐγέννησεν, ὃν εἰκότως Μυρμιδόνα εἶπε, διὰ τὸ γεννηθῆναι τὸν πατέρα αὐτοῦ ἐν Αἰγίνῃ. 12. Ἦ μάλα δὴ τέθνηκεν.] Ἀκριβῶς δὴ τέθνηκεν. οὕτως γὰρ καὶ ἐν Ὀδυσσείᾳ ἔχει· Ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν· ἵν' ᾖ ἀκριβῶς ἔγημε. 13. Σχέτλιος.] Ἀντὶ τοῦ, σχετλιασμοῦ ἄξιος καὶ ἀγνώμων. ὡς πρὸς ἑαυτὸν δέ.

19. Πεύσεαι.] Ἀκούσοις, μάθοις. 20. Κεῖται.] Νῦν ἀντὶ τοῦ ἀνῄρηται, τέθνηκεν. 22. Ἄχεος νεφέλη.] Πλῆθος λύπης. ὅ ἐστι, πολλὴ λύπη. 23. Κόνιν αἰθαλόεσσαν.] Τὴν κόνιν, τὴν σποδόν. παρὰ τὸ ἐκκεκαῦσθαι. 25. Νεκταρέῳ.] Θείῳ, καθαρῷ. Ἀμφίζανε.] Περιεκάθητο. 26. Μεγαλωστί.] Πολὺν τόπον κρατῶν. 27. Ἤισχυνε.] Καθύβρισε. Δαΐζων.] Διακόπτων, σπαράσσων. 28. Ληΐσσατο.] Ἐκ λαφύρων ἐκτήσατο. 29. Ἀκηχέμεναι.] Λυπούμεναι.

ἔδραμον ἀμφ᾽ Ἀχιλῆα δαΐφρονα· χερσὶ δὲ πᾶσαι
στήθεα πεπλήγοντο, λύθεν δ᾽ ὑπὸ γυῖα ἑκάστης.
Ἀντίλοχος δ᾽ ἑτέρωθεν ὀδύρετο, δάκρυα λείβων,
χεῖρας ἔχων Ἀχιλῆος· ὁ δ᾽ ἔστενε κυδάλιμον κῆρ·
δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ.
σμερδαλέον δ᾽ ᾤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ,
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι,
κώκυσέν τ᾽ ἄρ᾽ ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο
πᾶσαι, ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
ἔνθ᾽ ἄρ᾽ ἔην Γλαύκη τε, Θάλειά τε, Κυμοδόκη τε,
Νησαίη, Σπειώ τε, Θόη θ᾽, Ἁλίη τε βοῶπις,
Κυμοθόη τε, καὶ Ἀκταίη, καὶ Λιμνώρεια,
καὶ Μελίτη, καὶ Ἴαιρα, καὶ Ἀμφιθόη, καὶ Ἀγαυὴ,
Δωτώ τε, Πρωτώ τε, Φέρουσά τε, Δυναμένη τε,
Δεξαμένη τε, καὶ Ἀμφινόμη, καὶ Καλλιάνειρα,
Δωρὶς, καὶ Πανόπη, καὶ ἀγακλειτὴ Γαλάτεια,
Νημερτής τε, καὶ Ἀψευδὴς, καὶ Καλλιάνασσα·
ἔνθα δ᾽ ἔην Κλυμένη, Ἰάνειρά τε, καὶ Ἰάνασσα,
Μαῖρα, καὶ Ὠρείθυια, ἐϋπλόκαμός τ᾽ Ἀμάθεια·
ἄλλαι θ᾽, αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἱ δ᾽ ἅμα πᾶσαι
στήθεα πεπλήγοντο· Θέτις δ᾽ ἐξῆρχε γόοιο·
  Κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ᾽ εὖ πᾶσαι
εἴδετ᾽ ἀκούουσαι, ὅσ᾽ ἐμῷ ἔνι κήδεα θυμῷ.
ὤ μοι ἐγὼ δειλὴ, ὤ μοι δυσαριστοτόκεια,

31. γυῖα Ϝεκάστης. 46. ΚαλλιϜάνασσα. 47. vulg. ἔνθα δὲ ἦν. Bentl. Ϝιάνειρα et Ϝιάνασσα. 53. Ϝείδετ᾽.

stris quoque captæ mulieres thalamos suos ἐν κλισίαις, ab herili atrio remotos habuere.—31. λύθεν δ᾽ ὑπὸ γυῖα ἑκάστης genua labant: quippe subito exterritarum.—33. ὁ δ᾽ ἔστενε Achilles. δείδιε γὰρ vs. 34. Antilochus. At 35. ᾤμωξεν Achilles.

35—64. Mater auditis filii ejulatibus lamentata mari prodit, comitantibus Nereidibus. In fundo maris sedes Nerei. v. A. 358. De enumeratione hac veteribus grata, numeris suis forte jucunda, antiqua doctrina commendabili, in diversas partes disputari potest.—50. ἀργύφεον σπέος. *candens*, ἀργὸν rupibus candentibus, μαρμαρέαις, seu topho, seu alio genere.—51. Θέτις δ᾽ ἐξῆρχε γόοιο alio modo quam in luctus sollennibus v. c. inf. 316. v. Ω. 719. Sed h. l. illa dolorem prodit cum expositione rei.

31. Πεπλήγοντο.] Ἔπλησσον. 33. Κυδάλιμον.] Ἔνδοξον. 34. Ἀποτμήξειεν.] Ἀποτέμοι. 37. Κώκυσεν.] Ἀνέκλαυσεν. Ἀμφαγέροντο.] Περὶ αὐτὸν ἠθροίζοντο. 48. Ἐϋπλόκαμος.] Εὔκοσμος, καλή. 50. Ἀργύφεον.] Μέγα, ἢ λαμπρόν. Πλῆτο.] Ἐπληροῦτο. 53. Εἴδετε.] Ἀντὶ τοῦ εἴδητε, ἢ γνώσεσθε. 54. Δυσαριστοτόκεια.] Ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα. 56. Ἀνέ-

ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε, κρατερόν τε,
ἔξοχον ἡρώων, ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος,
τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῷ ἀλωῆς,
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω,
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος Ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
ἀλλ' εἶμ', ὄφρα ἴδοιμι φίλον τέκος, ἠδ' ἐπακούσω,
ὅ ττι μιν ἵκετο πένθος, ἀπὸ πτολέμοιο μένοντα.
  Ὣς ἄρα φωνήσασα λίπε σπέος· αἱ δὲ σὺν αὐτῇ
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
ῥήγνυτο· ταὶ δ', ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰσανέβαινον ἐπισχερὼ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ' Ἀχιλῆα.
τῷ δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο·
καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·
  Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
ἐκ Διὸς, ὡς ἄρα δὴ πρίν γ' εὔχεο, χεῖρας ἀνασχὼν,
πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι υἷας Ἀχαιῶν,
σεῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα.

56. ἔρνεϊ Ϝῖσος. 57. φυτὸν Ϝὼς Bentl. 58. κορωνίσι Ϝίλιον. 60. Ϝοίκαδε. 62. τί Ϝοι. 63. ὄφρα Ϝίδοιμι vulg. ὄφρα ἴδω τε. 69. Ϝείρυντο. 70. vulg. βαρυστενάχοντι. 71. παιδὸς ἑϜοῖο. 72. Ϝέπεα. 76. πρύμνῃσι Ϝαλήμεναι. 77. ἀϜεκήλια Ϝέργα.

—55. ἥ τ' ἐπεὶ ἄρ—τὸν δ' οὐχ ὑποδέξομαι αὖτις turbata præ dolore oratio.—62. ὄφρα δέ μοι ζώει. hoc saltem de futuro tempore: inde ab injuriæ acceptæ, ἀτιμίας, tempore.

65. Comitantur Nymphæ Thetidem tanquam sorores majorem natu. κῦμα περιῤῥήγνυτό σφισι emergentibus ex maris fundo et natantibus per mare.—70. sq. Judicium et veritas naturæ cum simplicitate in sermonibus Thetidis et Achillis notari merentur. Ait illa: evenisse ei, quæ in votis habuerat, ut Achivos pœnitentia injuriæ incesseret, ultima passos, postquam Achilles ab iis discesserat.—71. κάρη λάβε brachio cervicem amplexa.—76. πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι. *fugientes conglomerari*; quod alibi κλονεῖσθαι. ἀλέω cognatum cum εἰλέω vel εἱλέω, involvo. ἀλῆναι Π. 714. ubi v. Not.—77. σεῦ ἐπιδευομένους, non modo *indigentes*, ἐπιδεεῖς, verum *desiderantes*,

δραμεν.] Ηὐξήθη. Ἔρνεϊ.] Φυτῷ. 57. Γουνῷ ἀλωῆς.] Ἐν τῷ γονιμωτάτῳ τόπῳ τῆς γῆς. 64. Ἀπὸ πτολέμοιο μένοντα.] Χωρὶς ὄντα τοῦ πολέμου. 66. Περὶ δέ σφισι κῦμα θαλάσσης ῥήγνυτο.] Περιεῤῥήγνυτο δὲ αὐτοῖς τὰ τῆς θαλάσσης κύματα. 68. Ἀκτήν.] Παραθαλάσσιον τόπον. αἰγιαλόν. Ἐπισχερώ.] Ἐφεξῆς. 76. Ἀλήμεναι.] Συναθροισθῆναι. συγκλεισθῆναι. 77. Ἐπι-

Τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος,
Πάτροκλος; τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
ἶσον ἐμῇ κεφαλῇ, τὸν ἀπώλεσα· τεύχεα δ' Ἕκτωρ
δῃώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν, ἀγλαὰ δῶρα,
ἤματι τῷ, ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ.
αἴθ' ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσι
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
νῦν δ', ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη,
παιδὸς ἀποφθιμένοιο· τὸν οὐχ ὑποδέξεαι αὖτις
οἴκαδε νοστήσαντ'· ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἀνώγει
ζώειν, οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ,
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.
Τὸν δ' αὖτε προσέειπε Θέτις καταδάκρυχέουσα·
ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

80. Ϝῆδος. 82. Ϝῖσον. 83. θαῖμα Ϝιδέσθαι. 86. vulg. ὡς. 88. vulg. μύριον. 90. Ϝοίκαδε. vulg. ἄνωγε. 93. Πατρόκλου δὲ Ϝέλωρα. 94. προσέϜειπε.

ποθοῦντας quod in votis habuerat: ut statim A. 240. ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν.

78—93. Achillis verba ad matrem moribus Achillis consentanea, impatientis, ut iræ, ita nunc doloris ex luctu.—81. τὸν ἐγὼ—τὸν ἀπώλεσα, pro ὃν—τοῦτον.—85. Arma Achillis a Peleo accepta, cui in nuptiis Thetidis a diis pro munere nuptiali ea obtigerant; erant ergo ea διόσδοτα. cf. Apollod. III. 13, 5. f.—88. Νῦν δ', sc. nunc autem Peleo mortali nupsisti et me mortalem peperisti, ut etiam ex filii morte dolorem maximum experireris.—90. *quandoquidem tædet me vitæ;* intolerabilis mihi vita est, *nisi Hectorem ultus fuero;* hoc autem quomodo perficeret non habebat armis cum Patroclo ereptis.—92. πρῶτος, πρότερον, πρὶν, non ante cupiam vivere quam ultus Hectorem fuero.—93. ἕλωρα—ἀποτίσῃ. τὸ ἕλωρον scilicet τίμημα, pœnam pro eo quod corpus Patrocli abjicere ἕλωρ, prædam, alitibus canibusque voluit.—95, 96. A matre monetur Achilles, Hectori cæso non diu ipsum superstitem futurum. v. ad P. 408.

97—126. Nunc hoc ipso audito, tanto magis ulciscendi studio incenditur Achilles; regnat hæc cupido per totam orationem—irascitur sibi quod ab armis recessit, quod in contentionem cum Agamemnone descendit,—elevat mortis fatum—portendit sibi gloriam ex ultione, et voluptatem ex hostium luctu a se iis inferendo.

δευομένοις.] Προσδεομένοις, χρήζοντας. Ἀεκήλια.] Δεινὰ, ἢ τὰ μὴ ἡσυχίας ἄξια. ταραχώδη. 80. Ἦδος.] Ἡδονή. ὠφέλεια. ὄφελος. 82. Ἶσον ἐμῇ κεφαλῇ.] Ἐπίσης ἐμαυτῷ. 86. Ἁλίῃσι.] Ταῖς παραθαλασσίαις Νηρηΐσιν. 92. Τυπείς.] Πεσών. πληγείς. 93. Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.]

αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
ἔφθιτ'· ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι.
νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
οὐδέ τι Πατρόκλῳ γενόμην φάος, οὐδ' ἑτάροισι
τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ·
ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
τοῖος ἐὼν, οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων
ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.
ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλος, ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅς τε, πολὺ γλυκίων μέλιτος καταλειβομένοιο,
ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται, ἠΰτε καπνός·
ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
νῦν δ' εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω
Ἕκτορα· Κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε Κῆρα,

104. νηυσὶ Ϝετώσιον. 111. ἐχόλωσε Ϝάναξ.

98. αὐτίκα τεθναίην, ἐπεὶ—tantum abest, ut hoc, quod Hectore cæso mortem mihi instare dixisti, me deterreat, ut potius extemplo occumbere velim, quandoquidem amico meo succurrere non potui, (οὐκ ἄρ' ἔμελλον,) qui longe a patria occubuit, ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι, vs. 100. vel pro ἐδέησε, me indiguit, me opus habuit, cui debueram auxilio venire; vel, qui me precatus est ut ultor ei essem. ἀρῆς, βλάβης. ut M. 334. Od. X. 208. de exitio, morte.—101. νῦν δ', ἐπεὶ οὐ νέομαί γε—deficit apodosis, ut sup. 88. post νῦν δὲ, et ante ἐπεὶ alibi, ut N. 68. quæ ex mente Achillis est supplenda: At nunc ardenter cupio mori; vita intolerabilis mihi est; quandoquidem.—102. φάος, tutela; ut sæpe, salus.—vs. 106. melius abesset.—107. ὡς ἔρι; imprecatio hæc iræ et contentionis præclare accommodata est Achillis affectui; nisi enim hæc fuissent, nec Patroclus exiisset sine Achille.—108. ἐφέηκε, ἀνῆκε, παρώξυνε.—112. versus jam lectus Π. 60. Τ. 65.—117. Mortem non recusat: quippe quæ

Τιμωρίαν δὲ παράσχῃ ἀξίαν ὑπὲρ τῆς Πατρόκλου ἀναιρέσεως. 100. Δῆσεν.] Ἐνεπόδισεν. Ἀρῆς ἀλκτῆρα.] Βλάβης καὶ κακώσεως ἀποτρεπτικόν. ὅ ἐστι κωλυτὴν καὶ βοηθόν. οἱ δὲ Ἄρεος ἀλκτῆρα ἀποτρεπτικὸν πολέμου. Παρμενίσκος μὲν οὖν βαρυτόνως, τὸ ἔδησεν ἀποδίδωσιν οὕτως· ὁ δὲ πόλεμος τὴν ἐμὴν ἀφελόμενος πανοπλίαν, ἔδησεν ἐμοῦ τὴν ἔξοδον, ὥστε ἀλκτῆρα μὴ γενέσθαι Πατρόκλου, ὅπερ ἐστὶ βοηθόν. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης, περισσὸν τὸ ἔδησε φησίν. 101. Οὐ νέομαι.] Οὐ παραγενήσομαι, οὐχ ὑποστρέψω. 104. Ἐτώσιον ἄχθος ἀρούρης.] Μάταιον βάρος τῆς γῆς. 108. Ἐφέηκε.] Παρώξυνε, παρώρμησε. Πολύφρονα.] Τὸν πάνυ σώφρονα, καὶ συνετόν. 109. Καταλειβομένοιο.] Καταχεομένου, στάζοντος. 111. Ἐχόλωσεν.] Εἰς ὀργὴν ἤγαγε. 112. Προτετύχθαι.] Προγεγονέναι συμβάντα. 114. Φίλης κεφαλῆς.] Προσφιλεστάτης κεφαλῆς.

ὅσπερ φίλτατος ἔσκε Διῒ Κρονίωνι ἄνακτι·
ἀλλά ἑ Μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
ὣς καὶ ἐγὼν, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείσομ', ἐπεί κε θάνω. νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην,
καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων,
ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
δάκρυ' ὀμορξαμένην, ἁδινὸν στοναχῆσαι ἐφείην·
γνοῖεν δ', ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
μηδέ μ' ἔρυκε μάχης, φιλέουσά περ· οὐδέ με πείσεις.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστι,
τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται,
χάλκεα, μαρμαίροντα· τὰ μὲν κορυθαίολος Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἑ φημὶ
δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
ἀλλὰ σὺ μὲν μήπω καταδύσεο μῶλον Ἄρηος,
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι.

118. *Κρονίωνι Ϝάνακτι.* 119. *ἀλλά Ϝε.* 132. *οὐδέ Ϝε.* 135. *ἐν ὀφθαλμοῖσι Ϝίδηαι.*

fortissimo mortali, Herculi, subeunda fuit. Erat ergo fatale, ut Herculem ira Junonis perderet, nec Jupiter avertere potuit, quoniam fatale erat. Herculem autem in deos receptum non norat Homerus: hoc saltem loco; nam alibi alia sequi potuit, ut poeta. Sane in Odyss. Λ. 601, 2. in inferis est Herculis umbra, *εἴδωλον· αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι τέρπεται ἐν θαλίῃς, καὶ ἔχει καλλίσφυρον Ἥβην.*—121. *κείσομαι,* proprie sepultus ero, *ἐπεί κε θάνω·* accipio ex ipsa re; se mortem contemnere ait: moriar, quandoquidem moriendum est.—122. In *βαθυκόλπων* quærunt aliquid Trojanis mulieribus singulare. Malim commune matronarum esse: quæ sunt *βαθύζωνοι·* de amplo vestis sinu: I. 590. eoque de ampla veste omnino.—122—4. *καί τινα Τρωϊάδων—ἁδινὸν στοναχῆσαι ἐφείην,* pro *ἐφήσω.* faciam multas Trojanas matronas ejulare, orbas et viduas redditas. Nam *ἐφιέναι τινὰ στοναχῇ, εἰς στοναχὴν,* nunc est *ἐφιέναι* (*ὡς*) *στοναχῆσαι.* Fere ut Α. 518. *ὅτ' ἔμ' ἐχθοδοπῆσαι ἐφήσεις Ἥρῃ.* Sic *ἐνιέναι.* ut I. 696. *νῦν δ' αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας. ἁδινὸν στοναχῆσαι.* diversis modis *ἁδινὸς* et dicitur et accipitur; proprie est densum, *ἀθρόος.* ut Β. 87. Tum de lamentis continuatis, quæ Latinis *iterata, perpetua* sunt, imprimis more veterum lugendi. Reddunt itaque multi ex ipsa re, *οἰκτρός.* Convenit poetæ illud: *tristiaque assidue renovans suspiria.*—125. *γνοῖεν δ' ὡς δὴ δηρὸν*—utque intelligant me iterum præliis interesse, me iterum arma sumsisse. hoc declarat inverse: me diu a pugna abfuisse.

127—137. Mater admonet Achillem de armis Patrocli nece ei ereptis; promittitque se ei nova arma a Vulcano esse allaturam. Inde illa vs. 147. sqq. dimissis Nereidibus ad Olympum contendit.

128. *ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμον.* hoc pro adverbio: *ταῦτα ἐτύμως εἶπες. οὐ κακόν ἐστιν ἀμυνέμεν.* non improbandum; immo, præclara res est, ulcisci.—130. *μετὰ Τρώεσσι.* pro. *ἐν. παρά.* vulgare, *ὑπὸ Τρώων.*—133. *ἀγλαϊεῖσθαι ἐπ' αὐτοῖς.*

124. Ὀμορξαμένην.] Ἀποψησαμένην. Ἀδινόν.] Ἐλεεινὸν, οἰκτρόν. Στεναχῆσαι.] Στενάξαι. Ἐφείην.] Ἀναγκάσαιμι. 132. Ἀγάλλεται.] Χαίρει. 133. Ἐπαγλαϊεῖσθαι.] Ἀγαλλιᾶσθαι, γαυριᾶν. 134. Μῶλον.] Τὸν μολισμὸν τῆς

ἠῶθεν γὰρ νεῦμαι, ἅμ' ἠελίῳ ἀνιόντι,
τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος.
Ὣς ἄρα φωνήσασα, πάλιν τράπεθ' υἷος ἑοῖο·
καὶ στρεφθεῖσ', ἁλίῃσι κασιγνήτῃσι μετηύδα·
Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον,
ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρὸς,
καί οἱ πάντ' ἀγορεύσατ'· ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον
εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴ κ' ἐθέλῃσιν
υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.
Ὣς ἔφαθ'· αἱ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν.
ἡ δ' αὖτ' Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
ἤϊεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε' ἐνείκοι.
Τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
θεσπεσίῳ ἀλαλητῷ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
φεύγοντες, νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοὶ
ἐκ βελέων ἐρύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι,
Ἕκτωρ τε, Πριάμοιο πάϊς, φλογὶ εἴκελος ἀλκήν·
τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ,
ἑλκέμεναι μεμαὼς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
τρὶς δὲ δύ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκὴν,
νεκροῦ ἀπεστυφέλιξαν. ὁ δ' ἔμπεδον, ἀλκὶ πεποιθὼς,
ἄλλοτ' ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
στάσκε μέγα ἰάχων· ὀπίσω δ' οὐ χάζετο πάμπαν.
ὡς δ' ἀπὸ σώματος οὔ τι λέοντ' αἴθωνα δύνανται

137. Ἡφαίστοιο Ϝάνακτος. 138. υἷος ἑϜοῖο. 142. Ϝοι. 152. Ϝερύσαντο.
154. φλογὶ Ϝείκελος. 157. ἐπιϜειμένω. 160. μέγα ϜιϜάχων.

136. νεῦμαι, ἐλεύσομαι. νέομαι pro νεύσομαι.—142. ἐς μακρὸν Ὄλυμπον. Vulcani officina nunc in Olympo: v. inf. 370.

148—238. Patrocli corpore Trojani tantum non potiti Achillis vociferatione absterrentur. Et primo quidem 148—164. fuga Achivorum, tum pugna super Patrocli corpore narratur. Est hæc pars carminis in pulcherrimis. Finiendæ hujus diei pugnæ modus erat inveniendus. Reducendus erat in medium Achilles; nec hoc fieri debuit nisi illustri aliquo et insigni orsu. Ecce solo conspectu et clamore fugat Trojanos. Verum ex epica nostri poetæ ratione circumspiciendum erat numinis ministerium, quo res perpetraretur: nulla opportunior opera fuit, quam Junonis.—151. οὐδέ κε. Res non perficitur nisi inf. 166.—158. ἀλκὶ πεποιθὼς *robur exerendo*, ut jam aliquoties monitum.—161. Confer Γ. 23. sq.

μάχης. 136. Ἠῶθεν.] Ἕωθεν, ὄρθρου, πρὸ τοῦ τὸν ἥλιον ἀνατεῖλαι. 156. Ὁμόκλα.] Ἠπείλει. παρεκελεύετο. 158. Ἀπεστυφέλιξαν.] Ἀπεκίνησαν, διέσεισαν. 161. Ἀπὸ σώματος.] Ἀπό τινος ζώου. νεκροῦ γάρ φασι μὴ ἅπτεσθαι λέ-

ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι·
ὣς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ,
Ἕκτορα Πριαμίδην, ἀπὸ νεκροῦ δειδίξασθαι.
καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος,
εἰ μὴ Πηλείωνι ποδήνεμος ὠκέα Ἶρις
ἄγγελος ἦλθε θέουσ᾽ ἀπ᾽ Ὀλύμπου, θωρήσσεσθαι,
κρύβδα Διὸς, ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη·
ἀγχοῦ δ᾽ ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Ὄρσεο, Πηλείδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν·
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
ἕστηκε πρὸ νεῶν· οἱ δ᾽ ἀλλήλους ὀλέκουσιν,
οἱ μὲν, ἀμυνόμενοι νέκυος πέρι τεθνειῶτος,
οἱ δὲ, ἐρύσσασθαι προτὶ Ἴλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ,
ἑλκέμεναι μέμονε· κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει
πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ᾽ ἁπαλῆς ἀπὸ δειρῆς.
ἀλλ᾽ ἄνα, μηδ᾽ ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω,
Πάτροκλον Τρῳῇσι κυσὶ μέλπηθρα γενέσθαι·
σοὶ λώβη, αἴ κέν τι νέκυς ᾐσχυμένος ἔλθῃ.
Τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἶρι θεὰ, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;
Τὸν δ᾽ αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
οὐδ᾽ οἶδε Κρονίδης ὑψίζυγος, οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.

165. *καί νύ κε Ϝείρυσε* aut ut nos scribimus *Ϝείρυσσεν.* 166. *ὠκέα Ϝῖρις.* 169. *Ϝέπεα.* 174. *οἱ δὲ, Ϝερύσσασθαι προτὶ Ϝίλιον.* 176. *δέ Ϝε.* 182. *Ϝῖρι.* 183. *προσέϜειπε—ὠκέα Ϝῖρις.* 185. *οὐ Ϝοῖδε.*

165—180. Iris ad Achillem missa, ut amici corpus servet, hortatur.—167. *ἄγγελος ἦλθε θωρήσσεσθαι,* pro *ἤγγελλε θωρήσσεσθαι,* ut se accingeret ad prodeundum. magis definite mox 197. sq.—175. *ἐπιθύουσι. ἐφορμῶσι* ut sæpe *ἰθύειν* v. c. modo P. 661. de leone. Mutata autem structura, cum deberet sequi *ἐπιθύοντες.*—176. dicere Iris putanda est quæ ipsa suspicata est fore.—178. *σέβας, αἰδὼς, εἰσικέσθω θυμόν σου.* pudori tibi duc, ideoque *prohibe,* ne Patrocli corpus projiciatur, et a canibus distrahatur. *ἔλθῃ* pro *ᾖ.*

οντα. Αἴθωνα.] Διάπυρον, *θερμόν.* 162. Δίεσθαι.] Διῶξαι. 168. Κρύβδα.] Λαθραίως. 170. Ὄρσεο.] Διεγείρου. 174. Ἐρύσασθαι.] Ἑλκύσαι. 175. Ἐπιθύουσιν.] Ἐπ᾽ εὐθείας ὁρμῶσι. 177. Πῆξαι ἀνὰ σκολόπεσσι.] Ἀνασκολοπίσαι. 178. Ἄνα.] Ἀνάστηθι. Μηδ᾽ ἔτι κεῖσο.] Μὴ δὲ ἀργὸς διατέλει. Σέβας.] Αἰδοῦς καὶ σεβασμοῦ ἄξιον. 180. Λώβη.] Αἰσχύνη. Ἠισχυμένος.] Καθυβρισμένος. 184. Κυδρή.] Ἔνδοξος, σεμνή. 191. Ἡφαίστοιο πάρα.] Πα-

Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι.
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
ἄλλου δ' οὔ τευ οἶδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅγ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος.
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅ τοι κλυτὰ τεύχε' ἔχονται·
ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν, Τρώεσσι φάνηθι,
αἴ κέ σ' ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' Ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις·
αὐτὰρ Ἀχιλλεὺς ὦρτο Διῒ φίλος· ἀμφὶ δ' Ἀθήνη
ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσσανόεσσαν·
ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων

190. ὀφθαλμοῖσι Fίδωμαι. 192. Fοῖδα. vulg. οὔ θην οἶδα. 194. ἀλλὰ καὶ αὐτὸς Fέλπομ', ἐνί. 196. προσέFειπε—ὠκέα Fῖρις. 197. Fίδμεν. 202. Fειποῦσ'—ὠκέα Fῖρις. 205. δέ Fοι.

187—201. Achilli regerenti, nulla sibi arma esse ad exeundum in pugnam, Iris suggerit consilium adspectu et vociferatione deterrendi Trojanos; quod Achilles exsequitur 221.—191. *στεῦτο γὰρ*, pollicita est, cum asseveratione. v. B. 597.—192. Ergo solus Ajax pari statura et corporis habitu erat, ut ejus armis pro suis uti potuisset Achilles.—193. *Αἴαντος σάκος* pro *τεύχεα*.—198. *αὔτως quo habitu es*; nullis armis sumtis.—*αἴ κε ut*.—201. *ὀλίγη δέ τ' ἀνάπνευσις (ἀπὸ) πολέμοιο. τῆς μάχης (εἴη ἄν, γένηται ἄν.)* Iidem versus qui Λ. 799, 800. ubi vide.

203. Locus, quod jam vs. 148. monui, ut in carminis argumento eminentior; spectat enim res nunc ad exitum: ita ornatissimus de Achille in pugnam prodeunte, et magno ingenio dignus. Qui, natura ipsa sic ferente, Trojanos invadere debuit terror ex adspectu hominis irati, terribilis ardentibus oculis, tum ex clamore ac minis: eximie augetur phantasmatibus epicis: ægide, qua terrent dii, instruit Achillem Minerva; nube cingit caput; intermicante flamma tanquam e nube fulmine. Iram, et ex ea ductum terrorem, jam declaratum sic vidimus in Apolline Α. 47. sq. Simili modo O. 307. exercitum Trojanum præcedebat Apollo *εἱμένος ὤμοιϊν νεφέλην. ἔχε δ' αἰγίδα θοῦριν, δεινὴν*, a Vulcano fabrefactam Jovi *εἰς φόβον ἀνδρῶν*.—204. *αἰγίδα* de clipeo, ut omnino in Homero, accipere præstat, v. B. 448. et E. 738. nunc et fimbriato, ut tanto magis perstringerentur oculi fulgore ærearum laminarum.—205, 6. *νέφος*

ρὰ Ἡφαίστοιο. καὶ ἔστιν ὁ τρόπος ἀναστροφή. 192. Ἄλλου δ' οὔ θην οἶδα τεῦ ἂν κλυτὰ τεύχεα δύω.] Ἄλλου οὐδενὸς οἶδα ἁρμόζουσάν μοι πανοπλίαν. διατί δέ φησι, τὴν Πατρόκλου πανοπλίαν οὐκ ἀναλαμβάνει ὁ Ἀχιλλεὺς, ἐπειδὴ καὶ Πατρόκλῳ τὰ αὐτοῦ ἥρμοσε; καί φασί τινες ὅτι καταγέλαστον ἦν ταπεινὸν φανῆναι τοῖς τεθαῤῥηκόσιν. οἱ δὲ ὅτι τοῦ Πατρόκλου Αὐτομέδων εἶχεν, ἵνα διαπαντὸς Ἀχιλλέως ἡνίοχος νομίζηται. 198. Αὔτως.] Οὕτως ὡς ἔχεις. 205.

χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται
τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφὶ μάχονται,
οἵτε πανημέριοι στυγερῷ κρίνωνται Ἄρηϊ
ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
γίγνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν Ἄρεως ἀλκτῆρες ἵκωνται·
ὡς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε.
στῆ δ', ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος· οὐδ' ἐς Ἀχαιοὺς
μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰς ἤϋσ'· ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ

207. ἐκ Ϝάστεος. 209. vulg. κρίνονται. 210. Ϝάστεος.
212. περικτιόνεσσι Ϝιδέσθαι. 219. ὅτε ϜίϜαχε.

χρύσεον, quod esse solet, quoties nubes caliginosa radiis solis fulgidis in ora extrema est circumdata, emicantibus subinde ex media nube fulguribus, cum quibus crebros truculentorum oculorum motus, capite verso, comparari puta. Verbo est flammeus obtutus hominis irati.—206. ἐκ δ' αὐτοῦ scil. τοῦ νέφους dea δαῖε φλόγα fecit emicare, emisit flammam: ut E. 5. Minerva Diomedi: δαῖε οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ, ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον—τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων. ibi galea et clipeus ex ære fulgenti locum phantasmati dabat; nunc numen deæ, sua vi, per ægidem et nubem.

207—214. Comparantur fulgura e nube Achillis caput involvente cum flamma, noctu visa, urbis obsessæ, pro signo edita, ut auxilium submittatur a sociis et amicis. Insula memoratur, ut sunt in mari Ægæo vicinæ sibi et propinquæ Cyclades et Sporades. Junctura autem loci hæc est: ὡς δὲ—ἅμα ἠελίῳ καταδύντι πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι etc. ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε.—209. οἵ τε πανημέριοι debent intelligi oppidani, qui interdiu pugnant de muris, ἄστεος ἐκ σφετέρου. κρίνωνται Ἄρηϊ jam B. 385.—211. πυρσοί τε φλεγέθουσιν, ardent ignes incensi, h. e. oppidani incendunt ignes ex alto. ἐπήτριμοι, ἐφεξῆς, deinceps plures.—213. Ἄρεως ἀλκτῆρες, h. l. βοηθοὶ, qui hostem obsidentem propulsant, cogunt obsidionem solvere. Ἄρης pro bello, pugna, ergo et obsidio.—215. στῆ, ἰὼν ἐπὶ τάφρον ἀπὸ τείχεος. de vallo degressus ad fossam, stetit; στῆ ἰὼν sæpe sic junctum. ut Δ. 496. Z. 375.

219—231. Narratio de effectu conspectus Achillis, et vociferationis auditæ mirifice instructa est comparatione eaque ornatissima.—219. ὡς δ' ὅτ' ἀριζήλη φωνὴ scil. γίνεται, exoritur *sonus* tubæ, late auditur *clangor.* ὅτε σάλπιγξ ἴαχεν ὑπὸ δηΐων pro ὅτε ἐσαλπίζετο ὑπὸ τῶν δηΐων, cum ab hostibus signum tuba datur; tum ὑπὸ δηΐων πε-

Ἀμφὶ δέ οἱ κεφαλὴν νέφος ἔστεφε.] Τὴν κεφαλὴν αὐτοῦ νέφει ἐκάλυπτεν. 207. Ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος.] Ἔθος τοῖς ἀρχαίοις, τοὺς πολεμουμένους τῇ μὲν ἡμέρᾳ καπνὸν ἀπὸ τῶν τειχῶν διεγείρειν, τῇ δὲ νυκτὶ φλόγα, τὴν ἀπὸ τῶν περιοίκων βοήθειαν καὶ συμμαχίαν ἐπικαλουμένοις. οὐδέπω γὰρ ἦν εὑρεθεῖσα σάλπιγξ. 211. Ἐπήτριμοι.] Ἐπάλληλοι. πυκνοί. 212. Περικτιόνεσσι.] Τοῖς περιοίκοις. 213. Ἄρεος ἀλκτῆρες.] Ἀποτρεπτικοὶ τοῦ πολέμου. 214. Σέλας.] Λαμπρότης. 216. Ὠπίζετο.] Ἐπεστρέφετο. φροντίδα ἐποιεῖτο. 219. Ἀριζήλη.] Μεγάλως ἔκδηλος. Ὡς δ' ὅτ' ἀριζήλη φωνὴ, ὅτε τ' ἴαχε σάλπιγξ.] Ἀπὸ τῶν ἰδίων χρόνων ὁ Ποιητὴς ὠνόμασε τὴν σάλπιγγα, ἐπεὶ οὐδέπω εὕρητο

ἄστυ περιπλομένων δηΐων ὑπὸ θυμοραϊστέων·
ὡς τότ' ἀριζήλη φωνὴ γένετ' Αἰακίδαο.
οἱ δ' ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο,
πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι
ἂψ ὄχεα τρόπεον· ὄσσοντο γὰρ ἄλγεα θυμῷ.
ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ
δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλείωνος
δαιόμενον· τὸ δὲ δαῖε θεὰ γλαυκῶπις Ἀθήνη.
τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς·
τρὶς δὲ κυκήθησαν Τρῶες κλειτοί τ' ἐπίκουροι.
ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι
ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν. αὐτὰρ Ἀχαιοὶ
ἀσπασίως Πάτροκλον ὑπ' ἐκ βελέων ἐρύσαντες,
κάτθεσαν ἐν λεχέεσσι. φίλοι δ' ἀμφέσταν ἑταῖροι
μυρόμενοι· μετὰ δέ σφι ποδώκης εἵπετ' Ἀχιλλεύς,
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον
κείμενον ἐν φέρτρῳ, δεδαϊγμένον ὀξέϊ χαλκῷ·
τόν ῥ' ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισι καὶ ὄχεσφιν
ἐς πόλεμον, οὐδ' αὖτις ἐδέξατο νοστήσαντα.
Ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι.
Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο.

220. Ϝάστυ. 225. Ϝίδον. 227. vulg. τὸ δ' ἔδαιε. 228. μέγα ϜίϜαχε. 229. vulg. τρὶς δ' ἐκυκήθησαν. 232. Ϝερύσαντες. 236. vulg. φερέτρῳ. 239. πότνια Ϝήρη. 240. ἀϜέκοντα. 242. forte ὁμοιϊόφι πτολέμοιο.

λομένων περὶ ἄστυ, κυκλούντων τὸ ἄστυ.—224. ὄσσοντο γὰρ ἄλγεα θυμῷ, κακὰ, præsentiebant cladem nunc futuram *equi*; nam opp. ἡνίοχοι.—225. potest jungi πῦρ, δεινὸν δαιόμενον, pro δεινῶς. τὸ δὲ δαῖεν Ἀθήνη, ex nube, ut vs. 206. vidimus; fecit ardere flammam, excitavit, dea.—228. ὑπὲρ τάφρου, adstans fossæ vocem emisit supra fossam versus Trojanos irruentes ad castra.—229. ἐκυκήθησαν, ἐταράχθησαν.—231. ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσι. pro ἐν, διὰ, suis curribus et hastis impediti et transfixi perierunt in turba tumultuantium.

231—238. Patroclum intra castra tandem receptum, feretro portant ad tentorium, comitante corpus Achille. Tum 239—242. nox pugnæ intervenit, et quidem solito

παρὰ τοῖς παλαιοῖς. κόχλῳ γὰρ θαλασσίῳ ἐσάλπιζον. 220. Περιπλομένων.] Περιερχομένων. Θυμοραϊστέων.] Τῆς ψυχῆς φθαρτικῶν. 222. Ἄϊον.] Ἤκουον. Ὄπα χάλκεον.] Στερεὰν φωνήν. 224. Ἂψ ὄχεα τρόπεον.] Εἰς τοὐπίσω περιέστρεφον τὰ ἅρματα. Ὄσσοντο.] Προεώρων. κατὰ διάνοιαν προέβλεπον. 225. Ἔκπληγεν.] Ἐξεπλάγησαν. 229. Ἐκυκήθησαν.] Ἐταράχθησαν. 231. Ἀμφὶ σφοῖς.] Περὶ τοῖς ἰδίοις. 234. Μυρόμενοι.] Ὀδυρόμενοι, κλαίοντες. 236. Φέρτρῳ.] Νεκροφόρῳ κλινιδίῳ. ἢ φορείῳ. 239. Ἀκάμαντα.] Μηδέποτε κοπιῶντα.

Τρῶες δ' αὖθ' ἑτέρωθεν, ἀπὸ κρατερῆς ὑσμίνης
χωρήσαντες, ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
ἐς δ' ἀγορὴν ἀγέροντο, πάρος δόρποιο μέδεσθαι·
ὀρθῶν δ' ἑσταότων ἀγορὴ γένετ', οὐδέ τις ἔτλη
ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
τοῖσι δὲ Πουλυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν
Πανθοΐδης· ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νυκτὶ γένοντο·
ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα·
ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
  Ἀμφὶ μάλα φράζεσθε, φίλοι. κέλομαι γὰρ ἔγωγε
ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν Ἠῶ δῖαν
ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεος εἰμέν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί.
χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν ἰαύων,
ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας·
νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει

253. μετέϝειπε. 255. ϝάστυ. 256. νηυσί ϝεκάς,
260. ϝελπόμενος—ἀμφιϝελίσσας. vulg. νῆάς γ'.

citius: quod epice tribuitur Junonis operæ: in Achivorum gratiam, ut se recrearent ex ærumnis diei.

243—283. Receptu e pugna facto Trojani novitate rei consternati statim in concionem conveniunt; Polydamas argumentis a possibili, a necessario, et ab utili petitis, prudenter suadet, ut se in urbem recipiant et, a muris propugnando, avertant Achillem, quem postridie in pugnam proditurum esse ominatur.

245. ἐς δ' ἀγορὴν ἀγέροντο, πρὶν—Concio e vestigio, statim post receptum in campum, habita, a confluentibus, nec convocata; tam cupidi erant audiendi, quid in re nova factu opus esset et quid esset consultum.—248. μάχης δ' ἐπέπαυτ' sermone antiquo, pro, ἐξεφάνη ὁ πρὶν πεπαυμένος, vel ὃς πρὶν ἐπέπαυτο.—249. Aliud Polydamantis prudens consilium vidimus jam M. 60. sq. ubi v. not. 250. ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω. esse ex antiquo sermone prudentiæ declarationem, vidimus jam ad A. 343—ἰῇ δ' ἐν νυκτὶ γένοντο alter ab Hecuba Priamo, Polydamas autem Panthoo a Pronome,

245. Ἐς δ' ἀγορὴν ἀγέροντο.] Εἰς τὴν ἐκκλησίαν συνηθροίζοντο. πρὸς τί φησιν ἐκκλησίαν ἀθροίζει; τινὲς μὲν οὖν τὸν Ποιητήν φασι μετάγειν τὴν μάχην εἰς λόγους ἀεὶ θηρώμενον τὸ ποικίλον. οἱ δὲ διὰ δέος τοὺς Τρῶας αὐτομάτους συνδραμεῖν καὶ ἀναγκασθῆναι δημηγορεῖν τοὺς ἡγεμόνας. Μέδεσθαι.] Ἐπιμελεῖσθαι.

250. Πρόσσω καὶ ὀπίσσω.] Εἰς τὸ παρῳχηκὸς καὶ τὸ μέλλον. 254. Ἀμφὶ μάλα φράζεσθε.] Ἐπιμελῶς βουλεύεσθε. 258. Ῥηΐτεροι.] Εὐκολώτεροι ἐν τῷ πολέμῳ. εὐκαταγώνιστοι. Πολεμιζέμεν.] Ἀντὶ τοῦ πολεμίζεσθαι, μάχεσθαι. Περίφρασις ὁ τρόπος. 259. Θοῇς ἐπὶ νηυσὶν ἰαύων.] Ἐπαυλιζόμενος ταῖς ναυσί.

μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται,
ἀλλὰ περὶ πτόλιός τε μαχήσεται, ἠδὲ γυναικῶν.
ἀλλ' ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι, ὧδε γὰρ ἔσται·
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
γνώσεται. ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν,
ὅς κε φύγῃ· πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο.
εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν, ἄστυ δὲ πύργοι,
ὑψηλαί τε πύλαι, σανίδες τ' ἐπὶ τῇς ἀραρυῖαι
μακραὶ, ἐΰξεστοι, ἐζευγμέναι εἰρύσσονται.

266. προτὶ Ϝάστυ. 270. ἀφίξεται Ϝίλιον. v. Obss.
273. Ϝεπέεσσι. 274. ἕξομεν Ϝάστυ. v. Obss.

Clytii filia: Schol. br. ad M. 231.—254. ἀμφιφράζεσθε· περισκέψασθε τῇ διανοίᾳ.—264. μένος Ἄρηος δατέονται. primo μένος Ἄρηος est pro Ἄρης, et hic pro πόλεμος, μάχη. δατεῖσθαι μάχην, partiri pugnam, quatenus duo vel plures invicem et mutuo ictus et vulnera sibi inferunt, dum manus conserunt. Convenit ipsum δαΐζειν et κρίνειν. ἐν μέσῳ seu πεδίῳ, seu ἐν μεταιχμίῳ, intervallo inter utramque aciem, quo πρόμαχοι procurrunt; hoc præfero.—265. περὶ πτόλιος ἠδὲ γυναικῶν, (mox vs. 279. περὶ τείχεος) pugnant alias obsessi, nunc qui obsident, ut urbe et mulieribus potiantur: nisi versus ad amplificandam sententiam a rhapsodo interjectus est.—266. ὧδε γὰρ ἔσται pro ἔστω. ut solent futura pro imperativo adhiberi. sic faciendum, factu opus est.—272. αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο. ἀπεῖναι, μακρὰν, ἀπὸ τῆς ἀκοῆς εἴη, ὧδε ταῦτα γεγονέναι. ne unquam hoc auditum ad aures meas accidat. Iterum X. 454.—274. Polydamas suadet copias intra muros sub armis pernoctare, et altero die per muros distribui, et ex iis Achivorum adorientium impetum sustinere. At in verbis hæremus εἰν ἀγορῇ σθένος ἕξομεν. Ordienda est interpretatio ab altero, quippe quod per se perspicuum est: ἄστυ πύργοι εἰρύσονται, *urbem tuebuntur muri, nos autem* σθένος ἕξομεν ἐν ἀγορῇ. σθένος ἔχειν proprio usu est σθένειν. σθεναρὸν εἶναι, *validi erimus* scil. ad urbem tuendam, ἐν ἀγορῇ ὄντες, μένοντες. pernoctantes in loco publico. Contra, quam Hector statuebat, qui extra urbem sub dio copias volebat habere. Non satis placent hæc: nullus tamen alius sensus grammatice elicitur. Sin autem velis sensum ex rebus narratis constituere, varia licet comminisci, nihil probatum dare. Si σθένος, ut Lat. *robur*, pro copiis dictum esse dixeris, usus ille vocis est seriorum. vires reficere, colligere, vix efficias ex voc. ἔχειν σθένος.—275. πύλαι σανίδες τε. ut semper apud Homerum, πύλαι est apertura, σανίδες ipsæ fores, ἐζευγμέναι, fores junctæ, valvis obice seu pessulo obductis h. e. trabe seu una seu duabus invicem e pariete immissis.—

καθεύδων. 264. Μένος Ἄρηος.] Τὸν πόλεμον, καθ' ὅσον ὅτὲ μὲν ἔφευγον, ὅτὲ δὲ ἐδίωκον. Μένος Ἄρηος δατέονται.] Μερίζονται τὸν τοῦ πολέμου κίνδυνον. 272. Αἲ γὰρ δή μοι ἀπ' οὔατος.] Ὤφελεν γὰρ ἀπὸ τῆς ἐμῆς ἀκοῆς γενέσθαι. τοῦτ' ἔστιν· εἴθε γὰρ μὴ ἀκούσαιμι. τινὲς δὲ ἀποίατον, τὸν κακόν. ἵν' ᾖ τὸν Ἀχιλλέα. ἀντὶ τοῦ, εἴθε γὰρ κακὸς ἐγένετο, τοῦτ' ἔστι δειλός. 274. Νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν.] Τῆς βουλῆς ἐπικρατήσωμεν καὶ κατισχύσωμεν. ὅ ἐστι βουλευσώμεθα, τοῦτ' ἔστι συναθροισθῶμεν. 276. Ἐζευγμέναι.] Ἡρμοσ-

πρῶϊ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
στησόμεθ' ἂν πύργους. τῷ δ' ἄλγιον, αἴ κ' ἐθέλῃσιν,
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων.
εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαιόλος Ἕκτωρ·
Πουλυδάμα, σὺ μὲν οὐκ ἔτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις,
ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
ἦ οὔπω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
πάντες μυθέσκοντο πολύχρυσον, πολύχαλκον·
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά·
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς·

278. vulg. ἀμπύργους. 284. ὑπόδρα Fιδών.
286. κατὰ Fάστυ Fαλήμεναι. 287. κεκόρησθε FεFελμένοι.

278. *τῷ δ' ἄλγιον* scil. *ἔσται*, ut vs. 306.—280. *ἂψ πάλιν εἶσι* pro *εἴσεται*. *ἵππους παντοίου δρόμου ἄσῃ.* ubi discursu vario ac multiplici circa muros incassum equos defatigaverit. *ἄδειν. κορέειν* satiare etiam de tædio ex labore, fatigare: ut Λ. 87, 88.—282. *θυμὸς οὐκ ἐάσει.* *non audebit, non satis animi habebit:* Solent enim nomina in communi sermone interdum sic adhiberi: *non admittet facere hoc animus.*

284—309. Polydamantem graviter objurgat Hector, quod iterum includi vult Trojanos muris, quo bellum protrahatur; esse potius hic, ubi excubant, nocte exacta, crastino die pugnandum; nec se detrectare congressum cum Achille.—286. *κατὰ ἄστυ ἀλήμεναι, ἀλῆναι, ἀλίζεσθαι,* includi intra muros. v. ad Π. 714. Omni autem superiore tempore intra urbem se continuerant Trojani, usque ad Iliados initium. cf. Ε. 788. sq. Ι. 352. sq.—287. *ἦ οὔτω κεκόρησθε.* annon consilii hujus noxam malo vestro jam satis experti estis? omnibus enim opibus et copiis ea res vos exhausit. *κορεῖν* fere, ut modo *ἄδειν* vs. 281.—288. *πρὶν μὲν γάρ.* Ilium olim propter opulentiam inclutum fuisse, videramus Ι. 401. sq.—290. attriti erant Trojani belli necessitatibus et sociis alendis: sup. Ρ. 225. sq. cum interea ager in Achivorum potestate haberetur nec coli posset. Apparet autem ex his urbem obsessam non ita circumdatam fuisse ab hostibus, quo minus in urbem commeatus inferri posset: scilicet a parte orientali, per juga Idæ: quod docet locorum situs: cum Achivi tantum loca inde a mari occupassent. Ne rudiora quidem oppugnandarum urbium elementa adhuc tenebant Achivi.—291, 2. habemus hic exemplum commerciorum cum vicinis populis ad commeatum parandum permutatione *τῶν κειμηλίων. περνάω* et *πέρνημι* est proprie *τὸ περᾶν, ἐξάγεσθαι,* etsi per *πιπράσκεσθαι* redditur: quod tamen, de emtione dictum, ab illa ætate erat alienum.—*ἐπεὶ μέγας ὠδύσατο Ζεύς.* h. e. quando bellum nobis illatum est; ex nota vulgi opinione, inprimis priscorum hominum, mala belli repetendi a numinis

μέναι. 281. Ἄσῃ.] Πληρώσῃ, κορέσῃ. Ἠλασκάζων.] Πλανώμενος, περιερχόμενος, ἢ ἐκκλίνων, ἢ ἐλαύνων. 287. Κεκόρησθε.] Ἐκορέσθητε, ἐπληρώθητε. Ἐελμένοι.] Συγκεκλεισμένοι, συνηγμένοι. 289. Μυθέσκοντο.] Ἔλεγον. 291. Μῃονίην.] Λυδίαν. οὕτω γὰρ πρότερον ἐκαλεῖτο. 292. Περνάμεν'.] Πιπρασκόμε-

νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου πάϊς ἀγκυλομήτεω
κῦδος ἀρέσθ' ἐπὶ νηυσὶ, θαλάσσῃ τ' ἔλσαι Ἀχαιοὺς,
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ.
οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
νῦν μὲν δόρπον ἕλεσθε, κατὰ στρατὸν, ἐν τελέεσσι,
καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος·
Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
συλλέξας, λαοῖσι δότω καταδημοβορῆσαι,
τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν, ἤπερ Ἀχαιούς.
πρῶϊ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες,
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεὺς,
ἄλγιον, αἴ κ' ἐθέλῃσι, τῷ ἔσσεται· οὔ μιν ἔγωγε
φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην
στήσομαι, ἤ κε φέρῃσι μέγα κράτος, ἤ κε φεροίμην.
ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.
Ὣς Ἕκτωρ ἀγόρευ'· ἐπὶ δὲ Τρῶες κελάδησαν,

294. θαλάσσῃ τ' Fέλσαι. v. Obss. 297. ἐγὼ Fείπω.
299. ἐγρήγορθε Fέκαστος.

ira. cf. vs. 311.—294. θαλάσσῃ ἔλσαι cingere, includere: jam A. 409. ab ἔλω unde εἰλέω et εἰλέω. Inf. 445, 6. αὐτὰρ Ἀχαιοὺς Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον. eodem modo.—298. ἐν τελέεσσι, ἐν τάγμασι. in ordinibus stantes: uti jam vidimus idem hoc H. 880. Λ. 729.—300, 1, 2. Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει. videntur per sarcasmum dicta esse in Polydamantem ejusque consilium recipiendi se intra mœnia, quasi illud a cura tuendarum fortunarum profectum sit, ne in hostium potestatem eæ veniant: ὁ κτεάτεσσιν ἀνιάζων, ἀνιώμενος, ὑπὲρ κτεάτων, ne scilicet urbe capta in hostium manus veniant, et qui propterea a muris urbem tueri vult; si itaque aliquis hac sollicitudine tenetur, is præveniat hostem, distribuendo bona inter cives, ad inopiam eorum levandam. In sarcasmis non nimis subtiles esse solent homines in rerum et sententiarum comparatione.—304. νηυσὶν ἔπι, castra iterum aggredi vult Hector.—308. ἤ κε φέρῃσι μέγα κράτος ἤ κε φεροίμην. sive ille victoriam auferat, sive ego obtinuero. Jam N. 486. Possunt φέρειν et φέρεσθαι pro eodem haberi: potest quoque alterum discerni, *ferre sibi*.—309. ξυνὸς Ἐνυάλιος. κοινὸς Ἄρης. communis est belli fortuna; eaque etiam ei, qui ad occidendum alium egressus erat, cædem interdum parat.

310—313. Hectoris jussu sub dio pernoctant Trojani. Versamur iterum in re-

να. Ἥκει.] Ἀφικνεῖται, ἢ ἀπέρχεται. Ὠδύσατο.] Ἐχολώθη. ὠργίσθη. 295. Νοήματα.] Βουλεύματα. Φαῖνε.] Διαφανῆ ποίησον. 298. Ἐν τελέεσσιν.] Ἐν τοῖς τάγμασιν. 300. Τρώων δ' ὃς κτεάτεσσιν.] Καὶ τὰ ἑξῆς. Τῶν δὲ Τρώων ὅς τις ἂν ὑπερβαλλόντως ἀνιᾶται ἐπὶ τοῖς χρήμασι, ὡς μέλλων ἀπολλύειν αὐτὰ ὑπὸ τῶν πολεμίων. τοῦτο γὰρ ἐλλεῖπον προσυπακούεται, συναγαγὼν αὐτὰ, δότω τοῖς πολίταις. βέλτιον γάρ ἐστιν ὑπὸ τούτων αὐτὰ δαπανηθῆναι. 301. Καταδημοβορῆσαι.] Δότω αὐτὰ τῷ πλήθει καταναλῶσαι. 302. Ἐπαυρέμεν.] Ἀπόνασθαι, ἀπολαῦσαι. 309. Ξυνὸς ἐνυάλιος.] Κοινὴ ἡ τοῦ πολέμου τύχη. Καί τε κτανέοντα κατέκτα.] Ἐλπίζοντα ἀνελεῖν τὸν πλησίον, συμβαίνει πολλάκις

νήπιοι· ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη·
Ἕκτορι μὲν γὰρ ἐπῄνησαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ' ἄρ' οὔ τις, ὃς ἐσθλὴν φράζετο βουλήν.
δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοὶ
παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
τοῖσι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο,
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
πυκνὰ μάλα στενάχων· ὥς τε λῖς ἠϋγένειος,
ᾧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
ὕλης ἐκ πυκινῆς· ὁ δέ τ' ἄχνυται ὕστερος ἐλθών·
πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.
ὣς ὁ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
Ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν,
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
αὐτοῦ ἐνὶ Τροίῃ· ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα

324. ἅλιον Ϝέπος. 326. δέ Ϝοι. 327. Ϝίλιον. 330. vulg. οὐδέ με.

rum, et in carminis, cardine. Si in urbem se recipiebant Trojani, actum erat de tota Iliade.

314—355. Achillis lamenta de Patrocli morte, cum cura cadaveris.

314. Ἀχαιοὶ sunt h. l. Myrmidones, qui cum Achille erant.—316. ἁδινοῦ ἐξῆρχε γόοιο. exemplo suo præivit Achilles, luctumque et lamenta aliorum movit: ἁδινὸς lamenta continua designat, seu crebra: ut sup. 124.—317. χεῖρας ἀνδροφόνους suas, ἐπιθέμενος στήθεσσιν ἑταίρου, apprehendendo, nihil amplius.—318. ὥς τε λῖς ἠϋγένειος. Etiam h. l. λῖς est leæna: ut P. 133. nam ea ingemiscere fertur rugitu suo, cum ablatos sibi se absente animadvertit catulos.—321. πολλὰ δέ τ' ἄγκεα. multas convalles pererrat μετερευνῶν, ἴχνια ἀνδρὸς, venatoris.—324. ὢ πόποι ἦ ῥ' ἅλιον. Ad miserationem faciunt hæc, non ex poetæ, sed ex ipsius Achillis, ore, pronuntiata, memoratione eorum, quæ sperata aliter ciciderant: qui locus omnino ad miserationem est efficax, propter comparationem fortunæ et vicissitudinem. Menœtium Opunte oriundum vidimus jam, Λ. 764. sq. et videbimus disertius Ψ. 85. sq.—329. γαῖαν ἐρεύθειν

ὑπ' ἐκείνου ἀναιρεθῆναι. 316. Ἀδινοῦ.] Ὀξέος, οἰκτροῦ. 317. Χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου.] Ἀμφίβολον πότερον τὰς ἑαυτοῦ ἀνδροφόνους χεῖρας ὁ Ἀχιλλεὺς ἐπιθεὶς τῷ τοῦ ἑταίρου στήθει, ἢ τὰς τοῦ ἀνδροφόνου Πατρόκλου ἐπιθεὶς τῷ ἰδίῳ στήθει. βέλτιον δὲ τὸ πρότερον. 319. Σκύμνους.] Ὀξυτονουμένης μὲν τῆς πρώτης συλλαβῆς, τὸ τοῦ λέοντος ἔκγονον· βαρυνομένης δὲ, τὰ τῶν ἄλλων ζώων. Ἐλαφηβόλος.] Κυνηγός. 321. Ἄγκεα.] Τοὺς συνδένδρους τόπους τῶν ὀρῶν. 324. Ἔκβαλον.] Μάτην προηκάμην. 326. Ὀπόεντα.] Ὀποῦντα, πόλις τῆς Λοκρίδος. 329. Πέπρωται.] Εἵμαρται. Ἐρεῦσαι.] Ἐρυθρὰν

δεξεται ἐν μεγαροισι γερων ἱππηλατα Πηλευς,
οὐδε Θετις μητηρ, ἀλλ' αὐτου γαια καθεξει.
νυν δ' ἐπει οὐν, Πατροκλε, σευ ὑστερος εἰμ' ὑπο γαιαν,
οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλὴν μεγαθύμου σεῖο φονῆος·
δωδεκα δε προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαα τεκνα, σεθεν κταμένοιο χολωθεις.
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως·
ἀμφὶ δέ σε Τρωαὶ καὶ Δαρδανίδες βαθύκολποι
κλαύσονται, νυκτας τε καὶ ἠματα δακρυχεουσαι,
τας αὐτοὶ καμομεσθα βίηφι τε δουρι τε μακρῷ,
πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων.
Ὡς εἰπὼν, ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς,
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
Πατροκλον λουσειαν ἀπο βροτον αἱματοεντα.
οἱ δε λοετροχοον τριποδ' ἱστασαν ἐν πυρὶ κηλεῳ,
ἐν δ' ἀρ' ὑδωρ ἐχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλοντες·
γαστρην μὲν τριποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ.

343. Ϝειπών.

scil. αἵματι. φοινίξαι.—330. ἐπεὶ οὐδ' ἐμέ. v. nota ad P. 408.—333. σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν, εἴσομαι.—334. οὔ σε πρὶν κτεριῶ. exsequitur hæc inf. Ψ. 20. sq.—336. δώδεκα δὲ πρ. inferiarum loco: ab homine sævo, hoc cum respectu, ut vita Patrocli compensaretur duodecim aliorum vita. Immanitatem ipse poeta incusat Ψ. 175, 176.—337. σέθεν κταμένοιο χολωθείς. h. e. ad explendam iram et vindictam.—338. κείσεαι αὔτως. sic ut es.—339—342. Videmus hic et inf. Ω. 664. ritum barbarorum populorum ejulandi et lamentandi assidendo cadaveri per plures dies et noctes. Maxime cura ea erat mulierum, h. l. captivarum. Ita satis habebatur, lamenta fieri: quo sensu et affectu, non quærebatur. Mansit tamen mos etiam per vitæ cultoris tempora, ut Athenis, et Romæ per præficas.—341. τὰς αὐτοὶ καμόμεσθα, paravimus multis ærumnis toleratis. κάμνειν. καμέσθαι. σὺν καμάτῳ ἐργάζεσθαι, nunc κτᾶσθαι.—342. πέρθοντε πόλεις circumferendis armis per oppida opulenta Ilio vicina: I. 328, 329.

343. sq. Exponitur cura cadaveris abluendi et vestibus operiendi. Locus est ex iis, qui tantum in prisco poeta placere possunt, res tenues sigillatim et copiose enarrante: juvat audire vitæ priscæ simplicitatem narratam ab homine earum rerum teste.—347. ὑπ' αὐτοῦ δὲ ἔδαιον, pro hoc dicit, δαῖον ἑλόντες, εἷλον καὶ ἔδαιον, antiqua copia. ligna incenderunt.—348. γάστρην, τὸ κοῖλον, πῦρ ἄμφεπε. ut Π. 124. τὴν πρύμνην.

τῷ αἵματι ποιῆσαι. 334. Κτεριῶ.] Θάψω. 336. Ἀποδειροτομήσω.] Τοὺς τραχήλους ἀποτεμῶ. 341. Καμόμεσθα.] Μετὰ κακοπαθείας, καὶ πόνου ἐκτησάμεθα. 342. Πιείρας.] Πλουσίας, εὐδαίμονας. 344. Ἀμφὶ πυρὶ στῆσαι τρίποδα.] Ἐν τῷ πυρὶ θερμᾶναι τὸ ὕδωρ. 345. Βρότον.] Τὸν τῆς μάχης μολυσμόν. 346. Λοετροχόον.] Ἐξ οὗ τὰ λουτρὰ καὶ καθάρσια γίγνονται. 348. Γάστρην.] Χώρημα, τὸ πλάτος τοῦ λέβητος. Ἄμφεπε.] Περιέλαβε, περιεῖχεν.

αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
καὶ τότε δὴ λοῦσάν τε, καὶ ἤλειψαν λίπ' ἐλαίῳ·
ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·
ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν
ἐς πόδας ἐκ κεφαλῆς· καθύπερθε δὲ, φάρεϊ λευκῷ.
παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
Ζεὺς δ' Ἥρην προσέειπε κασιγνήτην, ἄλοχόν τε·
ἔπρηξας καὶ ἔπειτα, βοῶπις πότνια Ἥρη,
ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο
ἐξ αὐτῆς ἐγένοντο καρηκομόωντες Ἀχαιοί.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
καὶ μὲν δή που τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
ὅσπερ θνητός τ' ἐστὶ, καὶ οὐ τόσα μήδεα οἶδε·
πῶς δὴ ἔγωγ', ἣ φημὶ θεάων ἔμμεν' ἀρίστη,
ἀμφότερον, γενεῇ τε, καὶ οὕνεκα σὴ παράκοιτις
κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις,
οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;

349. ἐνὶ Ϝήνοπι. 357. πότνια Ϝήρη. 360. πότνια Ϝήρη.
361. ἔϜειπες. 363. μήδεα Ϝοῖδε. 366. ἀθανάτοισι Ϝανάσσεις.

—349. ἤνοπι χαλκῷ. jam Π. 408.—350. λίπι ἐλαίῳ v. ad K. 577.—351. vulnera repleverunt ἀλείφατος ἐννεώροιο. ἐννέα ἐτῶν. h. unguento, quod domo secum attulerant ante novem annos.—352. ἑανῷ λιτὶ tenui peplo linteo. v. ad Θ. 441.

356—368. Jupiter Junoni exprobrat tantum Achivorum studium, quo effectum sit ejus artibus, ut Achilles in pugnam redeat; sane hoc sarcastice; ipse enim hoc idem paraverat; excusat illa studium suum ira et ultione, qua Trojanos prosequitur, exemplo et more mortalium.—357. ἔπειτα καὶ (εἶτα) ἔπρηξας τὸ ἀναστῆσαι τὸν Ἀχιλλέα, ὥστε τὸν Ἀχιλλέα ἀναστῆναι. Ita tandem effecisti hoc, ut Achilles, missa pervicacia in absistendo ab armis, excitatus iterum ad res agendas se accingat.—358. ἦ ῥά νυ σεῖο ἐξ αὐτῆς ἐγένοντο. sarcastice. sane ex te ipsa geniti videntur esse Achivi; pro vulgari, diligere te necesse est Achivos tanquam liberos ex te prognatos.—362. τελέσσαι scilicet tale quid, ut ultionem in eos paret, quos odit.—363. οὐ τόσα μήδεα οἶδε scil. ut ego quæ dea sum.—364. Cur non ego, quæ primum locum inter deas teneo, debui mala machinari Trojanis mihi exosis? Inepta inde a vs. 356. interpolatio, ab aliquo rhapsodo, rhapsodias consuente, illata, qui ministerium deorum, Junonis maxime, supplere voluit.

351. Ἀλείφατος.] Ἀπὸ ἀλείμματος ἐλαίου. Ἐννεώροιο.] Ἐνναετοῦς. Ὧρος .ἀρ ὁ χρόνος. 352. Ἑανῷ.] Λεπτῷ πέπλῳ, παρὰ τὸ ἕννυσθαι. Λιτί.] Λιτῷ, καὶ ἀποικίλῳ τῷ ὑφάσματι. 353. Ἐς πόδας ἐκ κεφαλῆς.] Ἀντὶ τοῦ ἀπὸ κεφαλῆς ἕως ποδῶν. 357. Ἔπρηξας καὶ ἔπειτα.] Ἀντὶ τοῦ ἐξετέλεσας δὴ καὶ ἤνυσας ὃ ἠβουλήθης, ὦ Ἥρα, ἀναστήσασα τὸν Ἀχιλλέα. 362. Καὶ μὲν δή που τις μέλλει βροτὸς ἀνδρί.] Προσληπτέον τελέσαι, ἵν' ᾖ, καὶ μὴν ἄνθρωπος ἀνθρώπῳ κακὸν κατασκευάσει. 367. Ῥάψαι.] Μηχανήσασθαι, κατασκευάσαι.

Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἡφαίστου δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
ἄφθιτον, ἀστερόεντα, μεταπρεπέ' ἀθανάτοισι,
χάλκεον, ὅν ῥ' αὐτὸς ποιήσατο Κυλλοποδίων.
τὸν δ' εὗρ' ἱδρώοντα, ἑλισσόμενον περὶ φύσας,
σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν,
ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο·
χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν,
ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα,
ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι.
οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔπω
δαιδάλεα προσέκειτο, τά ῥ' ἤρτυε, κόπτε δὲ δεσμούς.

372. ἱδρώοντα, Ϝελισσόμενον. 373. ἐϜείκοσι. 375. κύκλα Ϝεκάστῳ.
376. ὄφρα Ϝοι. 377. θαῦμα Ϝιδέσθαι.

369—381. Thetis intrat domum Vulcani in Olympo: cf. sup. 142.

369. *δόμον ἄφθιτον.*—quem mox *χάλκεον* appellat; omnino de eo, quod solidum et durabile est: cf. ad Β. 46. Ξ. 238. Æris autem usus fuit in pavimento et pariete obducendo, et in foribus.—*ἀστερόεντα* fulgentem ut thoracem dixit Π. 134.—*μεταπρεπέα ἀθανάτοις. ἐκπρεπῆ ἐν ἀ.*—372. *ἑλισσόμενον περὶ φύσας* simpl. *versantem in opere fabrili:* ideoque circa folles: quos, cum ars rudis nondum meliora excogitasset, manu tractabat faber ad flammam accendendam; ut inf. 409. *ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι.* add. 412.—373. *ἐείκοσι πάντας pleno numero:* Ex vs. 374. *qui statui possent ad parietem,* apparet, vitam jam tum ita fuisse excultam, ut parietes atrii circumcirca essent tripodibus adstantibus ornati; erat autem tripodum usus pro basi, cui imponeretur modo tabula, ut pro mensa esset, modo pelvis, modo lebes, focus, craticula, patella et sic porro.—375. *ὑπέθηκε δέ σφιν* (pro *οἷς ὑπέθηκε*) *ἑκάστῳ, πυθμένι,* (*ἐν π.*) *κύκλα.* h. e. *τροχούς.*

375—377. Versum est in miraculum, quod loco moveri poterant tripodes rotis subditis; ut in mytho de Dædali signis *αὐτοκινήτοις.*—Tripodibus rotas *aureas* subjectas esse narrat; an etiam tripodes aurei fuerint, non addit; fit tamen probabile; etsi ærei sollenni usu erant tripodes.—Porro tripodibus *οὔατα* affixa sunt, h. e. ansæ, non ferruminatione, sed fibulis, uncis, aut clavis impactis: v. 379. Ansæ autem affixæ exterius in superiore ora, ut tolli possent et portari.—376, 7. *ὄφρα οἱ θεῶν δυσαίατ' ἀγῶνα,* ut consessum deorum ipsi sponte ingrederentur, *ἠδ' αὖτις πρὸς δῶμα νεοίατο.* Cogitandum est de specie et prospectu Olympi, qualis apud Homerum est. Præter magnum illud atrium Jovis, quod excipit deos seu consultantes seu epulantes, *δῶμα,* adjacent *οἶκοι, δόμοι, δώματα, μέγαρα,* diis singulis exstructa, ut h. l. *δόμος* Vulcani vs. 369. Cum tripodes redeant *πρὸς δῶμα* Vulcani, necesse est *θεῖον ἀγῶνα,* consessum deorum esse h. l. in magno illo atrio Jovis, quod Vulcanus operibus suis exornat; unde ea in domum Vulcani reportantur.—378. *οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔπω προσέκειτο.* nisi quod ansæ adjungendæ erant clavis, quos *δεσμοὺς,* appellat. *τόσσον—οὔατα δὲ,* h. e. (*ἐπὶ*) *τόσον,* (*ἐφ'*) *ὅσον τὰ οὔατα μὴ προσέκειτο,* hoc an-

371. Κυλλοποδίων.] Χωλός. 372. Ἑλισσόμενον.] Νῦν κακοπαθοῦντα, ἐνεργοῦντα. 373. Ἐείκοσι πάντας.] Περισσὸν τὸ πάντας. εἴκοσι δέ. 374. Ἐϋσταθέος.] Εὐποιήτου, ἑδραίου. 375. Χρύσεα δέ σφ' ὑπὸ κύκλα.] Ἑκάστῳ δὲ πυθμένι χρυσοῦς κύκλους ὑπέβαλλε. 376. Θεῖον δύσονται ἀγῶνα.] Εἰς τὰ τῶν θεῶν κατελεύσονται τεμένη καὶ ἀθροίσματα. 378. Τόσσον μὲν ἔχον τέλος.] Τὸ μὲν λοιπὸν παντελῶς ἔσχον. ὃ ἐστι τετελείωντο. 379. Ἤρτυε.] Κατεσκεύαζε. Κόπτε.] Κατεσκεύαζεν, ἐχάλκευε. Δεσμούς.] Ἥλους, καθ' ὃ

ὄφρ' ὅγε ταῦτα πονεῖτο ἰδυίῃσι πραπίδεσσι,
τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
τὴν δὲ ἴδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος
καλή, τὴν ὤπυιε περικλυτὸς Ἀμφιγυήεις,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τίπτε, Θέτις τανύπεπλος, ἱκάνεις ἡμέτερον δῶ,
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔτι θαμίζεις·
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.
Ὣς ἄρα φωνήσασα, πρόσω ἄγε δῖα θεάων·
τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου,
καλοῦ, δαιδαλέου, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦε·
κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην, εἶπέ τε μῦθον·
Ἥφαιστε, πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει.
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
Ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
ἥ μ' ἐσάωσ', ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα
μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλησε

380. πονεῖτο Ϝιδυίῃσι. vulg. ταῦτ' ἐπονεῖτο. 381. τόφρα Ϝοι. 382. τὴν δὲ Ϝίδε. 384. ἄρα Ϝοι φῦ χειρὶ, Ϝέπος. 385. vulg. Θέτι τανύπεπλε. 389. ἀργυροϜήλου. 390. vulg. ἦεν. 391. Ϝεῖπε. 396. vulg. ἐθέλεσκε.

tiquo more extulit per δὲ, οὔατα δ' οὔπω προσέκειτο.—382. τὴν δὲ ἴδε προμολοῦσα Charis, ex atrio domus prospiciens et procurrens venientem deam amanter excipit. Charis Vulcano nupta; ingenioso mytho. Quæ enim potest esse artis gratia, ut placeat, nisi venustas adsit! λιπαροκρήδεμνος, κρήδεμνον (v. ad Ξ. 184.) λιπαρὸν candentem capiti fasciam circumdatam habens.—387. ἵνα τοι παραθῶ ξείνια, epulas, quibus hospes excipitur, lotus antea et unctus.—389. ἐπὶ θρόνου ἀργυροήλου sellas putabis fuisse aureas, ut Ξ. 238, 9. argenteis clavis insignitas: miro ornatu! Pro dignitatis autem gradu altiores fuisse sellas, nota res est, unde scabella subjecta pedibus. cf. Ξ. 240.

391—467. Charis induxerat Thetidem intra domum seu atrium, cui vicina esse debet officina Vulcani, ita ut ab eo Charitis vox exaudiri posset; itaque ille respondet intra officinam opere adhuc occupatus. Est autem hic rerum narratarum ordo: Vulcanus evocatus a Charite, audito Thetidis nomine, beneficia ab ea accepta gratus memorat; tum vs. 410. adornat se, ut in conspectum deæ honeste ac decenter venire possit. Tum vs. 423. ex officina prodit, Thetidis postulata audit sibi ab ea exposita; ipse vs. 462. se paratum ad arma Achilli fabricanda ostendit, et ad opus faciendum protinus se accingit.

395. Ingeniose poeta mytho antiquo in rem suam utitur, quo permotus Vulcanus prona sit voluntate ad præclara illa et memorabilia Achillis arma fabricanda; non enim vulgaris illa operæ erant. Narrationem puta esse partem mythi antiquioris aliis carminibus disertius tum expositi. Discrepat illa ab altera A. 587. propius ac-

συμβάλλουσι καὶ συνδεσμοῦσι τὰ ὦτα τοῦ τρίποδος. 382. Προμολοῦσα.] Προελθοῦσα. Λιπαροκρήδεμνος.] Ἤτοι λαμπρὰ ἔχουσα περιβόλαια τῇ κεφαλῇ· ἐξ οὗ εὐσταλὴς καὶ κοσμία. ἢ λιπαρὰ ἀπὸ τοῦ ἐλαίου. 385. Τανύπεπλε.] Τεταμένον ἔχουσα τὸν πέπλον, κοσμία. 386. Οὔτι θαμίζεις.] Πυκνῶς οὐ παρεγένου. 390. Θρῆνυς.] Ὑποπόδιον. 392. Πρόμολε.] Πρόελθε. Ὧδε.] Οὕτως ὡς ἔχεις. 394. Δεινή.] Νῦν ἡ θαυμαστή.

κρύψαι χωλὸν ἐόντα· τότ' ἂν πάθον ἄλγεα θυμῷ,
εἰ μή μ' Εὐρυνόμη τε, Θέτις θ' ὑπεδέξατο κόλπῳ,
Εὐρυνόμη θυγάτηρ ἀψοῤῥόου Ὠκεανοῖο.
τῇσι πὰρ εἰνάετες χάλκευον δαίδαλα πολλὰ,
πόρπας τε, γναμπτάς θ' ἕλικας, κάλυκάς τε, καὶ ὅρμους,
ἐν σπῆϊ γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο
ἀφρῷ μορμύρων ῥέεν ἄσπετος· οὐδέ τις ἄλλος
ἤδεεν οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων,
ἀλλὰ Θέτις τε, καὶ Εὐρυνόμη ἴσαν, αἵ μ' ἐσάωσαν.
ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῷ με μάλα χρεὼ
πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.
ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλὰ,
ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλα τε πάντα.
Ἦ, καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη

404. Ϝήδεε. 405. vulg. ἔσαν. Ϝίσαν. 406. vulg ἥκει. 408. Ϝοι.

cedit locus Hymni in Apoll. 336. (Pyth. 138.)—397. τότ' ἂν πάθον, ex tam gravi lapsu fieri non potuisset, quin corpus sugillatum et male affectum haberet.—399. Ipse deus h. l. ἀψόῤῥοος appellatur, cum amnis sit epitheton; quæ ἀκυρολογία passim est notata; etiam ad Horatianum *Vulcanus ardens.*—400. Vulcanus statim puer fabrilia tractat et opera levioris artis perficit.—401. Occupatus tamen ille fuit in levioribus, procudendi fibulas, tum ἕλικας et κάλυκας, ornamenta inflexa, et fistulæ speciem habentia; res quæ in mundo muliebri habentur.—402. ἐν σπῆϊ γλαφυρῷ. In fundo maris puta esse specus, non aliter ac in littorum rupibus, quos Nereides et Oceanides inhabitant; de his ad opiniones populares figmentis poetarum v. ad Virgil. Ge. IV. Excurs. III. in uno ex his specubus latuit Vulcanus; Ad Oceanum autem recipere se et confugere solent dii, ab Olympo profugi et latebras quærentes; accedente, ut probabile fit, notione, quod ad extremam terræ et cæli oram Oceanus sedem habet, ut A. 422. Ξ. 301. vidimus. In Oceano clam educata fuerat Juno ipsa Ξ. 202. ubi monitum est de hac re, at Z. 135, 136. Bacchus ad Thetidem confugit. Fluxisse hinc videtur, quod in fabulis Italicis Saturnus in Hesperiam fugisse narratur. Specum in quo latet deus, *circumfluit Oceanus:* ergo h. l. Thetis, una Nereidum, et Eurynome, Oceanidum una, in Oceano sedes habent. At in Iliade Thetidis et patris Nerei regia erat in fundo ἁλὸς, θαλάσσης, tanquam parte maris Ægæi, ex adverso Trojæ: A. 357, 8. Σ. 36. 140. Tantopere variatur in mythis in hoc ipso carmine. Aut igitur statuendum est diversorum poetarum esse singula loca; aut mythorum aliquod contextum et σύστημα, disciplinamve aliquam nunquam fuisse, ideoque nos varia opinantes idoneo fundo destitui, et perperam pervicaciter de incertis digladiari.—407. ζωάγρια τίνειν, præmia. hoc est, gratiam pro vita servata referendam. ut ἀνδράγρια Ξ. 509.

410. πέλωρ αἴητον, portentum immane, h. e. deus portentosæ staturæ, ingenti cor-

399. Ἀψοῤῥόου.] Εἰς τοὐπίσω ῥέοντος, ὑποχωροῦντος, ἢ τοῦ ταχέως ῥέοντος καθ' ὃ πέριξ ἔχει τὴν γῆν. 400. Τῇσι πάρα.] Παρ' αἷς. ἀναστροφὴ ὁ τρόπος. 401. Πόρπας.] Αἷς αἱ χλανίδες καταβάλλονται, περόνας δηλαδή. Γναμπτὰς ἕλικας.] Ἐπικαμπεῖς. λέγει δὲ τὰ ψέλλια καλούμενα. Κάλυκας.] Σωληνίσκους. λέγει δὲ τὰς λεγομένας σύριγγας, αἳ περιλαμβάνουσι τοὺς πλοκάμους, ἢ εἰς ἃς κατακλείονται αἱ περόναι. Ὅρμους.] Περιτραχήλια. 403. Μορμύρων.] Φοβερῶς ζέων, καὶ οἱονεὶ ἀναζέων. 405. Ἔσαν.] Παρεγένοντο. 407. Ζωάγρια.] Τὰ τῆς ζωῆς χαριστήρια. 410. Ἀκμοθέτοιο.] Τόπῳ ᾧ ἁρμόζεται ὁ ἄκ-

χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρὸς, ὅπλα τε πάντα
λάρνακ' ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο·
σπόγγῳ δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ,
αὐχένα τε στιβαρὸν, καὶ στήθεα λαχνήεντα·
δῦ δὲ χιτῶν'· ἕλε δὲ σκῆπτρον παχύ· βῆ δὲ θύραζε
χωλεύων· ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι,
χρύσειαι, ζωῇσι νεήνισιν εἰοικυῖαι,
τῆς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσὶν, ἐν δὲ καὶ αὐδὴ,
καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν.
αἱ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὁ ἔῤῥων,
πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τίπτε, Θέτις τανύπεπλος, ἱκάνεις ἡμέτερον δῶ,

411. ῥώοντο Ϝαραιαί. 417. ῥώοντο Ϝάνακτι. 418. νεήνισι ϜειϜοικυῖαι.
420. ἄπο Ϝέργα Ϝίσασι. 421. ὕπαιθα Ϝάνακτος—ὁ Ϝέῤῥων.
423. ἔν τ' ἄρα Ϝοι φῦ χειρὶ, Ϝέπος. 424. vulg. Θέτι τανύπεπλε.

poris magnitudine: nec mirum, cum illud duro fabrili opere exercitum esset. voc. αἴητον antiquatum, notione incerta. Equidem sic colligebam: esse idem quod ἄατον, et Φ. 395. ἄητον.—411. ὑπὸ δὲ κνῆμαι crura ex claudicatione infirma (ἀραιαὶ jam E. 425.) movebant se gnaviter. ὑπεῤῥώοντο αἱ κνῆμαι, ὑπ' αὐτῷ.—417. ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι. ὑπεῤῥώοντο ὑπ' αὐτῷ, movebant se, incedebant, subeundo, sustentando ejus brachia et humeros. In his puellis poeta miraculum in prodigium auxit, cum essent eæ Vulcani arte factæ ex auro, tanquam moventes se et ad res agendas idoneæ. Ducta hæc esse ex antiquo loquendi et res notionesque de iis declarandi more, non dubito.—418—420. εἰοικυῖαι νεήνισι ζωῇσι, τῇς (αἷς) ἔνεστι νοῦς καὶ αὐδὴ, καὶ σθένος καὶ τὸ ἐργάζεσθαι ἔργα σοφά. ut sæpe legimus captivas et servas melioris conditionis, muliebria opera edoctas, haud dubie ipso habitu cultuque corporis conspicuas. θεῶν ἄπο ἔργα ἴσασιν, ex antiquo more, quem toties vidimus, omnem ingenii corporisque facultatem et præstantiam ad beneficium dei alicujus referendi; itaque et sagacitatem in texendo, acu pingendo, vestes parando, et sic porro. ἔργα absolute; alias, ἔργα γυναικῶν.—421. Illæ operam præstabant, *ministrabant*, subjiciendo se ei, brachiis suis eum sustentando. At ille ἔῤῥων, *incedens* simpliciter; sic et alibi. Od. Δ. 367. ἥ μ' οἴῳ ἔῤῥοντι συνήντετο.

424—461. Rogatu Vulcani, Thetis vs. 428. sq. ærumnas suas, tum 436. filii fata,

μων τῷ κορμῷ. Πέλωρ.] Μέγιστον. Αἴητον.] Μέγα. πέλωρ αἴητον, πέλωρ μέγιστον. αἴητον δὲ τὸ μέγα. ἢ πελώριος ὁ μετέωρος. ἀπὸ μεταφορᾶς δὲ τὸ αἴητον ἀπὸ τῶν ἀετῶν. κατὰ γὰρ τὴν πτῆσιν οἱ ἀετοὶ πολύ τι ἑαυτοὺς βαστάζουσι. κακῶς οὖν ὑφ' ἓν μέρος ἀναγνόντες πελωραίητον ἀποδιδοῦσι. τὸ μέγα, ἀπὸ τοῦ μεγέθους. 411. Ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.] Αἱ δὲ ἀσθενεῖς καὶ λεπταὶ αὐτοῦ κνῆμαι ὑπερεκινοῦντο μετὰ κακοπαθείας. 412. Ὅπλα.] Νῦν τὰ χαλκευτικὰ ἐργαλεῖα. 413. Λάρνακα.] Κιβωτόν. Τοῖς ἐπονεῖτο.] Οἷς εἰργάζετο, καὶ ἐνήργει. 415. Λαχνήεντα.] Τετριχωμένα. 416. Σκῆπτρον.] Τὴν βακτηρίαν. 417. Ὑπὸ δ' ἀμφίπολοι ῥώοντο.] Συνεξώρμων δὲ αὐτῷ. 418. Νεήνισι.] Νεανίαις. 420. Ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασι.] Παρὰ δὲ τῶν θεῶν τὰ ἔργα εἰσὶ δεδιδαγμένα. 421. Ὕπαιθα.] Εἰς τοὔμπροσθεν. Ἐποίπνυον.] Ἐνήργουν. Ἔῤῥων.] Κυρίως μὲν μετὰ κακοπαθείας καὶ φθορᾶς παραγενόμενος, νῦν

αἰδοίη τε, φίλη τε; πάρος γε μὲν οὔτι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Θέτις καταδακρυχέουσα·
Ἥφαιστ᾽, ἦ ἄρα δή τις, ὅσαι θεαὶ εἰσ᾽ ἐν Ὀλύμπῳ,
τοσσάδ᾽ ἐνὶ φρεσὶν ᾗσιν ἀνέσχετο κήδεα λυγρά,
ὅσσ᾽ ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε᾽ ἔδωκεν;
ἐκ μέν μ᾽ ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν,
πολλὰ μάλ᾽ οὐκ ἐθέλουσα. ὁ μὲν δὴ γήραϊ λυγρῷ
κεῖται ἐνὶ μεγάροις ἀρημένος. ἄλλα δέ μοι νῦν.
υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε, τραφέμεν τε,
ἔξοχον ἡρώων, ὁ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ, θρέψασα, φυτὸν ὣς γουνῷ ἀλωῆς,
νηυσὶν ἔπι προέηκα κορωνίσιν Ἴλιον εἴσω,
Τρωσὶ μαχησόμενον· τὸν δ᾽ οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος Ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων.

430. φρεσὶ Fῇσι. 437. ἔρνεϊ Fῖσος. 438. Bentl. φυτὸν Fώς.
439. κορωνίσι Fίλιον. vulg. νηυσὶν ἐπιπροέηκα. 441. Fοίκαδε.
443. τί Fοι. 444. ἄρα Fοι.

enarrat, satis copiose, ut Vulcanum rerum, quæ extra officinam gererentur, valde ignarum esse, illa credidisse videri debeat, tandem 457. sua postulata exponit, ut Vulcanus nova ei arma paret.

426, 427. Lecti jam Ξ. 195, 6.—432. ἀνδρὶ δάμασσεν, pro elocavit, in conjugium dedit. Quod hic Jovi tribuitur, inf. Ω. 60. Junonis opera factum est.—434. οὐκ ἐθέλουσα μάλα πολλά, πολύ, *plurimum renuens:* unde subnatæ fabulæ de Thetide in varias se mutante formas, ne Peleus ea potiri posset; jam in Pindaro Nem. IV. 101. sq.—ὁ μὲν δὴ γήραϊ λυγρῷ κεῖται ἀρημένος. et ἀρήμενος sane non tum, cum Thetis ei nuberet; sed, quod dea, quæ non senescebat, dolet, esse putes quod maritus consenuit. ἀρημένος, βεβλαμμένος, confectus senio. Od. Σ. 53. ἄνδρα γέροντα, δύῃ ἀρημένον. vox antiquata.—435. ἄλλα δέ μοι νῦν refer ad vs. 431. ἄλγεα δῶκε.—437—443. jam lecti sup. 56—62.

444—456. Habes brevem repetitionem totius argumenti Iliadis ad hunc usque diem; inprimis si adjeceris alteram narrationem Achillis ad Thetidem matrem Il. A. 366. sq. Potest de loco in utramque partem disputari, antiquitatemne redoleat an

δὲ μόλις, διὰ τὴν χωλότητα. 430. Ἀνέσχετο.] Ὑπέμεινεν, ἀνεδέξατο. 435. Ἀρημένος.] Παρειμένος, βεβλαμμένος. Ἄλλα δέ μοι νῦν.] Ἀπὸ κοινοῦ προσληπτέον τὸ ἔδωκε κακά. 438. Γουνῷ ἀλωῆς.] Τῷ γονίμῳ τόπῳ τῆς γῆς. 444. Ἔξελον.] Ἐξαίρετον ἔδωκαν.

ἥτοι ὁ τῆς ἀχέων, φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
εἴων ἐξιέναι· τὸν δὲ λίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠναίνετο λοιγὸν ἀμῦναι·
αὐτὰρ ὁ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσε,
πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσε.
πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων,
πολλὰ κακὰ ῥέξαντα, Μενοιτίου ἄλκιμον υἱὸν,
ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
υἱ' ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν,
καὶ καλὰς κνημῖδας, ἐπισφυρίοις ἀραρυίας,
καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος,
Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.
Τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
αἲ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι·
ὥς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται.
Ὣς εἰπὼν, τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύσας·
τὰς δ' ἐς πῦρ ἔτρεψε, κέλευσέ τε ἐργάζεσθαι·

447. ἐϜείλεον. 450. vulg. ἠνήνατο. 451. τὰ Ϝὰ τεύχεα Ϝέσσε. 460. Ϝοι. 466. Ϝοι. 467. κε Ϝίδηται. 468. Ϝειπών. 469. κέλευσέ τε Ϝεργάζεσθαι.

rhapsodi loquacitatem.—446. ὁ τῆς (ἕνεκα) ἀχέων, φρένας ἔφθιεν *de mœrore*, quo conficimur, contabescimus. quod alibi φθινύθειν, φθινυθέσκειν, ut A. 494. ubi Achilles φθινύθεσκε φίλον κῆρ.—αὐτὰρ Ἀχαιοὶ *intra vallum compulsi* a Trojanis, qui noctu ante castra excubabant: Θ. 343, 5. sq. θύραζε ἐξιέναι non *navibus*, sed *vallo*.—448. τὸν δὲ λίσσοντο γέροντες. legati, Ulysses, Phœnix cum Ajace Il. I.—453. περὶ Σκαιῇσι πύλῃσι Π. 653. 712.—454. καί νύ κεν Π. 698. sq.—456. Ἀπόλλων—ἔκτανε Patroclum; scilicet vertigine ei injecta, ut vidimus Π. 788. sq.—464. θανάτοιο—ἀποκρύψαι. novo more, occulere aliquem, ne Mors et Fatum eo potiri possint pro vulgari, *a morte liberare, mortem avertere.*—466. τὶς ἀνθρώπων πολέων iterum quod vulgo ἕκαστός τις.

468—477. Orditur Vulcanus opus fabrile; tum arma fabricatur.

469—473. Majora solito omnia tribui dei arti, consentaneum est, nec postulatur, ut doceat poeta, quomodo ille solus XX. folles inflaverit. Artis tamen rationem

446. Ἀχέων.] Λυπούμενος. Ἔφθιεν.] Ἀντὶ τοῦ, τέτηκεν. 447. Ἐείλεον.] Συνείλουν, συνέκλειον. 460. Ὁ γὰρ ἦν οἱ.] Οὕτως γὰρ ἦν αὐτῷ. 461. Τρωσὶ δαμείς.] Ἀντὶ τοῦ ὑπὸ τῶν Τρώων ἀναιρεθείς.

φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων,
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
καὶ χρυσὸν τιμῆντα, καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα· γέντο δὲ χειρὶ
ῥαιστῆρα κρατερὴν, ἑτέρηφι δὲ γέντο πυράγρην.
Ποίει δὲ πρώτιστα σάκος μέγα τε, στιβαρόν τε,
πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινὴν,
τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.
πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες. αὐτὰρ ἐν αὐτῷ
ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.

470. ἐϝείκοσι. 473. ϝέργον. 477. vulg. κρατερόν. 482. πολλὰ ϝιδυίῃσι.

aliquam in follibus parandis et adhibendis jam tum notam fuisse apparet; etsi diserte eam exponere nequeo. Machina admota, non solis manibus, folles inflatos collecto vento fuisse probabile fit: quandoquidem viginti simul inflari poterant. Fuisse folles mobiles, supra 412. vidimus φύσας μέν ῥ' ἀπάνευθε τίθει. Poterant adeo apponi et amoveri, et quidem plures paucioresve numero, et majore minoreve impetu ac vi, si opus posceret. ἐνεφύσων χοάνοισι, *vasis* seu ollis metallo coquendo paratis *ventum admovebant, immittebant, folles*,—εὔπρηστον ἀϋτμὴν, *ventum bene efflatum*, quatenus ejus vis temperatur 472, 3. vel afflantem, spirantem, εὖ πρήθουσαν.—472. ἄλλοτε δ' αὖτε scil. παρέμμεναι, præsto esse, μὴ σπεύδοντι vicissim.—474. χαλκὸν ἐνέβαλλε πυρὶ, proprie ollis, χοάνοις, igni admotis, et quidem, quod res postulabat, pluribus ollis ex ordine positis, etiam pro metallorum diversitate.—475. incus erat mobilis, ut nunc imponenda esset caudici seu fulcro, basi.—476, 7. εἵλετο, prehendit malleum cum forcipe. γέντο jam Θ. 43.

478. Sequitur locus nobilissimus de Clipeo Achillis, de cujus invento, arte, antiquitate, probabilitate, disputare notarum angustia vetat.

478—482. Clipeus erat materiis, figuris et coloribus variegatus.—Fecit autem Vulcanus primo loco *clipeum*, h. e. cratem, e quinque seu laminis seu coriis constantem, quæ πτύχες sunt, πλάκες, e diversis metallis: quod docet locus alter inf. Υ. 270. sqq. πάντοσε δαιδάλλων, affabre fabricando. itaque etiam oram triplici lamina circumduxit ἄντυγα τρίπλακα, τρισὶ πλαξὶ τετυγμένην, ut tanto firmior ora esset ad excipiendum ensis ictum, arbitror: ex ære quidem, unde fulgidam dixit, φαεινὴν, μαρμαρέην.—480. τελαμῶνα, ἐκ τῆς ἄντυγος, vel ἐκ τοῦ σάκους, quod præstat. est autem h. l. balteus ex clipeo aptus, factus e corio, lamina argentea inducto: injicitur ille humero dextro ut a sinistro latere pendeat. Similis Agamemnonis balteus sup. Λ. 38.—482. ἐν αὐτῷ, τῷ σάκει, in summa ejus superficie, ærea lamina, fecit multa

470. Χοάνοισι.] Χώνοις πηλίνοις, ἐν οἷς χωνεύεται τὰ μέταλλα. 471. Εὔπρηστον.] Εὐφύσητον. Ἀϋτμήν.] Πνοήν. Ἐξανιεῖσαι.] Ἀφιεῖσαι. 472. Παρέμμεναι.] Παρεῖναι. 473. Ἄνοιτο.] Ἀνύοιτο, τελειοῖτο. 474. Ἀτειρέα.] Ἀκαταπόνητον. 477. Ῥαιστῆρα.] Σφύραν σιδηρᾶν. παρὰ τὸ ῥαίζειν. Γέντο.] Ἔλαβε. Πυράγρην.] Τὸν χαλκευτικὸν καρκίνον, τὸν ὀξύλαβον. παρὰ τὸ τὰ ἐν τῷ πυρὶ ἀγρεύειν. 479. Πάντοσε δαιδάλλων.] Εἰς πᾶν μέρος δαίδαλα ἐνθεὶς, ὅ ἐστι ποικίλλων αὐτό. Ἄντυγα.] Τὸν ἔξωθεν τῆς ἀσπίδος κύκλον. 480. Τρίπλακα.] Τριπλῆν, τρίπτυχον. πτύχες γὰρ, τὰ ἐλάσματα τῆς ἀσπίδος. 482. Ἰδυίῃσιν.] Ἐμπείροις.

ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
Ἠέλιόν τ' ἀκάμαντα, Σελήνην τε πλήθουσαν,
ἐν δέ τε τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ', Ὑάδας τε, τό τε σθένος Ὠρίωνος,

signa affabre efficta. Dixit generatim δαίδαλα, arte fabricata, affabre efficta. Ea autem sunt ζῶα, signa, quæ mox commemorantur.

483—489. Expressum fuit in clipeo Universum: terra, cælum, mare. Memorantur inde sigillatim in cælo Sol, Luna, Sidera. Reliqua a vs. 490. ad Terram spectant; ambit eam vs. 606. Oceanus. Ars prisca itaque cum poesi antiqua in hoc convenisse videtur, quod argumenta sua a rerum natura exprimenda petiit. Simili enim modo carmina ab ipsis poetis pro antiquissimis memorata, a rerum primordiis erant ducta; quæ res nota esse potest vel ex Virgilii Sileno Ecl. VI. Iopa Æn. I. 740. unde ipse Virgilius colorem duxit, cum carminum argumenta, quæ sibi deligere vellet, memorat Ge. II. 475. *Me vero primum.* Convenit hoc cum miro procudendarum cosmogoniarum studio, quod certa aliqua ætate viguisse inter Græcos debet.

485. Terram, Cælum, et Mare, et Solem cum Luna et Astris ordine naturali haud memorat; θάλασσα. mare mediterraneum esse credendum est. Hemisphærium arcticum declarari vss. 485. apparet. τείρεα πάντα. antiqua voce, τὰ τείρεα, pro astris. proprie a τερέειν, τείρειν, ea quæ sculpta sunt. Memorabilis autem hic locus 486—490. usque ad nostra tempora habitus est, quia creditum est inde apparere, quæ si-

483. Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν.] Ἐγκατεσκεύασε δὲ τῇ ἀσπίδι, οὐρανὸν καὶ γῆν. 484. Ἀκάμαντα.] Τὸν ἀκαταπόνητον, καὶ ἄοκνον. Σελήνην τε πλήθουσαν.] Τὴν οἷον πεπληρωμένην, καὶ ἐγκύμονα τοῦ ἡλιακοῦ φωτός. λέγει δὲ τὴν πανσέληνον. εἴρηται δὲ σελήνη οἱονεὶ σέλας νέον. 485. Τείρεα.] Τὰ ἄστρα. παρὰ τὸ τερατώδη, καὶ σημειώδη ταῦτα εἶναι. Τά τ' οὐρανὸς ἐστεφάνωται.] Οἷς κεκόσμηται ὁ οὐρανός. 486. Πληϊάδας.] Ἑπτὰ ἀστέρες εἰσὶ κείμεναι ἐπὶ τὴν πλευρὰν τοῦ Ταύρου· ὁ γὰρ Ταῦρος σῶος οὐκ ἀνηστέρισται, ἀλλ' ἕως τῶν ἰσχίων. Αὗται δέ εἰσιν Ἄτλαντος, καὶ Πληϊόνης θυγατέρες. ὧν τὰ ὀνόματα, Μαῖα, Ταϋγέτη, Κελαινὼ, Μερόπη, Ἠλέκτρα, Στερόπη, Ἀλκυόνη. Ἄτλας εἷς τῶν γιγάντων, μιγεὶς Πληϊόνῃ τῇ Ὠκεανοῦ ἔσχε θυγατέρας ἑπτὰ, αἳ τὴν παρθενείαν ἀγαπήσασαι, συνεκυνήγουν τῇ Ἀρτέμιδι. θεασάμενος δὲ Ὠρίων, ἠράσθη καὶ ἐδίωκεν αὐτὰς μιγῆναι βουλόμενος. αἱ δὲ περικατάληπτοι γιγνόμεναι, θεοῖς ηὔξαντο μεταβαλεῖν τὴν φύσιν. Ζεὺς δὲ ἐλεήσας αὐτὰς Πελειάδας ἐποίησε, καὶ δι' αὐτῶν ἄστρον κατηστέρισεν. ὠνομάσθησαν δὲ Πληϊάδες ἀπὸ Πληϊόνης τῆς μητρὸς αὐτῶν. φασὶ δὲ Ἠλέκτραν οὐ βουλομένην τὴν Ἰλίου πόρθησιν θεάσασθαι, τῷ τὸ κτίσμα εἶναι τῶν ἀπογόνων, καταλιπεῖν τὸν τόπον ἔνθα κατηστέριστο, διόπερ οὔσας πρότερον ἑπτὰ, γενέσθαι ἕξ. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς. Ὑάδας.] Τοὺς ἐπὶ τῶν κεράτων τοῦ Ταύρου ἑπτὰ ἀστέρας κειμένους. καλοῦνται δὲ Ὑάδες, ἤτοι διὰ τὴν πρὸς τὸ υ στοιχεῖον ὁμοιότητα, ἢ ἐπειδὴ, αἴτιοι ὄμβρων, καὶ ὑετῶν καθίστανται. Ζεὺς ἐκ τοῦ μηροῦ γεννηθέντα Διόνυσον, ταῖς Δωδωνῖσι νύμφαις τρέφειν ἔδωκεν, Ἀμβροσίᾳ, Κορωνίδι, Εὐδώρῃ, Διώνῃ, Αἰσύλῃ, Πολυξοῖ. αὗται θρέψασαι τὸν Διόνυσον, περιῄεσαν σὺν αὐτῷ, τὴν εὑρεθεῖσαν ἄμπελον ὑπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις χαριζόμεναι. Λυκοῦργος δὲ μέχρι τῆς θαλάσσης συνεδίωξε τὸν Διόνυσον. ἐκείνας δὲ ἐλεήσας ὁ Ζεὺς κατηστέρισεν. ἡ ἱστορία παρὰ Φερεκύδῃ. Πληϊάδας θ' Ὑάδας τε.] Τὰς μὲν κατηστερισμένας ἐν τῷ μετώπῳ τοῦ Ταύρου Ὑάδας φασὶν εἰρῆσθαι. τὰς δὲ ἐπὶ τῆς ἡμιτόμου πλευρᾶς, Πλειάδας καλεῖσθαι. Ἄτλαντι γὰρ τοῦ Ἰαπετοῦ, καὶ Αἴθρᾳ τῇ Ὠκεανοῦ, καθά φησι Τίμαιος, θυγατέρες δώδεκα, καὶ υἱὸς Ὕας. τοῦτον ἐν Λιβύῃ κυνηγοῦντα, ὄφις κτείνει. καὶ αἱ μὲν πέντε τὸν ἀδελφὸν θρηνοῦσαι ἀπόλλυνται. τὰς δὲ λοιπὰς

Ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,

dera jam Homeri ætate Ionibus innotuerint: Pleiades, Hyades, Orion, Ursa major nunquam occidua; ea—487. Ἄρκτος, quæ et Ἄμαξα, *Plaustrum*, a situ stellarum

δι' οἶκτον καταστερίσας Ζεὺς, Ὑάδας ἐπωνόμασεν, ἐπωνύμως τοῦ ἀδελφοῦ. αἱ δὲ πλείους ἑπτὰ, βραδέως μὲν, πλὴν ἀποθανοῦσαι, Πληϊάδες εἴρηνται. Φερεκύδης δὲ, καθάπερ εἴρηται, τὰς Ὑάδας Δωδωνίδας νύμφας φησὶν εἶναι, καὶ Διονύσου τροφούς. ἃς παρακαταθέσθαι τὸν Διόνυσον Ἰνοῖ διὰ τὸν τῆς Ἥρας φόβον. καθ' ὃν καιρὸν καὶ αὐτὰς Λυκοῦργος ἐδίωξε. τῶν δὲ Πληϊάδων οὐσῶν ἑπτὰ, τάχα ἀμαυρὸς ὁ ἕβδομος ἀστήρ. ὡς μὲν Ἄρατος ἐν τῷ πρὸς Θεόπροπον ἐπικηδείῳ φησὶ, Τρωΐας πορθουμένης τὴν Δαρδάνου μητέρα Ἠλέκτραν μίαν οὖσαν τῶν Πληϊάδων, φυγεῖν τε τὴν τῶν ἀδελφῶν συνοδίαν, καὶ τὰς κόμας λύσασαν, ἐνίοτε κομήτην ἀστέρα φαίνεσθαι. φησὶ δὲ καὶ Ἑλλάνικος ἐν τῷ πρώτῳ τῶν Ἀτλαντιδῶν, τὰς μὲν ἓξ θεοῖς συνελθεῖν, Ταϋγέτην Διῒ, ὧν γενέσθαι Λακεδαίμονα. Μαῖαν Διῒ, ἀφ' ὧν Ἑρμῆς. Ἠλέκτραν Διῒ, ὧν Δάρδανος. Ἀλκυόνην Ποσειδῶνι, ὧν Ὑριεύς. Στερόπην Ἄρει, ὧν Οἰνόμαος. Κελαινὼ Ποσειδῶνι καὶ αὐτὴν, ὧν γενέσθαι Λύκον. Μερόπην δὲ Σισύφῳ θνητῷ ὄντι, ὧν Γλαῦκος, ἣν καὶ ἀμαυρὰν εἶναι. Ὑάδας δὲ εἰρῆσθαι, ἤτοι παρὰ τὸ σχῆμα τῆς τῶν ἀστέρων θέσεως. τῷ γὰρ υ στοιχείῳ παραπλήσιόν ἐστιν, ἢ ἐπεὶ ἀνατελλουσῶν αὐτῶν καὶ δυνουσῶν ὕει ὁ Ζεύς. αἱ δὲ Πληϊάδες, ἤτοι ἀπὸ τῆς μητρὸς αὐτῶν Πληϊόνης. ἢ ὅτι πλείους ὁμοῦ κατὰ μίαν συναγωγήν εἰσι. βότρυν γοῦν αὐτὰς λέγουσιν. ἢ ὅτι πλείους μὲν εἶναι δοκοῦσιν, ἐπὶ δὲ τῆς ἀληθείας ἐλάττους εἰσίν. ἢ Πλησιάδας· πλησίον γὰρ κεῖνται. ἢ ὅτι πλείους δι' αὐτὰς αἱ τῶν ὡρῶν ἐπισημασίαι, ἢ ὅτι πλειῶνος, ὅ ἐστιν ἐνιαυτοῦ σημαντικαί. χειμῶνα γὰρ καὶ θέρος διορίζουσιν καθότι ἐπιφέρονται, καὶ διὰ μόνων αὐτῶν σημειοῦνται τὰς ἑώας ἐπιτολὰς πρὸς θέρος, καὶ τὰς ἑσπερίους πρὸς ἄροτρον· ὡς Ἡσίοδος· Πληϊάδων Ἀτλαγενάων ἐπιτελλομενάων, Ἄρχεσθ' ἀμητοῖο, ἀρότοιο δὲ δυσομενάων. τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς κατηστερίσθαι φησὶν Αἰσχύλος. Πληϊάδων δὲ ἀνατολὴ ἑώα ἡλίου ὄντος ἐν Διδύμοις. δύσις δὲ ἑώα κατὰ τὴν διάμετρον ἡλίου ὄντος ἐν Σκορπίῳ. Ταύρου δὲ ὄντος κατὰ τὸ εἰκὸς ἑκατέρωθεν, ἐπίφασις γίγνεται. καὶ γὰρ τὸν προανατέλλοντα Κριὸν ἐπὶ πέντε ἡμέρας προκαταλάμπει καταρχὰς ἐγγὺς ὢν αὐτοῦ, καὶ τοὺς προανατέλλοντας Διδύμους ἐπ' ἄλλας ἡμέρας πέντε, ὥσπέρ τι καιόμενον πῦρ θέρμης ἀπόῤῥοιαν ἔχει βραχεῖαν καὶ πρὸς τοὺς ἑκατέρωθεν. διὰ τοῦτο καὶ Ἡσίοδος ἔφη· Αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα κεκρύφαται. διότι καταυγάζονται. Τό τε σθένος Ὠρίωνος.] Περιφραστικῶς τὸν Ὠρίωνα. ὁ δὲ Ὠρίων ἐστὶν ἄστρον μέγιστον ἐν τῷ οὐρανῷ κατηστερισμένον οὕτως. Ὑριεὺς ὁ Ποσειδῶνος καὶ Ἀλκυόνης μιᾶς τῶν Ἄτλαντος θυγατέρων, ᾤκει μὲν ἐν Τανάγρᾳ τῆς Βοιωτείας. φιλοξενώτατος δὲ ὢν ὑπεδέξατο ποτὲ καὶ θεούς. Ζεὺς δὲ καὶ Ποσειδῶν, καὶ Ἑρμῆς ἐπιξενωθέντες αὐτῷ, καὶ τὴν φιλοφροσύνην ἀποδεξάμενοι, παρήνεσαν αἰτεῖν ὅ τι ἂν βούλοιτο. ὁ δὲ ἄτεκνος ὢν, ᾐτήσατο παῖδα. λαβόντες οὖν οἱ θεοὶ τὴν τοῦ ἱερουργηθέντος αὐτοῖς βοὸς βύρσαν, ἀπεσπέρμηναν εἰς αὐτὴν, καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆν, καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι, ὧν διελθόντων ἐγένετο ὁ Οὐρίων, οὕτως ὀνομασθεὶς διὰ τὸ οὐρῆσαι ὥσπερ τοὺς θεοὺς, ἔπειτα κατ' εὐφημισμὸν, Ὠρίων. συγκυνηγῶν δὲ οὗτος Ἀρτέμιδι, ἐπεχείρησεν αὐτὴν βιάσασθαι. ὀργισθεῖσα δὲ ἡ θεὸς, ἀνέδωκεν ἐκ τῆς γῆς σκορπίον, ὃς αὐτὸν, πλήξας κατὰ τὸν ἀστράγαλον, ἀπέκτεινε. Ζεὺς δὲ συμπαθήσας κατηστέρισεν αὐτόν. διὸ τοῦ Σκορπίου ἀνατέλλοντος, Ὠρίων δύνει. Ἡ ἱστορία παρ' Εὐφορίωνι. 487. Ἄρκτον θ' ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν.] Ἄρκτοι δύο δείκνυνται ἐν τῷ βορείῳ κλίματι. αὕτη τε ἡ μεγάλη ἡ καλουμένη καὶ Ἄμαξα, διὰ τὸ εἰς ἁμάξης τύπον κατηστερίσθαι. καὶ ἐγγὺς ἐκείνης ἡ μικρὰ ἡ Κυνόσουρα καλουμένη διὰ τὸ ὡς κυνὸς

ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει·
οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
Ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
καλάς· ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν, εἰλαπίναι τε·

hujus sideris, appellata esse memoratur. Inter hæc tamen nec statui debebat, nulla alia sidera tum fuisse cognita; nam, tanquam poeta, per distributionem et sigillatim *nonnulla* tantum enumerat, eoque πάντα vs. 485. restringitur; tum non pronuntiari potest tam indubitate, ad ea tempora, quibus Homeri vita assignatur, hæc quoque satis tuto referri posse: quandoquidem tam ambiguum et incertum judicium est ut in tot aliis locis, tum in hoc clipeo, quemnam auctorem habuerit, antiquiorem an seriorem.—488. ἥτ' αὐτοῦ στρέφεται, κατ' αὐτοῦ τοῦ τόπου, latius tamen eadem cœli parte, in qua Pleiades, Hyades et Orion versantur. alioqui est probandum: esse αὐτοῦ, eodem semper in loco, nullo motu. porro, ἣ Ὠρίωνα δοκεύει. *ex adverso sibi positum in sphæra australi*, ἐπ' εὐθείας; *observat* autem eum, tanquam suspectum sibi, quippe venantem. Tandem 489. οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο. h. non occidit, non subter ὁρίζοντα, finitorem, descendit, quæ perpetua inde ab Homero mansit declaratio occasus siderum, uti et ortus, per speciem submersionis in Oceano. cf. ad Ξ. 246.

490—540. Ornatissimus locus. Expressæ erant ære *duæ urbes: altera* 490—508. *pacatis rebus florens, altera ab hoste obsessa.* Pacatum rerum statum declarat ab iis, quæ an poeta alicubi sculpta viderit, recte dubitari potest, certe ut poeta carmine reddidit; narrare itaque putandus est res sculptas, non tanquam sculptas, sed tanquam visas, auditas, sensu perceptas. Itaque cantus nuptialis cum tibiis et fidibus auditur, altercantur duo, pronuntiant, et sic porro. Hæc semel monita esse satis sit; poetica omnia sunt, non plasticæ et sculptoriæ artis. Clipeus est poeticus, non ab arte fabrefactus. Admirabilis quoque est rerum dilectus, non quem artifex faceret, sed poeticus, eorum scilicet, quæ suavissima phantasmata et objicerent, et poetici ornatus plurimum admitterent: *deductio novæ nuptæ* 491—496. *judicium et caussa forensis* 497—508.

ἔχειν ἀνακεκλασμένην τὴν οὐράν. ἧς Ὅμηρος οὐ μέμνηται, ὡς ὕστερον εὑρεθείσης ὑπὸ Θαλοῦ τοῦ Μιλησίου ἑνὸς τῶν ἑπτὰ σοφῶν. Ζεὺς Καλλιστοῦς τῆς Λυκάονος ἐρασθεὶς, ἐμίσγετο αὐτῇ λανθάνων Ἥραν. ἐπιγνοῦσα δὲ ἡ θεὸς μετέβαλλεν αὐτὴν εἰς ἄρκτον, καὶ ὡς θηρίον Ἀρτέμιδι προσέταξε τοξεῦσαι. Ζεὺς δὲ εἰς οὐρανὸν αὐτὴν ἀναγαγὼν, πρώτην κατηστέρισεν. ἡ ἱστορία παρὰ Καλλιμάχῳ. 488. Ἥ τ' αὐτοῦ στρέφεται.] Ἥ τις περὶ τὸν Ἀρκτικὸν καὶ ἀειφανῆ καλούμενον κύκλον, ἤτοι πόλον στρέφεται, καὶ ἐπιτηρεῖ τὸν Ὠρίωνα, νεύουσα εἰς αὐτὸν ὡς κυνηγέτην. βλέπει γὰρ ἡ μεγάλη ἄρκτος πρὸς τὸ τοῦ Ὠρίωνος ἄστρον. Ἥ τ' αὐτοῦ στρέφεται.] Ἀντὶ τοῦ περὶ τὸν αὐτὸν τόπον, ὡς μὴ καταδυομένη. 489. Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.] Ἀντὶ τοῦ μόνη οὐ δύνει εἰς τὸν ὠκεανόν. αἱ γὰρ ἄρκτοι οὐ δύνουσιν, οὖσαι ἐν τῷ ἀεὶ φανερῷ. αἵ εἰσιν ἀμφότεραι τοῦ ἀπ' αὐτῶν καλουμένου πόλου Ἀρκτικοῦ. μόνη οὖν δηλονότι τῶν κατηστερισμένων ἄμοιρός ἐστι τῶν ὠκεανοῦ ῥείθρων, καὶ οὐ καταδύεται. ἐπεί τοι καὶ ἄλλα τινὰ ἐστὶ ἀειφανῆ, ὅσα ὁ Ἀρκτικὸς ἀποτέμνεται κύκλος. ἔστι δὲ ἥτε Κυνόσουρα καλουμένη Ἄρκτος. καὶ ὁ δι' ἀμφοτέρων τῶν Ἄρκτων Δράκων, καὶ ἡ χεὶρ τοῦ Βοώτου, μέρη τε τοῦ Κηφέως τὰ ἀπὸ ἰξύος μέχρι ποδῶν. Ἄμορος.] Ἀμέτοχος, ἄμοιρος. Λοετρῶν ὠκεανοῖο.] Ἀντὶ τοῦ δύσεως. 491. Εἰλαπίναι τε.] Θυσίαι, ἑορταί. Τίνες εἰσὶν αἱ δύο πόλεις, ἅς φησιν ἐν τῇ Ἀσπιδοποιΐᾳ, Ἐν δὲ δύο ποίησε πόλεις; Ἀγαλλίας ὁ Κερκυραῖος, ὁ Ἀριστοφάνους γνώριμος εἶπε τὰς δύο πόλεις εἶναι Ἀθήνας καὶ Ἐλευσῖνα κατασκευάζων οὕτως, τὴν μὲν προτέραν, ἐπεὶ κατὰ γένεσιν τοῦ κόσμου πρώτη πόλις Ἀθῆναι. μετὰ δὲ τὴν φύσιν τῶν στοιχείων ὁ θεὸς τὴν πόλιν τειχοποιεῖ. ἐπιφέρει δὲ γάμους καὶ ὑμεναίους· ἐν γὰρ Ἀθήναις ταῦτα πρῶτον ἤχθη. αὐλούς τε ἐν τοῖς γάμοις εὗρεν Ἀθηνᾶ. δίκας τε ἐν τῇ πόλει· παρὰ

νύμφας δ' ἐκ θαλάμων, δαΐδων ὑπὸ λαμπομενάων,
ἠγίνεον ἀνὰ ἄστυ· πολὺς δ' ὑμέναιος ὀρώρει·
κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
αὐλοὶ, φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι. ἔνθα δὲ νεῖκος

492. vulg. ὑπολαμπομενάων. 493. ἀνὰ Ϝάστυ. 496. προθύροισιν Ϝεκάστη.

492. ὑπὸ δαΐδων, μετὰ, fiebat enim deductio vesperi, a domo sponsæ ad sponsum. Memoratu dignum, quod ὑμέναιος jam tum in usu fuit; vocabulum de *cantu nuptiali:* 493. et mos, quod inter illum incessum erant, qui saltabant, et quidem *soli*, inter cantum tibiarum et fidium.—495. βοὴν ἔχον, alias ἐποιοῦντο βοὴν, ἐβόων, ἐφώνουν.

497—508. Memorabilis locus, qui *judicii antiquiorum ætatum* formam ante oculos sistit. *Judicium in foro habitum:* antiquissimo more, in populi cœtu, ἐκκλησίᾳ. Seniores e populo sunt judices. Controversia erat de pretii solutione pro compensanda cæde, altero asseverante, se jam persolvisse, altero negante se quicquam accepisse. Populo silere jusso consedere senes; jussus uterque caussam agere: binis auri talentis in medio positis, seu ut esset sacramentum, seu quod erat illud ipsum pretium, quo satisfieret pro cæde.

497. νεῖκος ὠρώρει. non quasi nunc primo *ortum;* sed *agebatur controversia,*

γὰρ Ἀθηναίοις πρῶτον ἐγένετο δικαστήριον ἐπὶ Ἀλιῤῥοθίῳ τοῦ Ποσειδῶνος. οἱ δὲ δικασταὶ Ἀθήνησι μισθὸν λαμβάνουσι, καὶ διατοῦτο λέγει κεῖσθαι ἐν τῷ μέσῳ χρυσοῦ δύο τάλαντα. Τὴν δευτέραν πόλιν οὖσαν Ἐλευσῖνα. πόλεμον δὲ Ἀθηναῖοι ἔσχον πρὸς Ἐλευσινίους, ὃν ἐπολέμησεν Εὔμολπος ὁ Ποσειδῶνος. βοηθοὶ δὲ αὐτοῖς εἰσὶν Ἄρης τε καὶ Ἀθηνᾶ· ὁ μὲν χάριτας ἀποδιδοὺς, ὅτι ἀπελύθη κριθεὶς ἐν Ἀρείῳ πάγῳ· ἡ δὲ ὅτι τῆς πόλεως ὡς οἰκείας ἐκήδετο. καὶ τὰ ἐπαγόμενα δὲ ἴδια Ἐλευσῖνος, εὐρεῖα τρίπολος, ἐπείπερ Ἐλευσῖνι πρῶτον καρποὺς Δημήτηρ ἔδωκεν. ἡ δὲ σταφυλὴ ἡ κατὰ μέγα βρίθουσαν ἀλωὴν, ἐπὶ Ἰκαρίου καὶ Διονύσου πορείᾳ. ὁ δὲ ποικιλλόμενος χορὸς, Ἀριάδνης καὶ Θησέως ἔχει πράξεις. ἴδιος δὲ καὶ ὁ τεχνίτης τῶν Ἀθηνῶν Ἥφαιστος. Ἐριχθονίῳ γὰρ τῷ υἱῷ χαριζόμενος βασιλεύοντι Ἀθηνῶν τὴν τοιαύτην κατασκευὴν παρήγαγε. τῷ δὲ ἱερῷ κύκλῳ τὸν Ἄρειον πάγον ἑρμηνεύει, οἵ τε δικασταὶ Ἀθηναῖοι. διὰ ποίαν δὲ αἰτίαν μόνος ὁ Ὠκεανὸς ποταμὸς οὐ πάρεστι τῇ ἐκκλησίᾳ τῶν θεῶν; ῥητέον ὅτι ἐπεὶ συνεκτικὸν ἔχει τὸ τοῦ κόσμου ῥεῦμα, κατὰ τὸ, Ὠκεανὸς ᾧ πᾶσα περίῤῥυτος ἐνδέδεται χθών. 492. Νύμφας.] Νῦν τὰς γαμουμένας. Δαΐδων ὑπολαμπομενάων.] Ἀντὶ τοῦ μετὰ λαμπάδων. 493. Ἠγίνεον.] Ἦγον. Πολὺς δ' Ὑμέναιος ὀρώρει.] Ἐξῆπτο, διεγήγερτο πλείστη γαμήλιος ᾠδή. τὸν δὲ Ὑμέναιον ἐτυμολογοῦσιν, οἱ μὲν ἀπὸ τοῦ ναίειν ὁμοῦ τὸν νυμφίον, καὶ τὴν νύμφην· ἄλλοι δὲ φυσικῶς, ἐπεὶ ὑμήν ἐστιν ὁ ῥηγνύμενος ἐν τῇ τῶν παρθένων διακορήσει. ὁ δὲ ὅτι Ὑμέναιός τις Ἀργεῖος παραπλέων τὰς Ἀθήνας, κατέλαβεν Ἀττικὰς παρθένους, ἁρπαζομένας ὑπὸ Πελασγῶν τινων, αἷς ἐπιφανεὶς αἴτιος ἐγένετο τοῦ μὴ βιασθῆναι, ἀποδιώξας τοὺς Πελασγούς. διὰ γοῦν τοῦτο νομίμως γαμούμεναι, ὥσπερ προσκαλούμεναι αὐτὸν, ὕμνον τινὰ ἔλεγον εἰς αὐτὸν ὃν ἐκάλουν Ὑμέναιον. 494. Ἐδίνεον.] Ἀνεστρέφοντο, ἐκινοῦντο. 497. Ἔνθα δὲ νεῖκος ὠρώρει.] Ἐφιλονείκουν, ἠμφισβήτουν. δικαστήριον εἰσάγει δύο τινῶν ἀνδρῶν. ὧν ὁ μὲν ἐγκαλούμενος, ἀποδεδωκέναι λύτρα ὑπὲρ τοῦ πεφονευμένου φησί· ὁ δὲ ἐγκαλῶν, ἔλεγε μὴ εἰληφέναι. δύο δὲ τάλαντα χρυσοῦ κατέθεντο, ὥστε τὸν ἀποδείξαντα τὸ ἀληθὲς λαβεῖν ἀμφότερα. ποινῆς οὖν λέγει τῆς καλουμένης παρὰ τοῖς Ἀττικοῖς, ὑποφόνια, ἃ ἐδίδοσαν

ὠρώρει. δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν εὔχετο, πάντ' ἀποδοῦναι,
δήμῳ πιφαύσκων· ὁ δ' ἀναίνετο, μηδὲν ἑλέσθαι.
ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι.
λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί·
κήρυκες δ' ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
εἵατ' ἐπὶ ξεστοῖσι λίθοις, ἱερῷ ἐνὶ κύκλῳ·
σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων·
τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δὲ δίκαζον.

501. Fιέσθην ἐπὶ Fίστορι. 506. vulg. δ' ἐδίκαζον.

caussa.—498. εἵνεκα ποινῆς ἀνδρὸς ἀποφθιμένου, φονευθέντος, e more priscarum ætatum in judiciis φονικῶν· quæ primum Athenis instituta fuere. Est itaque observatum, ex hoc loco patere, caussas φονικὰς jam ante Draconem in judicio fuisse actas sed aliter constituto. Solvendum erat proximis agnatis et cognatis pretium pro cæso, maxime tamen in cæde haud voluntaria. Res nunc nota ex antiquitate Græca. cf. I. 628. sq.—499. πάντ' ἀποδοῦναι, pro πᾶσαν ποινήν. ut I. 387. πρίν γ' ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι θυμαλγέα λώβην.—500. εὔχετο δήμῳ πιφαύσκων, professus est asseverando, declarando iis qui aderant.—501. ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι, ἐβούλοντο τὸ νεῖκος, τὴν (δίκην, ex vs. 498.) λαβεῖν πέρας. h. e. postulabant litem dirimi testibus adhibitis. uterque paratus erat ad producendos testes, secundum quos sententia ferri et lis decidi posset. At alii: ἐπὶ ἵστορι, arbitro seu judice sententiam ferente, accipiunt, minus accommodate.—502. adstantes ἐπήπυον, acclamabant, ὡς βοηθοί, favendo alterutri. Faciunt adjuncta hæc ad rem ἐμφαντικῶς declarandam.—503. λαὸν ἐρήτυον silere jubebant ut B. 96, 97. γέροντες, seniores ex populo, qui pro senatu erant, etiam erant pro judicibus: nam ipsi sustinebant vices populi; erant autem judicia antiquissimo more populi, non singulorum judicum; nisi his arbitrium delatum esset a litigantibus. Videmus itaque h. l. consessum senum e medio populi seu urbis.—504. ἱερῷ ἐνὶ κύκλῳ, de ipso consessu accipio, augusto, venerabili, sacro. Sic φυλάκων ἱερὸν τέλος K. 56. ubi v. notam.—505. baculum seu hastam dicturi sumunt, ut hoc ipso declarent, se publice dicturos esse venia dicendi impetrata: cf. Od. B. 37. et sup. B. 185. Ulysses sumta Agamemnonis hasta seu sceptro mandata se a rege accepta dare significabat. præcones ἠερόφωνοι, quorum vox per aerem diditur, et auditur.—506. τοῖσιν vel ut vulgo accipitur, σὺν οἷς σκήπτροις. vel, ut sexcenties, pro ἐν τοῖσιν, ἐν αὐτοῖς, ἤϊσσον, inter eos surrexerunt ad dicendum, et petitor et is, unde petitur; et alter post

τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. λέγεται δὲ κοινῶς πᾶσα ἀντέκτισις, ποινή. 499. Εὔχετο.] Νῦν διωρίζετο. 500. Δήμῳ πιφαύσκων.] Τῷ κοινῷ παντὶ δεικνὺς καὶ ἐμφανίζων. Ἀναίνετο.] Ἀπηρνεῖτο. 501. Ἱέσθην.] Προεθυμοῦντο, ἐβούλοντο, ἔσπευδον. Ἐπὶ ἵστορι.] Μάρτυρι, ἢ κριτῇ. ἀμφότεροι δὲ ἐβούλοντο ἐπὶ μάρτυρι δικάσασθαι, τοῦτ' ἔστι παρέχοντες μάρτυρας, ὁ μὲν τοῦ δεδωκέναι, ὁ δὲ τοῦ μὴ εἰληφέναι τὰ ὑποφόνια. Πεῖραρ.] Πέρας. 502. Ἐπήπυον.] Ἐνήργουν. τὸ δὲ πλῆθος εἰς τοὺς δικάζοντας διῃρημένως ἐβόα. Ἀμφὶς ἀρωγοί.] Χωρὶς ἑκατέρῳ οἱ ἴδιοι βοηθοί.

503. Γέροντες.] Οἱ δικασταὶ δηλονότι. 504. Ἱερῷ ἐνὶ κύκλῳ.] Τῷ μεγίστῳ δικαστηρίῳ, ἐπεὶ τὸ δίκαιον ἀποδιδοῦσιν ἑκάστῳ ἐν ἀφιερωμένῳ. 505. Ἠεροφώνων.] Μεγαλοφώνων, ἢ τῶν τὸν ἀέρα πληττόντων τῇ φωνῇ. φωνὴ γάρ ἐστι, ὡς Ἀπολλώνιός φησιν, ἀὴρ πεπληγμένος. 506. Τοῖσιν ἔπειτ' ἤϊσσον.] Ἀντὶ τοῦ σὺν οἷς σκήπτροις ἐπὶ τὸ δημηγορεῖν ὥρμων. ἔνιοι δὲ ἤϊσσον, κατεσίγαζον. ἢ ὅτι ἀεὶ συνδιετίθεντο τοῖς λόγοις. Ἀμοιβηδὶς δ' ἐδίκαζον.] Ἐν μέρει δὲ ἀκούοντες ἐδίκαζον. ὅ ἐστι κατὰ ἐναλλαγὴν ἀποφαίνων τὴν ἑαυτοῦ γνώμην ἕκαστος.

κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
τῷ δόμεν, ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴπῃ.
Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύο στρατοὶ εἵατο λαῶν,
τεύχεσι λαμπόμενοι· δίχα δέ σφισιν ἥνδανε βουλή,
ἠὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι
κτῆσιν, ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
οἱ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
ῥύατ', ἐφεσταότες, μετὰ δ' ἀνέρες, οὓς ἔχε γῆρας.
οἱ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,

208. ἰθύντατα Fείπῃ. 210. σφισι Fάνδανε. 512. ἐFέργει.

alterum ἰδίκαζον, caussam egerunt.—507. κεῖτο. duo talenta, quæ, ut probabile est, ipsam ποινὴν ἀντὶ φόνου constituebant, erant a reo apportata, in medio posita, ut ea auferret is qui caussa vicisset.—508. ὃς δίκην ἰθύντατα εἴπῃ. qui caussam suam verissime dixisset, h. e. edocuisset judices, justa se postulare.

509—540. Urbs obsessa, et quidem a duobus exercitibus. Pro more istorum hominum, in primis polioreeticis rudimentis, exibant oppidani et in insidiis collocati prædabantur obsidentium armenta, ut haberent, unde ipsi obsidionem tolerarent. Quo conspecto, accurrit agmen obsidentium, et pugnam committit.

Non hæc narrata esse, uti sculpta, per se obvium est; narrata sunt, uti poeta rem auditam ante oculos positam mente concipiat et carmine vivide enarret. Obscuratur tamen narratio usu pronominum parum accurate instituto; et quod δύο στρατοὶ sunt.

510. τεύχεσι λαμπόμενοι bene adjectum, ut sensui oculorum res subjiciatur. δίχα δέ σφισιν. Deliberabant obsidentes, aut potius, ex deliberatione constituerant, urbe capta deditave, vel bona oppidanorum diripere vel prædam dividere. 513. οἱ δ' οὔπω πείθοντο, oppidani sunt. Videtur conditio esse proposita oppidanis, ut obsidentibus dimidiam bonorum suorum partem tradant, quo facto fore, ut obsidione liberentur, sin recusent, et ultima experiantur, fore ut urbs diripiatur. Nec tamen oppidani conditionem admiserunt. Nisi verba οὐ πείθεσθαι simpliciter dicta accipias: at oppidani deditionem renuebant.—511, 512. πάντα, per appositionem, κτῆσιν, ὅσην. Similis prorsus est pactio ab Hectore proposita inf. X. 114. sq.—513. λόχῳ δ' ὑπεθωρήσσοντο. εἰς λόχον. Convenit cum more veterum in re bellica, ut non modo eruptionem facerent obsessi, verum et extra urbem insidias struerent obsidentibus, inprimis ad pecora, pro præda abacta, recuperanda et in urbem abducenda. Obsidentes autem, cum machinas et alias artes oppugnationis ignorarent, id machinabantur, ut urbem propugnatoribus vacuam occuparent; itaque oppidanis de tutela murorum erat cogitandum τεῖχος ἔῤῥυντο. vss. 514, 515. cf. sup. Θ. 518. sq.—516. οἱ δ' ἴσαν, oppidani ad insidias struendas egressi. Sequentia animum ad anaglyphum aliquod revocare possunt; Mars et Pallas auro effícti et, tanquam dii, majore specie quam mortales; ergo conspicui, ἀρίζηλοι. contra copiæ ὑφήσσονες, ἥττους μεγέθει. sunt tamen nec minus

508. Ἰθύντατα.] Δικαιότατα, ὀρθότατα. 509. Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ εἵατο λαῶν.] Ἓν στράτευμα νοητέον εἰς δύο διῃρημένον. πολιορκία γὰρ ἦν, καὶ οὐ πεδιὰς ἡ μάχη. 510. Δίχα δέ σφισιν ἥνδανε βουλή.] Σημειοῦται, ὅτι οἱ ἐπιστρατεύσαντες πόλει τινὶ, καὶ μετὰ σπονδῶν ἀπαλλασσόμενοι, ἐλάμβανον παρὰ τῶν πολεμουμένων τὸ ἥμισυ τῶν ἐν τῇ πόλει κτημάτων. 512. Ἐπήρατον.] Ἐπέραστον, καλόν. Ἐέργει.] Φυλάττει, ἐπέχει. 513. Λόχῳ δ' ὑποθωρήσσοντο.] Εἰς ἐνέδραν παρεσκευάζοντο. 514. Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα Ῥύατ' ἐφεσταότες μετὰ δ' ἀνέρες.] Εἰς τὸ ῥύατο στικτέον. τὸ δὲ ἐφεσταότες, τῷ ἀνέρες συντακτέον.

ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεώ περ,
ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.
οἱ δ' ὅτε δή ῥ' ἵκανον, ὅθι σφίσιν εἶκε λοχῆσαι,
ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
ἔνθ' ἄρα τοί γ' ἵζοντ', εἰλυμένοι αἴθοπι χαλκῷ.
τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,
δέγμενοι, ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες,
τερπόμενοι σύριγξι· δόλον δ' οὔ τι προνόησαν.
οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
ἀργεννῶν οἰῶν· κτεῖνον δ' ἔπι μηλοβοτῆρας.
οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν,
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
βάντες ἀερσιπόδων μετεκίαθον· αἶψα δ' ἵκοντο.

517. δὲ Ϝείματα Ϝέσθην. 520. σφίσι Ϝεῖκε. 522. lectum ἵζον, Ϝειλυμένοι. 524. μῆλα Ϝιδοίατο. De Ϝέλικας v. Exc. de digammo. 527. προϜιδόντες. 529. ὀϜίων. 531. Ϝειράων vulg. ἰράων et ἱράων.

poetica; notabiles quoque versus sunt ad opinionem de pulcritudine et magnitudine corporum, quibus dii ad humanam naturam adumbrabantur.

520. *οἱ δ' ὅτε δή ῥ' ἵκανον—ἔνθ' ἄρα τοίγε* sunt iidem oppidani: ubi venerant ad locum, in quo ipsis visum erat, insidias collocare, apud amnem, ad quem obsidentis exercitus pecudes potum duci solebant: illi ibi consederunt, humi, clipeis suis tecti, (*εἰλυμένοι*, ut P. 492. non simpliciter induti) constitutis duobus speculatoribus. Pecudes sunt *λεία*, eædem, quas hostes prædati vicina abegerant.—525. *οἱ δὲ* (sc. *μῆλα καὶ βόες τῶν πολιορκούντων*) *τάχα προγένοντο, παρεγένοντο.* Tum vs. 527. *οἱ μὲν τὰ προϊδόντες* sunt oppidani in insidiis sedentes; ii statim *ἀμφιετάμνοντο, ἀπετάμνοντο*, armenta et pecora, undique includendo, quo minus fugæ locus esset, iisque potiti prædam in urbem egerunt.—529. *κτεῖνον δ' ἔπι μηλοβοτῆρας*, vel *ἐπὶ* præterea, vel *ἐπ' αὐτοῖς καθεστηκότας, ἐπ' αὐτοῖς ὄντας.*—530. *οἱ δ' ὡς οὖν ἐπύθοντο.* jam hi sunt obsidentes, et quidem excubantes ante castra, in quibus exercitus versabatur in foro, loco publico, *ἐν ἀγορᾷ*, in qua concio habebatur. Excubias agentes etiam ante castra Achivorum vidimus K. 180. *εἴρα* vel *ἵρα* est locus concionis, et ipse cœtus. vox quoque

517. Ἕσθην.] Περιβεβλημένοι ἦσαν, ὁτὲ δὲ ἐκάθευδον. 519. Ἀμφὶς ἀριζήλω.] Χωρὶς ἑκάτεροι διάδηλοι. Λαοὶ δ' ὑπολίζονες ἦσαν.] Οἱ δὲ ὄχλοι ἐλάττονες καὶ μικρότεροι ἦσαν. 520. Εἶκε λοχῆσαι.] Ἐνεχώρει, ὥστε ἐνεδρεῦσαι. 521. Ἀρδμός.] Ποτισμός. ἀρθμὸς δὲ ἡ φιλία. Βοτοῖσι.] Βοσκήμασιν. 522. Εἰλυμένοι.] Περιβεβλημένοι, κεκαλυμμένοι. 526. Οὔτι προνόησαν.] Οὐ προεσκόπησαν. 528. Τάμνοντ' ἀμφί.] Περιέταμνον, περιῄρουν, ἀπεχώριζον. Πώεα.] Τὰ ποίμνια. 529. Μηλοβοτῆρας.] Βοσκήτορας, νομέας. 531. Ἱράων προπάροιθε.] Πρὸ τῶν ἀγορῶν, ὅ ἐστιν ἐκκλησιῶν. ἀπὸ τοῦ εἴρειν ἐν αὐταῖς καὶ λέγειν. ὅθεν ὁ ἶρος. 532. Ἀερσιπόδων.] Αἰρόντων εἰς ὕψος τοὺς πόδας ἐν τῇ πορείᾳ. Μετεκίαθον.] Μετήρχοντο.

στησάμενοι δὲ μάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ,
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖϊν.
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν·
ὡμίλευν δ', ὥστε ζωοὶ βροτοὶ, ἠδ' ἐμάχοντο,
νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνειῶτας.
Ἐν δὲ τίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν,
εὐρεῖαν, τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου

533. vulg. δ' ἐμάχοντο. 535. ὀλοϝή. 538. ϝεῖμα. 540. ϝέρυον. 541. vulg. ἐν δ' ἐτίθει. 545. ΜελιϝηδέοςϝοίνουV. Obss.

apud Hesiod. Theog. 804.—535. sq. Poeticum phantasma, quo declaratur, alios vulnerari inter pugnandum, alios occidi. Pugna et Cædes in personas mutatæ sunt: Ἔρις et Κυδοιμὸς ipse tumultus pugnando contendentium inter se; Κὴρ, Mors fatalis, sævit, alium jam vulneravit, arripit alterum ἄουτον, ut eum vulneret, alium jam cæsum abstrahit, ut solent corpora abstrahi ad spolia legenda. Accedunt tamen et hæc propius ad argumentum anaglyphi constituendum. Ita in arca Cypseli ad pugnam inter Ajacem et Hectorem declarandam expressa est stans inter utrumque Ἔρις, tum Φόβος, Κήρ. Sunt hæc inter ea, in quibus ars plastica antiquior plura audebat, quam arti natura rerum concessit; voluit illa reddere ea, quæ mera phantasmata sunt, sermone antiquo et oratione poetica feliciter exprimi solita, cum abstracta in personas mutata sint; eadem ab arte expressa, allegorica sunt, quæ rebus ex vera natura adumbratis vix bene interponuntur et admiscentur: nam pugnantibus addita femina ad oculorum sensum nihil aliud erit quam femina pugnans: nec nisi nomine adscripto assequi licet, esse deam Discordiam.—539. ὡμίλευν, ἐμάχοντο, οἱ στησάμενοι vs. 533, 534.—540. et corpora cæsorum mutuo abstrahunt, ut ea spolient. Ceterum vss. 535. ad 540. leguntur quoque in Sc. Herc. 156. sq. et 249. sq. Extremi vss. 539, 540. mera sunt repetitio.

541—573. Sequuntur argumenta jucundiora, inter se cognata; aratio, messis, vindemia; putes tria anni tempora adumbrari. Tum subjiciuntur pascua primo armentorum, tum ovium 574—589. priora illa georgici erant argumenti, hæc vitæ pastoralis.

541. ἐν δὲ τίθει. ἐνεποίησε. ἔτευξεν. νειὸν μαλακὴν, agrum novalem, molli solo. K. 353. erat νειὸς βαθεῖα. ut et mox 547. τρίπολον, trina aratione versam. iterum Od. E. 127. cf. Ge. I. 47. et ad e. l. notata.—544. οἱ δὲ, ὁπότε ἵκοιντο ἐπὶ τέλσον, τέρμα ἀρούρης, sulco ducto, retro ad locum unde processerant: nam adjectum στρέψαντες.—

535. Ὁμίλεον.] Ἀνεστρέφοντο. 536. Νεούτατον.] Νεωστὶ τετρωμένον. Ἄουτον.] Ἄτρωτον. 538. Δαφοινεόν.] Ἤτοι φοινικοῦ χρώματος πεποιημένον. ἢ αἵματι διάβροχον, πεφοινιγμένον. 539. Ὡμίλευν.] Ἀντὶ τοῦ παρετάσσοντο, συνανεστρέφοντο. 540. Ἔρυον.] Εἷλκον. 541. Νειόν.] Τὴν λεγομένην νεατόν. ὅ ἐστι νεωστὶ ἠροτριασμένην, ἁπαλὴν, καὶ διακεχυμένην. ὡς γὰρ νέα φαίνεται ἡ τοιαύτη γῆ. Πίειραν.] Λιπαρόγειον χωρίον. 542. Τρίπολον.] Τρὶς ἐστραμμένην, καὶ ἠροτριασμένην. 543. Δινεύοντες.] Στρέφοντες τὴν ἄνω κάτω. Ἐλάστρεον.] Ἤλαυνον. 544. Τέλσον.] Τέλος, πέρας.

δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,
ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι.
ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει,
χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο.
Ἐν δὲ τίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι
ἤμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθε
παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες,
ἀσπερχὲς πάρεχον. βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ

547. Ϝιέμενοι. 548. δὲ ϜεϜῴκει. 549. vulg. θαῦμ' ἐτέτυκτο.
550. et 561. vulg. ἐν δ' ἐτίθει.

546. potu recreati denuo convertunt se ad novum sulcum ducendum στρέψασκον. Versu 547. carere poteramus. ἀν' ὄγμους, secundum series jugorum, κατὰ τάξεις, nam plures vs. 542. erant aratores, et juga. vulgo, per sulcos accipiunt. quo sensu etiam ὄγμοι dicuntur; per se tamen est quævis series. cf. 552. 557. cf. Λ. 68.—548, 9. agri superficies auro adumbrata erat, a tergo tamen arantium nigricabat; h. e. fusco colore aurum inductum erat. Hic sane videtur poeta iterum opus fabrile ex metallo ante oculos habere, tincto per aliud metallum fusura aliqua cum auro mixtum, forte opus encaustum aliquod ex ære mixto. Simili modo licet conjectare de seqq. quando 562. μέλανες βότρυες, 564. κυανέη κάπετος, memorantur. Potest tamen acumen nostrum perperam in his se exercere; et non improbabile videri potest, poetam hæc narrare, non quomodo ars ea effecerit aut efficere potuerit, sed qua specie res ipsæ extra opus in rerum natura se offerunt; et esse phantasmata mere poetica. Minorem difficultatem ad cogitationem de ipsa arte habent admixtæ ex argento et cassitero partes et figuræ. In miracula operis divini refert sulcos nigricantes Plinius XVII. 5.—*terram teneram, quæ vocatur pulla; erit igitur hæc optima et operi et satis,—illa post vomerem nitescens; qualem fons ingeniorum Homerus in armis a deo cælatum dixit, addiditque miraculum nigrescentis, quamvis fieret in auro.* (alii, ex auro.)—549. περὶ vel πέρι, περισσῶς, admodum: ut Ρ. 279. et passim.

550—560. Messis; argumentum et arti et poeticæ facultati egregie accommodatum: 580. ἔριθοι sunt, qui opus faciunt, seu mercenarii, seu famuli.—552. Dum culmi falce secantur, manipuli partim μετ' ὄγμον, serie, qua recisi fuerant deinceps, ἐπήτριμα, συνεχῆ καὶ πυκνὰ, cadebant in solum, partim fasciculis colligabantur; nam plura δράγματα colliguntur in ἄμαλλαν, *Garben*, et obligantur. 553. ἐν ἐλλεδανοῖσι, σὺν δεσμοῖς ab εἰλέω. Etiam Sc. Herc. 291. οἱ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον.—555. δραγμεύοντες, qui culmos demessos manipulatim colligunt et collectos porrigunt iis, qui ἄμαλλαν, fasciculum, vinciunt.—556. βασιλεὺς, herus, ἄναξ, adstabat an eam seriem me-

546. Ἐπιών.] Ἐπερχόμενος. Ὄγμους.] Τὰς ἐπ' εὐθείας τοῦ ἔργου διεξόδους φησὶ, τὰς αὔλακας. 548. Μελαίνετο.] Βαθεῖα ἐγίγνετο. Ἀρηρομένη.] Ἠροτριασμένη. 550. Τέμενος.] Χωρίον, εἰς τιμὴν ἀποτετμημένον τινί. Ἔριθοι.] Κυρίως μὲν ἐριουργοί. καταχρηστικῶς δὲ καὶ οἱ μισθοῦ ἐργαζόμενοι. 551. Ἤμων.] Ἐθέριζον. 552. Δράγματα.] Τὰ τῶν χειρῶν πληρώματα. Ἐπήτριμα.] Ἐπάλληλα, πυκνά. Ἔραζε.] Ἐπὶ τῆς γῆς. 553. Ἀμαλλοδετῆρες.] Οἱ τὰ δράγματα συνδεσμοῦντες, ὅ ἐστι τοὺς αὔλους τῶν ἀσταχύων. Ἐλλεδανοῖσι.] Τοῖς δεσμοῖς. Δέοντο.] Ἐδεσμοῦντο. 565. Δραγμεύοντες.] Δράγματα ἐπὶ δεσμὸν συνάγοντες. Ἀγκαλίδεσσιν.] Ἀγκάλαις. 556. Ἀσπερχές.] Ἀδιαλείπτως. Βασιλεύς.] Νῦν ὁ τοῦ χωρίου δεσπότης.

σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο·
βοῦν δ' ἱερεύσαντες μέγαν, ἄμφεπον· αἱ δὲ γυναῖκες
δεῖπνον ἐρίθοισι, λεύκ' ἄλφιτα πολλὰ πάλυνον.
Ἐν δὲ τίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν,
καλὴν, χρυσείην, μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
ἀμφὶ δὲ, κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτὴν,
τῇ νίσσοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν.
παρθενικαὶ δὲ καὶ ἠΐθεοι, ἀταλὰ φρονέοντες,
πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ

568. μελιϝηδέα.

tentium.—558. κήρυκες officia principum virorum et publica et domestica obibant.—559. βοῦν ἱερεύσαντες, simpliciter de mactatione, ut notum est; nulla vero pecus mactabatur, cujus primitiæ non diis consecrarentur; ita utraque res ad unam notionem redibat; ut in Odyssea locis pluribus. ἀμφέπον. Sollennia sunt πένεσθαι δαῖτα et τὴν δαῖτα πονεῖσθαι.—560. λεύκ' ἄλφιτα πολλὰ πάλυνον, scil. ἐπ' αὐτοῦ, τοῦ δείπνου, carnibus apponendis; nam caro assa farina aspersa tanquam crustam induebat. Alibi quoque ut Od. Ξ. 76, 77. Non aptum esset voc. παλύνειν, si intelligere vellemus paratum farina potum, ut sup. Λ. 630. nam hoc esset ἐνέμασσον, ἐνέμισγον ἄλφιτα ὕδατι.

561—572. Vindemia. Mirum est, quod in hac potissimum diversorum colorum fit mentio, et quod tam diversis coloribus est distincta ac variata. ἀλωὴ, vinea in plano h. l. βρίθουσα σταφυλῇσι, dicta est pro vitibus; erant ἄμπελοι, vites, βρίθουσαι σταφυλαῖς, βότρυσι. et erant uvæ maturæ ἀνά. h. e. ἀνὰ τὴν ἀλωήν. 563. ἑστήκει δὲ ἡ ἀλωὴ, h. e. αἱ ἄμπελοι ἑστήκεισαν, ἦσαν, (ἀνὰ) κάμαξιν. Ipsa vinea, cum vitibus, ex auro facta, uvæ autem purpureæ, pali quibus alligantur, argentei, fossa cærulea, et septum e plumbo candido. Si vere notio artis et operis similis obversata est poetæ animo: næ vixit ille ea ætate, qua metallorum tractandorum ratio esse debuit admodum elaborata.—564. κυανέην κάπετον. Quis sit κύανος et κασσίτερος disputatum jam est ad Λ. 24, 25. nec satis liquet.—566. ὅτε τρυγόῳεν τὰς βότρυας.—567. pueri ἀταλὰ φρονέοντες, ἁπαλοὶ, ἁβροί. ætate.

569—572. Suave phantasma, poeticum utique; puer stans in medio saltantium: Qui tamen illi sunt? aliine ac diversi ab iis qui uvas ferunt canistris? est ergo alius temporis articulus, vindemia jam facta. At est τοῖσι δ' ἐν μέσσοισι. Videntur ergo esse iidem vindemiantes: incedunt illi ac gestant calathos, in capite puta, factis ad numeros gressibus; σκαίροντες ἕποντο, puero quasi chorago antecedente cum

557. Γηθόσυνος κῆρ.] Χαίρων τῇ ψυχῇ. 558. Πένοντο.] Ἐνήργουν. 559. Ἄμφεπον.] Περὶ αὐτὸν εἵποντο, ἠσχολοῦντο. 560. Πάλυνον.] Ἐνέμισγον, ἔμασσον. 561. Βρίθουσαν.] Βαρουμένην τῷ καρπῷ. 563. Ἑστήκει δὲ κάμαξι.] Πᾶσα δὲ ἐκεχαράκωτο ἡ ἄμπελος. κάμαξιν οὖν στύλοις, οἵ εἰσι ξύλα ὀρθὰ παραπεπηγότα ταῖς ἀμπέλοις. 564. Κάπετον.] Κοῖλον ὄρυγμα, τάφρον. Ἕρκος.] Τειχίον. Ἔλασσεν.] Ἐποίησεν εἰς μῆκος. 565. Ἀταρπιτός.] Ἀταρπὸς, ὁδός.] 566. Νείσσοντο.] Ἐπορεύοντο. Φορῆες. Οἱ τὸν καρπὸν τῶν σταφυλῶν παραφέροντες. 567. Παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες.] Τρυφερὰ, νήπια, πρᾶα, κατ' ἐπικράτησιν δὲ τοῦ ἄρρενος εἴρηκε φρονέοντες, καὶ οὐ φρονέουσαι. Ἠΐθεοι.] Ἄγαμοι, ἀκμάζοντες, νέοι. Ἀταλά.] Τρυφερά.

ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε
λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ἀμαρτῇ
μολπῇ τ' ἰϋγμῷ τε, ποσὶ σκαίροντες ἕποντο.
'Εν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
αἱ δὲ βόες χρυσοῖο τετεύχατο, κασσιτέρου τε,
μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε
πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα.
χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσι
τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ, μακρὰ μεμυκὼς

571. vulg. ὁμαρτῇ. 576. vulg. περί. legendum διὰ ῥαδανὸν δονακῆα per arundinetum mobile.

lyra et ducente chorum incedentium. Suavior sic rerum adspectus; sicque acceperat quoque Philostratus jun. c. X. παρθένοι τε γὰρ καὶ ἠΐθεοι εὔιον καὶ βακχικὸν ἐν ῥυθμῷ βαίνουσιν, ἐνδιδόντος αὐτοῖς τὸν ῥυθμὸν ἑτέρου.—570. ὁ παῖς ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδε. Sunt plures jungendi et interpretandi modi; sequamur ordinem grammaticum, eumque elegantiorem, ipse puer ἄειδε καλὸν, ὑπὸ λίνον. ὑπῆδε τῷ λίνῳ, fidibus accinuit, voce seu submissa, seu molli ac suaviore.—571, 2. τοὶ δὲ ἕποντο, ῥήσσοντες (scil. τὸ πέδον, τὴν γῆν,) ὁμαρτῇ, σὺν μολπῇ τ' ἰϋγμῷ τε, σκαίροντες πόδεσσι, σὺν ποσί. pulsantes, quatientes pede terram.

573—586. Armentorum pascua; variatum argumentum per leones ea aggressos. Etiam in hac area colorum ratio habita est, plus quam in superioribus; boves auro et cassitero effecti; quatenus τετευγμένοι ἦσαν ἐκ χρυσοῦ, fuere sane fulvi; at, qui ex cassitero erant, fueruntne candidi an nigri? nam quis κασσίτερος fuerit, ut modo ad vs. 564, 5. monitum est, ignoramus; probabilius tamen ex aliis locis candidum cassiterum fuisse. ex auro pastores.

575. *ἀπὸ κόπρου. e stabulo. ἀπὸ τοῦ βουστάθμου.* etiam Od. K. 411. ἐπεσσεύοντο, cum dilectu positum, ad naturam pecudum pascua nota petentium.—576. παρὰ ῥοδανὸν δονακῆα. pascua erant ad amnem; et quidem *ad eam amnis partem, qua,* inundata ripa aquis, *arundinetum enatum erat;* hoc arundinetum, hunc δονακῆα, legimus esse ῥοδανὸν, voce haud dubie corrupta; pro qua veteres legerunt ῥαδαλὸν et ῥαδανόν. videtur prius, Zenodoti esse ea lectio fertur, præferendum esse, ut sit *mobile, vento quassatum.* δονακεὺς, male pro adjectivo vulgo habitum.—578. πόδας ἀργοὶ, ταχύποδες.—580. ταῦρον ἐρύγμηλον *mugientem.* ex ἐρύγηλος Υ. 404. ἤρυγεν ὡς ὅτε ταῦρος ἑλκό-

570. 'Ιμερόεν.] 'Επέραστον, καλόν. Λίνον δ' ὑπὸ καλὸν ἄειδεν.] Ἤτοι λῖνον. ὃ δὲ ἐξῆπτο ἀντὶ νευρᾶς τῆς κιθάρας, ἐπεὶ οἱ πρῶτοι τοῖς θεοῖς μετὰ ᾠδῆς ὑποκιθαρίζοντες, οὐκ ἐξ ἐντέρων κατεσκεύαζον τὰς κιθάρας, οὐχ ὅσιον, οὐδὲ θεοῖς ἀρεστὸν εἶναι ὑπολαμβάνοντες, διὰ τὸ ἐκ νεύρων πεποιῆσθαι, ἀλλὰ ἐκ λίνου πεποιημένου. ἢ Λῖνον δ' ὑπὸ καλὸν ἄειδεν, ἀντὶ τοῦ, τὴν ἐπὶ Λίνῳ τῷ 'Απόλλωνος παιδὶ ᾠδὴν ὄντι νηπίῳ, καὶ ὑπὸ κυνῶν ποιμενικῶν διασπασθέντι, πρώτην ᾀσθεῖσαν. 571. Λεπταλέῃ.] Λεπτῇ, ἡδείᾳ. 'Ρήσσοντες.] 'Αντὶ τοῦ κροτοῦντες σὺν ἁρμονίᾳ καὶ τύπῳ τοῖς ποσὶ τὸ ἔδαφος. 'Ομαρτῇ.] 'Ομοῦ καὶ κατὰ τὸ αὐτό. 572. 'Ιϋγμῷ.] Προσληπτέον τὸ σὺν ᾠδῇ καὶ διώξει. Σκαίροντες.] Κινούμενοι, σκιρτῶντες, ἢ πυκνῶς κινούμενοι. 575. Μυκηθμῷ.] Μυκήσει. Κόπρου.] Τῆς ἐπαύλεως, τοῦ βουστάθμου. 576. 'Ροδανόν.] Εὐδιάσειστον, εὐκίνητον. διὰ τοὺς ἐν αὐτῷ πεφυκότας καλάμους. Δονακῆα.] Δόνακας ἔχοντα, ἤγουν καλάμους. 578. Πόδας ἀργοί.] Ταχύποδες. 580. 'Ερύγμηλον.] Μέγα μυκώμενον, ἢ ἐρευγόμενον τὴν τροφήν.

ἕλκετο· τοὺς δὲ κύνες μετεκίαθον, ἠδ' αἰζηοί.
τὼ μὲν ἀναῤῥήξαντε βοὸς μεγάλοιο βοείην,
ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
αὔτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες.
οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον, ἔκ τ' ἀλέοντο.
Ἐν δὲ νομὸν ποίησε περικλυτὸς Ἀμφιγυήεις,
ἐν καλῇ βήσσῃ μέγαν οἰῶν ἀργεννάων,
σταθμούς τε, κλισίας τε κατηρεφέας, ἰδὲ σηκούς.
Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις,
τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησε καλλιπλοκάμῳ Ἀριάδνῃ.

581. vulg. τόν. 588. οἰϝῶν. 591. ϝίκελον.

μενος. Idem μεμυκώς.—584. οἱ δὲ νομῆες αὔτως ἐνδίεσαν. ἐνεδίωκον, *nec tamen aliquid efficiebant*; non enim prope accedere audebant nec ipsi nec canes.—585. ἀπετρωπῶντο λεόντων (ἀπὸ τοῦ) δακέειν αὐτούς. refugiebant canes, detrectabant, morsu appetere leones.

587—9. Pascua ovium cum stabulis et tuguriis et caulibus.

590—605. *Chorum* s. choricam saltationem expresserat Vulcanus, quam poeta descripsit, qualem sibi aliquis fingere potest animo, non, qualem ars potest exprimere. Attamen materiem et colorem ille memorat, enses ex auro, balteis argenteis suspensos.—591. τῷ ἴκελον. Extabat ergo in Creta exemplum similis operis, cujus auctor Dædalus ferebatur; adjectum famæ, factum id esse jussu, seu in gratiam, Ariadnes. Forte hæc saltatio, quæ argumentum operis constituebat, habebat aliquid singulare, quod Creticum morem referebat; est enim saltationis genus insolens: quæ observatio ad crisin hujus loci tenenda est.—592. ἤσκησε. vocabulo pro-

583. Λαφύσσετον.] Ἀθρόως ἤσθιον. 584. Ἐνδίεσαν.] Ἐνεκελεύοντο, παρορμῶντες ἐπέβαλλον. 585. Ἀπετρωπῶντο.] Ἀπετρέποντο. 586. Ἔκ τ' ἀλέοντο.] Καὶ ἐξέκλιναν. 588. Ἀργεννάων.] Λαμπρῶν. 589. Κλισίας.] Νῦν, τὰς τῶν ποιμνίων καὶ ποιμένων καταγωγάς. Κατηρεφέας.] Ἐσκεπασμένας, καταστέγους. Σηκούς.] Περιβόλους ἐν οἷς βοσκήματα ἵστανται. 590. Ἐν δὲ χορὸν ποίκιλλε.] Καὶ τὰ ἑξῆς. Ἐγκατεσκεύασε δὲ ἐπιμελῶς ὁ Ἥφαιστος καὶ χορὸν ὁμοίαν τάξιν ἔχοντα χορευόντων τῷ ὑπὸ Δαιδάλου τοῦ μηχανικοῦ κατασκευασθέντι Ἀριάδνῃ ἐν Κνωσσῷ πόλει τῆς Κρήτης. Ἱστόρηται ὅτι Θησέα παραγενόμενον ἐξ Ἀφιδνῶν εἰς Ἀθήνας νεωστὶ, καταλαβόντα δὲ τὸν δασμὸν ἀποπεμπόμενον Μίνωϊ εἰς Κρήτην, τοὺς δὶς ἑπτὰ ἠϊθέους καὶ παρθένους. ἐτέλουν δὲ τὸν δασμὸν οἱ Ἀθηναῖοι τοῦτον, ἐπὶ τῷ δεδολοφονηκέναι Ἀνδρόγεων τὸν παῖδα Μίνωος ἀγωνιζόμενον καὶ νικῶντα παρ' αὐτοῖς τὰ παναθήναια. ἑκόντα οὖν αὐτόν φασι συγκαταλέξαι τοῖς ἀπιοῦσι, καὶ παραγενόμενον εἰς Κρήτην, ἡδέως ὀφθῆναί φασιν ὑπὸ Ἀριάδνης τῆς τοῦ Μίνωος θυγατρός. καὶ διὰ τοῦτο τέχνῃ Δαιδάλου σωθῆναι τρόπῳ τοιῷδε. μίτον ἀγαθίδος ἔδωκε Δαίδαλος τῇ Ἀριάδνῃ, εἰπὼν δοῦναι τῷ Θησεῖ, ὅπως τὴν ἀρχὴν ἐξάψας τῆς εἰσόδου τῆς ἀγαθίδος, οὕτως ἀνελὼν αὐτὴν εἰσέλθοι εἰς τὸν λαβύρινθον· καὶ περιγενόμενος τοῦ θηρίου, πάλιν ἔχοι ῥαδίαν καὶ εὐεύρετον τὴν ἔξοδον τοῦ λαβυρίνθου, ποικίλως ἐπιπεπλεγμένους ἔχοντος τὰς εἰσόδους. ἐξελθὼν δὲ μετὰ τὸ νικῆσαι ὁ Θησεὺς μετὰ τῶν ἠϊθέων καὶ παρθένων χορὸν τοιοῦτον ἔπλεκεν ἐν κύκλῳ τοῖς θεοῖς, ὁποία καὶ ἡ τοῦ λαβυρίνθου

ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχεῦντ᾽, ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
τῶν δ᾽ αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
εἵατ᾽ ἐϋννήτους, ἧκα στίλβοντας ἐλαίῳ·
καί ῥ᾽ αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας
εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
οἱ δ᾽ ὅτε μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι
ῥεῖα μάλ᾽, ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν
ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν·
ἄλλοτε δ᾽ αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.

596. Ϝείατ᾽ et Ϝῆκα. vulg. εἵατο εὐνήτους.

prio artis, ἀσκεῖν, elaborare, ut jam vidimus Γ. 388.—593. ἔνθα μὲν in hac chorea effecti erant a Vulcano saltantes; non enim hæc ad Dædalum spectant.—ἀλφεσίβοιαι, amabiles, *quæ ad amorem sui allicerent;* hoc ex prisco more redditum: *quæ procos nanciscerentur*, a quibus emebantur a parentibus. In seriore ætate alio more nominantur puellæ, quæ dotem afferunt, ubi declarandæ sunt ingenuæ, nobiles, patrimæ et matrimæ.—595. Quæ sequuntur ad 605. saltem inde a 595. vix ab artifice expressa, sed tanquam a poeta mente concepta narrari puta. Ad chori apparatum maxime vestitus spectat, quippe ad sensus percutiendos valens; itaque puellæ *peplo tenui* sunt indutæ, et comas habent redimiculis vinctas; juvenes tunicis candore fulgentibus et gladiis insignes e balteo pendentibus. Debuit igitur hoc esse certum genus saltationis choricæ, forte Creticum. Ὀθόνην peplum reddo scilicet, quo totum corpus involvebatur exterius tunicæ injecto, ita ut quoque caput a cervice et vertice adductus velare posset. Docent hoc signa antiquæ artis. cf. Γ. 141. Apollon. IV. 466.—596. ἧκα στίλβοντας ἐλαίῳ χιτῶνας, antiqua loquendi forma, de nitore qui per oleum, tanquam ὑγρόν τι στίλβον, declaratur; forte antiquiores simpliciter στίλβειν ἐλαίῳ dixere; nos substituimus, *tanquam*, ὡς ἐλαίῳ. Sic Od. Γ. 408. Η. 107. χιτῶνας ἐϋννήτους. tunicas textas simplici filo. v. ad Φ. 31.—598. οἱ δ᾽ ὅτε μὲν et 602. ἄλλοτε, pro ὅτε μὲν, ὅτε δέ.—600. ὡς ὅτε τις. ad cyclicam saltationem spectare, ex comparatione apparet. Celeritatem motus in orbem declarat a celeritate rotæ figulinæ circumactæ; ὅτε πειρήσεται αἴ κε θέῃσιν, si quis figulus, opus aggressus, principio manus impulsu explorat rotam, sitne satis mobilis et facile circumagenda; itaque assidet figulus, ἑζόμενος, ut opus faciat. τροχὸν ἄρμενον ἐν παλάμῃσιν, ἐνάρμενον παλάμαις, habilem, quæ manu bene possit apprehendi et facile moveri. —602. est ὄρχησις κατὰ στροφὰς, nam procedunt ordinibus rectis, et aliquantum pro-

εἴσοδός τε καὶ ἔξοδος αὐτῷ ἐγεγόνει. τῆς δὴ χορείας τὴν ἐμπειρίαν ὁ Δαίδαλος αὐτοῖς ὑποδείξας ἐποίησε. Ποίκιλλε.] Ποικίλῃ τορνεύσει ἐποίει. 593. Ἀλφεσίβοιαι.] Ἔντιμοι. καὶ διὰ τὴν εὐμορφίαν βόας εὑρίσκουσαι ἕδνα. θρέμματα γὰρ τὸ παλαιὸν ἐδίδοτο πρὸ τῶν γάμων δῶρα. ὠνόμασται δὲ ἀπὸ μέρους. ἐπειδὴ ἔντιμοι τὸ παλαιὸν οἱ βόες. ἀλφαίνειν γοῦν τὸ εὑρίσκειν, καὶ ἀλφὴ ἡ τιμὴ, καὶ ἄλφα τὸ στοιχεῖον ὅ τι εὑρέθη πρὸ τῶν ἄλλων. 594. Ἐπὶ καρπῷ χεῖρας ἔχοντες.] Ὀρθῶς καὶ τοῦτο κατ᾽ ἐπικράτησιν τοῦ ἀρσενικοῦ πέφρακεν. 595. Ὀθόνας.] Διαφανεῖς ἐσθῆτας, λαμπράς. 596. Εἵαται.] Ἠμφιεσμέναι ἦσαν. Εὐνήτους.] Εὖ νενησμένους, καὶ εἰργασμένους, λεπτούς. Ἧκα στίλβοντας ἐλαίῳ.] Ἠρέμα πῶς στίλβοντας ὡς ἔλαιον. 597. Στεφάνας.] Κόσμους γυναικείους χρυσοῦς περὶ κεφαλὴν κειμένους. 598. Τελαμώνων.] Ἀναφορέων. 599. Θρέξασκον.] Ἐν κύκλῳ ἔτρεχον. Ἐπισταμένοισιν.] Ἐπιστήμοσιν, ἐμπείροις. 600. Ἄρμενον.] Εὖ ἡρμοσμένον πάντοθεν. 601. Ἑζόμενος κεραμεύς.] Διὰ τῆς τοῦ χοροῦ παραβολῆς ἔγκυκλον αὐτῶν τὴν πορείαν ὑφιστᾷ. Πειρήσεται.] Ἀποπειρώμενος ἀνακινήσει. 602. Ἐπὶ στίχας.] Ἐπ᾽ ὀρθὴν τάξιν.

πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
Ἐν δὲ τίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο
ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
Αὐτὰρ ἐπειδὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε,
τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς·
τεῦξε δέ οἱ κόρυθα βριαρὴν, κροτάφοις ἀραρυῖαν,
καλὴν, δαιδαλέην· ἐπὶ δὲ χρύσεον λόφον ἧκε·
τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.
Αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς Ἀμφιγυήεις,
μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας.
ἡ δ', ἴρηξ ὣς, ἆλτο κατ' Οὐλύμπου νιφόεντος,
τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα.

609. *ἄρα Fοι.* 610. *δέ Fοι.* 612. *δέ Fοι.* 615. *Fῶς*, Bentl.

gressi iterum se convertunt. *θρέξασκον ἐπὶ στίχας* (*ἐν*) *ἀλλήλοις*, inter se divisi in certos numeros et ordines: alii post alios.—604. *δύο κυβιστητῆρε.* Spectat et hoc ad certum ac singulare aliquod saltationis genus e more prisco, cum essent, qui seorsum a ceteris in medium prodirent et motus exquisitiores facerent, in quibus et hi erant, ut capiti insisterent et pedibus sublatis motus numerosos facerent. Videri potest hæc *ὄρχησις* propria fuisse Cretensibus, et cum ab his plura instituta ad Lacones pervenerint, potuit ea illis quoque familiaris esse, ut apud Menelaum hospites Telemachus et Pisistratus eo spectaculo delectarentur Od. Δ. 18, 19. ubi sunt iidem versus, interposito alio versu post *τερπόμενοι, μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς φορμίζων, δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς μολπῆς ἐξάρχοντες* (*ἐξάρχοντος*) *ἐδίνευον κατὰ μέσσον.* Ex tot locis similibus et vers. assutis, quos notavi, non magno acumine opus est ad divinandum, vs. 605. esse a rhapsodo ex eodem loco assutum ad explendam sententiam antecedentem. Nota est disputatio de isto loco ap. Athen. IV. 28. p. 180, 1. Videmus tamen ap. Herodot. VI. 129. etiam Hippocliden Atheniensem hac *ὀρχήσει* spectari voluisse, nota narratione, cum apud Clisthenem nuptiis filiæ excideret. Spectat res ad Solonis tempora; nam Clisthenes Sicyonis tyrannus vicit Pythia Ol. XLIX. 3. *ἐδίνευον*, videtur proprie in ea *ὀρχήσει* dictum esse, forte ut in ipsa *κυβιστήσει*, capiti insistendo corpus rotarent. Sed quod vs. 604, 5. *κυβιστητῆρες ἐξάρχουσι μολπῆς* difficultatem habet, quandoquidem *ἐξάρχειν κιθαρῳδοῦ* est, non *τῶν κυβιστητήρων.*

607. *ἄντυγα πὰρ πυμάτην.* de hac jam 479, 480. non in ipsa ora Oceanus expressus erat, sed interius super oram. Hic utique manifestum fit, auctorem voluisse orbem terrarum in clipeo esse adumbratum.—609. Ex ære puta reliqua quoque arma esse facta; itaque adjicitur vs. 611. aurea crista, seu potius summa galeæ pars cum cono, cui crista e juba inserta erat.—612. *ἑανοῦ κασσιτέροιο*, ductili. De cassitero monitum sup. ad 564.

604. Κυβιστητῆρε.] Ὀρχησταί. 607. Ἄντυγα πὰρ πυμάτην.] Παρὰ τὸ ἔσχατον μέρος τῆς ἀσπίδος. πέριξ. Πύκα ποιητοῖο.] Ἐπιμελῶς, καὶ συνετῶς κατεσκευασμένου. 612. Ἑανοῦ.] Λαμπροῦ, εὐχύτου, ἁπαλοῦ. 615. Ἴρηξ.] Ἱέραξ.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Τ.

ARGUMENTUM.

DIE orto apportat Thetis arma Achilli; qui adspectu commotus, et a matre accepto promisso, corpus Patrocli incorruptum iri servatum, ejus jussu Achivos ad concionem vocat 1—41. Conveniunt frequentes cum ipso Agamemnone; adversus hunc Achilles profitetur, iram se animo dimittere et in votis habere, ut Achivi ad pugnam educantur—73. Læti omnes verba accipiunt, inprimisque Agamemnon, qui oratione habita stulte a se facta excusat, reatum in Aten conjicit, promittit eadem dona, quibus antea (Il. I.) Achillem placare voluerat—144. Omnis moræ impatiens Achilles confestim in pugnam ruere mavult,—153. Ulysses non nisi cibo sumto copias educi posse docet; interea donis allatis publice inter Agamemnonem et Achillem res compositum iri—183. adstipulatur Agamemnon—197. ægre assentitur Achilles, at cibum sumere recusat—214. refellit ejus dicta Ulysses—237. Interea missi Nestoris filii afferunt dona, ab Agamemnone promissa, cum Briseide; ipse Agamemnon jurejurando fidem facit, intactam a se Briseidem reddi—268. Achillis jussu ad tentorium dona absportantur cum Briseide:—282. quæ conspecto Patrocli corpore lamenta movet—302. adveniunt seniores Achivorum, Achillemque hortantur, ut cibo sumto vires roboret; at ille pertinaciter se facturum negat, et in lamenta de Patrocli morte effunditur—338. Cum verendum esset, ne impastus in pugnam proditurus Achilles viribus deficeret, missa a Jove Minerva nectar et ambrosiam ei instillat—356.

Interea corpore curato prodeunt agmina in aciem; ipse Achilles se armat; equos junctos affatus hortatur, ut videant, ne nisi se salvo et incolumi in castra redeant; respondet alter ex iis Xanthus, non sua culpa factum esse, ut Patroclus cæsus caderet; simile tamen fatum ipsum Achillem manere—417. quod Achilles profitetur se haud curare, dummodo Trojanos ultus fuerit. ad f.

Deorum interventus est primo Thetidis, quæ arma apportat, et nectare et ambrosia instillata Patrocli corpus a corruptione servat 1—39. tum Minervæ a Jove missæ, ut Achillis omnem cibum detrectantis vires pari modo nectare et ambrosia instillata recreet. 340—356. Nam episodium de Ate 95—133 a Jove ex Olympo deturbata non ad ipsam actionem Iliadis spectat.

Inscripta a grammaticis rhapsodia a potiore parte, *μήνιδος ἀπόῤῥιψις*.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Τ. ῾ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΘΕΤΙΔΟΣ κομισάσης Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἡφαίστου, συναγαγὼν εἰς ἐκκλησίαν

τοὺς Ἕλληνας ὁ ἥρως, ἀπόῤῥησιν ποιεῖται τῆς μήνιδος, καὶ λαμβάνει τὰ δῶρα ἅπερ αὐτῷ Ἀγαμέμνων δώσειν ὑπέσχετο. Τροφὴν δὲ ἀνελομένων ἐκείνων, αὐτὸς ἄσιτος διαμείνας ὁπλίζεται, καὶ στρατείαν ἐξάγει ἐπὶ τὸν πόλεμον. ὁ δὲ ἕτερος τῶν ἵππων αὐτοῦ Ξάνθος τὴν ἐσομένην αὐτῷ ἀναίρεσιν καταμαντεύεται, ᾧ καὶ ἐπιπλήττει.

Ταῦ δ' ἀπέληγε χόλοιο καὶ ἔκθορε δῖος Ἀχιλλεύς.

ἨΩΣ μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων
ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
ἡ δ' ἐς νῆας ἵκανε, θεοῦ πάρα δῶρα φέρουσα.
εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱὸν,
κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
μύρονθ'. ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τέκνον ἐμὸν, τοῦτον μὲν ἐάσομεν, ἀχνύμενοί περ,
κεῖσθαι, ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο,
καλὰ μάλ', οἷ' οὔπω τις ἀνὴρ ὤμοισι φόρησεν.
Ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκε
πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν. αὐτὰρ Ἀχιλλεὺς
ὡς εἶδ', ὥς μιν μᾶλλον ἔδυ χόλος· ἐν δέ οἱ ὄσσε
δεινὸν ὑπὸ βλεφάρων, ὡσεὶ σέλας, ἐξεφάανθεν·
τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσι τετάρπετο, δαίδαλα λεύσσων,

4. περικείμενον Fόν. v. Obss. 7. ἄρα Fοι φῦ χειρὶ, Fέπος. 15. ἐσFιδέειν.
16. Fεῖδ'—δέ Fοι. 19. φρεσὶ Fῇσι. vulg. φρεσὶν ᾗσιν ἐτάρπετο.

1—18. Apportat orto die Thetis arma Vulcani ad Achillem; quorum adspectu ille delectatur.—Una autem nocte arma a deo facta esse puta.

2. ἀθανάτοισι, quia etiam in Olympo dies noctesque sibi succedunt, ut jam aliquoties vidimus.—4. περικείμενον, ut ἀμφιχυθεὶς, περιφὺς, de amplexu.—9. ἐπειδὴ πρῶτα. *cum semel.* ut jam Α. 235.—13. τὰ δ' ἀνέβραχε πάντα. cum in terram reponerentur, resonabant. δαίδαλα. epitheton pro voce primaria, vel cum vellet dicere τὰ δὲ τεύχεα δαίδαλα, vel quod usus erat τὰ δαίδαλα dicere simpl. pro opere arte facto; sic et 19. et Σ. 482.—14. Myrmidones contremiscunt primum fragore audito, tum fulgore armorum repente oculos præstringente. Magnifice hæc in majus aucta.—15. Achilles ira inceditur multo magis ex adspectu, præclare: scilicet recordatione armorum Patroclo ademtorum, et ulciscendi cupiditate.

19—39. Armorum adspectu cupiditate pugnandi incensus Achilles a Patrocli corpore discessurus, de eo a corruptione vindicando sollicitus, a matre hac cura leva-

4. Περικείμενον.] Περιπεπλεγμένον. 5. Λιγέως.] Περιπαθῶς, ὀδυνηρῶς, ὀξέως. 6. Μύροντο.] Ἐθρήνουν. 9. Ἰότητι.] Βουλήσει. 10. Τύνη.] Σύ. Δωρικῶς. 13. Ἀνέβραχε.] Ποιὸν ἦχον ἀπετέλεσεν. 15. Ἔτρεσαν.] Ἐφοβήθησαν. 19. Ἐτάρπετο.] Ἐτέρφθη.

αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·
Μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν, οἷ' ἐπιεικὲς
ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
νῦν δ' ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶς
δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
μυῖαι, καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλάς,
εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν·
ἐκ δ' αἰὼν πέφαται· κατὰ δὲ χρόα πάντα σαπήῃ.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα,
μυίας, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
ἤν περ γὰρ κῆταί γε τελεσφόρον εἰς ἐνιαυτόν,
αἰεὶ τῷδ' ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.
ἀλλὰ σύ γ' εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιούς,
μῆνιν ἀποειπὼν Ἀγαμέμνονι, ποιμένι λαῶν,

20. μητέρα Fὴν Fέπεα. 21. ἐπιFεικές. 22. Fέργ'. 26. ἀFεικίσσωσι.
27. vulg. σαπείῃ. 32. vulg. κεῖται. 35. ἀποFειπών.

tur, et jubetur concione convocata iram Agamemnoni remittere tumque in pugnam exire.

24. Cum Achilles ad pugnam festinaturus est, necessario et ipsi et poetæ fuit cogitandum de corpore Patrocli incolumi servando a putredine, inprimis sub illo cœlo. Narratum ab antiquioribus reperit seu excogitavit poeta modum conditurae similem, v. mox 39. aut a legendis ossibus petitum: nam Achillis ossa lecta οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι. Od. Ω. 73. Nullus in his est commentis locus; res aperta per se. Sic inf. Ψ. 186. Hectoris cadaver unguento servatur: Venus ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ, Ἀμβροσίῳ,—25, 26. μὴ ἐγγείνωνται pro ἐγγεννήσωσι. μὴ γεννῶσιν αἱ μυῖαι εὐλάς, καταδῦσαι τὰς ὠτειλάς. Vermes pullulant ex muscarum ovulis, quæ tamen veteres non memorant, sed: ἐντίκτουσί τι αἱ μυῖαι.—27. αἰὼν δ' ἐκπέφαται sunt hæc in medio interposita: δὲ pro γάρ. *vita enim expulsa est.* φάειν, φονεύειν, nunc φθείρειν. κατὰ δὲ χρόα πάντα σαπήῃ jungenda sunt cum μὴ—ἀεικίσσωσι—καὶ κατασαπῇ ὁ νεκρὸς (κατὰ) πάντα χρόα, κατὰ πᾶν σῶμα.—30. ἄγρια φῦλα μυιῶν antiqua periphrasi a poetis servata pro μυῖαι ἄγριαι, *feræ, indomitæ*, quæ abigi nequeunt.—33. χρὼς ἔμπεδος. *incolume* h. l. corpus.—35. μῆνιν ἀποειπὼν Ἀγαμέμνονι *remittens*, deponens. Supra A. 283. erat

21. Οἷ' ἐπιεικές.] Ὁποῖα εἰκὸς θεοῦ ἔργα εἶναι. τουτέστιν οἷα ἔπρεπε θεὸν παρέχειν. ἐπιεικὲς γὰρ τὸ πρέπον. 25. Καδδῦσαι.] Κατελθοῦσαι. Χαλκοτύπους.] Ὑπὸ σιδήρου τρωθέντας. 26. Εὐλὰς ἐγγείνωνται.] Σκώληκας ἐγγεννήσωσιν. ἴσως δὲ εἴρηνται εὐλαὶ οἱ σκώληκες, παρὰ τὴν εἴλησιν. Ἀεικίσσωσιν.] Ἀφανίσωσιν, αἰκίσωσιν. 27. Ἐκ δ' αἰὼν πέφαται.] Ἤτοι ἀνήρηται ὁ βίος. ὅ ἐστι ζωῆς ἐστέρηται. ἢ ὡς οἱ γλωσσογράφοι, αἰὼν ἔφθαρται. ὅ ἐστιν ὁ νωτιαῖος μυελός. Πέφαται.] Τέτρωται, ἀνήρηται, ἠφάνισται. 29. Μελόντων.] Ἀντὶ τοῦ μελέτωσαν. 30. Πειρήσω.] Πειράσομαι. Ἀλαλκεῖν.] Ἀλεξῆσαι, βοηθῆσαι. Φῦλα.] Ἔθνη, γένη. 31. Ἀρηϊφάτους.] Ἐν πολέμοις πεφονευμένους, ἢ σιδήρῳ. καὶ γὰρ ὁ σίδηρος ἄρης. 32. Κέεται.] Ἀντὶ τοῦ κεῖται. Τελεσφόρον.] Τὸν πάντα τελειοῦντα. ὅ ἐστι τελείους καρποὺς φέροντα.

αἶψα μαλ' ἐς πολεμον θωρησσεο, δυσεο δ' ἀλκην.
Ὣς ἄρα φωνήσασα, μενος πολυθαρσὲς ἐνῆκε·
Πατρόκλῳ δ' αὖτ' ἀμβροσιην καὶ νέκταρ ἐρυθρὸν
στάξε κατὰ ῥινῶν, ινα οἱ χρὼς ἔμπεδος εἰη.
Αὐτὰρ ὁ βῆ παρα θῖνα θαλασσης δῖος Ἀχιλλεὺς,
σμερδαλέα ἰάχων, ὦρσε δ' ἥρωας Ἀχαιούς.
καί ῥ', οἵπερ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
οἵ τε κυβερνῆται, καὶ ἔχον οἰήϊα νηῶν,
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες·
καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δε μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
τὼ δε δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδειδης τε μενεπτολεμος, καὶ δῖος Ὀδυσσεὺς,
ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
κὰδ δὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες.

39. ἵνα Ϝοι. 41. σμερδαλέα ϜιϜάχων.

μεθίμεν χόλον.—36. δύσεο δ' ἀλκήν. jam aliquoties usum τοῦ δύεσθαι, δύσεσθαι, vidimus; ut *indui* dicantur, quæ sumuntur, adhibentur, exseruntur. *et utere virtute tua. exere virtutem.*—37. μένος ἐνῆκε, quod solent facere dii, modo non semper declarato, alibi afflatu, interdum tactu. ut sup. N. 59. ubi v.—38. ἀμβροσίην καὶ νέκταρ ἐρυθρόν. A numine petitum est remedium, quod vulgari usu erat parandum antisepticis odoribus. Unguentum esse ἀμβροσίην h. l. manifestum est: subint. ὀδμὴν, *divinum odorem.* alterum *nectar* diis paratum esse tanquam vinum generosius, ejusque notionem a vini inter mortales usu petitam esse, apparet ex epitheto ἐρυθρόν. Nam hoc vini genere maxime usi erant antiquiores Græci. Norant iidem vim ejus adstringentem et antisepticam: de qua h. l. cogitasse videntur.

40—54. Achilles convocat Achivos non præconis, sed sua voce: re nova perculsi omnis multitudo accurrit.

40. παρὰ θῖνα, inde a Sigeo, in dextro cornu, procedit in medium castrorum, in quo ἀγορὰ erat; ideoque incedit *secundum littus.* cf. Θ. 223.—42. Nondum remiges et milites diversi erant ordinis; sed heroes ipsi remigabant; at gubernatores et qui penum victumque curabant extra pugnantium numerum fuisse videmus. νεῶν ἐν ἀγῶνι. qui in ναυστάθμῳ manere solebant, ut jam O. 428—43. καὶ οἳ ἔχον, καὶ οἳ ἔσαν. dura ellipsi.—44. Constituti ergo in exercitu fuere certi homines ad distribuendum victum.—46. δηρὸν δὲ μ. modo antiquo pro δηρὸν γάρ. ὃς δηρὸν ἐπέπαυτο. ut jam Σ. 248. —50. μετὰ πρώτῃ ἀγορῇ ἵζοντο in primis sedibus tanquam principes.

37. Ἐνῆκεν.] Ἐνέβαλεν. 38. Ἀμβροσίην.] Θειότητα. 39. Χρὼς ἔμπεδος.] Τὸ σῶμα ἄφθορον. 40. Αὐτὰρ ὁ βῆ.] Ἐζήτηται διὰ ποίαν αἰτίαν οὐ χρῆται κήρυξι ὁ Ἀχιλλεὺς πρὸς τὸ συγκαλέσαι τοὺς ὄχλους. Ῥητέον οὖν ὅτι ἔθος ἐστὶν ἀρχαῖον αὐτοῦ τοῦτο. οὕτως γοῦν καὶ ἐν τῇ α ῥαψῳδίᾳ αὐτὸς Ἀχιλλεὺς συγκαλεῖ. ἄλλως τε καὶ διὰ τὴν χαρὰν μετὰ σπουδῆς συνδεδραμήκασιν, οὐδὲ τοὺς κήρυκας ἀναμείναντες. 43. Οἰήϊα.] Οἴακας, πηδάλια. 44. Ταμίαι.] Οἱ φύλακες τῶν πρὸς τροφήν. 47. Τὼ δὲ δύω σκάζοντε.] Συλληπτικῶς πέφρακε. μόνος γὰρ ὁ Διομήδης ὤφειλε σκάζειν κατὰ τοῦ ταρσοῦ τετρωμένος. ὁ μέντοι Ὀδυσσεὺς τὴν πλευρὰν, εἰ μὴ κατὰ συμπάθειαν τῶν μερῶν δόξαιμεν αὐτὸν τοῦτο πεπονθέναι. 49. Ἐρειδομένω.] Ἐπερειδόμενοι, σκηριπτόμενοι. 50. Πρώτῃ ἀγορῇ.] Τῇ προεδρείᾳ τὸ δέ.

αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
αὐτὰρ ἐπειδὴ πάντες ἀολλίσθησαν Ἀχαιοί,
τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
ἔπλετο, σοὶ καὶ ἐμοί· ὅτε νῶϊ περ, ἀχνυμένω κῆρ,
θυμοβόρῳ ἔριδι μενέηναμεν, εἵνεκα κούρης.
τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ,
ἤματι τῷ, ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
τῷ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας
δυσμενέων ὑπὸ χερσὶν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέως αἰεὶ μενεαινέμεν. ἀλλ' ἄγε θᾶσσον
ὄτρυνον πόλεμόνδε καρηκομόωντας Ἀχαιοὺς,
ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίον ἐλθὼν,

51. ἦλθε Fάναξ. 70. vulg. ἀντίος.

53. Coon vulneraverat Agamemnonem sup. Λ. 251. Diomeden Paris sagitta Λ. 376. et Ulyssem Socus Λ. 436. sq.

55—73. Inde Achilles ad dicendum surgit, et Agamemnoni omnem simultatem se abdicare profitetur, tum, ut pugna fiat, hortatur. Oratio homine generosæ indolis digna, qui ira semel discussa injuriæ acceptæ facile obliviscitur.

56. ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον ἔπλετο. reticescit reliqua: satius fuisset, si hoc, quod nunc facimus, τόδε, τὸ ὁμονοεῖν, fecissemus tum, τότε, ὅτε νῶϊ περ μενεήναμεν. Ita est idem, quod nos diceremus; melius fuisset, *si nunquam in hanc contentionem descendissemus.*—57. ἀχνυμένω κῆρ, dolentes alter repetita Chryseide, alter erepta Briseide.—58. ἔριδι μενεήναμεν, ὠργιζόμεθα. cum dilectu verborum, etiam θυμοβόρῳ ἔριδι, *animum vexante*, ut jam Η. 210.—59. Iterum a Dianæ sagittis repetita mors violenta et justo maturior: quæ observatio nunc inter vulgares habetur. ἐν νήεσσιν in castris.—60. Lyrnesso capta Briseis abducta: ut vidimus Β. 690. erat una ex XI urbibus Troadis ab Achille eversis.—62. ἐμεῦ ἀπομηνίσαντος nunc est *in ira perseverante me.*—66. ἀνάγκῃ l. inviti l. rebus sic exigentibus l. omnibus viribus, dolorem comprimendo. Versum jam vidimus Π. 60—67, 68. οὐδέ τι χρὴ, ἀσκελέως αἰεὶ ἐμὲ μενεαινέμεν. Nunc χρὴ pro εἰκός ἐστι *consentaneum, rectum, decorum.* ἀσκε-

51. Δεύτατος.] Ἔσχατος. 56. Ἄρειον.] Κατ' ἐπερώτησιν ἀναγνωστέον. θέλει γὰρ εἰπεῖν, ὅτι ἄρειον ἀμφοτέροις ὁμονοεῖν ὑπάρχει. Ἄρειον.] Βέλτιον. 60. Λυρνησσόν.] Πόλις τῆς Ὑποπλακίου Θήβης τῆς Κιλικίας. 61. Τῷ κ' οὐ τόσσοι.] Οὕτως ἂν οὐ τοσοῦτοι. Ὀδὰξ ἕλον ἄσπετον οὖδας.] Ἔδακον τὴν γῆν ἀναιρεθέντες. 65. Προτετύχθαι.] Προγεγονέναι. 68. Ἀσκελέως.] Ἄγαν σκλη-

αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν. ἀλλά τιν' οἴω
ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι
δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο.
 Ὣς ἔφαθ'· οἱ δὲ χάρησαν ἐϋκνήμιδες Ἀχαιοὶ,
μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος.
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς·
 Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν
ὑββάλλειν· χαλεπὸν γὰρ, ἐπιστάμενόν περ ἐόντα.
ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι,
ἢ εἴποι; βλάβεται δὲ, λιγύς περ ἐὼν ἀγορητής.
Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι

74. vulg. οἱ δ' ἐχάρησαν. 76. μετέϝειπε ϝάναξ. 79. οὐδέ ϝέϝοικε. 82. ϝείποι.

λίως, *continuo, sine fine.* nam quod siccatum, induruit, nihil remittit.—71. ἰαύειν hac nocte ut ante ad castra pernoctare, ἐπαυλίζεσθαι; et τινὰ pro πολλούς. *ante vallum,* ἐπὶ νηυσίν.—72. γόνυ κάμψειν, considere et se e fuga recipere. Puto fore qui salvos se ex pugna evasisse lætentur. Lecti versus jam H. 118, 119.

74—144. Excipit Achillem Agamemnon longa oratione, eaque prorsus ad priscorum hominum sensum ac morem composita. Primo ut se patienter audiant, rogat; tum iracundiæ suæ stultitiam fatetur, sed culpam a se avertit in fatalem aliquam necessitatem, qua ita fieri debuerit, et qua ipsi dii adducantur ut inviti faciant aliquid mox exitiosum futurum; appellat hanc *Aten*, et de ea disserit more veterum hominum, ut in personam mutet, et prædicata in factum vertat, eoque mythum enarret: quem mox videbimus. Inde, 134. se stultitiæ dudum pœnituisse et nunc pro injuria satisfacere et muneribus placare velle Achillem pronuntiat.

78—82. *Audite me dicentem, nec interpellate me. Est enim molesta res dicenti, si interpelletur strepitu tumultuantium, etiamsi sit bonus orator.* Scilicet veretur Agamemnon tumultum Achivorum pervicaciam ejus accusantium, et tot fortissimorum virorum cædes et vulnera exprobrantium; forte et metuentium, ne iterum nova expostulatione cum Achille iras redintegret. Vividior fit rerum propositarum species, si, Agamemnone ad dicendum se parante, concionem commotam et tumultuantem ante oculos nobis ponamus; ut in dramatibus, quæ legimus, hoc idem sæpe faciendum est.—79. ἑσταότος simpliciter dicentis; ejus qui ad dicendum surgit. nam ipse vulnere impeditus non stabat, ut v. 77. patet. καλόν ἐστι, consentaneum, æquum est, ἐοικὸς audire dicentem. οὐδὲ ἔοικεν, ἐοικός ἐστιν, ὑποβάλλειν, κραυγάζειν καὶ ὑποκρούεσθαι τὸν λόγον. non autem decet strepitu moto *interpellare* dicentem: quod faciebant forte aut facere poterant οἱ φιλαχιλλεῖς, qui Achilli studebant, Agamemnoni vero irascebantur.—82. βλάβεται, βλάπτεται λιγύς περ ἐὼν ἀγορητής. et licet sit orator sonora voce instructus, non auditur, eoque non persuadet, sive quod conturbatur, sive quod vox strepitu obtunditur: pro hoc vetus poeta generali voce utitur: noxa afficitur, h. e. successum non habet.—83. Πηλείδῃ μὲν ἐγὼ ἐνδείξομαι scil. τὸν λό-

ρῶς, ἀμεταστρεπτί. Μενεαινέμεν.] Ὀργίζεσθαι. 71. Ἰαύειν.] Κατευνάζεσθαι. 77. Ἐξ ἕδρης.] Ἐκ τῆς καθέδρας. 79. Ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν Ὑββάλλειν.] Εἰδὼς ὁ Ἀγαμέμνων, ὅτι μέλλει θορυβεῖσθαι ὡς αἴτιος γεγονὼς φθορᾶς τῇ Ἑλληνικῇ στρατιᾷ, ἡσυχίαν ἑαυτῷ προκατασκευάζει λέγων, δύσκολον εἶναι ἐν πολλῷ θορύβῳ διαλέγεσθαι. ἔνιοι δὲ καθεζόμενον τὸν Ἀγαμέμνονα ἐπενόησαν δημηγορεῖν. 80. Ὑββάλλειν.] Ὑποκρούειν, ἐμποδίζειν τὸν λέγοντα. τινὲς δὲ κακῶς ἤκουσαν τὸ δι' ἑτέρου λέγειν. Ἐπιστάμενον.] Ἔμπειρον. 82. Βλάβεται δέ.] Ἐμποδίζεται, βλάπτεται. 83. Πηλείδῃ μὲν

σύνθεσθ', Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος,
πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
καί τέ με νεικείεσκον. ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννὺς,
οἵ τέ μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,
ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
ἀλλὰ τί κε ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ

84. γνῶτε Ϝέκαστος. 85. ἔϜειπον. 90. vulgo κεν ῥέξαιμι.

γοι. convertam verba ad Achillem. ut ἀποδεῖξαι. ἐπιδεῖξαι de dicente. αὐτὰρ οἱ ἄλλοι. at vos ceteri, o Achivi, percipite et recte considerate ea, quæ dicturus sum.

85. πολλάκι δή μοι τοῦτον μῦθον. non eloquitur, quænam hæc dicta sint: scil. objurgantium eum, quod injuria in Achillem et ira ac rixa intempestiva abalienaverat Achillem, hujusque ab armis discessu Achivis tot strages arcessiverat. Fuerat ex numero increpantium Nestor: I. 104. sq.—87. ἐγὼ δ' οὐκ αἴτιός εἰμι, ἀλλὰ Ζεύς. Bene ad morem hominum, culpam calide et stulte perpetratorum in fatalem aliquam necessitatem transferentium. Decantatum hoc in Tragicis, etiam in facinoribus perpetratis, ut Clytæmnestra marito interfecto ad Orestem: ἡ Μοῖρα τούτων, ὦ τέκνον, παραιτία. Æschyl. Choeph. 910. Ζεὺς, tanquam auctor omnium rerum, etiam fatalium. Μοῖρα, quæ fata ordinat, alia cum Jove, alia, quibus ipse Jupiter tenetur. Ἐριννὺς, quæ ἄτην, facinus improbum, ulciscitur.—88. οἵ τέ μοι εἰν ἀγορῇ. hæc respiciunt narrata A. 130. sq. ἔμβαλον ἄγριον ἄτην, quæ mox in personam mutata procedit, nunc est ira et rixa qua occæcatus Achillem injuria affecerat.—90, 91. ἡ θεὸς πρέσβα, Διὸς θυγάτηρ, Ἄτη, διατελευτᾷ πάντα, διατελεῖ, ad effectum adducit, quæ ipsa in fraudem hominum machinatur. Est ἄτη exemplum illustre sermonis symbolici antiquorum hominum varia inter se quodammodo cognata, quod inprimis in affectibus animi locum habet, complexi; est enim primo, vecordia animi, ira, superbia aliove affectu, ad pravum facinus abrepti, quæ sæpe a veteribus ad fatalem aliquam necessitatem, ad dei alicujus invidiam vel fraudem refertur, qua mens hominis occæcatur; ut modo vss. 87, 88. vel proturbatur: ut Π. 805, 6. Ex tali sensu seu facinore ἄτη est ὕβρις, injuria, contumelia aliorum ex superbia et ira. Sup. I. 500. 1, 2. in personam mutata; tum ipsum flagitium tali animo perpetratum; sic Paridis, ἄτη Z. 356. Ω. 28. ἄται Agamemnonis I. 115, 116. ἁμαρτίαι. ἀδικίαι. porro reatus ex facinore perpetrato et pœna debita; malum et calamitas facinore, animi errore vel fraude, arcessita: sic quoties Agamemnon suam ἄτην conqueritur, insolentiæ suæ effectum B. 111. Θ. 237. et al. Interdum hæc omnia ad βλάβης notionem revocantur, et ἄτη comprehendit plura ex concomitantibus: ut in Ate dea I. 500. sq. et in loco nostro. cf. ad I. 115. Sollertia ingenii se probat in abstractis, ac mente, non sensu, perceptis, forma ac specie ad sensus induendis. Ea itaque ἄτη, quam paullo ante vidimus, noxa ac stultitia, nunc *dea* est, ut I. 500. sq. (nec tamen facie prorsus eadem) est *Jovis filia*, ut solent ad Jovem omnia referri; contra Eridis filia est in Theog. 226. 230. alio respectu: quandoquidem ex animi affectu et impetu vecordiaque proficiscitur ἄτη. Quæ gentis et originis diversitas pro diverso consilio a poetis admittitur. est πρέσβα, σεμνὴ, dea. ἣ πάντας ἀᾶται, βλάπτει, *promiscue omnes deos hominesque illo malo afficit, et* hactenus illa est *exitiosa*, οὐλομένη. Sequitur: 92, 93. *eam opprimere et invadere homines inopinato;* quatenus animi affectu et impetu occæcati ad stulta consilia abripimur; itaque *illa habet pedes molles*, sine strepitu incedentes, et *corpus leve librat*, ut nec gressibus solum radat, sed ea *evolat supra hominum capita alis suspensa;* ita ut involare aliquem et opprimere incautum pos-

ἐγὼν ἐνδείξομαι.] Οἷον τὴν ἀπότασιν τῶν λόγων πρὸς Ἀχιλλέα ποιήσομαι φανερῶς. ἢ ἀπολογήσομαι. 84. Σύνθεσθ' Ἀργεῖοι.] Οἱ δὲ λοιποὶ ἀκούσαντες, εἴπατε τοῖς μὴ ἀκούσασι. 87. Ἠεροφοῖτις.] Ἡ διὰ τοῦ σκότους φοιτῶσα. ἢ ἀόρατος. ἢ ἡ ἀπροοράτως φοιτῶσα, καὶ ἐπερχομένη, ὡς τιμωρὸς τῶν ἀδικημάτων. ἔστι δὲ καταχθονία δαίμων ἡ Ἐρινύς. οἷον ἡ διερευνῶσα τὰ ἐν ταῖς πράξεσιν ἔργα. 90. Θεὸς διὰ πάντα τελευτᾷ.] Θεὸς γὰρ πᾶσι τοῖς πραττομένοις τέλος ἐπάγει.

πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
οὐλομένη. τῇ μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
πίλναται· ἀλλ' ἄρα ἥγε κατ' ἀνδρῶν κράατα βαίνει,
βλάπτουσ' ἀνθρώπους. κατὰ δ' οὖν ἕτερόν γε πέδησε.
καὶ γὰρ δή νύ ποτε Ζῆν' ἄσατο, τόν περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι, ἀλλ' ἄρα καὶ τὸν
Ἥρη, θῆλυς ἐοῦσα, δολοφροσύνῃς ἀπάτησεν
ἤματι τῷ, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
ἤτοι ὅγ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσι·

92. vulg. τῆς μέν. 93. legendum ἀλλ' ἄρα τή γε. 95. al. ἄσσατο.

sit.—94, 95. κατεπέδησε δὲ καὶ ἕτερόν γε (ἢ καὶ νῶϊ) καὶ γὰρ δή—*ipsum enim Jovem ea in fraudem et malum induxit*, ἄσατο. ἔβλαψε, dum ille incaute est elocutus juravitque, illectus fraude et dolo *Junonis* persuadentis ei, ut juraret; tribuitur hoc *Atæ*, quia stoliditati suæ Jupiter utrumque imputare debuit; dumque ille mox pœnitentia et pudore tenebatur, indignatione motus Aten de cœlo præcipitavit. 125, 6. Monui hæc, ut perspiciatur hominum priscorum ratio excogitandi symbolice dicta, et cum his mos mythos hujus generis struendi.

96—133. Locus conspicuus ex mythologia, de Hercule, copiosius haud dubie expositus ἐν Ἡρακλείαις, ad reddendam caussam probabilem, cur Hercules fortissimus, et Jove natus, imperio Eurysthei ignavi hominis paruerit et jussos ab eo labores susceperit. Fundus mythi est historicus, hoc est, verus rerum eventus. Mycenis a Perseo conditis regnabat Electryon, unus ex Persei filiis, pater Alcmenæ, quam duxerat Amphitruo, natus ex Alcæo, alio Persei filio. Is Electryone patruo occiso exulatum abierat Thebas; itaque occupavit regnum alter filius Persei, Sthenelus; cui successit Eurystheus filius, æqualis ille ætate Herculi, nisi quod Eurystheus præmaturo partu editus uno vel altero mense Herculem anteverterat. Parendum itaque fuit Herculi jussis Eurysthei, qui regnum Mycenarum tenebat, privatus regi. Heraclidæ quoque regno Mycenarum exclusi non nisi multis ætatibus serius Peloponnesum occuparunt. Etsi enim post Herculis mortem Eurystheum, a quo bello petiti fuerant, ad Marathonem victum interfecerant, Hyllus tamen, peste Peloponnesum vastante, a Mycenis adeundis retractus est; quas occupavit Atreus a Pelope oriundus, post eum Agamemnon, Orestes, Penthilus, sub cujus mortem Heraclidæ cum Doribus Peloponnesum occuparunt. Mythica narratio ad numen infestum Junonis caussas horum casuum retulit; odia in pellicem Alcmenam et Herculem in ipso partu illa exercuit.—99. ἐϋστεφάνῳ ἐνὶ Θήβῃ. εὐτείχῳ. Sunt Thebæ a muris et a septem portis sæpe commendatæ.—100. Alcmena jam partui vicina, Jupiter, fatorum gnarus, prædixerat, eo die mortalem ex se ortum in lucem proditurum esse, qui Mycenis regnaret; Juno, euge, inquit, jura hoc. Juravit ille stolide. Tum Juno, quæ norat Stheneli conjugem utero ferre filium, advolavit Argos, ejusque partum maturavit, retardato partu Alcmenæ. Ita Eurystheus prior natus Hercule. Narrat ex Homero Apollod. II. 4, 5. §. 8, 9. Latebat fraus in Jovis verbis obscuris, quæ videntur ex prisco sermone servata esse; volebat ille declarare aliquem ex se procreatum filium; at ille utitur voce generaliore: nasciturum esse aliquem e suo sanguine: v. mox vs. 105. et 111. poteratque adeo hoc etiam ad aliquem referri, qui a Perseo, ex Jove nato, genus ducebat: isque fuit Eurystheus Stheneli filius, Persei

91. Πρέσβα.] Ἔντιμος. Ἀᾶται.] Βλάπτει. 92. Οὐ γὰρ ἐπ' οὔδει Πίλναται.] Οὐ γὰρ προσπελάζει τῇ γῇ. 93. Κατ' ἀνδρῶν κράατα βαίνει.] Κατὰ τὰς τῶν ἀνθρώπων κεφαλὰς ἐπιβαίνει. 94. Κατὰ δ' οὖν ἕτερόν γε πέδησεν.] Ἕνα γοῦν τινὰ ἔβλαψεν ὅτι μὴ πολλούς. 95. Ἀάσσατο.] Ἔβλαψεν ἡ Ἄτη. 97. Θῆλυς.] Θήλεια. 99. Εὐστεφάνῳ ἐνὶ Θήβῃ.] Κατατετειχισμένῃ, μεταφορι-

Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει·
σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
τῶν ἀνδρῶν, γενεῆς οἵθ' αἵματος ἐξ ἐμεῦ εἰσι.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
ψευστήσεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις.
εἰ δ' ἄγε, νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
ἦ μὴν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς
τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
Ὣς ἔφατο· Ζεὺς δ' οὔτι δολοφροσύνην ἐνόησεν,
ἀλλ' ὄμοσε μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη·
Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο,
καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιϊκὸν, ἔνθ' ἄρα ἤδη

102. ὄφρ' Fείπω. v. Obss. 104. περικτιόνεσσι Fανάξει. 106. πότνια Fήρη.
109. περικτιόνεσσι Fανάξειν. 114. Fήρη. 115. ἔνθ' ἄρα Fήδη.

nepos.—103. μογοστόκος Εἰλείθυια ministrans parturienti, labores partus levans. ut jam Λ. 270.

105. τῶν ἀνδρῶν γενεῆς οἵθ' αἵματος ἐξ ἐμεῦ εἰσι. Obscura hæc, ut dixi, ex antiquo sermone servata. Sollenni more γενεῆς τε καὶ αἵματος junguntur ut Ζ. 211. Υ. 241. quod h. l. non procedit. Primo totus locus sic est constituendus: σήμερον Ilithyia ἐκφανεῖ φόωσδε ἄνδρα τῶν ἀνδρῶν in lucem producet partu, quod inf. vs. 118. προεξάγειν φόωσδε, seu εἰς φῶς. Porro, ἄνδρα τῶν ἀνδρῶν pro τινὰ τῶν ἀνδρῶν. Jam varia esse potest junctura; cum tamen ea attemperanda sit versui alteri, in quo verba Jovis a Junone repetuntur, 111. τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης, necesse est, ut id amplectamur, quod utrique loco convenit. Jam ex altero hoc versu 111. apparet, post ἀνδρῶν esse interpungendum, nec licere jungere τῶν ἀνδρῶν γενεῆς. porro, cum verba vs. 111. aliter ordinare non liceat, quam: οἵ εἰσιν ἐξ αἵματος γενέθλης σῆς· etsi insolens dictu est αἷμα γενέθλης· videtur consentaneum esse, ut etiam vs. 105. jungamus: οἵτε εἰσὶν ἐξ αἵματος γενεῆς ἐμεῦ· Sententia est aperta: *qui sunt ex sanguine stirpis meæ*, h. ex me oriundi. In his quidem acquiescere præstat. Verba sunt servata ex antiquiore ævo et sermonis usu, ad vaticinii modum instructa. Alioqui in promtu esset emendatio utriusque versus.

108. εἰ δὲ βούλει, ἄγε.—110. ὅς πέσῃ μετὰ ποσσί. antiqua dicendi formula notata jam e sacris litteris de partu.—113. πολλὸν ἀάσθη, ἐβλάφθη et animo, dum stolide egit, et, eventu, dum magna noxa affectus est; et quandoquidem factum est per fraudem, accipi potuit pro ἠπατήθη. Jupiter de Hercule cogitabat, at Juno de Eurystheo, qui non quidem ex ipso Jove erat prognatus, genus tamen ducebat a Jove, progenitore Persidarum; nam e Jove et Danæ natus Perseus, e Perseo Sthenelus, Eurysthei pater.

115. Ἄργος Ἀχαιϊκόν. Si est ipsa urbs, necesse est Sthenelum cum Mycenis Argos quoque tenuisse; potest tamen esse pro Argolide, ut jam Β. 108. Ι. 141. vidi-

κῶς, διὰ τὸ ὑπὸ Ἀμφίονος καὶ Ζήθου αὐτὴν τετειχίσθαι. 103. Μογοστόκος.] Ἡ περὶ τὰς τικτούσας κοπιῶσα, ἢ ἡ τοὺς μόγους ἐπικουφίζουσα τῶν τικτουσῶν. 104. Περικτιόνεσσι.] Περιοίκοις. 105. Αἵματος.] Ἀντὶ τοῦ σπέρματος, γένους. 107. Ψευστήσεις.] Ψεύσῃ. 110. Πέσῃ μετὰ ποσσὶ γυναικός.] Γεννηθῇ, ἀπὸ τοῦ παρακολουθοῦντος. 113. Ἀάσθη.] Ἠπατήθη. 114. Ῥίον.] Ὄρους ἀκρω-

ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
ἡ δὲ κύει φίλον υἱὸν, ὁ δ' ἕβδομος ἑστήκει μείς.
ἐκ δ' ἄγαγε πρὸ φόωσδε, καὶ ἠλιτόμηνον ἐόντα·
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας.

117. vulg. ἡ δ' ἐκύει.

mus. v. ad B. 684.—116. Sthenelus Persei f. ex Andromeda v. Apollod. II. 4, 5.—117. ὁ δ' ἕβδομος ἑστήκει μείς. in decursu *erat.* Fuit igitur jam Homerica ætate hic usus vocis ἵστασθαι, qui serius in μηνὸς ἱσταμένου, de mense in cursu, seu decursu, est. Disertius hoc videmus Od. Ξ. 162, et T. 519.—118. ἐκ δ' ἄγαγε πρὸ φόωσδε. προεξήγαγεν εἰς φῶς, ἐξῆγεν. In his, προεξάγειν per se simpliciter est ἐξάγειν. occurrebat jam Π. 188. Paullo ante v. 103, 104. hujus libri, Ilithyia σήμερον ἄνδρα φόωσδε ἐκφανεῖ, eodem sensu. quod illud de partu immaturo hic accipiendum est, fit per adjecta: καὶ ἠλιτόμηνον ἐόντα, h. e. καίπερ ὄντα ἀλιτοῦντα μηνῶν, deficientem mensibus, h. e. deficientem justo mensium numero, ἄωρον. Ceterum habemus exemplum antiquissimum partus septimestris.—119. σχέθε δ' Εἰλειθυίας deas cohibuit, quominus Alcmenæ partum maturum educerent in lucem.

τήριον. 116. Ἰφθίμην ἄλοχον.] Τὴν Θεσσαλοῦ γυναῖκα. ἰφθίμην λέγει ἐπιθετικῶς ἀντὶ τοῦ ἀγαθήν. τὸ γὰρ κύριον αὐτῆς ὄνομα ἦν Λευκίππη. 117. Ἐκύει.] Κατὰ γαστρὸς εἶχεν. Μείς.] Καὶ μὴν Αἰολικῶς, ὥσπερ ῥὶς ῥινὸς, καὶ θὶς θινός. οὕτω καὶ μεὶς μεινὸς κλιθήσεται κατὰ τὴν ἀναλογίαν. 118. Ἠλιτόμηνον.] Διημαρτηκότα τοῦ τελείου ἀριθμοῦ τῶν ἐννέα μηνῶν. ἑπταμηνιαῖος γὰρ Εὐρυσθεὺς ἦν. ἀλιτεῖν οὖν τὸ ἀποτυχεῖν. 119. Ἀλκμήνης δ' ἀπέπαυσε.] Ζεὺς μιγεὶς τῇ Ἠλεκτρυώνος Ἀλκμήνῃ, ὃν τρόπον εἴρηται ἐν τῇ ξ, ἔγκυον κατέστησε. μελλούσης δὲ τίκτειν, ὤμοσεν ἐν θεοῖς τὸν ἐκείνῃ τῇ ἡμέρᾳ γεννηθέντα τῶν ἐξ αὐτοῦ βασιλεύσειν. Ἥρα δὲ ζηλοτύπως διατεθεῖσα, τὰς μὲν Ἀλκμήνης ὠδῖνας ἐπέσχεν, Ἀντίβειαν δὲ, ἣν τινες Νικίππην εἶπον, τὴν Σθενέλου γυναῖκα κυοφοροῦσαν Εὐρυσθέα ἑπτάμηνον τεκεῖν ἐποίησεν. ὅθεν καὶ τὰ ἑπτάμηνα γεννώμενα, τροφῆς μοῖραν εἴληχε. βασιλεὺς δὲ ὢν Εὐρυσθεὺς Ἡρακλεῖ τοὺς ἄθλους ἐπέτασσε, οὓς τελειώσας κατὰ τὰς Ἀθηνᾶς καὶ Ἀπόλλωνος ὑποθήκας, ἀθανασίας μετέλαβε. πῶς τὰ ἑπταμηνιαῖα ζωογονοῦνται, τὰ δὲ ὀκταμηνιαῖα οὔ; καὶ λέγομεν τρεῖς κινήσεις ἔχειν τὸ βρέφος ἐν τῇ γαστρί. τὴν κατὰ δ μῆνα, καθ' ἣν τὰς φυσικὰς ἐμφαίνει κινήσεις, καὶ ἔτι τὴν καθ' ἕβδομον, καθ' ἣν ἔχει κίνησιν τῆς εἰς φῶς προόδου. ἀλλ' ἡ μήτηρ ἀδυνατεῖ καὶ ἄωρός ἐστιν ἀποβαλεῖν. διὰ τοῦτο γίγνεται καὶ ἑτέρα κίνησις κατὰ τὸν θ, καθ' ἣν ἔχει πρὸς δυνάμεως καὶ ἡ μήτηρ ἀποβαλεῖν αὐτό. αἱ δὲ κινήσεις εὐτάκτως εἰς δ. εἶθ' οὕτως εἰς τρεῖς, ὡς εὐσθενέστεραι. εἶτα εἰς δύο μῆνας, ὡς ἔτι εὐσθενέστεραι. ἐξ ὧν ἀποτελεῖται τὸ ἐννεάμηνον. οὕτως ἔχουσι καὶ αἱ ὀπῶραι ἀπότριψιν, ὡριμότητα, καὶ ἀποβολὴν τῆς μητρὸς, καθ' ἣν ἀποβάλλει ἡ μήτηρ ὅταν ξηρανθῇ τὸ μεταξὺ τῆς μητρὸς καὶ τῆς ὀπώρας λεγόμενον πισμάτιον. εἰς τοίνυν τὸν ἕβδομον μῆνα, ἐπεὶ ἔχει κίνησιν τῆς εἰς φῶς προόδου· εἰ γένηται τοῦτο, ἀλγεῖ μὲν ἡ μήτηρ, τὸ δὲ βρέφος σώζεται. κατὰ δὲ τὸν η. ὃν, συνεχοῦς κινήσεως οὔσης πρὸς τὸν θ, καὶ διακοπείσης ἐκείνης, ἀπόλλυται τὸ κυοφορούμενον καὶ πολλάκις καὶ ἡ μήτηρ. εἰς γὰρ τὴν συνεχῆ κίνησιν εἰ γένηται τμῆσις ἐπὶ πλέον βλάπτει, καὶ δῆλον ἐκ τῆς φλεβοτομίας. οἱ δὲ Πυθαγόρειοι καὶ μαθηματικῶς ἤτοι ἀριθμητικῶς τὴν αἰτίαν ἀποδιδόασιν, λέγοντες· ἐκκείσθω τρίγωνον σκαληνὸν τὸ α, β, γ, ἔχον τὴν μὲν α, β, μονάδων δ. τὴν δὲ β, γ, μονάδων ε. τὴν δὲ α, γ, μονάδων γ. φανερὸν ὅτι κατὰ τοὺς Πυθαγορείους ὁ μὲν γ, καὶ ὁ ε ἄῤῥενες, ὡς περιττοί· ὁ δὲ δ θῆλυς, ὡς ἄρτιος. πεπολυπλασιάσθω ὁ δ ἐπὶ τῶν ε, γίνονται κ. καὶ ὁ ε, ἐφ' ἑαυτὸν κε, ὁμοῦ με. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τοῦ τριγώνου ἤτοι τὸν ς, γίνονται σο, ἃ περιέχουσι χρόνον μηνῶν θ.

αὐτὴ δ' ἀγγελέουσα, Δία Κρονίωνα προσηύδα·
Ζεῦ πάτερ, ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
ἤδη ἀνὴρ γέγον' ἐσθλὸς, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεὺς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.
Ὣς φάτο· τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν.
αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο,
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
μήποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
Ὣς εἰπὼν, ἔῤῥιψεν ἀπ' οὐρανοῦ ἀστερόεντος,
χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.

121. ἀργικέραυνε, Fέπος. 122. Ἀργείοισι Fανάξει. 124. οὔ Fοι ἀFεικὲς Fανασσέμεν. v. Obss. 127. φρεσὶ Fῇσι. 130. Fειπών. 131. ἵκετο Fέργ'.

121. Jupiter, narrabo tibi aliquid, quod factum est; *ἔπος* pro evento. *ἐνθέσθαι τι ταῖς φρεσὶν*, ut *ἐμβάλλειν, ἐμβάλλεσθαι.* animo seu suo seu alterius aliquid mandare.—124. *σὸν γένος*, tua progenies, ortu a Perseo scilicet: v. modo ad vs. 113. *οὔ οἱ ἀεικές. οὐκ ἀεικές ἐστιν, αὐτὸν ἀνάσσειν Ἀργείοις.* dignus ille est, qui Argivis imperet, cum ex te genus ducat.

125—133. Iterum hoc exemplo intelligitur, quantam ornamentorum ubertatem sermo symbolicus in poesin intulerit. Simplex sententia erat: Jovem pœnituisse temeritatis suæ. *ἄχος ἔτυψεν αὐτὸν κατὰ φρένα, ἔπληξε.* Usitatius *καταπλήσσειν, ἐκπλήσσειν.*—126. Manu prehensis capillis Aten Olympo proturbavit. Habemus ita iterum Jovem *ῥιπτάζοντα κατὰ δῶμα*, ut videramus eum Ξ. 257. more iratorum hominum. Ate *λιπαροπλόκαμος*, epitheto simpliciter ornante: nam pulcritudinem vix laudare

πάλιν τὸν δ ἐπὶ τὸν ε, γίνονται κ. τὸν γ ἐπὶ τὸν ε, γίνονται ιε, ὁμοῦ λε. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τοῦ τριγώνου τὸν ϛ, ὁμοῦ σι. ἃ περιέχουσι χρόνον μηνῶν ζ. πάλιν τὸν γ, ἐπὶ τὸν ε, γίνονται ιε. ἐφ' ἑαυτὸν γίνονται κε, ὁμοῦ μ. ταῦτα ἐπὶ τὸ ἥμισυ τοῦ ἐμβαδοῦ τὸν ϛ, γίνονται σμ. καὶ περιέχουσι χρόνον μηνῶν η. ἐπεὶ οὖν μόνον ἐπὶ τῶν θ καὶ ζ κατὰ φυσικὴν συμπλοκὴν ἄῤῥενος, καὶ θήλεος τοῦ ε, καὶ δ, καὶ γ, οἱ ἀριθμοὶ τῶν ζ καὶ θ γίνονται, εἰκότως τὰ οὕτω τικτόμενα ζωογονεῖται. ἐπὶ δὲ τῶν η μηνῶν, οὐ φαίνεται ἄῤῥενος συμπλοκὴ πρὸς τὸ θῆλυ. οὔτε γὰρ ὁ ε, οὔτε ὁ γ γίγνονται ἐπὶ τὸν δ, ὅς ἐστι θῆλυς. εἰκότως οὖν παρὰ φύσιν οὔσης τῆς συμπλοκῆς, οὐ ζωογονεῖται τὰ τικτόμενα. 121. Ἀργικέραυνε.] Λαμπρὸν ἔχων κεραυνὸν, ἢ ταχύν. 123. Σθενέλοιο πάϊς Περσηϊάδαο.] Εὐρυσθέως. ἦν γὰρ Περσέως ἔγγονος, ὅθεν Περσηϊάδην αὐτόν φησι. 124. Οὔ οἱ ἀεικές.] Οὐ δεινὸν καὶ ἀεικὲς καὶ ἀπεοικὸς, καὶ οὐ χαλεπὸν αὐτῷ. 126. Αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο.] Ἀφείλετο δὲ ἐκ τῆς αὐτοῦ βαθυπλοκάμου κεφαλῆς τὴν Ἄτην. οἱ δὲ ἐκ τῆς ἠλειμμένους πλοκάμους ἐχούσης. 127. Καρτερὸν ὅρκον.] Τὸ Στυγὸς ὕδωρ. τὴν Στύγα Ὠκεανοῦ παῖδα οὖσαν καὶ αὐτὴν τιμιωτάτην τῶν ἀδελφῶν μετὰ τὴν τῶν οὐρανίων θεῶν μάχην τῶν λεγομένων Τιτάνων, εἶναι συνέβη διὰ τήνδε τὴν αἰτίαν. οἱ περὶ Κρόνον Οὐρανοῦ παῖδες ἀρχαῖοι Τιτᾶνες τοῖς ἀμφὶ τὸν Δία νεωτέροις θεοῖς πόλεμον ἤραντο, καὶ τοῦ Διὸς συμμάχους ἀγείροντος, ἡ Στὺξ πρώτη πάντων σὺν τοῖς παισὶν αὐτῆς παρεγένετο. δι' ὃ ἐξόχως αὐτὴν ἐτίμησαν οἱ περὶ τὸν Δία θεοί. καὶ τὸ ὕδωρ αὐτῆς τῆς ἐν ᾅδου πηγῆς θεῶν ὅρκον ἐποίησαν. 131. Τάχα.] Ταχέως. 138. Ἀρέσαι.] Φι-

τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῷτο
ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
Ὣς καὶ ἐγὼν, ὅτε δ' αὖτε μέγας κορυθαιόλος Ἕκτωρ
Ἀργείους ὤλεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν,
οὐ δυνάμην λελαθέσθ' ἄτης, ᾗ πρῶτον ἀάσθην.
ἀλλ' ἐπεὶ ἀασάμην, καί μευ φρένας ἐξέλετο Ζεὺς,
ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.
ἀλλ' ὄρσευ πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς.
δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχεῖν, ὅσσα τοι ἐλθὼν
χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ Ἄρηος·
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες,
οἴσουσ', ὄφρα ἴδηαι, ὅ τοι μενοεικέα δώσω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρεΐδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
δῶρα μὲν αἴ κ' ἐθέλῃσθα παρασχέμεν, ὡς ἐπιεικὲς,
ἤτ' ἐχέμεν, παρὰ σοί· νῦν δὲ μνησώμεθα χάρμης
αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας,
οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·

132. ὅτε Ϝόν. 133. Ϝέργον ἀϜεικές. 135. vulg. ὀλέεσκεν. 144. ὄφρα Ϝίδηαι et μενοϜεικέα. 146. κύδιστε, Ϝάναξ. 147. ἐπιϜεικές. 150. μέγα Ϝέργον.

voluit.—131. ταχέως κατέπεσεν εἰς γῆν.—132. τὴν, h. διὰ ταύτην τὴν Ἄτην. ut vulgari usu dicimur στενάχειν τινὰ, et, gemere aliquid, pro, propter.—133. ἔργον ἀεικὲς ἔχοντα. debet h. l. ἔργον ἔχειν, esse pro πόνον ἔχειν, πονεῖσθαι. ærumnam tolerare, ἀεικῶς, ὑπὸ, διὰ, ἀέθλων Εὐρυσθῆος.

134. ὅτε δ' αὖτε. nullam vim habet τὸ δέ: nam est: οὕτω καὶ ἐγὼ αὖτε, postea, ὅτε Ἕκτωρ.—136. οὐ δυνάμην λελαθέσθ' ἄτης. respiciunt vs. 132. τὴν, αἰεὶ στενάχεσκε Jupiter. ita et ego semper recordabar stultitiæ, qua primum abreptus fueram, ut Achillem ab Achivorum caussa et armis abalienarem.—137. ἀλλ' ἐπεὶ ἀασάμην, ἀσάμην, ἄτῃ, quandoquidem stolide egi. docet hoc quoque quod adjectum est, καί μευ φρένας ἐξέλετο Ζεύς.—140. δῶρα δ' ἐγὼ ὅδε πάντα παρασχεῖν. ἐγὼ ὅδε, ego ille scil. πάρειμι. ἕτοιμός εἰμι, ἄττε παρασχεῖν.—141. ὅσσα τοι ἐλθὼν respiciunt legationem Il. I. 262. sqq.—142. ἐπειγόμενός περ Ἄρηος. μάχης. ἕνεκα. Od. A. 309. ἐπειγόμενός περ ὁδοῖο.

145—153. Achilles munera quidem non aspernatur; ante omnia tamen pugnam jubet parari.

147. παρά σοι (ἐστὶ, πάρεστι, arbitrii tui res est) παρασχεῖν τὰ δῶρα, ὡς ἐπιεικές ἐστιν, ἤτ' ἐχέμεν αὐτά.—149. κλοτοπεύειν, subterfugere pugnam hic terendo tempus. ἐνθάδ' ἐόντας. Vox antiquata, a κλέπτειν ducta.—150. restat enim adhuc magna res infecta,

λοποιήσασθαι, ἁρμόσασθαι. 147. Δῶρα μὲν αἴκ' ἐθέλησθα παρασχέμεν.] Τὰ μὲν δῶρα εἴτε θέλεις παρασχεῖν, εἴτε καὶ παρ' ἑαυτῷ ἔχειν, ἐν σοί ἐστι. 148. Παρά σοι.] Πάρεστί σοι. 149. Κλοτοπεύειν.] Ἤτοι ὑποκλέπτειν αὐτοὺς τῆς μάχης ἐν τοῖς λόγοις, ἢ ἑτέρου τινὸς ἐπιθυμεῖν. 150. Διατρίβειν.] Χρονουργεῖν, παρέλκειν. Ἔτι γὰρ μέγα ἔργον ἄρεκτον.] Ἀτελείωτον, ἄπρακτον. ἤτοι δὲ

ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας.
ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
μὴδ' οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχησομένους· ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν·
ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιοὺς
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι.
εἴπερ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,
ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμὸς, βλάβεται δέ τε γούνατ' ἰόντι.
ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ,

151. πρώτοισι Fίδηται. 153. vulg. ὣς δέ τις. 155. θεοFείκελ'.
156. προτὶ Fίλιον. 161. Fοίνοιο. 167. Fοίνοιο. 168. vulg. πολεμίζει.

ut ulciscar Hectorem.—151. ὥς κε τις. seu ut aliquis, certus aliquis, cum respectu ad Hectorem, seu, omnino: ut, qui volet, videat: hoc præfero.—153. ὧδε τις, οὕτως ἕκαστός τις ὑμῶν, usu Homerico, vestrum quisque, ad pugnam se accingito. ἀνδρὶ, cum adversario quisque suo. μεμνημένος, scil. τοῦ μάχεσθαι. τῆς ἀρετῆς. τῆς ἀλκῆς, τῆς χάρμης. ex vs. 148.

154—183. Ulysses Achillis impetum et festinationem reprimit; ante pugnam ineundam necesse esse, ut Achivi corpora curent. Interea suadet primo, (vs. 172.) ut munera Agamemnonis Achilles in suum tentorium afferri patiatur, utque Agamemnon jurejurando asseveret, nunquam se Briseidis usum habuisse; tum vero (178. sq.) Agamemnonis epulis ut intersit et cibo se recreet Achilles. Tandem (vs. 180.) Agamemnoni bene consulit in posterum.

161. τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή. eo paratur robur et vires, reparantur vires ex nutritione.—163. ἄκμηνος σίτοιο. ἄγευστος. ἄπαστος. cibi expers. ab ἄκμη, ἡ νηστεία. ἔνδεια. Vox hac una rhapsodia obvia, 207. 320. 346.—165. εἴπερ γὰρ προθυμεῖται μάχεσθαι, γυῖα βαρύνεται, membra gravantur, tardantur, fessa ad motum et actum, deficientibus viribus.—166. δίψα καὶ λιμὸς κιχάνει αὐτὸν, ἐφικνεῖται, opprimit eum, καταλαμβάνει. βλάβεται (antiqua forma βλάβω) δέ τε γούνατ' ἰόντι debilitantur; corpore viribus exhausto, mox vs. 170. κάμνει. noto loquendi more. H. 271. βλάψε δέ οἱ φίλα γούνατα.

περὶ τῆς Πατρόκλου ταφῆς λέγει, ἢ τῆς τοῦ Ἕκτορος ἀναιρέσεως. 158. Πρῶτον.] Νῦν καθάπαξ. Ὁμιλήσωσι φάλαγγες.] Εἰς ταυτὸ συνέλθωσιν αἱ τῶν στρατιωτῶν τάξεις πολεμοῦσαι, συμπλακεῖσαι. 160. Πάσασθαι.] Γεύσασθαι. Ἄνωχθι.] Κέλευσον. 161. Τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.] Τοῦτο γὰρ τῆς θρεπτικῆς δυνάμεως ἐστὶ παρασκευαστικὸν παντὸς τοῦ σώματος. 163. Ἄκμηνος.] Ἄγευστος. 164. Μενοινάα.] Προθυμεῖται. 169. Θαρσαλέον.] Ὑπομονη-

θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα
πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
ἀλλ' ἄγε, λαὸν μὲν σκέδασον, καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
οἰσέτω ἐς μέσσην ἀγορὴν, ἵνα πάντες Ἀχαιοὶ
ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς·
ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀναστὰς,
μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
ἣ θέμις ἐστὶν, ἄναξ, ἤτ' ἀνδρῶν ἤτε γυναικῶν·
καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω
πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.
Ἀτρείδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλῳ
ἔσσεαι. οὐ μὲν γάρ τι νεμεσσητὸν, βασιλῆα
ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.

169. νύ Ϝοι. 172. δῶρα Ϝάναξ. 174. ὀφθαλμοῖσι Ϝίδωσι. 177. ἐστὶ, Ϝάναξ.

quod alias λύειν. λύεται γοῦνα.—170. πρὶν πάντας ἐρωῆσαι πολέμοιο, ὑποχωρῆσαι. pugna excedere; verbo, ille postremus omnium pugna recedit.—171. λαὸν h. l. Myrmidones, quibus imperabat. σκέδασον, fac eos discedere in sua tentoria: ut Β. 398. ἀνστάντες δ' ὀρέοντο, κεδασθέντες κατὰ νῆας. ὅπλεσθαι δεῖπνον, ὁπλίζεσθαι.—173. ἐς μέσσην ἀγορὴν, ut satisfiat Achilli pro injuria publice, in conspectu omnium Achivorum in loco publico;—177. nec congressum esse, ut vir cum muliere solet. v. ad Ι. 134.—178. et tu ipse te placabilem præbe, *tu placator.*—179. ἀρεσάσθω σε δαιτὶ πιείρῃ *lautis epulis te excipito* Agamemnon. ἀρέσασθαι, ἱλάσασθαι, propitiare; nunc placare et exhilarare. —180. ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα, μὴ δέῃ τινὸς τῶν δικαίων. h. e. *ut consequaris omnia, quæ, ad satisfaciendum tibi pro injuria accepta, postulare jure poteras.* Cogitandum autem est de honore epularum, ad quas admittuntur a rege principes.—181. ἐπ' ἄλλῳ, εἰς ἄλλους.—183. ἄνδρ' ἀπαρέσσασθαι, pro ἀρέσσασθαι, *placare*, ut vulgo accipitur. Sententia itaque alia esse nequit quam hæc: non indigne ferenda res est, h. e. æquum est, satisfacere viro principi, ὅτε τις πρότερος χαλεπήνῃ, ὀργίζηται, si quis prior exarserit, eumque injuria affecerit: quemadmodum Agamemnon prior abreptus ira lacessierat Achillem. Ita sententia per se bene habet; nullo tamen modo cum antecedentibus cohæret: σὺ δ' ἔπειτα. *in posterum in alios esto moderatior.* Nam hæc requirunt, ut sententia sit: non enim indignandum est, virum principem alienari animo, si quis eum ultro lacessierit; ut tu Achillem prior injuria facta provocasti. ergo ἀπαρέσσασθαι, δυσαρεστεῖν esse debet, ὀργίζεσθαι, si alter prior χαλεπήνῃ, exarserit, eumque injuria affecerit. Alterutrum igitur est statuendum; aut hoc, nova vi vocem esse positam; aut prius, ut aliena a loco suo sententia sit, saltem non jungenda cum proximis.

τικὸν, τολμηρόν. 170. Ἐρωῆσαι.] Ὑποχωρῆσαι. 171. Σκέδασον.] Σκόρπισον. 174. Ἰανθῇς.] Διαχυθῇς, χαρῇς. 179. Ἀρεσάσθω.] Δι' ἀρέσκειαν θεραπευσάτω, φιλοφρονησάτω. 180. Πιείρῃ.] Λιπαρᾷ, δαψιλεῖ, πολυτελεῖ. ἔστι δὲ μεταφορά. Ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.] Ἵνα μηδὲν ἐλλίπῃ τῶν ὀφειλόντων πρὸς σὲ δικαίως πραχθῆναι. 181. Ἐπ' ἄλλῳ.] Πρὸς ἄλλους. 182. Οὐ μὲν γάρ τι νεμεσσητὸν, βασιλῆα Ἄνδρ' ἀπαρέσσασθαι.] Οὐ μεμπτὸς γὰρ ὑπάρχει βασιλεὺς θεραπεύων ἄνδρα ὃν προηδίκησεν. 183. Χαλεπήνῃ.] Κακῶς βλά-

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν, Ἀγαμέμνων·
χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας·
ἐν μοίρῃ γὰρ πάντα διΐκεο καὶ κατέλεξας.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμὸς,
οὐδ' ἐπιορκήσω, πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεὺς
μιμνέτω αὖθι τέως περ, ἐπειγόμενός περ Ἄρηος,
μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα
ἐκ κλισίης ἔλθῃσι, καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι, ἠδὲ κελεύω,
κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν,
δῶρα δ' ἐμῆς παρὰ νηὸς ἐνεγκέμεν, ὅσσ' Ἀχιλῆϊ
χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
κάπρον ἑτοιμασάτω ταμέειν Διΐ τ', Ἠελίῳ τε.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται,
καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσσιν ἐμοῖσι.

184. προσέϜειπε Ϝάναξ. 189. vulg. τέως γε. 194. vulg. δῶρα ἐμῆς et ἐνεικέμεν. 199. κύδιστε, Ϝάναξ. 201. vulgo μεταπαυσωλή.

184—197. Probat Agamemnon dicta Ulyssis.

186. ἐν μοίρῃ. κατὰ μοῖραν. κατὰ τὸ δέον.—187, 8. ὀμόσαι πρὸς δαίμονος. ut πρὸς Διός.—189. ἐπειγόμενός περ Ἄρηος h. e. μάχης ἕνεκα, ut sup. 145. τέως περ, aliquantum, ὄφρα, pro ἕως.—191. καὶ (ὄφρα) ὅρκια πιστὰ τάμωμεν, τάμω. *dum ego juravero.* Nam solus Agamemnon jurat quod fit 250. 257. Quia tamen res communis est cum Achille, et adducunt alii τὰ ὅρκια (σφάγεια) poterat dicere, *mactemus victimas.*—193. Inversa oratio. pro κρίνου κούρους ὥστε φέρειν δῶρα, dixit: κρινάμενος—ἐνεγκέμεν. puta esse, σὺ μέμνησο ἐνέγκειν δῶρα, κρινάμενος κούρητας, pro, φέρειν διά.—κούρητας, κούρους. hoc uno libro, hic et 248. obvia mox.—195. χθιζὸν, ut sup. 141. pro nudius tertius.—197. ταμέειν pro *mactare*, στόμαχον ἀποταμεῖν.

198—214. Impatienter ferens omnem moram Achilles gravatur et recusat cibum sumere.

200. ὀφέλλετε nunc idem quod ὀφείλετε, pro, *consentaneum erit ut paretis.*—At nunc alieno tempore id facitis 203. tum 201. μεταγένηται, ut Β. 386. οὐ γὰρ παυσωλή γε μετέσσεται.—202. μένος τόσον *animus tam concitatus* ultionis cupidine et pugnandi

ψῃ. ὅ ἐστιν, εἰς ὀργὴν ἔλθῃ. 186. Ἐν μοίρῃ.] Κατὰ τὸ προσῆκον, κατὰ τὸ πρέπον. 188. Πρὸς δαίμονος.] Κατὰ θεόν. 189. Μιμνέτω.] Μενέτω. Αὖθι.] Αὐτόθι. Ἐπειγόμενός περ.] Καίτοι σπεύδων. 193. Κρινάμενος.] Ἐπιλεξάμενος. Κούρητας.] Κούρους, νέους. 194. Ἐνεγκέμεν.] Ἐνεγκεῖν. 195. Χθιζόν.] Χθές. Ὑπέστημεν.] Ὑπεσχόμεθα. 197. Ταμέειν.] Διχοτομῆσαι. δι' ἐντόμων ποιήσασθαι. 200. Ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι.] Ἄλλοτε ποτὲ ταῦτα δρᾷν ὀφείλετε, παυσαμένου τοῦ πολέμου, καὶ μὴ τοσαύτης ὀργῆς κατεχούσης τὴν ψυχήν. 201. Μεταπαυσωλή.] Ἀνάπαυσις. 202. Μένος ἦσιν.]

νῦν δ' οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν.
ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον. ἦτ' ἂν ἔγωγε
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
νήστιας, ἀκμήνους, ἅμα δ' ἠελίῳ καταδύντι
τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην.
πρὶν δ' οὔπως ἄν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη
οὐ πόσις, οὐδὲ βρῶσις, ἑταίρου τεθνειῶτος,
ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ
κεῖται, ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ' ἑταῖροι
μύρονται. τό μοι οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
ἀλλὰ φόνος τε, καὶ αἷμα, καὶ ἀργαλέος στόνος ἀνδρῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ Ἀχιλεῦ, Πηλέος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
κρείσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
πολλόν· ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα·
τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,

204. ὅτε Fοι. 216. vulg. Πηλέως. 219. πλείονα Fοῖδα.

ardore.—205. ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον. vos duo urgete Achivos ut cibum parent, antequam in aciem exeant. ἦτ' ἂν ἔγωγε *sane quidem ego, jam nunc malim* in pugnam educere, et pugna demum facta de cibo cogitare.—209. Antea autem, (nisi hoc facto) *ego utique cibum non sumam.* cf. Ω. 641, 642. Sic et 306. non descendat cibus in meas fauces. ut ap. Horat. Epod. 2. *non Afra avis descendat in ventrem meum jucundior.*—212. ἀνὰ πρόθυρον τετραμμένος, amplificata sententia, more jam commemorato *componendi mortuum jam jam efferendum.*—213. τό μοι. ideo, δι' ὅ, διὰ τοῦτο.

215—237. Ulysses Achillis impetum compescit, docetque, fieri non posse, ut Achivi jejuni pugnam sustineant.

218. νοήματί γε προβαλοίμην κέ σε. τὸ νόημα *prudentia*, ut alibi. ὑπερβαλέσθαι, προβαλέσθαι, proprie de cursu, προφέρεσθαι, *superare*, quia ætate et experientia rerum te antecedo: id quod, ut jam alibi monitum, olim magni momenti esse creditum est; nostra ætate res aliter se habet: quo quis est minor natu, eo plus sapit.—220. ἐπιτλήτω μύθοισι pro τλήτω ἐπὶ τοῖς μύθοις. scil. ut mea dicta admittas, iis pareas.

221. Puta omissum esse antecedens: *Si jejuni milites exierint in prælium:* κόρος

Ὀργὴ ἐπίσχῃ. 203. Κέαται.] Κεῖνται. Δεδαϊγμένοι.] Διακεκομμένοι. 205. Βρωτύν.] Βρῶσιν. Ἦτ' ἂν ἔγωγε.] Τέως ἂν ἐγώ. 208. Ἐπὴν τισαίμεθα λώβην.] Ἐπειδ' ἂν τὴν ὑπὲρ τῶν ἀποθανόντων ὕβριν καὶ βλάβην ἐκδικήσωμεν. 209. Ἰείη.] Καθίει. 212. Κεῖται ἀνὰ πρόθυρον τετραμμένος.] Κεῖται ἐπὶ τὴν θύραν ὁρῶν. Ὅ ἐστι τετραμμένους ἔχων ἐν αὐτῇ τοὺς πόδας. οὕτω γὰρ τίθενται οἱ νεκροί. διὰ τὸ ἐξερχομένους τοῦ ἀνθρωπίνου βίου μηκέτι ἀναστρέφειν εἰς τοὺς οἴκους. 213. Τό μοι.] Διό μοι. 218. Προβαλοίμην.] Νικήσαιμι. 219. Ἐπεὶ πρότερος γενόμην.] Ἐπειδὴ πρεσβύτερος ὑπάρχω. 221. Αἶψά τε φυλό-

ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεὺς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
γαστέρι δ' οὔπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς.
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουσι· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνῃσι,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας·
ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ,
ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα. μὴ δέ τις ἄλλην

233. Ϝεσσάμενοι.

φυλόπιδος πέλεται ἀνθρώποις αἶψα, tædium pugnæ celeriter subit, h. e. ardor pugnandi extinguitur, viribus deficientibus, pugnæ, inquam, ἧς τε, in qua jam ferrum plurimos calamos dejecit, h. e. magna cædes jam facta est; nunc cum verbis: κόρος φυλόπιδος πέλεται: sunt jungenda: ἄμητός τ' ὀλίγιστος πέλεται, et in qua pugna jam raræ hostium fiunt cædes, ἐπὴν κλίνῃσι τάλαντα Ζεύς. dum pugna inclinata fugam circumspiciunt hostes: scil. vires fame debilitatæ non satis validæ sunt ad instandum victis, ad persequendos fugientes, et ad cædem fugientium faciendam. Hac junctura expeditur locus, dummodo memineris, comparatum cum comparante esse permixtum: cædes in pugna, primo magna, mox remissior, cum messe, in qua primo calami magna copia falce resecti procumbunt, eo facto autem non nisi paucæ aristæ, quæ supersunt in agro, metuntur.—223. ἐπὴν κλίνῃσι τάλαντα Ζεὺς, ut dixi, fugam jam parari, pugna in alterutram partem inclinata, innuit. Jovis τάλαντα, lancem jam vidimus Θ. 69. sq.

225. γαστέρι δ' οὔπως ἐστί. nova sententia et argumentatio. Abstinentia autem a cibo præ nimio luctu nullius frugis est ad mortuos, neque ad te ipsum; ita enim tibi fame erit contabescendum, nam quotidie homines moriuntur. γαστέρι, pro esurie. proprie, ventre scil. coercendo ut contra, etiam nude, γαστὴρ pro ingluvie et voracitate memoratur.—226. quotidie multi pereunt. ἐπήτριμοι. alius super alium.—227. πότε κεν. quando tandem aliquis vacare possit a luctu! πόνος pro πένθος.—229. νηλέα θυμὸν ἔχοντας, non crudelem, sed animum obfirmatum habere, postquam humatum luctu prosequutus est aliquis. Scilicet: non vero decet fractum animo muliebria lamenta per longum tempus perpetuare.—230. ὅσσοι δ' ἂν περιλίπωνται (ἐκ) πολέμοιο, τούτους χρὴ μεμνῆσθαι πόσιος. cibo et potu uti.

233. Novum præceptum. Cibo autem sumto, non alio novo expectato jussu, copiæ continuo in pugnam exeunto. μήτε τις λαῶν ἰσχυναάσθω, contineto se, cessato,

πιδος πέλεται κόρος ἀνθρώποισι.] Ταχέως γὰρ κόρος λαμβάνει τοὺς ἀνθρώπους ἐν τῇ μάχῃ. ὀλίγοι εἰσὶν οἱ ἀπολειπόμενοι ζῶντες, πολλοὶ δὲ οἱ φονευόμενοι. 222. Καλάμην.] Καλάμη δὲ κυρίως τὸ ξυλῶδες τῶν ἀσταχύων. ἢ τοὺς στάχυας περιφραστικῶς. ἀλληγορικῶς οὖν καλάμην νῦν κέκληκε τὰ σώματα τῶν ἀνῃρημένων. ἄμητον δὲ τὸν τοῦ θέρους καιρόν. θέλων δηλῶσαι, ὅτι τροπῆς ἐκ Διὸς γιγνομένης πολλοὶ πίπτουσι κατὰ πόλεμον. 223. Ἄμητος.] Προπαροξυτόνως μὲν, ὁ ἀμώμενος καὶ θεριζόμενος καρπὸς τοῦ σίτου. ἀμητὸς δὲ ὀξυτόνως ὁ καιρὸς τοῦ θέρους. Ὀλίγιστος.] Ὀλίγος, μικρός. Ἐπὴν κλίνῃσι τάλαντα Ζεύς.] Ὁπόταν τροπὴν ἐργάσηται ὁ Ζεύς. 226. Ἐπήτριμοι.] Ἐπάλληλοι, πυκνοί. 229. Νηλέα.] Ἀνηλεῆ, ἀσυμπαθῆ. Ἐπ' ἤματι δακρύσαντας.] Μίαν ἡμέραν κλαύσαντας. 232. Νωλεμές.] Ἀδιαλείπτως. 233. Ἑσσάμενοι.] Περιβαλόμενοι, ἐν-

λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω.
ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
νηυσὶν ἔπ' Ἀργείων. ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν ἄρηα.
Ἦ, καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο,
Φυλείδην τε Μέγητα, Θόαντά τε, Μηριόνην τε,
καὶ Κρειοντιάδην Λυκομήδεα, καὶ Μελάνιππον·
βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο.
αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον.
ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, οὕς οἱ ὑπέστη,
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·
ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας,
ἑπτ', ἀτὰρ ὀγδοάτην, Βρισηΐδα καλλιπάρηον·
χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα,
ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν.
καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν. ἂν δ' Ἀγαμέμνων
ἵστατο. Ταλθύβιος δὲ, θεῷ ἐναλίγκιος αὐδὴν,
κάπρον ἔχων ἐν χειρὶ, παρίστατο ποιμένι λαῶν.
Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,

242. δὲ Ϝέργον. 243. Ϝοι. 244. ἐϜείκοσι. 245. ἀμύμονα Ϝέργα Ϝιδυίας. vulg. ἀμύμονας. 251. vulg. χερσί. et ἄορτο. 252. δὲ Ϝερυσσάμενος.

remaneto, (ut M. 38. Argivi apud naves ἰσχανόωντο.) ποτιδέγμενος ἄλλην ὀτρυντύν. nam 235. si hunc alterum hortatum aliquis expectaverit, mora facta: næ illi male hoc cessurum est.

238—276. Ulysses, assumtis aliis, munera Agamemnonis afferri curat—249. Talthybius præco porcum adducit; quem Agamemnon mactat, et jurat, intactam a se Briseidem se remittere—268. Achilles, mala hæc a Jove immissa testatus, concionem dimittit—276.

238. ὀπάσσατο, se sequi jussit, ὀπηδοὺς ἔλαβε. ut jam K. 238. nam cum iis ipse ivit, ut e vs. 247. apparet. Sunt autem illi cum Nestoris filiis, Antilocho et Thrasymede, *Meges*, Phylei f. dux Dulichiensium B. 627. *Thoas* Ætolus, B. 638. *Meriones*, Idomenei comes, B. 651. *Lycomedes*, Creontis f. qui erat inter septem principes excubias agentes, Il. I. 84. Eum Cretensem et ab Hesiodo inter procos Helenæ memoratum fuisse, narrant Schol. Townl. *Melanippus*, non alibi memoratus.—242. hinc vulgare illud: ἅμ' ἔπος, ἅμ' ἔργον. obvium jam apud Herodotum. In seqq. redeundum est ad promissa Agamemnonis I. 122. sq.—247. χρυσοῦ δὲ στήσας. postquam appenderat ad libram; puta ex reliqua, quæ aderat Agamemnoni, auri copia.—249. ἐν μέσσῃ ἀγορῇ θέσαν, in conspectu omnium, sane nunc in ipsa concione: Unde postea vs. 279. in Achillis tentorium absportantur.—250. Talthybius, θεῷ ἐναλίγκιος αὐδὴν, h. e. magna, insigni, voce instructus; e vetere sermone; nihil amplius; ut jam sæpe vidimus, omnia præclara cum divinis comparari.—252. Notant hinc et ex Γ.

ἱστάμενοι. Ἀτειρέα.] Τὸν ἀκαταπόνητον, καὶ ἄτρωτον. 234. Ὀτρυντύν.] Παρακέλευσιν, παρόρμησιν. Ἰσχαναάσθω.] Ἀναμενέτω, ἀπεχέσθω. 238. Ὀπάσσατο.] Προσηταιρίσατο, ἀκολούθους ἔλαβε. 247. Στήσας.] Ἀριθμήσας. ἢ διὰ ζυγοῦ στήσας. οὕτως γὰρ οἱ ἀρχαῖοι τὰ χρήματα ἐστάθμιζον, ὅθεν

ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διῒ χεῖρας ἀνασχὼν,
εὔχετο. τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν εἵατο σιγῇ
Ἀργεῖοι, κατὰ μοῖραν, ἀκούοντες βασιλῆος.
εὐξάμενος δ' ἄρα εἶπεν, ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
Γῆ τε, καὶ Ἠέλιος, καὶ Ἐριννύες, αἵ θ' ὑπὸ γαῖαν
ἀνθρώπους τίνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσῃ.
μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπενεῖκαι,
οὔτ' εὐνῆς πρόφασιν κεχρημένος, οὔτε τευ ἄλλου·
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
πολλὰ μάλ', ὅσσα διδοῦσιν, ὅτις σφ' ἀλίτηται ὀμόσσας.
Ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέϊ χαλκῷ.
τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
ῥίψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν. αὐτὰρ Ἀχιλλεὺς

253. ἥ Ϝοι. 257. ἄρα Ϝεῖπε, Ϝιδών. 258. Ϝίστω. 261. vulg. ἐπενεῖκα.

272. morem cultri gerendi una cum ense.—254. κάπρου τρίχας ἀπαρξάμενος. tanquam primitias victimæ, quibus in ignem conjectis preces fiunt. Locus in hac re frequentatus, cum altero Γ. 273.—255. ἐπ' αὐτόφιν εἵατο. ἐπ' αὐτοῦ scil. τοῦ χώρου εἶντο. ἕζοντο, ἐν σιγῇ, κατὰ μοῖραν, composite, religioso silentio, quo dicebantur favere linguis.

258. Vetustissima numina in jurejurando excitari jam notatum erat ad Γ. 277. ubi dii inferi erant; pro quibus nunc Erinnyes.—261. μὴ μὲν ἐγὼ ἐπενεῖκαι non potest jungi cum ἴστω γάρ. sed supplendum est ὄμνυμι. ut sup. 175. habetur. nam est ὄμνυμι, μὴ ἐπενεῖκαι χεῖρα. ἴστω per se in formula habetur: conscius ac testis esto, adeoque vindex Jupiter perjurii. Lectum jam Κ. 329. Ο. 36. pro eo erat μάρτυροι ἐστὲ Γ. 276. Sæpe ap. Apollonium, ut loco ex his vss. hausto II, 257. sq.—262. οὔτ' εὐνῆς πρόφασιν κεχρημένος, οὔτε τευ ἄλλου. potest κεχρημένος esse a χρᾶσθαι, qui utitur, tum supplendum αὐτῇ κατὰ πρόφασιν seu consuetudinis, seu alterius servilis ministerii caussa. potest etiam esse, qui indiget, cum casu secundo. οὔτε εὐνῆς κεχρημένος, χρήζων, οὔτε ἄλλου τινὸς, διὰ vel κατὰ πρόφασιν, nec expetens ejus amplexus, nec aliud quid (servile ministerium) ulla de caussa. Prius, puto, simplicius.—263. ἄλλ' ἔμεν' ἀπροτίμαστος, intacta, ἄψαυστος. ἀπρόσμαστος a μάω, μᾶσθαι. ψαύειν, θίγειν.—264. εἰ δέ τι τῶνδ' ἐπίορκον. scil. ὤμοσα. ex vs. 261.—265. ὅσσα διδῶσιν ἐκείνῳ, ὅστις ὀμόσας ἀλίτηται (εἴς) σφε. ἁμαρτήσῃ· h. e. ὃς ὀμόσῃ ἂν ἐπίορκον.—266. Notatur sacrificandi mos in jurejurando, abjiciendi victimam in mare; quia cum diris illud conjunctum est, ut similis interitus eveniat pejeranti. v. Γ. 292. 298. sq.

268—276. Achilles, iterum sollenni excusatione usus, divinitus (ἐκ θεομηνίας) hanc

ὀβολοστάται εἴρηνται. 255. Ἐπ' αὐτόφιν.] Ἐπ' αὐτοῦ τοῦ τόπου. 258. Ὕπατος.] Πρῶτος, μέγιστος. 260. Τίνυνται.] Τιμωροῦνται. 261. Ἐπενεῖκαι.] Ἐπιβαλεῖν, ἅψασθαι. 262. Οὔτ' εὐνῆς πρόφασιν κεχρημένος.] Ὡς οὔτε τῆς συνουσίας αὐτῆς χρῄζων ἀφειλόμην. 263. Ἀπροτίμαστος.] Ἀνύβριστος. ἄθικτος συνουσίας, καὶ μίξεως ἀνδρός. 265. Ὅς τις σφ' ἀλίτηται ὀμόσσας.] Ὅς τις ἁμάρτῃ ἐπιορκήσας. 266. Στόμαχον.] Λαιμόν. 267. Τὸν μὲν Ταλθύβιος Ῥίψ' ἐπιδινήσας.] Ἐπιστραφείς φησιν ἔῤῥιψεν εἰς θάλασσαν τὸν κάπρον. σημαίνει ὅτι τὰ ἀπὸ τῶν ὅρκων ἱερεῖα οὐκ ἤσθιον, ἀλλ' ἐῤῥίπτουν, ἢ ἔκαιον, ὡς ἐν τῇ γ. φησί. 268. Βόσιν.] Βορὰν, βρῶσιν.

ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
  Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα·
οὐκ ἂν δήποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρείδης ὤρινε διαμπερὲς, οὐδέ κε κούρην
ἦγεν, ἐμεῦ ἀέκοντος, ἀμήχανος· ἀλλά ποθι Ζεὺς
ἤθελ' Ἀχαιοῖσι θάνατον πολέεσσι γενέσθαι.
νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα.
  Ὣς ἄρ' ἐφώνησε· λῦσε δ' ἀγορὴν αἰψηρήν.
οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος.
δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο.
βὰν δ' ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο·
καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκας·
ἵππους δ' εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.
Βρισηὶς δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσέῃ Ἀφροδίτῃ,
ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
ἀμφ' αὐτῷ χυμένη, λίγα κώκυε, χερσὶ δ' ἄμυσσε
στήθεά τ', ἠδ' ἁπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα·
εἶπε δ' ἄρα κλαίουσα γυνὴ, εἰκυῖα θεῇσι·
  Πάτροκλέ, μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
ζωὸν μέν σε ἔλειπον ἐγὼ, κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,

273. ἀϝέκοντος. 277. ἐσκίδναντο ϝεϝὴν ἐπὶ νῆα ϝέκαστος. v. Obss.
282. ἔπειτ', ϝικέλη. v. Obss. 283. ϝίδε.
284. vulg. λίγ' ἐκώκυε. 286. ϝεῖπε—ϝεικυῖα.

noxam suæ cum Agamemnone altercationis evenisse, concionem dimittit. Sunt autem hæc eo consilio dicta, ut placatum se Agamemnoni ostendat, culpa ab eo in Jovem versa.—270. ἦ μεγάλας ἄτας. ἆται nunc mala sunt e stolida pervicacia profecta.—271. Supple: nam nisi hoc ita se habuisset, ut tuo numine hæc ita regerentur: οὐκ ἂν etc.—273. ἀμήχανος, fere ut σχέτλιος, et Latinorum, improbus; notione non satis determinata, sed cum exprobratione; h. l. de Agamemnone, qui ira excandescens injuriam intulerat, animi impotens. cf. Π. 29. Ν. 726. Ο. 14. ἀλλά ποθι Ζεύς. vulgaris juncturæ modus erat εἰ μὴ Ζεύς.—276. λῦσε δ' ἀγορὴν αἰψηρήν. celerem in discedendo. pro αἰψηρῶς.

277—302. Cum muneribus ad Achillem missis venerat et Briseis; quæ Patrocli corpus amplexa lamentatur, sua ipsius infortunia memorando. Ne hæc ad nostros mores revocemus, et miremur Achillem, suspiciosum hominem, hac mirifici in alium virum affectus testificatione non commotum fuisse, meminerimus morem plangendi mulieribus demandatum, et sensus istorum obtusiores in amore.

270. Διδοῖσθα.] Διδοῖς. 273. Ἀμήχανος ἀλλά ποθι Ζεύς.] Ὥστε τὸν Δία ἀμήχανον δηλοῦσθαι, ὅ ἐστι κακομήχανον. 276. Ἀγορὴν αἰψηρήν.] Τὴν ταχέως ἀθροισθεῖσαν. 284. Ἀμφ' αὐτῷ.] Περιπλακεῖσα τῷ Πατρόκλῳ δηλονότι. Λίγ' ἐκώκυεν.] Ὀξέως ἐθρήνει. Ἄμυσσε.] Κατέξεε τοῖς ὄνυξιν, ἐσπάραττεν. 289.

ἂψ ἀνιοῦσ'· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
ἄνδρα μὲν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ·
τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς
ἔκτεινε, πέρσε δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν, ἄξειν τ' ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι.
τῷ σ' ἄμοτον κλαίω τεθνειότα, μείλιχον αἰεί.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες,
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.
αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο,
λισσόμενοι δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων·

292. Ϝεῖδον. 295. vulg. οὐδ' ἔμ'. 297. vulg. ἀλλ' ἔμ'.
302. κήδε' Ϝεκάστη. v. Obss.

290. ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί. non δέχεται μοι sunt jungenda; nam dicendum esset ὡς κακὸν δέχεταί με. sed interpositum μοι more vulgari, quo dicimus: peristi mihi.—292. πρὸ πτόλιος, erat Lyrnessus, cujus rex Mynes matrimonio habebat Hippodamiam, Brisei filiam. v. B. 690. sq.—294. κασιγνήτους κηδείους. valde caros. sunt κήδειοι, ὧν κῆδος, φροντίδα, ἔχομεν.—295. locus memorabilis, quam diversi sensus mulierum istius ætatis fuerint a nostris; mulier cæso marito captiva beatam se prædicat, quod victoris matrimonio se potituram esse sperare potest. At cogitandum est de aliarum captivarum conditione servili. Notandum porro et illud: potuisse ea ætate cum captiva, hoc est, cum serva, legitimum matrimonium iniri; et potuisse hoc a Patroclo promitti; etsi in Homericis utrumque parum fit probabile.—298. κουριδίην ἄλοχον. improprie dictum; non enim est h. l. quam virginem duxit; sed omnino aut caram aut teneram.—299. δαίσειν γάμον, epulas nuptiales instruere; parare nuptias.

302. Πάτροκλον πρόφασιν. Vix accipere licet: prætexta morte Patrocli, dum vere mala sua plangebant. Verum: caussa oblata luctus de morte Patrocli, simul sua ipsorum mala in memoriam revocando: ut paullo post 338, 9. principes Achivorum lamentis Achillis adgemiscunt μνησάμενοι, τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον. item Ω. 167, 168.

303—339. Cum principes Achivorum frustra Achillem invitassent ad cibum sumendum, discedunt; restant cum eo pauci, interquos ille lamenta prosequitur miserantibus adstantibus.

Κιχάνομαι.] Καταλαμβάνω. Ὄρχαμε.] Ἡγεμών. 290. Ἂψ ἀνιοῦσα.] Εἰς τοὐπίσω ἀνερχομένη. Ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.] Ὡς ἐν ἀδιαλείπτοις γίγνομαι κακοῖς. 294. Κηδείους.] Εὐνουστάτους, καὶ μᾶλλον διαφέροντας τῇ συγγενείᾳ. φροντίδος ἀξίους. Ἐπέσπον.] Ἐπηκολούθησαν. 297. Ἔφασκες.] Ἔλεγες. 298. Κουριδίην.] Τὴν παρθενικήν. Ἄξειν.] Ἀπάξειν. 299. Δαίσειν.] Εὐωχήσειν. 300. Ἄμοτον.] Ἀμότως, ἀπληρώτως. 302. Σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.] Αἱ δὲ λοιπαὶ γυναῖκες σὺν τῇ Βρισηΐδι δῆθεν, ὡς ἐπὶ προφάσει Πατρόκλου ἔκλαιον· τῇ δὲ ἀληθείᾳ, ἑκάστη ἐπ' αὐτῷ ἐθρήνει τὴν

Λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων,
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει·
δύντα δ' ἐς ἠέλιον μενέω, καὶ τλήσομαι, ἔμπης.
Ὣς εἰπὼν, ἄλλους μὲν ἀπεσκέδασε βασιλῆας·
δοιὼ δ' Ἀτρείδα μενέτην, καὶ δῖος Ὀδυσσεὺς,
Νέστωρ, Ἰδομενεύς τε, γέρων θ' ἱππηλάτα Φοίνιξ,
τέρποντες πυκινῶς ἀκαχήμενον. οὐδέ τι θυμῷ
τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
μνησάμενος δ' ἀδινῶς ἀνενείκατο, φώνησέν τε·
Ἦ ῥά νύ μοί ποτε καὶ σὺ, δυσάμμορε, φίλταθ' ἑταίρων,
αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα.
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος· αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
σῇ ποθῇ. οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι·
οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτεϊ τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ

309. Ϝειπών. 310. vulg. Ἀτρεῖδαι.

305. εἴ τις ἔμοιγε ἐπιπείθεται, vulgaris oratio: ὦ φίλοι, πείθεσθε ἐμοὶ μὴ κελεύοντες.—308. ἔμπης reddi potest *utique*, *pervicaciter*: proprie tamen subintellig. καίπερ οὐκ ἀσάμενος ἦτορ σίτου. καίπερ ἄσιτος ὤν. ut bene Koeppen. ita M. 326.—312. τέρποντες de conatu.—τέρπετο. vides pro *solari* esse dictum, antiquo sermone: paullo aliter ac Λ. 642. ubi simpliciter *sermonibus recreare* erat.—313. πολέμου στόμα δύμεναι· *Aciem* pugnantium jam vidimus declarari per *os*, ut nobis per *frontem*.—314. ἀδινῶς ἀνενείκατο, substituendum est aliquid ex ipsa re, στεναγμοὺς, aut ex φώνησέν τε, τὴν φωνήν.—315. In memoriam revocat Achilles, (huc μνησάμενος spectat) quod sæpe sibi sub exitum in pugnam epulas paraverat Patroclus; secundum αὐτοδιακονίαν heroum. Petita hæc sunt ex sensu vero ac more lugentium in desiderio eorum, quos amaveramus.—320. ἄκμηνον, ἄγευστον. sup. 163. ἔνδον ἐόντων sc. τούτων, τῆς πόσιος καὶ ἐδητύος. *cum in domo parata sint, in penu sint, suppetant.* Aliquoties occurrit.—323. Hinc narrata de Pelei ærumnosa senectute. v. ad Apollod. III. 12, 6. §. 12. p. 309.—324.

ἑαυτῆς συμφοράν. 306. Σίτοιο.] Ἄρτου. 307. Ἄσασθαι.] Κορεσθῆναι. 308. Δύντα δ' ἐς ἠέλιον.] Ἕως ἡλίου δυσμάς. 309. Ἀπεσκέδασεν.] Ἀπεσκόρπισε. 312. Τέρποντες.] Ἀντὶ τοῦ τέρπειν βουλόμενοι, παρηγοροῦντες. Πυκινῶς.] Συνετῶς. Ἀκαχήμενον.] Λυπούμενον. 314. Ἀδινῶς ἀνενείκατο.] Ἀθρόως καὶ ἐλεεινῶς καὶ οἰκτρῶς ἀνέκραξε. ἢ οἱονεὶ ἀνεστέναξε, καὶ πολὺ ἤγαγε πνεῦμα. 315. Δυσάμμορε.] Κακόμοιρε. 316. Λαρόν.] Ἡδύ. 317. Αἶψα καὶ ὀτραλέως.] Ἐνεργῶς, καὶ σπουδαίως. τὸ αὐτὸ εἶπεν ἐπιτάσεως χάριν. Σπερχοίατο.] Ταρασσόμενοι ἐπείγοιντο. 321. Σῇ ποθῇ.] Τῷ σῷ πόθῳ, τῇ σῇ ζητήσει. Κακώτερον.] Χεῖρον. 322. Πυθοίμην.] Ἀκούσαιμι. 323. Τέρεν.] Ἁπαλὸν, ὑγρόν. Εἴβει.] Κυρίως μὲν σπένδει. Ἄρτι δὲ προχεῖ, στάζει. 324. Χήτει.] Στερήσει, ἐν-

εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶ πτολεμίζω·
ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἔνι τρέφεται φίλος υἱὸς,
εἴ που ἔτι ζώει γε, Νεοπτόλεμος θεοειδής.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι,
ὡς ἄν μοι τὸν παῖδα θοῇ σὺν νηῒ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις, καί οἱ δείξειας ἕκαστα,
κτῆσιν ἐμὴν, δμῶάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἢ κατὰ πάμπαν
τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκαχῆσθαι
γήραΐ τε στυγερῷ, καὶ ἐμὴν προτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται.
Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο γέροντες,
μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπε.

327. θεοϜειδής. 328. ἐνὶ στήθεσσι ϜεϜώλπει.
332. Ϝοι δείξειας Ϝέκαστα. v. Obss. 337. vulg. πύθοιτο.
339. τὰ Ϝέκαστος. porro ἔλειπον vulgg.

χήτεϊ τοιοῦδ' υἷος. ἐμοῦ. pro ex absentia mea, cum indiget meo auxilio. ἐνὶ δήμῳ. iterum pro *terra*.—325. ῥιγεδανῆς Ἑλένης. κρυερῆς. φρικτῆς. *abhorrendæ.* quia τὰ στυγερὰ gelu, ῥῖγος, faciunt.—326. ἠὲ τὸν sc. ἀποφθίσθαι. Mutavit structuram. Post εἴ κεν τοῦ πατρὸς sequi debebat ἠὲ τοῦ, ὅς. Hi vss. cum Od. Λ. 491. 505. sqq. sunt fundus fabularum de Neoptolemo.—328. πρὶν μέν. Prius solum se morti ante Trojam destinatum esse norat, nihil de amico resciverat. ex vaticinio accepto, de quo v. sup. I. 410. cf. ad P. 400.—329. Argos h. l. Thessaliæ esse debet. Sin, quia ἱππόβοτον proprium est Argorum in Peloponneso, ut Γ. 75. et al. ad hos referendum est, dicendum est τὸ Ἄργος omnino pro Græcia dictum esse: de quo alioqui dubitatur in Homericis.—332. δείξειας, ut vindicare sibi posset ab aliis possessa.—335. τυτθὸν ἔτι ζώοντα *ægre vitam trahentem* fere quod ὀλιγηπελεῖν.

δείᾳ, σπάνει. 325. Ῥιγεδανῆς.] Φρικτῆς, χαλεπῆς. 328. Ἐώλπει.] Ἤλπιζεν. 332. Σκυρόθεν.] Σκύρος νῆσος μία τῶν Κικλάδων. Ἀλεξάνδρου Ἑλένην ἁρπάσαντος, Ἀγαμέμνων καὶ Μενέλαος τοὺς Ἕλληνας κατὰ Τρώων ἐστρατολόγησαν. Πηλεὺς δὲ προγιγνώσκων ὅτι μοιρίδιον ἦν ἐν Τροίᾳ θανεῖν Ἀχιλλέα, παραγενόμενος εἰς Σκύρον πρὸς Λυκομήδην τὸν βασιλέα παρέθετο τὸν Ἀχιλλέα, γυναικείαν ἐσθῆτα ἀμφιέσας ὡς κόρην. ὁ δὲ αὐτὸν μετὰ τῶν θυγατέρων ἀνέτρεφε. χρησμοῦ δὲ δοθέντος, μὴ ἁλώσεσθαι τὴν Ἴλιον χωρὶς Ἀχιλλέως, πεμφθέντες ὑφ' Ἑλλήνων Ὀδυσσεὺς, Φοῖνιξ, καὶ Νέστωρ, Πηλέως ἀρνουμένου παρ' αὐτῷ τὸν παῖδα τυγχάνειν, πορευθέντες εἰς Σκύρον ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι, ταῖς Ὀδυσσέως ὑποθήκαις, ὅπλα καὶ ταλάρους ἔῤῥιψαν σὺν ἱστουργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος. αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάρους ὥρμησαν, ὁ δ' ἐπὶ τὰ ὅπλα. πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων, ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους. ἥτις ἐξ αὐτοῦ ἐγέννησε Πύῤῥον τὸν ὕστερον Νεοπτόλεμον κληθέντα. ὅς τις τοῖς Ἕλλησι νέος ὢν συνεστρατεύσατο μετὰ θάνατον τοῦ πατρός. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς. 333. Κτῆσιν.] Κτήματα. 335. Ἀκαχῆσθαι.] Λυπεῖσθαι. 337. Πύθοιτο.] Ἀκούσει. 340. Μυρομένους.]

Μυρομένους δ' ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Τέκνον ἐμὸν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
κεῖνος ὅγε, προπάροιθε νεῶν ὀρθοκραιράων,
ἧσται ὀδυρόμενος ἕταρον φίλον. οἱ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαστος.
ἀλλ' ἴθι, οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται.
Ὣς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην.
ἡ δ', ἅρπῃ εἰκυῖα τανυπτέρυγι, λιγυφώνῳ,
οὐρανοῦ ἐκκατεπᾶλτο δι' αἰθέρος. αὐτὰρ Ἀχαιοὶ
αὐτίκα θωρήσσοντο κατὰ στρατόν. ἡ δ' Ἀχιλῆϊ
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκηται.
αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
ᾤχετο. τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται

340. γε Ϝιδών. 341. Ϝέπεα. 347. ἴθι, Ϝοι.
349. Ϝειπών. 350. Ϝεικυῖα. 351. vulg. ἐκκατέπαλτο.

340—356. Cum Achilles pervicaciter cibo abstineret, divino beneficio et Minervæ munere, ne pugnam mox futuram ingressus viribus deficeret, ambrosia et nectare reficitur.

342. ἀποίχεαι ἀνδρὸς ἑῆος fortem virum deseris. eum non curas. ἀποίχεσθαι, non modo discedere, sed et abesse, ut Ulysses δηρὸν ἀποίχεται Od. Δ. 109. absistere. ut Λ. 408. οἱ κακοὶ ἀποίχονται πολέμοιο.—343. μέμβλεταί σοι, ὑπό σου. μέλει σοι. cf. sup. ad Δ. 11.—347, 8. nectar et ambrosiam instilla ἔνσταξόν οἱ, si de cibo est accipiendum et potu, ut vires reficiantur, est ἀμβροσίη τροφή. quod pectus adjicitur, στήθεσιν, respicit vires in pectore, nec in voc. στάξον est hærendum; cum sit omnino, immitte, ingere. [illegible]

350. ἅρπη. aquilæ genus est; aliis, miluorum.—351. ἐκκατεπᾶλτο, ἧλτο, ab ἅλλεσθαι. καθῆλτο, desiluit, ἐκ τοῦ οὐρανοῦ, κατὰ τὴν γῆν ἐπὶ τὸν Ἀχιλλέα. Sic Thetis Σ. 615.—356. ἀπάνευθε νεῶν ἐχέοντο. simpl. pro ἀπὸ, ἐκ νεῶν.

357—398. Procedunt Myrmidonum copiæ armatæ magno numero; declaratur res per effectum ad visum, crebra arma, galeæ, scuta. Armat se Achilles. Cum nunc res ad ἀκμὴν adducta sit, ut Achilles in pugnam prodeat, qua rerum περιπέτεια

Κλαίοντας. 342. Πάμπαν.] Παντελῶς δή. Ἀποίχεαι.] Οἴχῃ, πεπόρευσαι. 343. Μέμβλεται.] Μέλει, παρακάθηται. 346. Μετὰ δεῖπνον.] Ἐπὶ τὸ δεῖπνον. 347. Νέκταρ.] Θεῖον πόμα. Ἀμβροσίην.] Θείαν τροφήν. 348. Ἵκηται.] Καθίκηται, καθάψηται. 350. Ἅρπη.] Εἶδος ὀρνέου. τινὲς ἰκτῖνον καλοῦσιν, ἕτεροι δὲ φήνην. λέγεται δὲ καὶ τὸ δρέπανον. Τανυπτέρυγι.] Μακρὰς πτέρυγας ἐχούσῃ. Λιγυφώνῳ.] Ὀξυφώνῳ. 351. Ἐκκατέπαλτο.] Καθήλατο. 355. Ἐρισθενέος.] Μεγαλοσθενοῦς, ἰσχυροῦ. Πυκινόν.] Πυκνὸν, ἀσφαλές. 357. Ἐκπο-

ψυχραὶ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο·
ὣς τότε ταρφειαὶ κόρυθες, λαμπρὸν γανόωσαι,
νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
θώρηκές τε κραταιγύαλοι, καὶ μείλινα δοῦρα·
αἴγλη δ' οὐρανὸν ἶκε, γέλασσε δὲ πᾶσα πέρι χθὼν
χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν
ἀνδρῶν. ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς.
τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε
λαμπέσθην, ὡσεί τε πυρὸς σέλας· ἐν δέ οἱ ἦτορ
δῦν' ἄχος ἄτλητον· ὁ δ' ἄρα Τρωσὶ μενεαίνων
δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας.
δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνεν·
ἀμφὶ δ' ἄρ' ὤμοισι βάλετο ξίφος ἀργυρόηλον,
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε, στιβαρόν τε,
εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ', ἠΰτε μήνης.
ὡς δ' ὅταν ἐκ πόντοιο σέλας ναύτῃσι φανήῃ

362. vulg. περί. 365. δέ Foι. 366. δέ Foι.
368. τά Foι. 375. vulg. φανείη.

parabitur, consentaneum erat, ut ejus species exhiberetur quam maxime ornata.—360. νηῶν ἐκφορέοντο aut pro, prodibant, egrediebantur, ut arma dicta sint pro armatis, ut sit pro ἐξήρχοντο. ut contra ἐξέρχεσθαι dicuntur ea, quæ exportantur, ἐκφοροῦνται. aut dicendum, arma in navibus servata nunc fuisse exportata ante naves in ordinibus; et inter eos ipse Achilles se armabat. Parum tamen placent hæc.—361. θώρηκες κραταιγύαλοι pro κραταιογύαλοι, pro simplici κραταιοί. Cum tamen thoraces haberent duo cava, anterius et posterius, γύαλα, saltem omnis thorax habeat cavum intra se, et habeat γύαλον; ornatius est epitheton compositæ vocis, aucta notione.—366. ἐνέδυνε τὸ ἦτόρ οἱ ἄχος, dolor, recolendo Patrocli mortem. ut jam sup. v. 16.—369. Disertus nunc est poeta in armando Achille. v. ad vs. 357. Iterum narrationem ita instituit, ut non narret, eum jam armatum esse, et, quæ arma illa fuerint, tum subjiciat; verum ponit eum ante oculos nostros armantem se; ipso rerum ordine eo ducente, non ut poetæ pro magna judicii subtilitate hoc imputandum sit. Pleraque ex hoc loco jam in locis similibus fuere memorata.—370. ἐπισφύρια fibulas jam Γ. 331. vidimus.—372. ἀμφὶ δ' ἄρ' ὤμοισι βάλετο ξίφος. proprie περιεβάλετο balteum, ζῶμα, ex quo ensis pendebat.—375—380. Comparatur fulgor clipei cum igni in montibus eminus a navigantibus conspecto: ornata res, quod navis tempestate jactatur, et pro signo incensus est ignis, nec possunt navigantes littus tenere ventorum vi re-

τέονται.] Ἐξίπτανται. 358. Ὑπαὶ ῥιπῆς.] Ὑπὸ σφοδρότητος καὶ ὁρμῆς. Αἰθρηγενέος.] Τοῦ αἰθρίαν ποιοῦντος. 359. Γανόωσαι.] Λάμπουσαι. 360. Ἐκφορέοντο.] Ἐξεφέροντο. 361. Κραταιγύαλοι.] Ἰσχυρὰ γύαλα ἔχοντες. ἰσχυροί. Γύαλα δὲ τὰ κοιλώματα. 363. Ὑπὸ στεροπῆς.] Ἀστραπῆς, λαμπρότητος. 365. Καναχή.] Ψόφος. 366. Σέλας.] Λαμπρότης. 367. Ἄτλητον.] Ἀνυπομόνητον, ἀκαρτέρητον. 368. Δύσετο.] Ἐνεδύσατο. 374. Μήνης.] Σελήνης.

καιομένοιο πυρός, τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι,
σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανε
καλοῦ, δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρας
κρατὶ θέτο βριαρήν· ἡ δ', ἀστὴρ ὥς, ἀπέλαμπεν
ἵππουρις τρυφάλεια, περισσείοντο δ' ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,
εἴ οἱ ἐφαρμόσσειε, καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῷ δ' εὖτε πτερὰ γίγνετ', ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,
βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες

381. ἀστὴρ Fώς. Bentl. 382. δ' Fέθειραι. v. Obss.
384. πειρήθη δὲ Fέ' αὐτοῦ. v. Obss. 385. Fοι. 386. vulg. ἠΰτε.

jecti. Ignis potest videri esse πυρσὸς, φανὸς, accensus, ut signum sit navigantibus, quo loco appellenda sit navis; at vento adversante nautæ prohibentur a littoris accessu; ἀπάνευθε φίλων· itaque ap. Eustath. πυρσὸς σωστικὸς redditur. Aliud genus πυρσῶν vidimus Σ. 211. ἐκ πόντοιο. nautis e mari prospicientibus conspicitur.—380. ἀείρας περιθεὶς· ἄρας καὶ περιθείς.—382. περισσείοντο δ' ἔθειραι χρύσειαι, fulvæ, ut quoque Σ. 611. ἐπὶ δὲ χρύσειον λόφον ἧκε, ἃς ἱεὶς ἀμφίει Ἥφαιστος ὡς εἶναι λόφον.—384. πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεσι. experitur se in armis. h. e. arma, an sint satis apta membris, iisque movendis an respondeant.—385. εἰ τὰ γυῖα (οἱ πόδες) τρέχοι ἐν τοῖς ἔντεσι. an ipse incedere posset in armis.—386. Jam, cum nulla parte pondus æris premeret, nec nimium gravaret corpus, ille subsilit et se levat, quasi alis instructus, ἐγίγνετο αὐτῷ τὰ ἔντεα ὡς πτερὰ, ἀείροντα αὐτόν. *erant ipsi quasi alæ elevantes ipsum*; hæc eloquutus est durius: ἄειρε δὲ τὰ ἔντεα αὐτὸν, tam parum gravabatur pondere thoracis, ut et quasi elevare se, et evolare sibi videretur. Creditur ex h. l. Xenophon duxisse suum illud: ἐμοὶ δοκεῖ τὰ τῶν ὅπλων φορήματα πτεροῖς μᾶλλον ἐοικέναι ἢ φορτίῳ. Cyrop. II. 3, 14.—387. de hasta Peliade, ex trunco in Pelio monte recisa, a Peleo. Lecti jam versus Π. 141. sq.

392. Duo homines memorati iterum Ω. 474. in jungendis equis sunt occupati pro

377. Οἰοπόλῳ.] Ἐν ᾧ ὄϊες πολοῦνται, καὶ ἀναστρέφονται. 380. Ἀείρας.] Ἐπάρας. 382. Περισσείοντο.] Περιεσείοντο. Ἔθειραι.] Αἱ ἐξ ἔθους κεκοσμημέναι κόμαι. 383. Ἵει.] Ἐνεποίκιλλεν, ἐνέβαλεν. 385. Ἐφαρμόσσειεν.] Ἁρμόσειεν. Ἐντρέχοι.] Ἀκωλύτως χρῷτο, ὥστε μὴ ἐμποδίζεσθαι. 386. Τῷ δ' ἠΰτε πτερὰ γίνετο.] Τῷ δὲ Ἀχιλλεῖ κοῦφα καὶ ἁρμόδια τὰ ὅπλα ἐγίγνοντο ὡσεὶ πτερά. 387. Σύριγγος.] Τῆς δορατοθήκης. 389. Ἐπίστατο.] Ἀντὶ τοῦ ἠδύνατο. Πῆλαι.] Κινῆσαι, σεῖσαι. 390. Πηλιάδα.] Τὴν ἐκ Πηλίου ὄρους Θεσσαλίας τμηθεῖσαν. λέγει δὲ τὸ δόρυ. μελία γὰρ εἶδος δένδρου ἐπιτηδείου πρὸς κατασκευὴν δοράτων. 392. Ἄλκιμος.] Ἀλκιμέδων, ὑποκοριστικῶς.

ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν᾽ ἔσαν· ἐν δὲ χαλινοὺς
γαμφηλῇσ᾽ ἔβαλον, κατὰ δ᾽ ἡνία τεῖναν ὀπίσσω
κολλητὸν προτὶ δίφρον· ὁ δὲ μάστιγα φαεινὴν
χειρὶ λαβὼν ἀραρυῖαν, ἐφ᾽ ἵπποιϊν ἀνόρουσεν
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεὺς,
τεύχεσι παμφαίνων, ὥστ᾽ ἠλέκτωρ ὑπερίων.
σμερδαλέον δ᾽ ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
Ξάνθε τε, καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης,
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ᾽ ἑῶμεν πολέμοιο·
μηδ᾽, ὡς Πάτροκλον, λίπετ᾽ αὐτόθι τεθνειῶτα.
Τὸν δ᾽ ἄρ᾽ ὑπὸ ζυγόφι προσέφη πόδας αἰόλος ἵππος
Ξάνθος, ἄφαρ δ᾽ ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη,

395. vulg. ὁ δ᾽ ἄρ. 399. πατρὸς ἑFοῖο.

uno ministro: alter Achillis auriga Automedon; alter Alcimedon, nunc Alcimus dictus, e Myrmidonum ducibus Π. 297. qui, Patroclo cæso, currum conscenderat Ρ. 467. λέπαδνα sunt lora, collum et pectus ambientia, quibus equi jugo illigati erant: cf. Ε. 730. Ori insertus est χαλινὸς, frænum; et habenæ quibus reguntur, e jugo nexæ et retro versus currum ductæ, αἱ ἡνίαι, vel τὰ ἡνία. οἱ ῥυτῆρες. γαμφηλῇσι, nunc de malis equorum rictu diductis. Supra Ν. 200. de rictu leonum.—396. Conscendit currum Automedon ἡνίοχος, et post illum παραβάτης Achilles.—398. ἠλέκτωρ ὑπερίων, omisso nomine ipso Ἥλιος, cujus epitheton est ὑπερίων sup. Θ. 480. Od. Α. 8. et al. Duo epitheta apposita sunt: ἠλέκτωρ, idem, quod ἀκάμας et ὑπερίων in altum evectus. Abiit hoc epitheton serius in nomen proprium, seu loco eodem est habitum, ut Od. Α. 24. Tandem Hyperion pro patre Solis dictus, et Sol Ὑπεριονίδης. quod jam uno Od. Μ. 176. loco occurrit. Etiam ἠλέκτωρ sine Ἥλιος, absolute de Sole positum erat Ζ. 513.

399. ad fin. Achilles hortatus equos, currui junctos, audit alterum ex iis, Xanthum, se et comparem, culpa cædis Patrocli liberantem et ominantem ipsius Achillis fata jam instantia; at ille nihil ab ardore ulciscendi mortem Patrocli remittit. Totus locus est ex antiquitatis sensu legendus.

399. ἵπποισι πατρὸς ἑοῖο. equos Achilles habuit a patre Peleo, ille a Neptuno inter τὰ ἕδνα cum Thetide. Apollod. III. 3, 5. §. 5.—401. ἄλλως δὴ, non ut antea, sed melius. Nam antea Patroclum cæsum reliquerant in acie, reportandum ab aliis; solum Automedontem pugna extulerant. Vide loca Π. 866. Ρ. 452.—402. ἐπεί χ᾽ ἑῶμεν πολέμοιο. postquam satis pugnatum erit. proprie, ubi satiaverimus nos pugna. ex antiquo ἕω, nunc ἵημι, satio; per ellipsin, ἕειν, ἐξέειν, eximere, ἔρον τοῦ πολέμου, cupiditatem pugnandi. ut πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο Α. 469. Itaque a grammaticis redditur: πληρωθῶμεν. κορεσθῶμεν.

404. αἰόλος ἵππος. nunc ταχύς.—405. ἤμυσε καρήατι, ἐκλίθη, inclinavit se capite; demisso in terram capite stetit. ut Β. 148. quod Ρ. 437. equi οὔδει ἐνισκίμψαντε καρήατα.

393. Λέπαδνα.] Οἱ ὑποτραχήλιοι ἱμάντες, οἱ μασχαλιστῆρες. 400. Τηλεκλυτά.] Πάνυ ἔνδοξα. Ποδάργης.] Τοῖς ποσὶν ἐπαρκούσης. ταχείας. 401. Ἄλλως.] Μὴ οὐχὶ οὕτως, κατὰ ἄλλην ἔννοιαν. Φράζεσθε.] Σύνετε, νοεῖτε. 402. Ἐπεί χ᾽ ἑῶμεν πολέμοιο.] Ἐπειδ᾽ ἂν ἀναμιχθῶμεν τοῖς πολεμίοις, ἔνιοι δὲ χέομεν, ὑποχωρήσομεν. Ἐπεί χ᾽ ἑῶμεν.] Ἐπειδ᾽ ἂν κορεσθῶμεν. 404. Ὑπὸ ζυγόφιν.] Ὑπὸ ζυγοῦ. Αἰόλος.] Ἀντὶ τοῦ ταχύς. 405. Ἤμυσσε καρήατι.] Παρέκλινε τὴν κεφαλὴν αὐτοῦ. ταχέως δὲ εἰς θάτερον ἔκλινε τὴν κεφαλὴν, παρεπιστρέψας εἰς τοὐπίσω, ὡς προσβλέψων τῷ Ἀχιλλεῖ μέλλων αὐτῷ διαλέγεσθαι.

ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν, οὖδας ἵκανεν·
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
Καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον, οὐδέ τοι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ Μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε, νωχελίῃ τε,
Τρῶες ἀπ' ὤμοιϊν Πατρόκλου τεύχε' ἕλοντο·
ἀλλὰ θεῶν ὤριστος, ὃν ἠΰκομος τέκε Λητὼ,
ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
νῶϊ δὲ καὶ κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
ἥνπερ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλά σοι αὐτῷ
μόρσιμόν ἐστι, θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
Ὣς ἄρα φωνήσαντος Ἐριννύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.

409. vulg. οὐδέ τι ἡμεῖς. 417. ἀνέρι Fῖφι.

—406. tam alte quidem demisso capite, ut juba in humum decideret, solum attingeret, jugi orbiculo, cui insertum erat caput equi, excussa. *χαίτη ζεύγλης ἐξεριποῦσα παρὰ ζυγόν.* Idem versus sup. Ρ. 437.—407. *αὐδήεντα δ' ἔθηκε Ἥρη.* Juno loquendi facultatem indiderat equo: et, tanquam equus *θεῖος*, habet ille quoque facultatem prædicendi futura. Serius a prodigiis facilis erat progressus ad talia commenta: antiquioribus vero a rudi et mythico sermone, quo agentes et loquentes inducebantur ii, de quibus narrabatur; itaque jumenta quoque, tanquam sensum et vocem haberent: dum res narratæ dramatice exhibebantur.—408. Utique te et nunc quidem incolumem e pugna reducemus.—410. *θεός τε μέγας καὶ Μοῖρα κραταιή.* *θεὸς* nunc omnino *τὸ θεῖον*; nisi, ut mos est, Jupiter et h. l. cum Fato jungitur. Versus aliquoties lectus, sed plerumque *Θάνατος καὶ Μοῖρα κραταιὴ* junguntur: primo loco Ε. 83. Π. 334. 853. Υ. 477. Φ. 410. Ω. 132.—413. *ἀλλὰ θεῶν ὤριστος.* Apollo Patroclo vertiginem objecerat sup. Π. 788.—415. *ἅμα πνοιῇ Ζεφύροιο.* æquato Zephyri cursu, venti flatu.—416. *ἀλλά σοι μόρσιμόν ἐστι.* v. Not. ad Ρ. 408.—417. *θεῷ τε καὶ ἀνέρι.* Ab Apolline sub Paridis specie, sive a Paride, jussu Apollinis sagittam emittente, occisus fuerat Achilles; ita *ἐδάμη ὑπὸ θεοῦ καὶ ἀνδρός.* cf. inf. Χ. 359. Virgil. Æn. VI. 56. Phœbe—*Dardana qui Paridis direxti tela manusque Corpus in Æacidæ.*

418. Substitit equus, nec disertiora de Achillis fato edixit. Refertur hoc ad Erinnyes vetantes plura loqui. Ne vaticinio vulgentur plura, quam necesse visum, tribuitur alibi diis, Jovi, Junoni, Parcis; ut ap. Virgil. Æn. III. 379, 380. pœna quoque infligitur vatibus, plura, quam jussi erant, vulgantibus; quod per Erinnyas (v. c. de Phineo ap. Apollon. II. 220. Apollinis jussu vs. 179. sq.) bene fieri poterat; nam illæ pœnas exigunt a scelestis. At h. l. vetant, ne plura vaticinetur equus: ex more solenni vaticiniorum, in quibus plura reticescunt vates, quæ nosse intererat.—

Χαίτη.] Θρίξ. 406. Ζεύγλης.] Ζεύξεως, ζυγοῦ. 407. Αὐδήεντα.] Φωνῇ ἐνάρθρῳ χρώμενον. 410. Κραταιή.] Ἰσχυρά. 411. Νωχελίῃ.] Βραδυτῆτι, ἀσθενείᾳ. 415. Θέοιμεν.] Τρέχοιμεν. 417. Μόρσιμον.] Μεμοιραμένον, εἱμαρμένον. Θεῷ τε καὶ ἀνέρι.] Ὑπὸ θεοῦ Ἀπόλλωνος καὶ ἀνδρὸς Ἀλεξάνδρου. Δαμῆναι.] Δαμασθῆναι. 418. Ὣς ἄρα φωνήσαντος Ἐριννύες ἔσχεθον αὐδήν.] Οὕτως εἰπόντος φησὶ τοῦ ἵππου ἐπέσχον αὐτοῦ αἱ Ἐριννύες τὴν φωνήν. πάντα γὰρ τὰ παράλογα καὶ τεράστια δοκεῖ ὑπὸ Ἐριννύων γίγνεσθαι.

εὖ νύ τοι οἶδα καὶ αὐτὸς, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω, πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο.
Ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.

421. τοι Ϝοῖδα. v. Obss. 424. Ϝιάχων.

421. οἶδα καὶ αὐτός. audita a matre: jam v. sup. ad Σ. 95, 96.—423. οὐ λήξω πρὶν Α. 416, 417. Τρῶας (ἀκορήτους μάχης ἐόντας. Ν. 639. 635.) ἐλάσαι εἰς ἄδην, κόρον, πολέμου. ita ut victi porro pugnare recusent: Sic Ν. 315.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Υ.

ARGUMENTUM.

CUM jam armati ad pugnam prodirent Achivi et Trojani; quos quidem conspectu Achillis conturbatos fore prævideri poterat; deorum concilio vocato Jupiter, ut immisceant se illi pugnæ, auctor est, ne Achilles nimis magnam Trojanorum cladem edat—30. Descendunt Olympo; Juno, Minerva, Neptunus, Mercurius et Vulcanus Achivis se adjungunt; Mars, Apollo, Diana, Latona, Xanthus, Venus, Trojanis—40. Dant signum pugnæ dii ex adverso sibi invicem stantes—75. Objicit Achilli Æneam Apollo adscita facie Lycaonis, Priami f. —111. Cum Juno jam interponere se vellet, intercedit Neptunus, suadetque, ut, hominibus suas res agere jussis, ipsi dii speculentur eorum facta, nec immisceant se rebus, nisi Martem vel Apollinem videant contra Achillem aliquid manu moventes; considunt ipsi in Herculis muro, alterius partis dii in colle Callicolone dicto—155. Progressi Æneas et Achilles sermonibus mutuo habitis—259 pugnant; eripitur Æneas neci opera Neptuni—353. Nunc confirmata utraque acie, hinc ab Achille, inde ab Hectore, cum Hector ante aciem pugnare vellet, ab Apolline in turbam se recipere jubetur:—380 Irruit Achilles et stragem Trojanorum edit, cæso Iphitione Oryntei f.—393. Demoleonte Antenoris f.—400. Hippodamante—406. Polydoro Priami f. —418. quem ulturus Hector præcepti Apollinis immemor, irruit in Achillem; hastam emissam avertit Minerva; ita in inermem irruit Achilles, tum vicissim Hectorem Apollo eripit—454. Pergit Achilles cædem facere: Dryopis, Demuchi, Laogoni et Dardani, Alastoridis, Mulii, Echecli, Deucalionis, Rigmi, Areithoi—489. Verbo, vectus curru quaqua versus stragem facit ad f.

Major rerum hoc libro narratarum pars continetur consiliis et machinationibus deorum, ita quidem ut jam ipsi partes agendas suscipiant. Habito concilio Jupiter, dum ipse in Olympo se remansurum esse docet, diis dat veniam, partes, ut quisque velit, suas tuendi ac juvandi; itaque illi in aciem procedunt, ut paullo ante memoratum est: 1—40. Edunt pugnæ signum Minerva et Mars, Jove tonante, Neptuno terram concutiente 47—66. Stant adversis frontibus Neptunus et Apollo, Minerva et Mars, Juno et Diana, Mercurius et Latona, Vulcanus et Xanthus 67—74. Objicit Achilli Æneam Apollo 79. Juno, Achilli metuens, aut Æneam avertere aut Achilli adstare mallet; at Neptuno consultius est visum, pugnæ inter Achillem et Æneam haud intercedere, nisi ubi Mars vel Apollo pugnæ se immiscuerint; Ita considunt in muro Herculis et adversa deorum pars in

Pulcro Colle 112—155. Æneam tamen jam in summo discrimine versantem, ne ab Achille juguletur, bona cum Junonis venia ipse Neptunus, etsi ab Achivorum partibus stans, eripit, 290—342. Similiter hastam in Achillem ab Hectore emissam repellit Minerva, et Achilli irruenti subducit Hectorem Apollo 438—444.

Inscripta a veteribus rhapsodia *ἡ θεῶν μάχη*.

῾ΥΠΟΘΕΣΙΣ ΤΗΣ Υ. ῾ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΔΙΟΣ ἐπιτρέψαντος, κατέρχονται βοηθήσοντες οἱ θεοὶ πάντες· τοῖς μὲν Ἕλλησιν Ἥρα τε καὶ Ἀθηνᾶ, καὶ Ποσειδῶν καὶ Ἥφαιστος, καὶ Ἑρμῆς· τοῖς δὲ Τρωσὶν Ἀφροδίτη, καὶ Ἀπόλλων. ἔτι δὲ καὶ Ἄρτεμις, καὶ Λητὼ, Ἄρης τε, καὶ Σκάμανδρος. Αἰνείαν δὲ ἀντιστάντα Ἀχιλλεῖ σώζει Ποσειδῶν νεφέλῃ καλύψας· Ἀχιλλεὺς δὲ ἄλλους τε ἀναιρεῖ, καὶ Πολύδωρον τὸν Πριάμου παῖδα. Ἕκτωρ δὲ ἀντιστὰς αὐτῷ, φεύγει, Ἀπόλλωνος σώσαντος αὐτόν. τοὺς δὲ ἄλλους Ἀχιλλεὺς ἐπὶ τὴν πόλιν φεύγοντας κατεπείγει.

Υ, μακάρων ἔρις ὦρτο, φέρει δ' ἐπὶ κάρτος Ἀχαιοῖς.

ὩΣ οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
ἀμφὶ σὲ, Πηλέος υἱὲ, μάχης ἀκόρητον, Ἀχαιοί·
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο.
Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι
κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου. ἡ δ' ἄρα πάντῃ

1. Quod ad operis summam supererat, erat hoc, ut Achilles in pugnam progressus et cum Hectore congressus Patrocli mortem ultus victor rediret. Episodiis hæc sunt ornata dicam an onerata, inprimisque præclaris Achillis facinoribus, et sic in tertium hinc librum protracta. Ut tamen tanto augustior esset rerum narrandarum species, Achille nunc tandem ad res agendas inducto, deos iterum rebus gerendis interesse comminiscitur poeta, ingenioso invento. Nec tamen hoc suum consilium ille ab initio statim exponit, nec historici more rerum narrandarum ordinem præstruit aut constituit. Contra initium narrationis facit a concilio deorum, et Jovis edicto, ut suis quisque partibus auxilietur. Quæ quorsum pertineant, non nisi vs. 26. sq. intelligitur.

3. Trojani ad pugnam se accingunt *ἐπὶ θρωσμῷ πεδίοιο*, in camporum planitie versus Trojam. v. K. 160.

4—30. Concilium deorum habetur; dat diis veniam Jupiter, ut præliis Achivorum et Trojanorum, a quibus abstinere se jussi erant, inde a libro VIII (Θ) et iterum, minis adjectis, libro XV (O) denuo intersint et suis quisque partibus auxilientur. Notabile autem, quod Themis nunc deos convocat: non Iris aut Mercurius. Est autem ea hic Olympi facies, ut sparsæ sint per diversa loca deorum domus, Jovis autem sit magnum aliquod *δῶμα*, ædes, in qua dii conveniant in œco seu atrio. cf. Λ. 76, 77.

1. Θωρήσσοντο.] Καθωπλίζοντο. 2. Ἀμφὶ σέ.] Περὶ σέ. ὀρθοτονητέον τὴν ἀντωνυμίαν. Ἀκόρητοι.] Ἀπλήρωτοι. 3. Θρωσμῷ.] Ὑψηλῷ τόπῳ, ὅθεν ἐστὶ καταθορεῖν, καὶ πηδῆσαι. ἔστι δὲ οὗτος ἐν Ἰλίῳ, σταδίων πέντε τὴν περιμέτρον μεταξὺ Σιμοῦντος ποταμοῦ, καὶ τῆς Ἰλιέων καλουμένης κώμης. ὅπου καὶ τὰς θεὰς κριθῆναι λέγουσι περὶ κάλλους. ὀνομάζεται δὲ Καλλικολώνη, ἐπεὶ τῶν πέριξ τόπων ἐπισημότατός ἐστιν. ἡ ἱστορία παρὰ Δημητρίῳ τῷ Σκηψίῳ. 4. Θέμιστα.] Ἀντὶ τοῦ Θέμιν, δικαιοσύνην, ἥτις ἐστὶ μία τῶν Τιτανίδων. 5. Κρατὸς ἀπ' Οὐλύμποιο.] Κορυφῆς τοῦ Ὀλύμπου, τῆς ἀκρωρείας. Πολυπτύχου.] Πολλὰς ἀπο-

φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
οὔτε τις οὖν Ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
οὔτ' ἄρα Νυμφάων, ταί τ' ἄλσεα καλὰ νέμονται,
καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.
ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο,
ξεστῇσ' αἰθούσῃσιν ἐνίζανον, ἃς Διῒ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν.
ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ'. οὐδ' Ἐνοσίχθων
νηκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς.
ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν·
Τίπτ' αὖ, Ἀργικέραυνε, θεοὺς ἀγορήνδε καλέσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τῶν γάρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,

11. vulg. ἐφίζανον. 12. ποίησε Ϝιδυίῃσι.
16. vulg. ἀγορήνδ' ἐκάλεσσας. 20. v. Obss.

7. Novum hoc, quod Fluvii et Nymphæ cum Neptuno in Olympo adsunt, quodque unus Oceanus a concilio abest. Sunt autem Nymphæ ἀλσηΐδες, κρηνίδες et λειμωνίδες. —11. ξεστῇσ' αἰθούσῃσιν ἐνίζανον. δῶμα illud puta esse magnum atrium (*Saal*) columnis intervallo aliquo intra parietes relicto, porticus in modum, procurrentibus: itaque αἴθουσαι memorantur: inter columnas sunt sedilia, quibus dii insident; in medio atrio sedet Jupiter.—18. τῶν γὰρ νῦν ἄγχιστα μάχη δέδηε, proxime instat, pro δαίεται, et hoc: *in eo est ut exardescat.* cf. N. 736. ἄγχιστα nunc de tempore. Neptunus autem prior Jovem de conventus caussa interrogat quippe ei dignitate, auctoritate, et ætate proximus, tum idem rerum gerendarum studiosissimus, a Jove fratre superioribus diebus pugna excedere jussus: Il. O. 174. 211.

20. Cum consilium hoc expressum sit fere ad formam prioris lib. VIII. pr. variat tamen in multis; in primis in eo, quod diis in pugnam prodire jussis ipse Jupiter in Olympo sedens manet; dum in altero solus Jupiter ad Idam proficiscitur. ἔγνως assequutus es mentem meam, ὧν ἕνεκα, pro οὗ ἕνεκα. quid illud sit, cujus caussa concilium

κλίσεις καὶ ἐξοχὰς ἔχοντος. 6. Φοιτήσασα.] Παραγενομένη. 7. Ἀπέην.] Ἀπῆν. Νόσφι.] Χωρίς. τὸν δὲ Ὠκεανὸν οὐ παρέλαβεν εἰς τὸ τῶν θεῶν συνέδριον. ἵνα μὴ κωλύσῃ αὐτοὺς τῆς πρὸς ἀλλήλους μάχης, πρεσβύτατος ὑπάρχων. 8. Οὔτ' ἄρα Νυμφάων ταί τ' ἄλσεα καλὰ νέμονται.] Αἱ τὰ ἄλση κατοικοῦσαι Νύμφαι, Ἀλσηΐτιδες καλοῦνται. αἱ δὲ ἐπὶ τῶν δένδρων, Ἁμαδρυάδες. αἱ δὲ τὰ νάματα τῶν ὑδάτων, Ναΐδες καὶ Ὑδριάδες. καὶ τούτων αἱ μὲν Κρηνῖδες, αἱ δὲ Ἐπιποταμίδες. αἱ δὲ ἐπὶ τῶν βοσκημάτων, Ἐπιμηλίδες. αἱ δὲ ἐπὶ τῶν ὀρῶν, Ὀρεστιάδες. καὶ ὅσαι ταύταις ὅμοιαι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑλῶν, Ἑλειονόμοι. 9. Πείσεα.] Τὰ ὑδρηλὰ χωρία, τοὺς καθύγρους τόπους. ἀπὸ τοῦ εἶναι ἐν αὐτοῖς πεῖσαι. ὅ ἐστι ποτίσαι. Ποιήεντα.] Βοτάνην ἔχοντα. 13. Οὐδ' Ἐνοσίχθων Νηκούστησε θεᾶς.] Ὁ δὲ Ποσειδῶν οὐ παρήκουσε τῆς Θέμιδος. τοῦτο δὲ εἴρηκε διὰ τὴν γεγονυῖαν αὐτῷ μικρῷ πρόσθεν πρὸς τὸν Δία φιλονεικίαν. 14. Νηκούστησε.] Παρήκουσε. Μετ' αὐτούς.] Πρὸς αὐτούς. 18. Δέδηε.] Φαίνεται, φλέγει.

ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι, ὀλλύμενοί περ.
ἀλλ᾽ ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ᾽ ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεσθ᾽, ὄφρ᾽ ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀμφοτέροισι δ᾽ ἀρήγεθ᾽, ὅπῃ νόος ἐστὶν ἑκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
οὐδὲ μίνυνθ᾽ ἕξουσι ποδώκεα Πηλείωνα.
καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες.
νῦν δ᾽, ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
δείδω, μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.
Ὣς ἔφατο Κρονίδης, πόλεμον δ᾽ ἀλίαστον ἔγειρε.
βὰν δ᾽ ἴμεναι πόλεμόνδε θεοὶ, δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ᾽ ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη,
ἠδὲ Ποσειδάων γαιήοχος, ἠδ᾽ ἐριούνης
Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται·
Ἥφαιστος δ᾽ ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων,

22. v. Obss. 25. ἐστὶ Ϝεκάστου. 35. vulg. ἐνὶ—κέκαστο.

deorum convocaverim.—21. *μέλουσί μοι*, Achivi et Trojani ex vs. 17.—26—30. Aperitur nunc caussa, cur dii prodire jubeantur in pugnam, quod Trojani, si nullum deorum auxilium adfuerit, Achillis impetum sustinere non poterunt. Prodeunt tamen dii non modo Trojanorum, qui Achilli se objiciant, sed et ii, qui Achilli opitulentur. Nec convenire hæc dixeris cum summa consiliorum Jovis, qui, si de unitate carminis quæritur, spectare debuit, ut Achilles injuriæ quidem ab Agamemnone illatæ satisfactione accepta, nunc insuper in summo honore per edenda virtutis summæ exempla constitueretur; declarari hæc virtus mirabili modo poterat, si ipsi dii prælio intererant, et ipse Achilles cum deo pugnabat. At poeta nunc ad id convertit Jovis animum, quod fatale erat, ne Achilles Ilium expugnaret: quod ab altero illo diversum est. Locum hunc in animo habuit Horatius IV. Carm. 6, 17. sqq. *Sed palam captis gravis* etc. *Ni tuis victus precibus* etc. ubi Apollinis et Veneris precibus victus Jupiter Achillem ab Ilii expugnatione avertit, ne omnis progenies Trojana cum Ænea ferro deleatur.—30. *ὑπὲρ μόρον.* De sensu et opinione formulæ v. ad P. 321. fatale erat Trojam ab Achivis deleri, non autem ab Achille.

31—40. Ad alterutras, quibus quisque favet, partes procedunt dii: Juno, Minerva, Neptunus, Mercurius, Vulcanus ad Achivos, Mars, Apollo, Diana, Latona, Xanthus, Venus ad Trojanos.

34. *ἐριούνης* hic vel *ἐριούνιος*, in extremis tantum libris frequentatum nomen: ab *ὀνέω ὁ μεγάλως ὀφελῶν.*—35. *ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται.* pro *ὃς ἐπικέκασται*, idem quod simpl. *κέκασται, κεκόσμηται*, pro simpl. *habet.* Sic paullo ante v. 26. *ἐπιμάχεσθαι* pro *μάχεσθαι.* Mercurium et Vulcanum stare pro Achivis, supra memoratum meminimus O. 214. at alterum nunc, puto, primum discimus, v. 39, 40. Dianam, Latonam et Xanthum studere Trojanis: unde varias suspiciones nasci nemo mirabitur.—36. *σθένεϊ βλεμεαίνων robore fremens. γαυριῶν.* ut jam Θ. 337.—37. *ὑπὸ δὲ κνῆμαι ῥώοντο*

21. Ξυνάγειρα.] Συνήγειρα, ἤθροισα. 22. Πτυχί.] Ἀποκλίσει, ἐξοχῇ. 24. Ἵκησθε.] Παραγένησθε. 29. Χώεται.] Λυπεῖται. 30. Ὑπὲρ μόρον.] Παρὰ τὸ εἱμαρμένον. παρὰ τὸ δέον. 31. Ἀλίαστον.] Χαλεπὸν, ἄφυκτον. Ἔγειρεν.] Ἤγειρεν, ἐκίνησε. 32. Δίχα.] Διχῶς, εἰς δύο. 33. Ἀγῶνα νεῶν.] Τὴν συναγωγὴν τῶν πλοίων. 34. Ἐριούνης.] Μεγάλην ὄνησιν παρέχων, μεγαλωφελής. 35. Πευκαλίμησι.] Δριμείαις, συνεταῖς. 36. Βλεμεαίνων.] Ἐπιῤῥωνύμενος, ἐπιών.

χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
ἐς δὲ Τρῶας Ἄρης κορυθαιολος· αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβος ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα,
Λητώ τε, Ξάνθος τε, φιλομμειδής τ' Ἀφροδίτη.
εἴως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
τέως ἄρ' Ἀχαιοὶ μὲν μέγα κύδανον, οὕνεκ' Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα
τεύχεσι λαμπόμενον, βροτολοιγῷ ἶσον Ἄρηϊ.
αὐτὰρ, ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' Ἔρις κρατερὴ, λαοσσόος. αὖε δ' Ἀθήνη,
στᾶσ' ὅτε μὲν παρὰ τάφρον ὀρυκτὴν, τείχεος ἐκτὸς,
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει.
αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῇ λαίλαπι ἶσος,
ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.

37. ῥώοντο Ϝαραιαί. 42. vulg. μέγ' ἐκύδανον. 43. vulg. ἀπέπαυτ'. 44. γυῖα Ϝέκαστον. 46. Ϝῖσον. 51. λαίλαπι Ϝῖσος. 52. vulg. πόλεος.

ἀραιαί. ὑπεῤῥώοντο, ὑπεκινοῦντο, *incedebant*, movebant se *crura infirma, claudicantia.* ut jam Σ. 411. vidimus.—38. Mars κορυθαίολος jam B. 816. et Diana ἰοχέαιρα E. 53. Unde *Xanthus* accesserit, non minus miretur aliquis, quam quod Simois non pari jure fruatur.

41—74. Procedunt utrinque dii hominesque ad congressum pugnæ.

42. μέγα κύδανον. h. l. *efferebant se.* ἐπεμαίνοντο. Alias hoc sensu dixit κυδιᾶν, ut B. 579.—43. δηρὸν δὲ, pro γάρ. postea in usu habitum est participium, ὁ πεπαυμένος πάρος τῆς μάχης. Jam monitum Σ. 248. T. 46.—47, 48. Apodosis est in ὦρτο δὲ, abundante δὲ ut sæpe. *Postquam dii in aciem prodierant, Eris progressa est, processit:* h. e. pugna habuit initium. Quod porro in pugnæ initio fieri solebat, ut duces vociferatione h. e. hortatu, alta voce facto, incenderent pugnantium animos, discurrentes per turmas: id nunc tribuitur hinc Minervæ, inde Marti. Eris nunc λαοσσόος copias ad pugnam excitans ut N. 128. Athene, et P. 398. Mars. inf. 79. Apollo.—48, 49. Minervam putes modo a primis ordinibus, modo a postremis stantem hortatam esse; h. e. modo a fronte, modo ab extremo agmine; pro his fossam ante vallum, h. e. propiorem agmini seu quod educitur, seu educto, et littoralem plagam, tanquam remotiorem, memorat;—Contra Mars 51, 2, 3. modo ab acropoli Pergamo hortatur Trojanos, modo a Callicolone ad Simoentem, qui propior agmini collis fuisse videtur, ultra Simoentem forte, ut probabile fit, incerto tamen situ.—51. Mars ἐρεμνῇ λαίλαπι ἶσος sive involutus ipse nube atra, sive, ut procellæ similis esset impetuoso motu. v. ad A. 47.—52. (ὅτε μὲν) κατ' ἀκροτάτης—ἄλλοτε δὲ πὰρ Σιμόεντι.

39. Ἀκερσεκόμης.] Μὴ κειρόμενος τὴν κόμην. ἀεὶ κομῶν, διὰ τὰς ἀκτῖνας. ἶσος γὰρ τῷ ἡλίῳ ὁ Ἀπόλλων. 42. Ἐκύδανον.] Ἐδόξαζον. 50. Ἐπ' ἀκτάων.] Ἐπὶ τῶν αἰγιαλῶν. λέγω δὴ τῶν παραθαλασσίων τόπων τῶν τῇδε κἀκεῖσε τοῦ ναυστάθμου προβεβλημένων. Ἐριδούπων.] Μεγαλοήχων. Μακρὸν ἀΰτει.] Μέγα ἐβόα. 51. Αὖεν.] Ἐφώνει, ἐβόα. ἐὰν δὲ δασύνηται, ἐξέκαιεν. Ἐρεμνῇ.] Σκοτεινῇ, φοβερᾷ. 52. Ὀξύ.] Χαλεπὸν, δριμύ. 53. Θέων ἐπὶ Καλλικολώνῃ.] Ὅ ἐστι τρέχων. Ἀρίσταρχος ἀνέγνω περισπωμένως, τὸ χωρίον θεῶν

Ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες,
σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν.
δεινὸν δὲ βρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ νέρθε Ποσειδάων ἐτίναξε
γαῖαν ἀπειρεσίην, ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκος Ἴδης,
καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν.
ἔδδεισε δ' ὑπένερθεν ἄναξ ἐνέρων, Ἀϊδωνεύς·
δείσας δ' ἐκ θρόνου ἆλτο, καὶ ἴαχε, μή οἱ ὕπερθε
γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανήῃ
σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ·
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἦ τοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος

56. vulg. δ' ἐβρόντησε. et mox vs. 57. αὐτὰρ ἔνερθε. 59. al. πολυπιδάκου.
61. ὑπένερθε Fάναξ 'AFιδωνεύς. 62. ἆλτ', ἰδὲ FίFαχε, μή Fοι.
64. Fοικία. vulgo φανείη. 67. Ποσειδάωνος Fάνακτος v. Obss.

54. ὣς μάκαρες θεοὶ σύμβαλον, καὶ ῥήγνυντο ἔριδα ἐν αὐτοῖς. ἤγειρον μάχην. Putes σύμβαλον scil. αὐτοὺς, ἀμφοτέρους esse supplendum, ut utramque aciem dii commiserint pugna inita; potest tamen σύμβαλον absolute dictum esse, ut Π. 564, 565. ipsi dii conflixerunt, *ipsi congressi sunt et pugnam inter se fecerunt.* Sequitur enim mox 66. τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων. ut iterum Φ. 387, 8. ubi ad veram pugnam res deducitur. Adversatur tamen vs. 134. Ergo non satis prudenter hæc sunt narrata; nisi vs. 66. male insertum dixeris.—ἔριδα ῥήγνυντο aut *pugnam exorsi sunt;* aut *excitarunt;* proprie, *fecerunt pugnam erumpere.* ut ῥῆξαι φωνὴν, δάκρυα. —56—66. Sublimia hæc et ad terrorem injiciendum præclara: tonitru facto et terra conquassata. Referes autem ad pugnæ auspicia: etsi nonnulla sunt in loco quæ non satis conveniant, et adducere possunt legentem, ipsum pugnæ tumultum ita describi, ut accedat tonitruum fragor et terra concussa. Aliquoties simile quid narratum, quoties Jupiter terrorem alterutri parti injicit, Θ. 75. 170. P. 593. Coacervata hæc et similia videbis in pugna deorum ap. Hesiod. Theog. 665. sq. et 839—853.—57. Neptuno terræ motus tributos esse prisca opinione, nota nunc res est vel ex Homero.—60. *naves concussæ,* nam in terram erant subductæ: etsi et mare sentit terræ tremores.—61. tam magnificum phantasma, quod Longinus s. 9. 6. prædicat, ductum est a vulgari illo: terram esse concussam usque ad intimos recessus.—62. καὶ ἴαχε μή οἱ. supple δείσας, μή οἱ.—65. εὐρώεντα. Latinorum *squalida* ab εὐρὼς, mucilago e situ et humiditate. τά τε στυγέουσι θεοί περ. aversantur: quod Virgil.

λέγων· ἡ δὲ Καλλικολώνη ἐστὶν ὑψηλὸς τόπος. 55. Ῥήγνυντο.] Ἔῤῥησσον. 57. Ἐτίναξε.] Διέσεισεν. 58. Ἀπειρεσίην.] Μεγάλην. 59. Πόδες.] Τὰ καταλήγοντα τῶν ὀρῶν, μεταφορικῶς. 62. Ἴαχεν.] Ἐβόα. 65. Στυγέουσι.] Δεδοίκασι, φοβοῦνται. 66. Ξυνιόντων.] Συνερχομένων. 67. Ἦτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος.] Καὶ τὰ ἑξῆς. ἡ τῶν θεῶν μάχη περιέχει φυσικὴν στοιχείων πρὸς στοιχεῖα ἀντίταξιν, κακιῶν πρὸς ἀρετάς. Ἀπόλλων μὲν γὰρ ἐναντιοῦται Ποσειδῶνι. τὸ μερικὸν πῦρ, τῷ παντὶ ὑγρῷ. Ἀθηνᾶ δὲ Ἄρεϊ. ἡ φρόνησις τῇ ἀφροσύνῃ. Ἥρα δὲ Ἀρτέμιδι. ὁ περίγειος ἀὴρ τῇ σελήνῃ. Ἑρμῆς δὲ Λητοῖ. ὁ λόγος τῇ λήθῃ. Ἥφαιστος δὲ Ξάνθῳ. τὸ ὅλον πῦρ μέρει τοῦ ὕδατος. Διατί δὲ οὗτοι οἱ θεοὶ προῄρηνται βοηθεῖν τοῖς Ἕλλησιν, Ἥρα, Ἀθηνᾶ, Ποσειδῶν,

ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα·
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινὴ,
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος, ἐριούνιος Ἑρμῆς·
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.

71. Ϝεκάτοιο.

VIII. Æn. 245. *regna pallida, dis invisa.*—68. ἰὰ hoc uno loco, pro ἰούς.—70. χρυσηλάκατος Ἄρτεμις ab aureis sagittis; ut χρυσότοξος. Π. 183.—72. σῶκος Ἑρμῆς. h. e. ἰσχυρὸς, κρατύς. σωκεῖν, ἰσχύειν, ut Sophocl. El. 120.

Ἥφαιστος, Ἑρμῆς· τοῖς δὲ Τρωσὶν, Ἀπόλλων, Ἄρτεμις, Λητὼ, Σκάμανδρος, Ἀφροδίτη; Ἥρα μὲν οὖν Ἕλλησι βοηθεῖ, ὅτι γαμήλιος ἐστὶν ἡ θεά. μισεῖ δὲ μοιχὸν ὄντα τὸν Ἀλέξανδρον. ἢ ὅτι ἐν τῷ Ἄργει ἐτιμᾶτο λαμπρῶς. ὅθεν φησὶν ὁ Ποιητὴς καὶ τὸ, Ἥρη τ' Ἀργείη. ἢ καὶ ὅτι ὡς τὸ Ἄργος οὕτως οἰκεία ἦν αὐτῇ καὶ ἡ Σπάρτη καὶ ἡ Μυκήνη. ὥς φησιν ἐν τῇ δ. Ἀθηνᾶ δὲ ἤτοι διὰ ἀποδοκιμασθῆναι ὑπὸ Ἀλεξάνδρου. ἢ διὰ τὸ ἀλλοτρίους εἶναι τῆς συνέσεως τοὺς βαρβάρους. Ποσειδῶν δὲ ἐπεὶ οἱ πλείους τῶν Ἑλλήνων νησιῶταί εἰσι. καὶ διὰ τὸ ὀργίζεσθαι μὲν Λαομέδοντι ἐπὶ τῇ ἀποστερήσει τοῦ μισθοῦ τῆς τειχοποιΐας. Ἑρμῆς δὲ ὅτι ἐξ Ἀρκαδίας. ἢ ὅτι λόγιος. ἢ ὅτι ἐπειδὴ κήρυκας ἀποσταλέντας πρὸς αὐτοὺς ὑπὸ Ἑλλήνων ἐπὶ διαλύσει ἠβουλήθησαν ἀνελεῖν οἱ Τρῶες. τῶν δὲ κηρύκων προστάτης ὁ Ἑρμῆς. Ἥφαιστος δὲ διὰ τὸ μισεῖν Ἄρην ὅτι ἐμοίχευσεν αὐτοῦ τὴν γυναῖκα Ἀφροδίτην. τοῖς δὲ Τρωσὶ προέστη Ἄρης, τὸ ὅμοιον μεταδιώκων, φιλοπόλεμος γὰρ ὁ θεός. φιλοπόλεμοι δὲ καὶ οἱ Τρῶες. καὶ τὴν μοιχείαν τοῦ Πάριδος περιέπων ὡς μοιχός. ὁ δὲ Ἀπόλλων, καὶ ἤτοι διὰ τὸ τόξον. τοξικοὶ δὲ καὶ οἱ Τρῶες, καὶ ἐν πρώτοις Ἀλέξανδρος. ἢ ὅτι κιθαριστὴς, καὶ εὔμορφος ὡς Ἀλέξανδρος. Ἄρτεμις δὲ καὶ Λητὼ χαριζόμεναι τῷ Ἀπόλλωνι, ἢ ὅτι παρὰ τοῖς βαρβάροις τιμῶνται. Ξάνθος δὲ ὡς ὑπὲρ οἰκείας χώρας μάχεται. ἡ δὲ Ἀφροδίτη διὰ τὸ ὑπὸ Ἀλεξάνδρου προκριθῆναι, καὶ σχεδὸν εἰπεῖν, αὕτη ἀνθίσταται τῷ πολέμῳ, καὶ εἰκότως πάρεστι βοηθὸς τοῖς Τρωσίν. 68. Ἰά.] Βέλη, πληθυντικῶς. 69. Ἄντα δ' Ἐνυαλίοιο.] Ἐξεναντίας δὲ τοῦ Ἄρεος. ὁ δὲ τρόπος μετωνυμία ὡς ἀπὸ Ἐνυοῦς τῆς πολεμικῆς δαίμονος. 70. Χρυσηλάκατος.] Ἐργατική. νῦν δὲ ἡ χρυσοῦν τόξον ἔχουσα. χρυσότοξος. ἀπὸ τούτου δὲ καὶ κελαδεινή. ἀντὶ τοῦ κυνηγετική. κραυγάζουσι γὰρ οἱ κυνηγοί. 72. Σῶκος.] Ἤτοι ὁ ἰσχυρός. σώκειν γὰρ τὸ ἰσχύειν. ἢ σοούμενος ὠκέως. τουτέστιν ὁρμῶν ταχέως. ἄγγελος γὰρ ὁ θεός. 74. Ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.] Τῶν διωνύμων τὸ μὲν προγενέστερον ὄνομα εἰς θεοὺς ἀναφέρει ὁ Ποιητὴς, τὸ δὲ μεταγενέστερον εἰς ἀνθρώπους. διατὶ δὲ κατὰ τὸν πόλεμον οὗτοι οἱ θεοὶ ἐναντιοῦνται ἀλλήλοις; Ποσειδῶν μὲν Ἀπόλλωνι. ὅτι κατὰ τὸν μῦθον συναδικηθεὶς αὐτῷ ὑπὸ Λαομέδοντος, ἐκείνῳ συνήργει. Ἄρης Ἀθηνᾷ. ἐπεὶ ἐκώλυσεν αὐτὸν τὸν Ἀσκαλάφου θάνατον ἐκδικῆσαι. ἢ διότι ἐν ὄψει τῶν θεῶν ὕβρισεν αὐτὸν, εἰποῦσα, Μαινόμενε φρένας ἠλέ. Ἥρα δὲ Ἀρτέμιδι. ἔστι γὰρ αὐτῆς μητρυιά. Λητοῖ δὲ Ἑρμῆς, δικαίως. μουσικὸς γὰρ ὑπάρχων τὴν τὸν μουσικὸν Ἀπόλλωνα γεννήσασαν, καὶ τῶν ἐπιτηδευμάτων ἀντίζηλον μεμίσηκεν. ἢ ὡς λόγιος καὶ μνήμων ἀποστρέφεται αὐτὴν ὡς λήθην. Ἥφαιστος δὲ Ξάνθῳ, εἰκότως. ὅτι ἡ μὲν ποταμῶν φύσις πέφυκεν ὑγρά. Ἥφαιστος δέ ἐστι τοῦ πυρὸς δεσπότης. οὗ τὰ ξύλα τροφή. κατὰ δὲ τὸν φυσικὸν λόγον Ἀπόλλων ἥλιος ὢν ἀναπίνει τὰ ὑγρὰ στοιχεῖα. Ἀθηνᾶ δέ

Ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν. αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ἑ θυμὸς ἀνώγει
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
ἀντία Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ.
υἱέϊ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνὴν,
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ,
τὰς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πολεμίζειν;
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπε·
Πριαμίδη, τί με ταῦτα, καὶ οὐκ ἐθέλοντα, κελεύεις
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι,
πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς

77. μάλιστά Fε. vulg. μάλιστά γε. 80. δέ Fοι. 81. Λυκάονι Fείσατο. 82. ἐFεισάμενος. 84. ὑπέσχεο Fοινοποτάζων. 86. προσέFειπε.

75—340. Nunc dii debebant congredi tanta expectatione animis injecta. Quod non fieri ægre ferre auditorem necesse est. Differtur res in librum sequentem: v. 385. Interponitur certamen Achillis et Æneæ.—78. αἵματος ἆσαι Ἄρηα. vidimus jam E. 289. servatum ex rudiore ævo, quo delectare se *cædibus* et exsatiare Mars dictus est. Itaque et is, qui strages hominum edit, Martem cædibus et sanguine satiare dictus. Vides in nulla re magis inter se convenire homines; seu barbaros seu humaniores, quam adumbranda divina natura ex sensibus suis.—79, 80. ὦρσεν. ἐνῆκεν. de conatu. *id agebat ut eum concitaret;* quod ægre efficitur dei hortatu.—81. *Lycaon,* Priami f. supra nomine memoratus Γ. 333. de ejus fatis v. inf. Φ. 34. sq. cui nunc voce se assimulat, vocem ejus imitatur, Apollo.—ποῦ τοι ἀπειλαί; similis locus Θ. 229. ubi sunt εὐχωλαί. eodem significatu: sunt promissa magna jactabundi hominis. 84. βασιλεῦσιν. sunt principes ac seniores.—87. ταῦτα, κατὰ ταῦτα, pro οὕτως κελεύεις. nam κελεύεις με μάχεσθαι jungenda, ut interpunxi. Puta igitur Æneam detrectare pugnam cum Achille, quippe se fortiorem, quem se jam olim ait vix effugisse armenta adortum.—90. Educatus Æneas in agro apud armenta. v. Exc. I* ad Æn. IX.—92. *Lyrnessus* cum Thebe, inter urbes Troadis ab Achille direptas jam memorata B. 690. sq. T. 295. sq. add. inf. 191. *Pedasus* memorata jam Z. 34, 35. et inf. Φ. 86. sq. Nequaquam autem hæ urbes in Æneæ ditione erant, quippe paullo lon-

ἐστι φρόνησις, Ἄρης δὲ Ἀφροσύνη. ἐναντία δὲ καὶ πολέμιά ἐστι ταῦτα ἀλλήλων. Ἥρα δέ ἐστιν ἀήρ. Ἄρτεμις δὲ σελήνη, ἀερότεμίς τις οὖσα, καὶ τὸν ἀέρα τέμνουσα, ἐξ οὗ ἤρτηται, καὶ τὸ βαρύνον αὐτὴν πολέμιον νενόμικεν. Ἑρμῆς δέ ἐστιν ὁ λόγος. Λητὼ δὲ ἀμνημοσύνη. οἷον ληθὼ τὶς τῶν λόγων. Ἥφαιστος δὲ τὸ πῦρ. Ξάνθος τὸ ὑγρὸν, ἀλλότριον δὲ τὸ πῦρ τοῦ ὑγροῦ. 78. Ἆσαι.] Πληρῶσαι, κορέσαι. 81. Εἴσατο.] Ὡμοιώθη. 83. Ἀπειλαί.] Νῦν, καυχήσεις. 84. Οἰνοποτάζων.] Τῶν δημοσίων τιμῶν τε καὶ γερῶν ἀπολαύων καὶ εὐωχούμενος. 92. Λυρνησόν.] Πόλις τῶν Ὑποπλακίων Θηβῶν. Πήδασον.] Ποταμὸς Ἑλλησ-

εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος, ἠδὲ κέλευεν
ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
τῷ οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει,
πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν· εἰ δὲ θεός περ
ἶσον τείνειε πολέμου τέλος, οὔ με μάλα ῥέα
νικήσει, οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
εὔχεο. καὶ δέ σε φασὶ Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστιν.
ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ.
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ.
Οὐ δ' ἔλαθ' Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην,

93. Ϝειρύσαθ'. corruptum v. Obss. 95. Ϝοι. vulg. ἠδ' ἐκέλευεν. 101. Ϝῖσον. 103. προσέϜειπε Ϝάναξ. 104. al. ἀλλά γε. 109. Ϝεπέεσσι. 110. Ϝειπών.

gius inde ad austrum sitæ. Verum Æneas per Idæ montis juga fugam versus eas urbes, persequente eum Achille, fecerat, fueratque, ut apparet, caussa expugnatæ ab Achille Lyrnessi, ipse tamen inde fugerat: ut narrat Achilles inf. 191. sq.—95. ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος. antecedit Achillem et ei omnia tuta reddit Athene: ut olim Herculem: τίθει φάος, paravit salutem, incolumem præstitit, adstitit ei; mox eadem λευγαλέως [illegible].—96. Λέλεγας. quorum per varia loca dispersorum pars loca circa Lyrnessum et Pedasum habitabat.—100. εἰ δὲ θεός περ ἶσον τείνειε πολέμου τέλος. si vero deus quidem fortunam pugnæ, seu pugnam, faciat parem, ita ut a neutra parte stet deus aliquis. De forma loquendi v. sup. Λ. 336. Ν. 359.—104. καὶ σὺ θεοῖς εὔχεο, ut adsit tibi, pariter atque Achilli, numen. Similis locus Δ. 101. εὔχεο δ' Ἀπόλλωνι.—105. φασὶ δὲ καὶ σὲ, etiam te dea natum esse. Apparet ex his, Thetidem pro inferiore numine habitam; præ Venere, Jovis filia, cum ipsa e Nereo nata esset.—109. λευγαλέοις ἔπεσι. nunc, *asperis, atrocibus*.—110. ἀρειῇ. *nec conviciis nec minis.* Jam Γ. 431.

112—155. Cum jam congressuri essent Æneas et Achilles, Juno de pugnæ fortuna sollicita, suadet diis partium suarum, ut aut pugnam dirimant aut auxilientur Achilli. At Neptunus ut recedant pugna, nec, nisi Mars vel Apollo prælio se immiscuerint, subveniant Achilli, persuadet. Consident dii utrinque in locis propinquis.

πόντου, καὶ τόπος. 96. Λέλεγας.] Τοὺς ἐν Ἑλλησπόντῳ ἀπὸ τῆς Θεσσαλίας πρώτους κατοικοῦντας. 98. Πάρα.] Πάρεστιν. 99. Ἀπολήγει.] Ἀποπαύεται. 100. Ἀνδρομέοιο.] Ἀνθρωπίνου. 101. Ἶσον τείνειε πολέμου τέλος.] Ἶσον ποιήσειε τὸ τέλος τοῦ πολέμου. μὴ δ' ἑτέρῳ βοηθῇ. 109. Ἀρειῇ.] Ἀπειλῇ·

ἀντία Πηλείωνος ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
ἡ δ' ἄμυδις καλέσασα θεοὺς μετὰ μῦθον ἔειπε·
Φράζεσθον δὴ σφῶϊ, Ποσείδαον, καὶ Ἀθήνη,
ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδ' ἔβη, κεκορυθμένος αἴθοπι χαλκῷ,
ἀντία Πηλείωνος· ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
αὐτόθεν, ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
παρσταίη, δοίη δὲ κράτος μέγα. μηδέ τι θυμῷ
δευέσθω, ἵνα εἰδῇ, ὅ μιν φιλέουσιν ἄριστοι
ἀθανάτων, οἱ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσι πόλεμον καὶ δηϊοτῆτα.
πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες
τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
σήμερον· ὕστερον αὖτε τὰ πείσεται, ἅσσα οἱ Αἶσα
γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ·
εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς,
δείσετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
Τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·

113. ἀνὰ Ϝουλαμόν. 114. ἔϜειπε. 116. τάδε Ϝέργα.
122. ἵνα Ϝειδῇ. 127. ἅσσα Ϝοι.

114. *ἄμυδις καλέσασα*, dictum pro *συγκαλέσασα*.—118. *ἀνῆκε δὲ Φοῖβος Ἀ.* sc. *μιν.* uti E. 405. *σοὶ δ' ἔπι τοῦτον ἀνῆκε θεὰ γλαυκῶπις Ἀθήνη.* et sæpe *ὁ θυμός μιν ἀνῆκε.*—119. *μὶν* et ad Apollinem et ad Æneam trahi potest. Præfero prius. 121. debebat pergere, *καὶ ἵνα μὴ δεύηται θυμῷ.* ne virtute inferior sit.—123. *οἱ δ' αὖτ' ἀνεμώλιοι*, pendet ab *ἵνα εἰδῇ, ὅ. καὶ ὅ. ὅτι, αὖτε οἱ* (*ἐκεῖνοι*) quodque contra illi dii, qui Trojanis ex more auxiliari solent, sunt imbecilli, impotentes; saltem viribus inferiores.—125. *πάντες δ' Ο.* profitentur dii, se in pugnam processisse omnes, ut Achilles pugna superior fieret. Alia caussa narrata erat vs. 26. sq.—130. metuit Juno, perturbatum iri Achillem, si Apollinem conspexerit, nec norit sibi ipsi alios deos adesse.—131. *χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.* dictum sollenni Græcismo, *χαλεπόν ἐστι, δεινὸν*, terribile est, terrorem injicit, *τοὺς θεοὺς φαίνεσθαι ἐναργῶς*, si cui dii appareant manifeste, divina sua specie, ut agnoscantur.

132—143. Neptunus nihil metuendum esse ait, nec opus esse, ut dii pugnæ se immisceant, cum pars adversa sit inferior; præstare, ut recedant pugna, nec in eam procedant, nisi ubi dii Trojanarum partium contra Achillem aliquid moliantur.

οἱ δὲ βλάβη, ἀπὸ τοῦ Ἄρεος. 114. Ἡ δ' ἄμυδις καλέσασα θεούς.] Αὕτη δὲ τοὺς θεοὺς ὁμοῦ συγκαλέσασα. 122. Δευέσθω.] Προσδείσθω. 123. Οἳ τὸ πάρος περ.] Νῦν οἱ ἐξαρχῆς. 128. Ἐπένησεν.] Ἐπέκλωσεν. 129. Εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς.] Εἰ δὲ Ἀχιλλεὺς οὐκ ἀκούσεται ἐκ τῆς θείας φωνῆς. τοῦτ' ἔστιν ἡμῶν αὐτῶν. Ὀμφῆς.] Κληδόνος. 130. Δείσεται.] Φοβηθήσεται. 131. Χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.] Χαλεποὶ δὲ καὶ δεινοὶ οἱ θεοὶ φανεροὶ φαινόμενοι τοῖς ἀνθρώποις. 133. Παρὲκ νόον.] Παρὰ

Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί σε χρή.
οὐκ ἂν ἔγωγ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι
ἡμέας τοὺς ἄλλους, ἐπειὴ πολὺ φέρτεροι εἰμέν.
ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα, κιόντες
ἐκ πάτου, ἐς σκοπιὴν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης, ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴσχωσι, καὶ οὐκ εἰῶσι μάχεσθαι,
αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀίω
ἂψ ἴμεν Οὔλυμπονδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων,
ἡμετέρης ὑπὸ χερσὶν ἀνάγκῃ ἶφι δαμέντας.
Ὣς ἄρα φωνήσας ἡγήσατο Κυανοχαίτης
τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο,

135. vulg. ἧμεν. 143. Ϝῖφι.

133. παρὲκ νόον, ἀνοήτως. οὐδέ τί σε χρή. οὐδὲ κατά τι χρή σε χαλεπαίνειν. nec ullo modo opus est, tantopere excandescere.—134. οὐκ ἂν ἔγωγε ἐθέλοιμι, ἡμᾶς (nos, qui stamus ab Achivorum partibus,) ξυνελάσαι τοὺς ἄλλους θεοὺς ἔριδι, μάχῃ. h. e. εἰς μάχην, ὡς μάχεσθαι. committere pugna; sup. 55. συμβάλλειν· ubi vide. Pari sensu συνίημι. A pr. τίς δ' ἄρα σφῶε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι; Secundum hæc verba dii nondum manus conseruerant. v. ad vs. 75.—137. ἐς σκοπιὴν, vix esse potest locus idem editus, qui inf. X. 145. memoratur prope urbem; sed omnino locus editior quisquis ille fuerit; mox deligitur agger, seu vallum.—140. αὐτίκα παρ' αὐτόφι. παρ' αὐτοῦ τοῦ χρόνου vel τόπου, illico.—141. μάλα δ' ὦκα διακρινθέντας sc. αὐτοὺς ὀίω ἂψ ἴμεν, deos adversæ partis; saltem Martem et Apollinem. Ut κρίνεσθαι. συγκρίνεσθαι Ἄρηϊ, μάχῃ. cerni, committi, dicuntur pugnantes: ita qui, judicio finito, vel pugna facta, victi sunt, dicti sunt διακρίνεσθαι, discedere diremti; quod et sine victoria factum vidimus, Γ. 98. 102. H. 306. ἀνάγκῃ, vi majore, quæ cogat, ut cedendum sit, ut Λ. 150. φυγεῖν ἀνάγκῃ et al.

144—155. Præit Neptunus et considet cum suis diis in muro seu vallo Herculis; dii adversi in Callicolone; prius illud propius ad mare, alterum hoc remotius ad urbem esse debuit. τεῖχος ἀμφίχυτον vallum, aggesta utrinque humo: quod Hercules habuisse propugnaculum narrabatur, si cetos eum assequeretur, quod liberandæ Hesiones caussa adortus erat. cf. Apollod. II. 5, 9. §. 9. De Callicolone v. sup. 53.

γνώμην, ἀνοήτως. 137. Ἐκ πάτου.] Ἔκτοθεν τῆς κοινῆς ὁδοῦ. τοῦτ' ἔστι τῆς συναναστροφῆς. Ἐκ πάτου ἐς σκοπιήν.] Ἐκ τῆς πεπατημένης ὁδοῦ εἰς τόπον σκοπιὰν ἔχοντα. λέγει τὸ Ἡρακλέους χῶμα. 140. Αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται.] Ἵν' ᾖ, διεγερθήσεται, κινηθήσεται. εὐθέως οὖν φησι καὶ ἡμῖν αὐτοῖς φιλονεικία καὶ μάχη γενήσεται. 142. Ὁμήγυριν.] Ἄθροισιν. 145. Τεῖχος ἐς ἀμφίχυτον.] Τὸ πανταχόθεν περικεχυμένον κύκλῳ, πολλῷ τῷ χώματι εἰς ὕψος, τὸ καὶ χωστὸν λεγόμενον, ὃ κατεσκεύασαν οἱ Τρῶες. Τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη Ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο.] Ποσειδῶν καὶ Ἀπόλλων προστάξαντος Διὸς Λαομέδοντι θητεῦσαι ἐπὶ μισθῷ τεταγμένῳ, τὸ τεῖχος κατασκευάζουσι. Λαομέδων δὲ παραβὰς τοὺς ὅρκους καὶ τὰς συνθήκας, μὴ δοὺς τὸν μισθὸν, ἀπήλασεν αὐτούς. ἀγανακτήσας δὲ Ποσειδῶν, ἔπεμψε τῇ χώρᾳ κῆτος, ὃ τούς τε παρατυγχάνοντας ἀνθρώπους καὶ τοὺς γιγνομένους καρποὺς, διέφθειρε. μαντευομένῳ δὲ τῷ Λαομέδοντι χρησμὸς ἐδόθη, Ἡσιόνην τὴν θυγατέρα Λαομέδοντος βο-

ὑψηλὸν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο,
ὁππότε μιν σεύαιτο ἀπ' ἠϊόνος πεδίονδε.
ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο, καὶ θεοὶ ἄλλοι,
ἀμφὶ δ' ἄρ' ἄῤῥηκτον νεφέλην ὤμοισιν ἕσαντο·
οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης,
ἀμφὶ σὲ, ἤϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
ὣς οἱ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντες
βουλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο
ὄκνεον ἀμφότεροι· Ζεὺς δ', ἥμενος ὕψι, κέλευε.
Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ λάμπετο χαλκῷ
ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
ὀρνυμένων ἄμυδις. δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
ἐς μέσον ἀμφοτέρων συνίτην, μεμαῶτε μάχεσθαι,
Αἰνείας τ' Ἀγχισιάδης, καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θοῦριν

146. ῥά Ϝοι. 150. ὤμοισι Ϝέσαντο. 153. μὲν Ϝεκάτερθε.
155. vulg. ὤκνεον. 156. vulg. καὶ ἐλάμπετο.

—154. δυσηλεγέος πολέμοιο. pugna gravis, molesta, dura. Ad verbum est, quæ curam et sollicitudinem animo injicit; ærumnosa. ab ἀλέγειν.—155. Ζεὺς δ', ἥμενος ὕψι, κέλευε, pro vulgari: etsi Jupiter ad pugnam concitandam eos hortatus fuerat: sup. 23, 24, 25.

156—340. Nunc tandem pugna fit inter Æneam et Achillem; cujus ex manibus eripitur Æneas Neptuni opera.

157. κάρκαιρε δὲ γαῖα πόδεσσι. quassata resonuit. vox ad sonum ipsum facta.—165. λέων ὣς σίντης. βλαπτικός. jam ante Λ. 481. Inter plures comparationes a leone petitas hæc facile est disertissima. Similis locus est in Scuto Herc. 426. sq. Ex iis profecere alii, etiam Romani, poetæ, ut Virgil. Æn. XII. 4. sq. ex eoque Lucan. I.

ρὰν ἐκδοῦναι, καὶ οὕτως ἀπαλλαγήσεσθαι τοῦ δεινοῦ, προθεὶς δὲ ἐκεῖνος τὴν θυγατέρα, μισθὸν ἐκήρυξε τῷ τὸ κῆτος ἀνελόντι τοὺς ἀθανάτους ἵππους δώσειν, οὓς Τρωῒ Ζεὺς ἀντὶ Γαννυμήδους ἔδωκεν. Ἡρακλῆς δὲ παραγενόμενος, ὑπέσχετο τὸν ἆθλον κατορθώσειν, καὶ Ἀθηνᾶς αὐτῷ πρόβλημα ποιησάσης τὸ καλούμενον ἀμφίχυτον τεῖχος εἰσδὺς διὰ τοῦ στόματος εἰς τὴν κοιλίαν τοῦ κήτους τὰς λαγόνας διέφθειρεν. ὁ δὲ Λαομέδων ὑπαλλάξας, θνητοὺς δίδωσιν ἵππους. μαθὼν δὲ Ἡρακλῆς ἐστράτευσε, καὶ Ἴλιον ἐπόρθησε, καὶ οὕτως ἔλαβε τοὺς ἵππους. ἡ ἱστορία παρὰ Ἑλλανίκῳ. 147. Ἀλέοιτο.] Ἐκκλίνοι, φυλάξοιτο. 148. Σεύαιτο.] Κατεπείγετο διωκόμενος. Ἀπ' ἠϊόνος.] Ἀπὸ τοῦ αἰγιαλοῦ. 150. Ἄῤῥηκτον.] Ἄπρακτον. 151. Ὀφρύσι.] Ἐξοχαῖς, μεταφορικῶς. 152. Ἤϊε.] Ἄπολλον τοξικὲ, ἀπὸ τοῦ ἱέναι. 153. Ἑκάτερθε.] Κεχωρισμένως. Καθείατο.] Ἐκαθέζοντο. Μητιόωντες.] Βουλευόμενοι. 154. Δυσηλεγέος.] Δεινοῦ, χαλεποῦ, δυσκόλου. 155. Ὤκνεον.] Ὤκνουν. 156. Ἐπλήσθη.] Ἐπληρώθη. 157. Κάρκαιρεν.] Ἐκινεῖτο. ἤχει. ὀνοματοποιΐα ὁ τρόπος. 162. Νευστάζων κόρυθι.] Ἐπινεύων τῇ περικεφαλαίᾳ. Βριαρῇ.] Στιβαρῇ, ἀσφαλεῖ. Θοῦριν.] Πολε-

πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.
Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣς
σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν,
ἀγρόμενοι, πᾶς δῆμος· ὁ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται· ἀλλ', ὅτε κέν τις Ἀρηϊθόων αἰζηῶν
δουρὶ βάλῃ, ἐάλη τε χανὼν, περί τ' ἀφρὸς ὀδόντας
γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ,
οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
μαστίεται, ἕε δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι·
γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ·
ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Αἰνεία, τί σὺ, τόσσον ὁμίλου πολλὸν ἐπελθὼν,
ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισι

164. λέων Fώς. Bentl. 168. ἐFάλη. 169. τέ Foι. 171. ἕFε. 177. προσέFειπε. 180. Fελπόμενον Τρώεσσι Fαναξέμεν.

205. sq.—168. ἰάλη τε χανών. pro ἤλη. ἄλη, N. 408. colligit se corpore incurvato, quippe mox saltu facto irruiturus. Est hoc observatum de leone: de quo v. congesta a Gesnero in hist. Animal. cap. de leone.—169. ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ. Est hic gemitus, seu fremitus, diversus a rugitu. Ap. Lucan. l. l. *erexitque jubas, vasto et grave murmur hiatu Infremuit.*—170. Nota res. Plinius VIII. s. 18. *leonum animi index cauda, sicut et equorum aures;—in principio terra verberatur, incremento terga, ceu quodam incitamento, flagellantur.* μαστίεται *flagellat* proprium de tali motu.—172. ἰθὺς φέρεται μένει. διὰ μένεος. σὺν μένει. et γλαυκιόων s. fulgentibus s. acriter intentis oculis intuens. a γλαύσσειν, βλέπειν. Occurrit quoque in Sc. Herc. 430. sq.

176—271. Mira carminis œconomia, quod, cum magna facta esset expectatio, primo pugnæ deorum, mox pugnæ inter Achillem et Æneam, nunc ad sermones mutuos utrinque descenditur.

178—186. Achilles suspicatur Æneam spe succedendi in regno Trojanorum, seu agrorum partem obtinendi, processisse in pugnam. πολλὸν ὁμίλου ἐπελθὼν, pro διελθών.

μικήν. 165. Σίντης.] Βλαπτικὸς, κακοῦργος. 166. Ἀγρόμενοι πᾶς δῆμος.] Ἐν σχήματι περιφραστικῷ, ἀντὶ τοῦ οἱ δημόται. Ἀτίζων.] Ἀτιμάζων. 167. Ἀρηϊθόων.] Ἐν τῷ πολέμῳ εὐκινήτων. 168. Ἑάλη.] Συνεστράφη, εἰλήθη. 169. Στένει.] Στενάζει. ἢ στενοχωρεῖται. 170. Οὐρῇ μαστίεται.] Τῇ οὐρᾷ μαστίζει ἑαυτόν φησιν ὁ λέων, οὕτως εἰωθώς. ἔχει δέ τι ἐν τῇ οὐρᾷ ἀναμέσον τῶν τριχῶν κεντρίον μέλαν, ὡς κεράτιον. ὑφ' οὗ νυττόμενος, πλέον ἀγριοῦται ἐκ τῆς ὀδύνης. 171. Ἕε δ' αὐτόν.] Ἀντὶ τοῦ, αὐτὸς δὲ ἑαυτὸν ἀγριοῦσθαι ποιεῖ. 172. Γλαυκιόων.] Πυῤῥῶδες καὶ φοβερὸν βλέπων. ἀφ' οὗ ἀγριούμενος. 173. Φθίεται.] Φθείρεται.

τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξῃς,
οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
εἰσὶν γάρ οἱ παῖδες· ὁ δ' ἔμπεδος, οὐδ' ἀεσίφρων.
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον, ἔξοχον ἄλλων,
καλὸν, φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
ἤδη μὲν σέ γε, φημὶ, καὶ ἄλλοτε δουρὶ φόβησα.
ἦ οὐ μέμνῃ, ὅτε πέρ σε, βοῶν ἄπο, μοῦνον ἐόντα,
σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
καρπαλίμως; τότε δ' οὔτι μετατροπαλίζεο φεύγων·
ἔνθεν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
πέρσα, μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί·
ληϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
ἦγον· ἀτάρ σε Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
ἀλλ' οὐ νῦν σε ῥύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ
βάλλεαι· ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι· μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο, φώνησέν τε·

183. γάρ Ϝοι. 186. δέ σ' ἔϜολπα. 195. vulg. σ' ἐρύεσθαι. v. Obss.

διεπελθών.—182. ἀνάξειν Τρωσὶν διὰ τιμῆς τῆς Πριάμου. ἐν τιμῇ καὶ γέρᾳ, constitutum in loco Priami. fere ut I. 601.—182. γέρας videtur nunc esse idem quod τιμή. regia dignitas, principatus, quo seu cedat Priamus, seu successorem constituat Æneam.—183. ὁ δ' ἔμπεδος. opp. ἀεσίφρων, levis, ergo prius est, prudens. Sic quoque Z. 352. τούτῳ δ' οὔτ' ἂρ νῦν φρένες ἔμπεδοι. Communi usu aliis locis est mens integra, imperterrita.—184, 5. quod Il. I. 575, 6. τέμενος περικαλλὲς—οἰνοπέδοιο. ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι. τέμενος τάμον, assignarunt. duo versus jam lecti Z. 194, 195.—186. χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν. "spero, speravi" Clarke. At h. l. est, vereor, ut hoc efficias.

187—198. Achilles jam antea Æneam apud armenta inopinato oppresserat, cumque is fuga Lyrnessum se recepisset, urbe obsessa iterum eum fugere coegerat. Est et hoc ex Ante-Iliacis temporibus; h. e. ante argumentum Iliadis. cf. sup. 90. sq.—193. ληϊάδας δὲ γυναῖκας. In his captivis erat Briseis. B. 690. verba v. Z. 455. et A. 356—195. ἀλλ' οὐ νῦν σε ῥύεσθαι ὀΐομαι. non spero, h. e. vereor serveris.—196. ἀλλά σ' ἔγωγε—μηδ' ἀντίος ἵστασ' ἐμεῖο. per inversionem; quocirca ego tibi auctor sum, ut e vestigio omissa pugna recedas, et intra turmas te recipias.

199—258. Æneas Achillem docet, nulla re ei se inferiorem esse, nec genere et natalibus, (—ad 241.) neque animo et virtute.

181. Τιμῆς τῆς Πριάμου.] Ἕνεκεν τῆς βασιλείας. ἀντιφέρει γὰρ οὕτως τοὔνεκα Πρίαμος γέρας. 183. Οὐ δ' ἀεσίφρων.] Οὐ δὲ κοῦφος, καὶ ματαιόφρων τὸ φρόνημα. 186. Χαλεπῶς.] Δυσκόλως. Ἔολπα.] Ἐλπίζω. 189. Σεῦα.] Ἐδίωξα. 190. Οὔτι μετετροπαλίζεο.] Οὐδὲ ἐπεστρέφου. 193. Ληϊάδας.] Τὰς ἐκ τῆς λείας αἰχμαλώτους. 195. Ὡς ἐνὶ θυμῷ βάλλεαι.] Ὡς κατὰ διάνοιαν ἐννοῇ.

Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὥς,
ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
ἴδμεν δ' ἀλλήλων γενεὴν, ἴδμεν δὲ τοκῆας,
πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
ὄψει δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες, οὔτ' ἄρ ἐγὼ σούς.
φασί σε μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
μητρὸς δ' ἐκ Θέτιδος, καλλιπλοκάμου, ἁλοσύδνης·
αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοι ἔστ' Ἀφροδίτη.
τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημ', ἐπέεσσί γε νηπυτίοισιν
ὧδε διακρινθέντε, μάχης ἐξ ἀπονέεσθαι.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς
ἡμετέρην γενεὴν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι·
Δάρδανον ἂρ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς·

200. *μὲ Ϝεπέεσσι νηπύτιον Ϝώς.* Bentl. 201. *Ϝέλπεο—σάφα Ϝοῖδα.* 203. *Ϝίδμεν—Ϝίδμεν.* 204. *Ϝέπεα.* 205. *Ϝίδες.* 211. *φημὶ Ϝέπεσσι.* 212. al. *ἐξαπονέεσθαι* una voce. 213. *Ϝειδῇς.* 214. *ἄνδρες Ϝίσασι.* v. Obss.

202. *κερτομίας ἠδ' αἴσυλα.* Sunt hæc, *αἴσυλα*, quæ proprie sunt *maledicta*, illa, *κερτομίαι*, quæ cum *cavillatione et dicacitate* dicuntur. vss. tres iterum inf. Υ. 431, 2, 3. legentur. Erat autem Æneas jam monitus ab Apolline, ut convicia hæc adspernaretur sup. 108, 109.—204. *πρόκλυτα ἀκούοντες tenentes ex auditu, narrationes antiquas, majorum fama celebratas.* Si *κλύειν* est *ἀκούειν*, *τὰ κλυτὰ* proprie sunt *τὰ ἠκουσμένα, πεφημισμένα.*—207.—*ἁλοσύδνης.* h. *ἁλοσύνης, ἐναλίας.* Thetis marina. Vox etiam ap. Apollon. Rh. IV. 1599. Nereides *ἁλοσύδναι*; at Od. Δ. 404. seu Thetis seu Amphitrite simpliciter est dicta *ἁλοσύδνη.* de præstantia ex natalibus simile judicium v. inf. Φ. 186. sq.—210. *τῶν δὴ νῦν* sc. *τοκέων* ex 203.—213. *εἰ δ' ἐθέλεις.* Maternum genus nosti. Si autem etiam paternum genus etsi haud obscurum nosse cupis, accipe: *δάηθι.*

215. sq. Ad Æneæ stirpem cognoscendam digressio hæc a momento pugnæ, ad nostrum utique sensum, est aliena, ad doctrinam autem mythicam præclara. De Dardano Jovis ex Electra filio v. Excurs. VI. ad Æn. III. et ad seqq. v. Apollod.

200. Νηπύτιον.] Νήπιον, ἄφρονα. 201. Ἔλπεο.] Ἔλπιζε. Δειδίξεσθαι.] Εἰς δέος ἄξειν, φοβηθῆναι. 202. Κερτομίας.] Ἐρεθιστικοῖς καὶ χλευαστικοῖς λόγοις. 204. Πρόκλυτα.] Τὰ ὑπὸ τῶν προτέρων πεφημισμένα, παλαιά. 205. Ὄψει.] Ὀφθαλμοῖς. 207. Ἁλοσύδνης.] Ἐναλίας θεοῦ, ἐν θαλάσσῃ κατοικούσης. 209. Ἐκγεγάμεν.] Γεγονέναι. 210. Τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται Σήμερον.] Ὑπερβολικῶς εἴρηκε τὸ σήμερον. Πῶς γὰρ ἔμελλεν ὁ ἐν Φθίᾳ ὢν ἀκούσεσθαι; ἢ λείπει τὸ ἀναιρεθέντα. 212. Ὧδε.] Οὕτως, νῦν. 215. Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς.] Τὸ Δαρδάνου γένος δηλονότι πρῶτον ἐποιήσατο ὁ Ζεύς. Δάρδανον αὖ πρῶτον τέκετο.] Δάρδανος ὁ Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρὸς διιὼν τὴν Σαμοθράκην ἐπομβρίας γενομένης, κατασκευάσας σχεδίαν καὶ ἀσκὸν ἑαυτῷ περιθεὶς, διεκομίσθη εἰς τὴν Ἴδην τῆς Τρῳάδος. καὶ ἀποβὰς Διὸς ὑποθεμένου, κτίζει πόλιν· ἣν καὶ ἀφ' ἑαυτοῦ Δαρδα-

κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπίδακος Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσι.
τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ·
αἱ δ' ὑποκυσσάμεναι ἔτεκον δυοκαίδεκα πώλους·
αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·

216. Ϝίλιος. 218. Ϝοίκευν. al. πολυπιδάκου. 224. δ' Ϝεισάμενος. v. Obss. III. 12, 1. cum Dionys. Hal. I. 62.—216. Fuit antiquioris originis *Dardania;* habitabant tum homines, (more primorum in terris novis colonorum, quem Plato de Legg. III. p. 681. et ex eo Strabo XIII. p. 885. bene observarunt) adhuc in locis montanis, donec in campo Ilium fuit conditum. Caussa memoratur metus aquarum e Deucalioneo diluvio. Licet de aquarum Ponti Euxini in mare Ægæum eruptionis fama aliqua antiqua cogitare; caussa tamen simplicissima erat, cura se tuendi a vi hostili, si in loco edito considerent. Nec vero Dardania in iisdem locis est quærenda, quibus Ilium conditum fuit: longius enim versus septentrionem fuit sita. Porro, si inhabitarunt homines ὑπωρείας Ἴδης, intelligendum hoc de jugis a vertice remotioribus et ad planitiem littoralis plagæ vergentibus: nec τὰ κάτω μέρη τῶν ὀρῶν sunt ipsæ radices aut plana. Nimium presse Maro; *Nondum Ilium et arces Pergameæ steterant: habitabant vallibus imis* Æn. III. 109. Tandem si Ilium ἐν πεδίῳ fuit conditum: videri debet et hoc non absolute dictum, *in ipsa campi planitie;* sed relate ad antecedens, *paullo longius hinc sub radicibus Idæ,* qua versus plana loca subsidunt juga; unde fit, ut epitheta Ilii a montanis locis petita sint: Ἴλιος ἠνεμόεσσα, ὀφρυόεσσα, αἰπεινή.—Quibus neglectis, argutandi opportunitatem ex h. l. inprimis e verbis ἐν πεδίῳ nacti sunt viri docti in disputatione de situ Ilii veteris.

219—229. *Ericththonius,* Dardani filius, Trois pater; cujus equi nobilissimi.

221. ἕλος κάτα, forte Simoentis, hoc nomine celebrati ab ipso Homero, quod stagna facit. Est tamen ἕλος omnino dictum de locis campestribus irriguis; ut sæpe apud poetas, in his Apollon. Rh. cui et ἕλος λειμώνων.—222. πώλοισιν ἀγαλλόμεναι, ornate pro ἔχουσαι πώλους.—223. Vento concipere equas, vidimus jam II. 150. Conjunxere homines notionem velocitatis in ventis. Nunc *Boreas* tanquam rapidissimus inter ventos genuisse equos hos dictus est.—226—9. Repetita ex h. l. a multis prodigiosa celeritas; ex antiquo sermone ad miracula proclivi, repetita: in quo, pro priscorum hominum sensu, nec laudandi nec reprehendendi locus est. Simile jam vidimus illud N. 29. sq. ἀνθέρικες, οἱ ἐν τοῖς στάχυσι λεπτοὶ ἀθῆρες, sunt cacumina

νίαν ἐκάλεσεν. ἱστορεῖ Λυκόφρων. 216. Δαρδανίην.] Πόλις Τροίας. 217. Πεπόλιστο.] Ἔκτιστο. 218. Ὑπωρείας.] Τὰ κάτω μέρη τῶν ὀρῶν. 222. Ἀταλῇσιν.] Ἁπαλαῖς, νέαις. 223. Τάων καὶ Βορέης ἠράσσατο.] Λείπει ἡ ἐκ πρόθεσις· ἵν' ᾖ, ἐκ τούτων, οὐ γὰρ πασῶν ἠράσθη. 224. Κυανοχαίτῃ.] Μελαίνας τρίχας ἔχοντι. 225. Ὑποκυσσάμεναι.] Ἔγκυαι γενόμεναι. 227. Ἄκρον ἐπ' ἀνθερίκων καρπῶν θέον, οὐ δὲ κατέκλων.] Νῦν τῶν ἐν τοῖς στάχυσι λεπτῶν ἀθέρων. Ἐλαφρῶς οὖν φησιν ἄνωθεν αὐτῶν διέτρεχον. ὁμοίως καὶ ἐπὶ τῆς τῶν κυμάτων ἐπιφανείας, μὴ βαπτιζόμεναι τῷ ὕδατι. κυρίως δὲ ἀνθέριξ κα-

ἀλλ' ὅτε δὲ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ', Ἀσσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης,
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν,
κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα·
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο, Πρίαμόν τε,
Λάμπον τε, Κλυτίον θ', Ἱκετάονά τ', ὄζον Ἄρηος·
Ἀσσάρακος δὲ Κάπυν· ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα·
αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δὲ τέχ' Ἕκτορα δῖον.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε,
ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὣς,
ἑσταότ' ἐν μέσσῃ ὑσμίνῃ δηϊοτῆτος.
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ'· οὐδ' ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι,

228. vulg. ἀλλ' ὅτε δή. 230. Τρώεσσι Fάνακτα. 232. Fῖλος. 234. Διῒ Fοινοχοεύειν. 235. εἵνεκα Fοῖο. 236. Fῖλος. 240. vulg. δ' ἔτεχ'. 244. νηπύτιοι Fώς. Bentl. 247. Fεκατόζυγος vulg. ἑκατόνζυγος.

spicarum, quæ grana continent, unde ἀνθερίκων καρπός. simpl. aristæ.—229. ἐπὶ τὸ ἄκρον ῥηγμῖνος ἁλὸς simpliciter in *summo mari*. ῥηγμὶν nunc non littoris, sed ipsius maris: nam et fluctus franguntur.

230 Erichthonii filius Tros iis, quibus imperabat, nomen impertiit, ut Troes essent.—234, 5. τὸν καὶ ἀ. sup. E. 266. Nihil amplius Homerus, quam pulcritudinem *Ganymedis* declarat sollenni formula: Amari a diis pulcros et pulcras, et rapi ab iis. Versa mox ornamenta mythica in narrationes mythicas.—242. De *virtute*, quod alterum erat, quo Achilles superbiebat, et Æneam se inferiorem jactaverat, modeste loquitur Æneas. Virtutem meam qualis sit, prædicare nolo; est ea inter dona deorum. Præivit Homerus Socraticis, ἀρετὴν θείᾳ μοίρᾳ obtingere hominibus.

246—255. Forte ex interpolatione rhapsodi, certe otiose dicta.—247. νηῦς ἑκατόζυγος. ergo jam Homerica ætate fuit in usu navis C. remigum? cum heroum ætate πεντηκόντορος esset maxima moles navis, quæ innotuisset: scilicet Argo.—248. στρε-

λεῖται, ὁ τοῦ ἀσφοδέλου καυλός. ἔστι δὲ φυτὸν λαχανῶδες. 234. Ἀνηρείψαντο.] Ἀνήρπασαν. 235. Κάλλεος εἵνεκα οἷο.] Διὰ τὸ ἴδιον αὐτοῦ κάλλος. 242. Ἀρετήν.] Εὐδαιμονίαν. ἀνδρίαν. Μινύθει.] Φθείρει. 244. Λεγώμεθα.] Διαλεγώμεθα. Νηπύτιοι ὥς.] Ὡς νήπιοι, καὶ ἄφρονες. 247. Ἑκατόνζυγος.] Ὑπὸ ἑκατὸν ἐρετῶν ἐλαυνομένη. Ζυγὰ γὰρ αἱ τῶν ἐρεσσόντων καθέδραι. Ἄχθος.] Φορτίον, βάρος. Ἄροιτο.] Λάβοι, κτήσαιτο. 248. Στρεπτή.] Εὐκίνητος.

παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις.
ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥστε γυναῖκας,
αἵτε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
νεικεῦσ' ἀλλήλῃσι μέσην ἐς ἄγυιαν ἰοῦσαι,
πόλλ' ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.
ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα,
πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε, θᾶσσον
γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν.
Ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασεν ὄβριμον ἔγχος
σμερδαλέῳ, μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ·
Πηλείδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
ῥέα διελεύσεσθαι μεγαλήτορος Αἰνείαο·
νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν,
ὡς οὐ ῥηΐδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα
ἀνδράσι γε θνητοῖσι δαμήμεναι, οὐδ' ὑποείκειν.
οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·

249. Ϝεπέων. 250. ὁποῖον Ϝείπησθα Ϝέπος. 254. vulg. ἀγυιάν. 256. μὲ Ϝέπεσσι. 259. vulg. χάλκεον ἔγχος. 261. ἀπὸ Ϝέο. 263. vulg. ῥεῖάδ' ἐλεύσεσθαι.

πτὴ γλῶσσα volubilis. sup. O. 203. φρένες στρεπταί. mens hominis mutabilis, quæ flecti potest.—249. ἐπέων δὲ πολὺς νομὸς—h. e. ἔπη πολλὰ νέμονται *distribuuntur utrinque, sparguntur*, jactantur. Etiam Hesiod. Ἔργ. 403. σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις, ἀχρεῖος δ' ἔσται ἐπέων νομός. cf. Hymn. in Apoll. 20. νομοὶ ᾠδῆς. et Horatianum: *carmina divides.*—253. χολωσάμεναι ἔριδος περὶ θ. per contentionem, rixam, exasperatæ. ut jam H. 30. et 210.—255. νεικεῦσι—πολλά. nunc est *probra multa sibi invicem ingerunt.* paullo ante 251. ἔριδας καὶ νείκεα νεικεῖν erat *jurgia facere.*

259—289. Pugna inter Achillem et Æneam: primo jacta ab Ænea hasta Achillis clipeum ferit, nec tamen perforat:—272.

259. ἐνήλασε τῷ σάκει δεινῷ· (*terribili* H. 245.) τὸ ἔγχος. *impegit.*—261. Achilles clipeum Ἡφαιστότευκτον, tanquam opus divinum, haud perforari posse, non reputaverat;—266. ὡς οὐ ῥᾴδιόν ἐστι τὰ—δαμῆναι ὑπ' ἀνδρῶν, οὐδὲ ῥᾴδιόν ἐστιν, αὐτὰ ὑποείκειν. ce-

μεταβολὰς πολλὰς ἔχουσα. 249. Νομός.] Νομὴ, διάταξις. 251. Ἔριδας.] Φιλονεικίας. Νείκεα.] Νείκη, ὀνείδη λέγειν. 253. Χολωσάμεναι.] Ὀργισθεῖσαι. 254. Νεικεῦσι.] Φιλονεικοῦσι, λοιδοροῦσι. Μέσην ἐς ἀγυιὰν ἰοῦσαι.] Εἰς μέσον τὸ ἄμφοδον προελθοῦσαι. 255. Πόλλ' ἐτεά τε καὶ οὐκί.] Πολλὰ καὶ ἀληθῆ καὶ ψευδῆ. 258. Γευσόμεθ' ἀλλήλων.] Ἀντὶ τοῦ ἁψώμεθα. ὅ ἐστιν ἀπόπειραν ληψώμεθα τῆς ἀλλήλων δυνάμεως. εἴρηται δὲ μεταφορικῶς. 260. Μύκεν.] Ἐψόφησεν. ἡ μεταφορὰ ἀπὸ τῆς φωνῆς.

ἀλλὰ δύο μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
ἦσαν· ἐπεὶ πέντε πτύχας ἤλασε Κυλλοποδίων,
τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσέην· τῇ ῥ' ἔσχετο μείλινον ἔγχος.
δεύτερος αὖτ' Ἀχιλεὺς προίει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσε ἴσην,
ἄντυγ' ὑπὸ πρώτην, ᾗ λεπτότατος θέε χαλκός,
λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἡ δὲ διὰ πρὸ
Πηλιὰς ἤϊξε μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐάλη, καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχε
δείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔστη ἱεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους
ἀσπίδος ἀμφιβρότης. ὁ δ' ἀλευάμενος δόρυ μακρόν,

272. vulg. χάλκεον. 274. πάντοσ' ἐϝίσην.
278. ἐϝάλη, et ἀπὸ ϝέθεν. 280. ϝιεμένη.

dere materiam ictibus, adeoque perforari aut cavari.—269. δύο πτύχες. laminæ duæ e quinis, quibus clipei crates inducta erat: sup. Σ. 481. πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες. Usque ad tertiam hasta penetraverat, in hac hærebat: fuit hæc haud dubie aurea, media inter ceteras, quarum duæ ex cassitero inferiore, duæ ex ære superiore loco erant. Cassiteri usus habet forte, quod mireris in clipeo, si, quod vulgo male fit, pro stanno habeas; v. ad Λ. 25. Telum, quod per tres laminas jam penetraverat, non potuit nisi obtusius esse et in lamina, etsi forte molliore hærere. Ex ære erat superficies cum altera lamina ex ære subjecta. Supra Δ. 135. transit sagitta per balteum ex ære, per thoracem et mitram, et stringit ipsam cutem. At Hectoris hasta transit per sex coria clipei Ajacis Η. 248. et languescens ad septimum hæret.

273—283. Achillis hasta extimam trajicit oram clipei Æneæ et terræ infigitur. —278. Æneas ἐάλη. ut hasta prætervolaret, *collecto corpore et incurvato subsedit.* ut sup. 168.—280. ἀμφοτέρους κύκλους, laminam æream cum corio: 275, 6.—281. ἔστη ἱεμένη. *cupiens ulterius procedere:* ut jam Ο. 543. et al. διεῖλε, διέκοψε, alias διέσχε, ἀμφοτέρους κύκλους ἀσπίδος, sc. extremam oram duplicis integumenti ex ære et corio, quo clipeus Æneæ obductus erat. Cum vs. 322. Neptunus hastam ex Æneæ clipeo extractam Achilli reddat, ὁ δὲ μελίην ἀσπίδος ἐξέρυσεν: necesse est clipeum hasta

269. Ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας.] Ἕως τοῦ Τῇ ῥ' ἔσχετο χάλκεον ἔγχος. Ἀτρώτων ὑπαρχόντων παρ' Ὁμήρῳ τῶν Ἀχιλλέως ὅπλων, ἔξωθεν κατ' ἐνίους τεταμμένης διὰ πλείονα κόσμον τῆς χρυσῆς πτυχὸς, οὕτως ἀποδοτέον τὸν λόγον, Ἀλλὰ μέχρι μὲν δύω πτυχῶν προῆλθεν ἡ τοῦ ἔγχους ἐνέργεια, εἴξεως καὶ οἱονεὶ συνιζήσεως γενομένης. ἐπὶ δὲ τῇ τρίτῃ ἐπεσχέθη. πῶς φησιν ἄτρωτον ὑποστησάμενος τὴν ἀσπίδα νῦν τοῦτο λέγει; ῥητέον οὖν, ὅτι ὁ χρυσὸς ὢν μαλθακώτερος χαλκοῦ καὶ σιδήρου, ἐνέδωκε τῷ δόρατι καὶ ἐκοιλάνθη, καὶ ἐγένετο κοίτη καὶ οὐ τρῶσις. 270. Πτύχας.] Τὰ ἐλάσματα τῆς ἀσπίδος. Ἤλασεν.] Ἔπληξεν, ἔτρωσεν. Κυλλοποδίων.] Χωλός. λέγει δὲ τὸν Ἥφαιστον. 272. Ἔσχετο.] Ἐπεσχέθη. 275. Ἄντυγ' ὑπὸ πρώτην.] Κατὰ τὸν ἔξωθεν κύκλον τῆς ἀσπίδος. Ἧι λεπτότατος θέε χαλκός.] Καθ' ὃ μέρος τῇ ἀσπίδι λεπτότατος περιέκειτο χαλκός. 277. Λάκεν.] Ἐψόφησεν, ἤχησεν, ἢ διεκόπη, ὡς καὶ ἐν τοῖς ἱματίοις, λακίδες λέγονται αἱ διακοπαί. 278. Ἐάλη.] Συνεστάλη. 280. Ἱεμένη.] Προθυμουμένη, ἐπειγομένη. Ἕλε.] Διεῖλεν, ἔκοψεν.

ἔστη, κὰδ δ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσι,
ταρβήσας, ὅ οἱ ἄγχι πάγη βέλος. αὐτὰρ Ἀχιλλεὺς
ἐμμεμαὼς ἐπόρουσεν, ἐρυσσάμενος ξίφος ὀξὺ,
σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
ἔνθα κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ,
ἢ κόρυθ', ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον,
τὸν δέ κε Πηλείδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα·
εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων·
αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
Ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
ὃς τάχα Πηλείωνι δαμεὶς Ἄϊδόσδε κάτεισι,
πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
νήπιος· οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ

282. κὰδ δ' ἄχος Ϝοι. corrigendum ἀχλὺς χύτο. 283. ὅ Ϝοι. 284. ἐπόρουσε Ϝερυσσάμενος. 285. σμερδαλέα ϜιϜάχων. 286. μέγα Ϝέργον. 289. τό Ϝοι. 292. ἔϜειπε. 295. Ϝεκάτοιο. 296. τί Ϝοι.

trajectum regi manu Æneæ haud potuisse sed abjectum esse. Hinc quoque Æneas saxo e terra sublato, Achillem petere cogitur vs. 285.

281—291. Hasta frustra emissa irruit Achilles in Æneam gladio stricto; at hic magnum saxum arripit. Nunc (vss. 288, 9.) prævideri poterat, cum Achillis arma frangi aut penetrari non possent, eum incolumem fore, Æneam autem occidi: hoc animadvertit Neptunus et pugnam dirimere decernit.—282. Offusa ejus oculis est ex subito discriminis sensu et terrore caligo. ἔστη ταρβήσας.—285. ὁ δὲ χερμάδιον. Lecti jam versus ad E. 302, 3, 4.—289. ἢ (κατὰ) κόρυθ' ἠὲ σάκος. atqui hæc arma ἡφαιστότευκτα frangi nequibant.

291—340. Neptunus eripit Æneam pugnæ. Hoc ita adornatum a poeta: Neptunus diis suadet ut subducant morti Æneam, tanquam probum et religiosum hominem; (298, 9.) eumque Jovi carum, a quo, ex fato, constitutum sit, ut per eum reliquiæ stirpis Dardani, quem Jupiter insigniter amaverat, superstites serventur, et ut, altera progenie Priami invisa et exitio destinata, Æneas cum posteris suis Trojanis regnet. Hunc in modum dispesco sententias.—308. Relinquit hoc Juno, suo et ceterorum deorum nomine, Neptuni arbitrio, ut pro lubitu faciat.—317. tum ille pugnantis Achillis oculis caliginem objicit, hastam Æneæ solo evulsam ante Achillis pedes projicit, Æneam sublimem aere subducit et in extrema acie Trojanorum collocat.—329. eumque objurgat, quod cum Achille congressus sit, quem in posterum evitare in pugna jubet.—339. Tota pugna est adumbrata ad formam pugnæ Diomedis cum Ænea E. 297. 302. sq. quod varias suspiciones præbet.

295, 6. οὐδέ τι οἱ χραισμήσει (πρὸς) ὄλεθρον Apollo. Sup. 79. cf. mox ad vs. 318.—297. ἄλγεα πάσχει. pro graviore, perire, ex vs. antec. ἕνεκ' ἀλλοτρίων ἀχέων, Apollinis infesti Achivis. Versus 298, 299. videntur fuisse fundus *pietatis Æneæ* a Virgi-

282. Χύτο.] Περιεχύθη. 289. Ἤρκεσεν.] Ἐβοήθησεν, ὠφέλησεν. 294. Πηλείωνι δαμείς.] Ὑπὸ Ἀχιλλέως ἀναιρεθείς.

δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλ' ἄγεθ', ἡμεῖς περ μιν ὑπ' ἐκ θανάτου ἀγάγωμεν,
μήπως καὶ Κρονίδης κεχολώσεται, αἴκεν Ἀχιλλεὺς
τόνδε κατακτείνῃ· μόριμον δέ οἱ ἔστ' ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
οἳ ἕθεν ἐξεγένοντο, γυναικῶν τε θνητάων.
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει,
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι, ἤ κεν ἐάσεις
Πηλεΐδῃ Ἀχιλῆϊ δαμήμεναι, ἐσθλὸν ἐόντα.
ἤτοι μὲν γὰρ νῶϊ πολεῖς ὠμόσσαμεν ὅρκους

302. δέ Ϝοι. 305. Ϝέθεν. 307. Τρώεσσι Ϝανάξει. 309. πότνια Ϝήρη. 311. μιν Ϝερύσσεαι. corr. μιν ῥύσεαι.

lio celebratæ. *Sum pius Æneas.*—302. μόριμον δέ οἱ ἔστ' ἀλέασθαι. per fata licet, ut servetur Æneas. Potuisset tamen ille occidi ὑπὲρ μοῖραν, ut inf. 336. Conf. supra ad Π. 321.—303. Fatale itaque erat, ut ex Dardani stirpe altera progenies succederet alteri.—306. Priamus et ipse oriundus erat a Dardano, ut vidimus vss. 215. sqq. nam Dardani nepos, Tros, habuit filios Ilum et Assaracum. Ex Ilo natus Laomedon, ex hoc Priamus: hanc stirpis ex Ilo progeniem cum excidio Trojæ defecisse, norat auctor horum versuum. Supererat altera progenies, ab Assaraco ducta, a quo Capys, ab eoque Anchises, Æneæ pater, progenitus fuerat. Æneam Trojæ excidio superfuisse vulgata fama constabat: vss. 338, 9. Constare porro debuit, Æneam principatum aliquem Trojanorum, qui Trojæ excisæ superfuerant, habuisse, eumque ad ejus posteros pervenisse: nec tamen additum, quibus in locis. Hinc enata narrationum seges, quam vide in Excurss. ad Virgilium. Succinit obscuritas oraculi; quo loco haberi possunt, et habita sunt, hæc Neptuni verba: Πριάμου γενεὴν ἤχθηρε Κρονίων. A rudibus hominibus credebantur dii odisse eos, quibus magnæ calamitates acciderant. Sic et Atrei stirps loco haud absimili Od. Λ. 435. sq. Τ. 363. sq. Latissime per omne genus humanum patuit sinistra hæc opinio, innumerarum fraudum et superstitionum genetrix: quod mala vitæ humanæ ad iram et alienatam numinis voluntatem referenda esse crediderunt.

310—317. Arbitrium servandi Æneam Neptuno relinquit Juno; sui ipsius et Minervæ nullam ea in re operam fore. Erant enim hæ deæ Trojanis infestissimæ vss. 313. sqq. cujus odii caussas a Paridis judicio repetierunt seriores.—310. ipse

302. Μόρσιμον.] Εἱμαρμένον, μεμοιραμένον. Ἀλέασθαι.] Ἐκκλῖναι, διασωθῆναι. 303. Ἄσπερμος.] Ἄτεκνος, ἄγονος. 304. Φίλατο.] Ἐφίλησε. 307. Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει.] Ἀφροδίτη χρησμοῦ ἐκπεσόντος, ὅτι τῆς Πριαμιδῶν ἀρχῆς καταλυθείσης, οἱ ἀπ' Ἀγχίσου Τρώων βασιλεύσουσιν, Ἀγχίσῃ ἤδη παρηκμακότι συνῆλθεν. τεκοῦσα δ' Αἰνείαν, καὶ βουλομένη πρόφασιν κατασκευάσαι τῆς τῶν Πριαμιδῶν καταλύσεως, Ἀλεξάνδρῳ πόθον Ἑλένης ἐνέβαλε, καὶ μετὰ τὴν ἁρπαγὴν τῷ μὲν δοκεῖν συνεμάχει τοῖς Τρωσὶ, ταῖς δὲ ἀληθείαις, παρηγόρει τὴν ἧτταν αὐτῶν, ἵνα μὴ παντελῶς ἀπελπίσαντες, ἀποδῶσι τὴν Ἑλένην. Ἱστορεῖ Ἀκουσίλαος. 311. Ἐρύσσεαι.] Ῥύσῃ, σώσεις. 313. Πολεῖς.]

πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
μηδ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
δαιομένη, δαίωσι δ' Ἀρήϊοι υἷες Ἀχαιῶν.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
ἷξε δ' ὅθ' Αἰνείας ἠδὲ κλυτὸς ἦεν Ἀχιλλεύς.
αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλὺν,
Πηλείδῃ Ἀχιλῆϊ· ὁ δὲ μελίην εὔχαλκον
ἀσπίδος ἐξέρυσε μεγαλήτορος Αἰνείαο·
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας·
πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπερᾶλτο, θεοῦ ἀπὸ χειρὸς ὀρούσας·
ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκος πολέμοιο,
ἔνθα δὲ Καύκωνες πόλεμον μέτα θωρήσσοντο.

320. vulg. ἠδ' ὁ κλυτός. 325. vulg. Αἰνείαν δ' ἐπέσευεν.
329. vulg. μεταθωρήσσοντο.

apud te reputa, νόησον, (εἰ) Αἰνείαν ἢ ἐρύσσεαί κεν ἢ ἐάσεις.—315. nos non esse subventuras Trojanis: pro contrario: nos exitium ipsis esse machinaturas. ἐπαλεξεῖν τινὶ τὸ κακὸν, ut ἐπαμύνειν, *propulsare malum ab aliquo:* h. e. ei auxilium ferre; sæpe simpliciter ἀλεξεῖν, ἀπαλεξεῖν τινι, ut Θ. 365. Λ. 428. et al.

318—329. Æneas ex discrimine a Neptuno eripitur subductus per aerem, caligine Achilli objecta: talis aeris obscuratio passim memoratur in miraculum aucta et dei alicujus interventui tributa, ut Ρ. 644. Ο. 668. Diversi generis est hæc caligo ab ea, quam alibi a vertigine capitis ortam memorat, ut de Patroclo Π. 792. Alia ἀχλὺς a mœrore subito inf. 421. pro qua est ἄχεος νεφέλη, Ρ. 591. unde et Ἀχλὺς pro Tristitia in Sc. Herc. 264. alia oculorum caligo a subito terrore memorabatur supra 282: Propius ad nostrum locum spectat caligo Diomedi objecta Ε. 127., removenda ab ejus oculis, ut numen videre posset. Ceterum, cum Apollo sup. 103. sq. is fuisset, qui Æneam invitum ad pugnam cum Achille ineundam pertraxerat, eum quoque putes debuisse eripere discrimine Æneam. Verum poetæ varianda fuere acta; nam simili modo, quo nunc 325. a Neptuno aufertur, sublimis per aerem raptus Æneas fuerat jam sup. Ε. 445. ab Apolline e pugna cum Diomede.—327. θεοῦ ἀπὸ χειρὸς ὀρούσας pro διὰ, ὑπὸ, χειρὸς, ὀρνύμενος. φερόμενος.—329. ἔνθα δὲ Καύκωνες, stetere Caucones in extremis ordinibus Trojanæ aciei, quos jam memoratos meminimus sup. Κ. 429. ubi illi versus mare tendebant in dextro Trojanorum cornu: quod tamen haud referre licet ad pugnam, de qua nunc agitur. Eos Paphlagonibus accensos fuisse notatum est a Strabone VIII. p. 531. A. Fuerunt a Pelasgica stirpe orti, per plures terras dispersi, etiam in Peloponneso Od. Γ. 366. Caucones Pylii ap. Herodot. I. 147.

Πολλούς. 325. Ἐπέσευεν.] Ὥρμησεν, ἐδίωξε. 329. Καύκωνες.] Οἱ μὲν Τρωϊκὸν ἔθνος βάρβαρον, ἄλλοι δὲ Παφλαγωνίας, οἱ δὲ τοὺς ἐπίκλην Καυκανίας. ἡ δὲ Καίκανος πόλις παράλιος Λικίας καὶ Καρίας. Ἐζήτηται δὲ, πῶς τὸν Αἰνείαν οὐκ Ἀπόλλων ἐρύσατο, ἀλλὰ Ποσειδῶν. καὶ φασὶν, ὅτι ἡ μεγάλη περὶ θεοὺς εὐσέβεια δυσωποῦσα τυγχάνει καὶ τοὺς δι' ἔχθρας ὄντας.

τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι,
ὃς σεῦ ἅμα κρείσσων, καὶ φίλτερος ἀθανάτοισιν;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
θαρσήσας δὴ 'πειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει.
Ὣς εἰπὼν, λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
θεσπεσίην· ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονὸς, οὐδέ τι φῶτα
λεύσσω, τῷ ἐφέηκα, κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
ἦεν. ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
ἐῤῥέτω. οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
ἀλλ' ἄγε δὴ, Δαναοῖσι φιλοπτολέμοισι κελεύσας,
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.
Ἦ, καὶ ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστῳ·

331. *Fέπεα.* 333. vulg. *ἀντί' Ἀχιλλῆος πολεμιζειν ἠδὲ μάχεσθαι.*
340. *Fειπών.* 343. *ἄρα Fεῖπε πρὸς Fὸν* de hoc v. Obss.
349. *Fεῤῥέτω. οὔ Fοι.* 353. *φωτὶ Fεκάστῳ.*

330—340. Increpat Æneam Neptunus cum Achille congredi ausum.

332. *σὲ ἀτέοντα.* tanquam divinitus insania correptum; stolide agentem. *ἀφραίνοντα. ἀτώμενον.*—336. *ὑπὲρ μοῖραν,* præter fatalem rerum ordinem; ante diem. v. sup. vs. 30. et ad P. 321.—339. Si Achillis manum effugeris, a nullo alio necari te fato constitutum est. cf. 306. Norat adeo auctor horum versuum, superstitem Trojæ excidio fuisse Æneam.

341—352. Achilles caligine ab oculis detersa, Æneam sibi ereptum cum didicisset, pugnando alios Trojanos aggredi statuit.—342. *μέγ' ἔξιδεν,* mira loquendi forma; comparanda cum *μέγα γηθεῖν, ἰάχειν,* et similibus. *remota caligine vidit clare.* Apud Hesiod. Theog. 429. Hecate *ᾧ ἐθέλει, μεγάλως παραγίνεται ἠδ' ὀνίνησι.* Convenit quodammodo *μάλα. λίαν.*—348. *ἀτάρ μιν ἔφην.* sup. 207.

353—374. Hortantur utrinque copias suas, hinc Achilles, illinc Hector.

353. *ἐπὶ στίχας ἆλτο. ἐπιᾶλτο. ἐφῆλτο* ut N. 643. *ἐπᾶλτο.* est: irruit. *ἐπῆλθεν.* ergo

332. Ἀτέοντα.] Ἐν ἄτῃ ὄντα, ὅ ἐστι βλαπτόμενον καὶ ἀφροντιστοῦντα σαυτοῦ. 340. Διεπέφραδε.] Διεσήμανεν. εἶπε. 341. Σκέδασεν.] Ἐσκόρπισε. 347. Ἦ ῥα.] Ὄντως δή. 349. Ἐῤῥέτω.] Φθειρέσθω. 350. Ἄσμενος.] Χαίρων.

μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοὶ,
ἀλλ' ἄγ', ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
ἀργαλέον δέ μοι ἐστὶ, καὶ ἰφθίμῳ περ ἐόντι,
τοσσούσδ' ἀνθρώπους ἐφέπειν, καὶ πᾶσι μάχεσθαι·
οὐδέ κ' Ἄρης, ὅσπερ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη,
τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα, καὶ πονέοιτο·
ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσί τε, ποσί τε,
καὶ σθένει, οὔ μέ τι φημὶ μεθησέμεν οὐδ' ἠβαιόν·
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερὲς, οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν, ὅστις σχεδὸν ἔγχεος ἔλθῃ.
Ὣς φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἴμμεναι ἄντ' Ἀχιλῆος·
Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλείωνα·
καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὴ πολὺ φέρτεροί εἰσιν.
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

354. Ϝεκάς. 361. vulg. οὔ μ' ἔτι. 367. ἐγὼ Ϝεπέεσσι.
371. ἔϜοικε. 372. ἔϜοικε.

Trojanos? atqui hoc fit demum inf. 381. ἐν δ' Ἀχιλεὺς Τρώεσσι θόρε. Ergo ἐφῆλτο h. l. simpliciter, *accessit* ad suas turmas Myrmidonum.—355. ἄντα ἀνδρός. non ἀντί· et sic 365.—357. τόσσουσδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι, pro, ἐφέπειν μαχόμενον, obire tantam aciem pugnando cum omnibus. ἐφέπει is, qui oberrat, et aggreditur aut persequitur, et 359. ἐφέποι καὶ πονέοιτο, pro πονούμενος, h. μαχόμενος, ἐφέποι. obeat, discursitet per totam aciem pugnando. στόμα πολέμου, μάχης, acies, quam nos frontem dicimus. jam Κ. 8.—362. στιχὸς εἶμι διαμπερὲς, h. e. εἴσομαι διὰ στιχὸς, oberrabo totam aciem hostilem, et aggrediar, quicunque se obtulerit.

366. μὴ δείδιτε Πηλείωνα, pro, Achillis minas, ut e sqq. apparet: καί κεν ἐγώ· si minis res peragi posset, sane et ego cum diis pugnarem; deos ad pugnandum provocarem. ἔγχεϊ δὲ, vera pugna, ipsa re.—369. τέλος ἐπιθήσει, τελέσει, τελειώσει.—370. κολούει, h. e. οὐ τελέει, relinquet imperfectum, ἀποτεύξεται. Od. Θ. 211. ἕο δ' αὐτοῦ πάντα κολούει, sibi ipsi noxam facit. Fere quod sup. Π. 120. μάχης ἐπὶ μήδεα κεῖρει et Θ. 480. ἐνικλᾷ ὅττι νοήσω.—371. qui stragem hostium facit, comparatur cum igni late vastante; itaque ille manu, virtute, (κατὰ) τὰς χεῖρας ἔοικε πυρί. cf. inf. 490. 493. quatenus autem haud cedit, repulsus et superatus, animus ejus invictus comparatur cum ferro.

357. Τοσσοίσδ' ἀνθρώποις.] Ὁ Ἀσκαλωνίτης προπερισπᾷ κατὰ δεῖξιν, ὡς τοσσῆς δ' ὑσμίνης. ὁ δὲ Ἀρίσταρχος κατὰ παρολκὴν ἐδέξατο τόνδε. 359. Ἐφέποι.] Ἐπέρχοιτο, ἐπιδιώκοι. Στόμα.] Τὴν σύστασιν. 361. Ἠβαιόν.] Ὄντως μικρόν. 362. Στιχὸς εἶμι διαμπερές.] Διὰ τῆς τάξεως ἐλεύσομαι. 365. Φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος.] Ἔλεγε δὲ ἄντικρυς ἐλεύσεσθαι τοῦ Ἀχιλλέως. 370. Κολούει.] Ἀκέφαλον, καὶ ἀτελῆ ποιήσει. τοῦτ' ἔστιν, ἀποτεύξεται πρὸ τοῦ ποιη-

Ὣς φάτ' ἐποτρύνων· οἱ δ' ἀντίοι ἔγχε' ἄειραν
Τρῶες. τῶν δ' ἄμυδις μίχθη μένος, ὦρτο δ' ἀϋτή.
καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων·
Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ' ἠὲ βάλῃ, ἠὲ σχεδὸν ἄορι τύψῃ.
Ὣς ἔφαθ'· Ἕκτωρ δ' αὖτις ἐδύσατο οὐλαμὸν ἀνδρῶν,
ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος.
ἐν δ' Ἀχιλεὺς Τρώεσσι θόρε, φρεσὶν εἱμένος ἀλκὴν,
σμερδαλέα ἰάχων· πρῶτον δ' ἕλεν Ἰφιτίωνα
ἐσθλὸν, Ὀτρυντείδην, πολέων ἡγήτορα λαῶν,
ὃν Νύμφη τέκε Νηῒς Ὀτρυντῆϊ πτολιπόρθῳ,
Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ·
τὸν δ' ἰθὺς μεμαῶτα βάλ' ἔγχεϊ δῖος Ἀχιλλεὺς,
μέσσην κὰκ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη·
δούπησεν δὲ πεσών. ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
Κεῖσαι, Ὀτρυντείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν,
ἐνθάδε τοι θάνατος· γενεὴ δέ τοι ἔστ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Ὕλλῳ ἐπ' ἰχθυόεντι, καὶ Ἕρμῳ δινήεντι.
Ὣς φάτ' ἐπευχόμενος· τὸν δὲ σκότος ὄσσε κάλυψε.
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο

373. vulg. ἄειρον. 375. Ἕκτορα Ϝεῖπε. 379. ἐδύσατο Ϝουλαμόν. 381. φρεσὶ Ϝειμένος. 382. σμερδαλέα ϜιϜάχων· πρῶτος δ' ἕλε Ϝιφιτίωνα. 385. f. Ϝύδης. 386. vulg. τόν ῥ'.

375—380. Apollinis monitu Hector vitat congressum cum Achille, nec προμαχίζει h. ἐν προμάχοις μάχεται, sed intra turmas pugnantium se continet.

381—418. Cum nemo Achilli se offerret προμαχίζων, turmam Trojanorum ille adoritur facitque cædes promiscuas; necat primo *Iphitionem*, Otryntei filium—393. tum *Demoleontem*, Antenoris f.—400. *Hippodamantem*—406. *Polydamantem* Priami f.—418.—381. φρεσὶν εἱμένος ἀλκήν. v. A. 149.—383. *Iphition* Otryntei f. ex Nympha *Naide*, sub *Tmolo* in vico *Hydæ*, ad *lacum Gygæum*, inter *Hermum* et *Pactolum*, amnes, situm; supra Hermum ad *Hyllum* usque camporum planities erat fertilitatis laude celebratissima; in ea agrum tenuerat Otryntei filius.—390. γενεὴ δέ τοι ἔστ' ἐπὶ λίμνῃ Γυγαίῃ. Longe hinc in Lydia natus occumbis in terra peregrina, Troade. Memoratus lacus jam sup. B. 865. haud longe a Sardibus est, serius Coloe dictus. v. Herodot. I. 93.—394. ἐπίσσωτρα vidimus E. 725. rotarum igitur canthis,

σαι. 381. Εἱμένος ἀλκήν.] Περικείμενος δύναμιν. 385. Τμώλῳ.] Ὄρει Λυδίας. Ὕδης.] Ὕδη διὰ τοῦ δ πόλις Λυδίας, ἡ νῦν καλουμένη Σάρδεις. διὰ δὲ τοῦ λ Ὕλη, πόλις Βοιωτίας. Πίονι δήμῳ.] Τῷ εὐδαίμονι. 387. Κεάσθη.] Ἐσχίσθη. 388. Ἐπεύξατο.] Ἐπεκαυχήσατο. 390. Λίμνῃ Γυγαίῃ.] Οὕτως ἐν Λυδίᾳ λίμνη καλουμένη Γυγαίη, ἤτοι ἀπὸ Γύγου τοῦ Κανδαύλου, ὃν πρῶτόν φασι βασιλεῦσαι Λυδῶν· ἢ ἀπό τινος ἐγχωρίου ἥρωος Γύγου καλουμένου. 394.

πρώτη ἐν ὑσμίνῃ· ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα
ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱόν,
νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρῄου·
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
αἰχμὴ ἱεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ
ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα,
πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὖτασε δουρί·
αὐτὰρ ὁ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα,
κούρων ἑλκόντων, γάνυται δέ τε τοῖς Ἐνοσίχθων·
ὣς ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ.
Αὐτὰρ ὁ βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον

399. Ϝιεμένη. 401. vulg. ἀΐσσοντα. 402. πρόσθε Ϝέθεν. 404. ἀμφὶ Ϝάνακτα.

seu laminis, quibus rotarum extremi orbes muniuntur, s. simpliciter, rotis, ἵπποι h. e. currus δατέοντο, διέκοπτον, *laniarunt corpus.*

395—400. *Demoleontem*, Antenoris filium, occidit Achilles, hasta per tempora trajecta. ἐπ' αὐτῷ. *deinceps.* post istum. ἀλεξητῆρα (κατὰ) μάχης, propugnatorem in pugna.—399. ἱεμένη. sup. 281. vss. 398, 9, 400. jam lecti sunt Λ. 96, 97, 98. ubi v. Not.

401—406. *Hippodamantem* a tergo Achilles hasta percussit.—403. θυμὸν ἄϊσθε efflavit Π. 468. et ἐρεύγειν, nunc rugire, unde ταῦρος ἐρύγμηλος Σ. 580.—404. Ἑλικώνιον ἀμφὶ ἄνακτα, Neptunum. Sacrum hoc ab Ægis Achaiæ in Ioniam a novis colonis fuisse traductum satis constat; dubitatur de etymo nominis, quod non ab *Helice* ductum esse potuit, sed ab *Helicone*, seu nomine Helices minus usitato, seu loco seu heroe: nam incerta ratio est. Proprium autem huic sacro, contra quam solenni opinione, fuisse apparet, ut pro bono omine haberetur, (πρὸς τὸ καλλιερεῖν, *litare*) si victima ad aram pertracta mugiebat. Ita fere Apollo delectatus dicitur a Pindaro apud Hyperboreos, si asini mactandi subsilirent et calcitrarent.—406. (κατα τα) ὀστέα. pro τὸ σῶμα. defecit eum rugientem vita. quod antea erat: θυμὸν ἄϊσθε καὶ ἤρυγε, pro, ἤρυγεν ἀΐσθων θυμὸν, efflando animam, exspirando.

407—418. Tandem *Polydorum* Priami filium natu minimum, jaculo trajicit Achilles in ilibus a latere. Alter locus de eo Φ. 91. ubi ejus frater Lycaon occiditur ab Achille; ibidem e Laothoe, Altæ regis Lelegum filia, susceptus memoratur. Adde Χ. 46. Ab hoc diversus est Polydorus memoratus tragicis, ut Euripidi in He-

Ἐπισσώτροις.] Κανθοῖς. Δατέοντο.] Διέκοπτον. 396. Ἀλεξητῆρα.] Μάχης ἀποτρεπτικὸν, βοηθόν. 398. Ἔσχεθεν.] Ἐπέσχεν, ἐκώλυσε. 400. Πεπάλακτο.] Ἐπεμόλυντο. 403. Ἄϊσθεν.] Ἐξέπνευσεν. Ἤρυγεν.] Ἐμυκήσατο. ἀνερύγγανε. πνεῦμα σφοδρὸν ἀφῆκεν. Ὡς δ' ὅτε ταῦρος Ἑλικώνιον ἀμφὶ ἄνακτα.] Τὸν Ποσειδῶνα. ἤτοι, ὅτι ἐν Ἑλικῶνι ὄρει τῆς Βοιωτίας τιμᾶται, ἢ ἐν Ἑλίκῃ. μᾶλλον οὖν παρὰ τὸν ἐν Ἑλίκῃ θεόν. διαφέρει γὰρ Ἑλικὼν καὶ Ἑλίκη· ὅτι Ἑλικὼν μὲν, ὄρος Βοιωτίας, Ἑλίκη δὲ, νῆσος Ἀχαΐας, ἐν ᾗ ἱερὸν Ποσειδῶνος. ἡ δὲ ἱστορία αὕτη. Νηλεὺς ὁ Κόδρου χρησμὸν λαβὼν, ἀποικίαν ἔστελλεν εἰς Μίλητον, καὶ Καρίαν, ἔνθα ἱερὸν Ποσειδῶνος ἱδρύσατο. καὶ ἀπὸ τοῦ ἐν Ἑλίκῃ τεμένους, Ἑλικώνιον τὸν θεὸν προσηγόρευσε. δοκεῖ δὲ ἐπειδ' ἂν θύωσι, βοησάντων μὲν τῶν βοῶν, προσδέχεσθαι τὸ θεῖον τὴν θυσίαν. σιγώντων δὲ, λυπεῖσθαι καὶ μηνιᾷν νομίζεσθαι. ἡ ἱστορία παρὰ Κλειτοφῶντι. 405. Γάνυται.] Ἥδεται, χαίρει. 411.

Πριαμίδην, τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,
καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα.
δὴ τότε νηπιέῃσι, ποδῶν ἀρετὴν ἀναφαίνων,
θῦνε διὰ προμάχων, εἵως φίλον ὤλεσε θυμόν·
τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς
νῶτα παραΐσσοντος, ὅθι ζωστῆρες ὀχῆες
χρύσειοι σύνεχον, καὶ διπλόος ἤντετο θώρηξ.
ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή.
γνὺξ δ' ἔριπ' οἰμώξας· νεφέλη δέ μιν ἀμφεκάλυψε
κυανέη, προτί οἱ δὲ λάβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ', ὡς ἐνόησε κασίγνητον Πολύδωρον,
ἔντερα χερσὶν ἔχοντα, λιαζόμενον προτὶ γαίῃ,
κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύς, οὐδ' ἄρ' ἔτ' ἔτλη
δηρὸν ἑκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆϊ,
ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελος· αὐτὰρ Ἀχιλλεὺς
ὡς εἶδ', ὡς ἀνεπᾶλτο καὶ εὐχόμενος ἔπος ηὔδα·

409. οὔνεκά Foi. vulg. μετὰ πᾶσι. 410. καί Foi. 418. προτί Foi. vulg. δ' ἔλαβ'. 421. κάρρα Foi. 422. δηρὸν Fεκάς. v. Obss. 423. φλογὶ Fείκελος. 424. Fεῖδ'—Fέπος. vulg. ἀνέπαλτο.

cuba, ex eoque Virgilio Æn. III. 22. qui Polydorum Priami ex Hecuba filium in Chersonesum Thraciam missum narrant, a Polymnestore proditum. Notata res jam a pluribus; v. Eustath. p. 1214. extr.

411. νηπιέῃσι. νηπιέη pro διὰ νηπιείας. juvenili stultitia Π. 363.—413. ἄκοντι hasta missili. Fuit ἔγχος παλτόν. non ὀρεκτόν.—414. νῶτα παραΐσσοντος scil. αὐτοῦ. pro, βάλε (κατὰ τὰ) νῶτα, τὸν, τοῦτον, παραΐσσοντα.—ὅθι ζωστῆρος ὀχῆες σύνεχον. συνεῖχον ἑαυτούς. συνῄεσαν. *coibant.* ut Δ. 132, 133. et inf. 478. quo loco aureæ cinguli fibulæ se excipiebant; eoque constringebant thoracem; et thorax mitra subjuncta munitus ac duplicatus occurrebat ictui: tamen vel sic hasta penetravit ad ilia et corpus trajecit ut per umbilicum exiret. Thorax cingebatur et firmabatur superaddito balteo, cujus extremæ oræ fibula constringebantur; tuebatur hac inferiore corporis parte ilia subtexta thoraci fascia seu lamina, μίτρη alibi dicta, unde duplicatus videri poterat thorax. v. disputata de his ad Δ. 132, 133. Contra sup. Λ. 234. sq. erat qui hasta ne quidem balteum trajiceret, multo minus ad zonam seu mitram penetraret.—418. λιασθείς, proprie declinando a recto cursu, in obliquum prolapsus, ut Ο. 520. notatum, nunc omnino *corruens*, ut vs. 420. Facit mirationem h. l. quod, cum a tergo hasta trajectus esset, vulnus tamen excepisse narratur ea parte, qua baltei fibulæ constrictæ erant; sequitur itaque, balteum non in anteriore corpore, sed in tergo, fibulis adstrictum fuisse. Simile vulnus compara Ρ. 578.

419—454. Polydori fratris cæde exardescens Hector in Achillem progressus hastam frustra in ejus scutum emittit; ne ab Achille juguletur, ab Apolline eripitur.

421. ἀχλύς v. ad 318. οὐδ' ἄρ' ἔτ' ἔτλη. immemor præceptorum Apollinis 375. sq.—424. ὡς ἀνεπᾶλτο. v. Θ. 85. *Statim atque* eum animadverterat, exsiluit præ gaudio.

Νηπιέῃσιν.] Ἀφροσύναις, ἀνοίαις. 414. Ὀχῆες.] Οἱ συνέχοντες τὸν ζωστῆρα ἱμάντες. 416. Διέσχε.] Διῆλθε. 417. Γνύξ.] Ἐπὶ γόνυ. Οἰμώξας.] Στενάξας. 418. Προτὶ οἷ.] Πρὸς ἑαυτόν. Λιασθείς.] Ἐκκλίνας. 420. Λιαζόμε-

Ἐγγὺς ἀνὴρ, ὃς ἐμόν γε μάλιστ᾽ ἐσεμάσσατο θυμὸν,
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ᾽ ἄρ᾽ ἔτι δὴν
ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας.
Ἦ, καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον·
ἆσσον ἴθ᾽, ὥς κεν θᾶσσον ὀλέθρου πείραθ᾽ ἵκηαι.
Τὸν δ᾽ οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ·
Πηλείδη, μὴ δή μ᾽ ἐπέεσσί γε, νηπύτιον ὥς,
ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
ἠμὲν κερτομίας ἠδ᾽ αἴσυλα μυθήσασθαι·
οἶδα δ᾽, ὅτι σὺ μὲν ἐσθλὸς, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
ἀλλ᾽ ἦτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴκε σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι,
δουρὶ βαλών· ἐπειὴ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ᾽ Ἀθήνη
πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,

425. vulg. ἐσεμάσατο. 428. ὑπόδρα Fιδών. 431. μὴ δή με Fέπεσσι. νηπύτιον Fώς. Bentl. 432. Fέλπεο—σάφα Fοῖδα. 434. Fοῖδα.

—425. ὅς ἐμόν γε μάλιστ᾽ ἐσεμάσσατο θυμὸν, ἐφήψατό μου. *qui percussit me maximo dolore*, quasi penetravit animum. μᾶσθαι, idem quod ἀΐσσειν, ὁρμᾷν. unde εἰσμᾶσθαι, *irrumpere, irruere.* Vox admodum vexata; de qua v. dicta ad P. 564. ubi Menelaus de Patroclo: μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.—426. *ne diutius in media utriusque aciei*, inter προμάχους, *stemus*, tanquam alter alterum expavescentes: πτώσσοιμεν (πρὸς) ἀλλήλους. De γεφύρᾳ πολέμου v. Δ. 371.—429. ὀλέθρου πείρατα. εἰς τέλειον ὄλεθρον, et ἱκέσθαι (ἐπὶ) τὸ πέρας ὀλέθρου, ἐπὶ τὸν ὄλεθρον.

431—433. Eadem verba jam vidimus sup. vss. 200, 1, 2. Æneæ ad Achillem.—435. θεῶν ἐν γούνασι κεῖται. Sententiam tenemus: *deorum in potestate et voluntate sita sunt.* Caussa formæ incerta: v. sup. ad P. 514.

438. Minervæ opera hastæ Hectoris impetus debilitatur et a scuto Achillis repellitur. Sæpe jam notatum est: nihil Homerum putasse detrahi heroum virtuti, si dii se interponerent et hostem ipsi sternerent. Neque illud indecorum visum, si armorum præstantia magis quam manuum robore vinceret aliquis. Tandem, quod ab ære indurato resiliebat hasta immissa ab Hectore, in miraculum versum tribuitur Minervæ, quæ Achilli adest. In hoc autem illa violat id, de quo supra, Neptuno auctore, erat conventum, 136. sq. ut non interponerent se pugnæ dii Achivorum, nisi Mars aut Apollo aliquid movissent. Nunc, cum ipsa se pugnæ immiscuisset, fas quoque fuit Apollini 443. Hectoris saluti prospicere. Illa autem præclare ad vim et numen Minervæ declarandam adjecta sunt, quod impetum hastæ *magna cum vi vibratæ* (ἀναπεπαλὼν v. Γ. 355.) solo halitu oris illa avertit; quod ad nostrum sensum, inprimis cum proverbio simili uti soleamus, puerile videri possit; (id quod bene sensit Koeppen) si tamen ab hoc discesseris, et spectaculum deæ inflatis buccis spirantis haud admiseris, magnam speciem habet numinis, quod solo

νον ποτὶ γαίῃ.] Πρὸς τῇ γῇ κεκλιμένον, ὅ ἐστι κείμενον. 425. Ἐσεμάσσατο.] Καθίκετο, ἐλύπησε. 426. Τετιμένον.] Τετιμημένον. 427. Πτώσσοιμεν.] Φοβοίμεθα. Πτολέμοιο γεφύρας.] Τὰ μεταξὺ τῶν πολεμούντων διαστήματα. 433. Αἴσυλα.] Τὰ παρὰ τὸ καθῆκον γιγνόμενα, ἄδικα. 437. Ὀξὺ πάροιθεν.] Ἔξυστο τοῦ ἔμπροσθεν μέρους, κατὰ τὴν ἀκμήν. 439. Πνοιῇ.] Πνεύματι. Ἀχιλῆος πάλιν.] Ἐπὶ τὸ ἕτερον μέρος Ἀχιλλέως, ὅ ἐστι τὸ ἐναντίον.

ἦκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν. αὐτὰρ Ἀχιλλεὺς
ἐμμεμαὼς ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
σμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
ῥεῖα μάλ', ὥστε θεὸς, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.
τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς
ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν·
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον. ἦ τέ τοι ἄγχι
ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεσθαι, ἰὼν ἐς δοῦπον ἀκόντων·
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴπου τις καὶ ἔμοιγε θεῶν ἐπιτάῤῥοθός ἐστι·
νῦν δ' ἄλλους Τρώων ἐπιείσομαι, ὅν κε κιχείω.
Ὣς εἰπὼν, Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἀκοντί·
ἤριπε δὲ προπάροιθε ποδῶν. ὁ δὲ τὸν μὲν ἔασε,
Δημοῦχον δὲ Φιλητορίδην ἠΰν τε μέγαν τε
κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλῳ, ἐξαίνυτο θυμόν.
αὐτὰρ ὁ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
τὸν μὲν δουρὶ βαλὼν, τὸν δὲ σχεδὸν ἄορι τύψας.

440. Ϝῆκα. 443. σμερδαλέα ϜιϜάχων. 447. δαίμονι Ϝῖσος.
448. Ϝέπεα. 450. vulg. ἐρύσσατο. 455. Ϝειπών.

halitu gravem hastam repellit, nec manus opera uti necesse habet.—442. Quas partes supra 318. sq. Neptunus in se receperat in Ænea servando, has partes nunc agit Apollo in Hectore subducendo.—445. sq. Similia legebamus in pugna Diomedis cum Ænea ab Apolline erepto Ε. 436. sq. add. Π. 703. de Patroclo, muros Trojæ adoriente.—447. δαίμονι ἶσος, uti Ε. 438, 9. iisdem vss. Et vss. 449. ad 455. lecti sunt Λ. 362—7. subducto tum quoque Hectore Diomedis furori.—451. ᾧ μέλλεις l. soles, l. ad quem probabile fit, te preces facere, ἔοικας.—452. ἦ θήν (pro δὴ) σ' ἐξανύω, pro futuro, *conficiam*, perimam.

455—489. Facit nunc Achilles aliorum cædes promiscuas: inter hos necat *Dryopem*, *Demuchum*,—460. *Laogonum* et *Dardanum*, Biantis filios,—463. *Troem*, Alastoris f.—473. *Mulium*—474. *Echeclum*—478. *Deucalionem*—485. *Rigmum* Pireï f.—487. *Areithoum* ejus aurigam.

458. ἠρύκακε scil. μεμαῶτα. dum ille cum impetu ferebatur, in cursu eum sustinuit,

440. Ἦκα μάλα ψύξασα.] Πάνυ ἠρέμα καὶ πράως καταπνεύσασα καὶ ὑποκλάσασα τῆς ὁρμῆς. ἢ κοῦφον ποιήσασα. 448. Ὁμοκλήσας.] Ἀπειλήσας. 450. Ἐρύσατο.] Ἔσωσε. 451. Μέλλεις.] Ἔοικας. Ἐς δοῦπον ἀκόντων.] Ἐπὶ τὴν ἄφεσιν τῶν δοράτων. ἐπὶ τὴν μάχην. 454. Ἐπιείσομαι.] Ἐπελεύσομαι. 459.

Τρῶα δ' Ἀλαστορίδην. ὁ μὲν ἀντίος ἤλυθε, γούνων,
εἴπως εὖ πεφίδοιτο, λαβὼν, καὶ ζωὸν ἀφείη,
μηδὲ κατακτείνειεν, ὁμηλικίην ἐλεήσας·
νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν.
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώς. ὁ μὲν ἥπτετο χείρεσι γούνων,
ἱέμενος λίσσεσθ', ὁ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ·
ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπλησε, τὸν δὲ σκότος ὄσσε κάλυψε,
θυμοῦ δευόμενον. ὁ δὲ Μούλιον οὖτα παραστὰς
δουρὶ κατ' οὖς· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο
αἰχμὴ χαλκείη· ὁ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
μέσσην κὰκ κεφαλὴν ξίφει ἤλασε κωπήεντι·
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος Θάνατος καὶ Μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντες
ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
αἰχμῇ χαλκείῃ· ὁ δέ μιν μένε χεῖρα βαρυνθεὶς,
πρόσθ' ὁρόων θάνατον· ὁ δὲ φασγάνῳ αὐχένα θείνας,
τῆλ' αὐτῇ πήληκι κάρη βάλε. μυελὸς αὖτε
σφονδυλίων ἔκπαλθ'· ὁ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱὸν,
Ῥίγμον, ὃς ἐκ Θρῄκης ἐριβώλακος εἰληλούθει·
τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν νηδύϊ χαλκός·

464. Ϝεῦ. 466. τὸ Ϝῄδη. 469. Ϝιέμενος. 470. δέ Ϝοι.

pergere prohibuit.—463. γούνων λαβὼν scil. αὐτὸν, γουνούμενος. I. 579. mox v. 468. ἥπτετο χείρεσι γούνων, ἱέμενος λίσσεσθαι.—εἴπως. quod vulgo ὅπως. ἵνα.—466. ὃ, ὅ τι, οὐ πείσεσθαι ἔμελλε sc. Achilles. nam Tros eum πείθειν vult, at ille non flectitur. οὐ πείθεται.—468. ἐμμεμαὼς, pro simplici μεμαώς. impetuosus, violentus.—470. αἷμα κατ' αὐτοῦ sc. τοῦ ἥπατος scil. ἀνακοντίζον aut simile quid, emicans. ἀνερχόμενον.—477. πορφύρεος Θάνατος *mors atra.* Versus jam lectus, saltem hemistichium: v. ad T. 410.—478. ἵνα τε ξυνέχουσι accipio dictum absolute pro συνέχονται, συνίασι, coeunt junctura, ligantur tendines cubiti cum vola. Sic sup. 414, 5. et Δ. 133. ὅθι ζωστῆρος ὀχῆες σύνεχον, fibulæ constrictæ erant.—482, 3. μυελὸς σφονδυλίων ἔκπαλτο, ἐξεπέπαλτο. O. 645. e

Ἐξαίνυτο.] Ἀφῃρεῖτο, ἐλάμβανε. 464. Εἴπως πεφίδοιτο.] Εἴπως αὐτοῦ φείδοιτο. 467. Γλυκύθυμος.] Ἀνειμένος, καὶ προσηνὴς τῇ ψυχῇ. Ἀγανόφρων.] Πρᾶος τὸ φρόνημα. 470. Ὄλισθεν.] Ἔπεσεν. 471. Ἐνέπλησεν.] Ἐπλήρωσεν. 478. Ἵνα.] Ὅπου. Τένοντες.] Τὰ τεινόμενα νεῦρα. 479. Ἔπειρεν.] Ἐπέρασε. 481. Πρόσθ' ὁρόων θάνατον.] Ἔχων πρὸ ὀφθαλμῶν τὸν θάνατον. 483. Σφονδυλίων.] Σφονδύλων, οἵ εἰσιν κδ. ἐν τῇ ῥάχει. Ἔκπαλτο.] Ἐξεπήδησε. 486. Νηδύϊ.] Γαστρί. 490. Ἀναμαιμάει.] Ἀναφέρεται, ἢ ἐνθουσιᾷ.

ἤριπε δ' ἐξ ὀχέων. ὁ δ' Ἀρηΐθοον θεράποντα,
ἂψ ἵππους στρέψαντα, μετάφρενον ὀξέϊ δουρὶ
νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δὲ οἱ ἵπποι.
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντη τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει·
ὣς ὅγε πάντη θῦνε σὺν ἔγχεϊ, δαίμονι ἶσος,
κτεινομένους ἐφέπων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους,
τριβέμεναι κρῖ λευκὸν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων·
ὣς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
νέρθεν ἅπας πεπάλακτο, καὶ ἄντυγες αἳ περὶ δίφρον,
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον,
αἵ τ' ἀπ' ἐπισσώτρων· ὁ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

489. δέ Ϝοι. 492. φλόγα Ϝειλυφάζει. 493. δαίμονι Ϝῖσος.
496. vulgo ἐϋτροχάλῳ. 502. δὲ Ϝίετο.

vertebris spinæ dorsi medulla exsiliit.—490. Comparatio sæpe obvia; nunc autem ornatissima, verbis quoque significantibus. cf. Λ. 155. sq. ignis furit, ἀναμαιμᾷ scil. ἀνὰ τὰ ἄγκεα.—493. φλόγα εἰλυφάζει, εἰλύει, *flammam volvit ventus.*—494. κτεινομένους ἐφέπων pro διώκων καὶ κτείνων *persequens cædendo.*

495—f. Adhuc peditem pugnare vidimus Achillem; nunc et curru invectum: quo per aciem acto pulsantur corpora et arma: ut frumenta a bobus triturantibus.—496. ἐν ἀλωῇ, parte agri editiore, aptata et ad id instructa v. ad Tibull. I. 5. 22.—498—502. jam lecti Λ. 533. sq.—500. ἄντυγες αἱ περὶ δίφρον *duo hemicyclia*, intra quæ stat qui vehitur. cf. ad E. 728.—501. τὰς ἄντυγας ῥαθάμιγγες ἔβαλλον. προσέβαλλον, ἔρραινον. (αἵτε) ἀφ' ὁπλῶν, αἵ τ' ἀπ' ἐπισσώτρων.—502. ἀπ' ἐπισσώτρων *rotarum canthis*, h. rotis. sup. 394. et E. 725.—503. λύθρῳ. cruore. jam lectus versus Λ. 169. cf. Z. 268.

Θεσπιδαές.] Ὑπὸ θεῶν ἀναπτόμενον, θεῖον. 491. Ἀζαλέοιο.] Ξηροῦ. 492. Κλονέων.] Ταράσσων. Εἰλυφάζει.] Εἰλεῖ, συστρέφει. 494. Κτεινομένους ἐφέπων.] Ἔδει εἰπεῖν, ἔφεσπε κτείνων. 495. Εὐρυμετώπους.] Πλατιμετώπους. 496. Τριβέμεναι.] Ἀλοᾷν. 497. Ἐριμύκων.] Μεγάλως μυκωμένων. 499. Στεῖβον νέκυας.] Ἐπάτουν τοὺς νεκρούς. 501. Ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον.] Ἃς ἀποπίπτουσαι τῶν ἱππείων ὁπλῶν, ὅ ἐστιν ὀνύχων, αἱ ῥανίδες ἔβαλλον. Ῥαθάμιγγες.] Ῥανίδες. 503. Λύθρῳ.] Ὁ ἐκ τῆς πολεμικῆς ἐνεργείας μολυσμὸς, ἢ τὸ μετὰ κονιορτοῦ καὶ ἱδρῶτος ἀνθρώπειον αἷμα λύθρος καλεῖται. Ἀάπτους.] Ἀπροσπελάστους, χαλεπάς.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Φ.

ARGUMENTUM.

TOT viris fortibus ab Achille cæsis, ut superiore libro narratum erat, non mirari licet, Trojanos terga vertisse. Saltem nunc comperimus ad Xanthum usque eos retrocessisse. Fuga inde manifesta pars eorum urbem petit per planitiem camporum, alii in amnem, quem trajicere volebant, se conjiciunt—16. Achilles in alveum prosilit, ense obvios cædit, duodecim vinculis ligatos in castra mittit Patroclo pro inferiis mactandos.—32. Incidit in Lycaonem Priami f. quem supplicem factum cædit et in amnem projicit—135. Irascitur Xanthus—138. Cædit Achilles porro Asteropæum—204. et facit stragem Pæonum, quos iste duxerat: —210. Xanthus frustra increpato Achille, et Apolline, ut Trojanis opem ferat, monito, vim parat, et Achillem in alveum desilientem fluctibus collectis opprimit,—245. egressum amne persequitur fugientem campos inundans—271. Perterritum Achillem et sibi timentem obfirmant Neptunus et Athene—297. Assumto Simoente Xanthus inundat totum campum—327. Achille novissima jam timente, Vulcanus a Junone evocatus igni domat Xanthum, alveum exsiccat, donec Juno exorata Vulcanum cessare jubet—384. Sequuntur deorum singulorum inter se certamina: Martis cum Minerva. Martem victum abducit Venus:—417. eam, Junone hortante, adorta Minerva prosternit—434. Apollo et Neptunus congressi, mutuis se sermonibus dehortati, a pugna discedunt—469. Dianam, dum Apollinem increpat, Juno arreptam pharetra de humeris detracta verberat—496. Latonam Mercurius veritus, non audet manus cum ea conserere—513. Finita ita deorum pugna, ceteri ad Olympum redeunt, Apollo Ilium se recipit, ut urbem tueatur—519. Priamus portam urbis reserare jubet, ut fugientes Trojani intra muros se recipere possint, Achille a tergo instante—543. Avertit eum Apollo immisso in eum Agenore, Antenoris filio; qui multa apud se cum reputasset, Achilli se objicere constituit—570. hasta incassum in Achillis ocream emissa, ne ab Achille interficiatur, ab Apolline ereptus servatur—598. Apollo ejus speciem mentitus recedendo a pugna Achillem in diversas partes sevocat, ut interea Trojani fugientes in urbem se recipiant: ad f.

In hoc libro dii non se in tuendis iis, quibus favent, continent, sed ipsi pugnam inter se facere constituunt: motis principio et conversis a Scamandro fluvio aquis in Achillem cæsorum cadaveribus alveum obstruentem. Fluvius, aquarum fluctibus auctis, littus egressus, Simoente sibi socio assumto, camporum plana inundans, a Vulcano, Junonis jussu, solutis in vapores aquis et exarescente solo in alveum se recipere

cogitur. 212—384. Ea quasi prolusum est pugnæ reliquorum deorum 385—391; congreditur Mars cum Athene; 391—415. quem prostratum cum Venus vellet absportare, percussa pugno ab Athene prosternitur et ipsa: 416—434. Apollo Neptunum reveritus pugnam declinat; 435—469. Dianæ ira in eum exardescentis spiritus domat Juno, ne armis quidem adhibitis, sed ipsa deæ pharetra derepta ore verberato: 470—496. Latona et Mercurius verbis inter se factis manus conferre recusant. 497—502. Latona collectis Dianæ sagittis ad Olympum redit; ubi Diana apud Jovem de injuria a Junone sibi illata conqueritur 502—514. ad Olympum reversis diis ceteris, Apollo Ilium se recipit 515—520. ut sane ad rerum summam deorum interventu nihil sit effectum; poeticis tamen phantasmatibus materia esset parata uberrima. Inde Agenorem Antenoris f. in Achillem incitat 545. seqq. cumque res jam in eo esset, ut Agenor ab eo conficeretur, eo erepto, faciemque ejus ipse mentitus Achillem inducit in fraudem, ut, pugna relicta, se fugientem persequatur. Ita fugientibus Trojanis data potestas recipiendi se intra portam patentem; fugatisque etiam diis qui Trojanis auxiliantur, e prælio, restant Achilles cum Hectore: magnum spectaculum! Inscripta olim hæc rhapsodia: *παραποτάμιος μάχη.*

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Φ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΤΩΝ *Τρώων εἰς δύο διαιρεθέντων μέρη, τοὺς μὲν εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸν Σκάμανδρον Ἀχιλλεὺς διώκει, καὶ δώδεκα νεανίας ζωγρεῖ εἰς ποινὴν Πατρόκλου· τὸν δὲ Πριάμου υἱὸν Λυκάονα καὶ Ἀστεροπαῖον ἀναιρεῖ. ἔπειτα τοῦ ποταμοῦ πλημμύραντος, κινδυνεύοντα αὐτὸν σώζει Ἥφαιστος, ἐμπρήσας τὸν ποταμὸν καὶ τὸ πεδίον. μετὰ ταῦτα θεῶν μάχη γίγνεται πρὸς ἀλλήλους. Ἀχιλλέα δὲ Ἀπόλλων εἴργει Ἀγήνορι ὁμοιωθεὶς, καὶ φεύγων ἐξαπατᾷ, ἕως οἱ Τρῶες διασώζονται εἰς τὴν πόλιν.*

Φῖ, μόγος Αἰακίδαο παρ' ἠϊόνας ποταμοῖο.

ἈΛΛ', ὅτε δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο,
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,

1—16. Trojani in fugam acti, ad Scamandrum cum perventum esset, partim per camporum planitiem diffugiunt, partim attoniti in amnem se conjiciunt, Achille fugientibus instante.

1 et 2. jam lecti sunt Ξ. 433, 434. ubi v. iterum Ω. 692, 693. Ut hæc in principio moneamus, primo, rerum et locorum facies in miraculum est aucta, fluvioque

1. *Πόρον ποταμοῖο.*] *Ἤτοι τὸν ποταμὸν περιφραστικῶς, ἢ τὸ διαβατὸν αὐτοῦ μέρος, καθ' ὃν διαπορεύονται αὐτόν. Διατὶ δὲ πάντων τῶν ποταμῶν ἐξ ὠκεανοῦ ῥεόντων περὶ μόνου τοῦ Ξάνθου ὁ Ποιητής φησιν· Ὃν ἀθάνατος τέκετο Ζεύς. πῶς οὖν καὶ Ὠκεανοῦ καὶ Διὸς παῖς; καὶ ῥητέον, ὅτι εἰκότως ἂν καὶ Διὸς καλοῖτο παῖς. εἴγε οἱ ὄμβροι μὲν ἐκ Διός. ὄμβρῳ δὲ οὗτος αὐξάνεται. φαίνεται δὲ καὶ ἄλλη τὶς ἱστορία, ὅτι ὁ Ἡρακλῆς ποτὲ δίψει κατασχεθεὶς, ηὔξατο τῷ πατρὶ Διῒ, ἐπιδεῖξαι αὐτῷ νᾶμα. ὁ δὲ μὴ θέλων αὐτὸν τρύχεσθαι, ῥίψας κεραυνὸν, ἀνέδωκε μικρὰν λιβάδα. ἣν θεασάμενος Ἡρακλῆς, καὶ σκάψας ὡς εἰς τὸ πλουσιώτερον μετεισφέρεσθαι, μετωνόμασε Σκάμανδρον, οἱονεὶ Κάμανδρον γενόμενον καμάτου ἄκος ἑαυτῷ. Ξάνθος δ' ἐκλήθη, ὅτι λουσάμεναι τοῦ ὕδατος αἱ Τρῳά-*

ἔνθα διατμήξας, τοὺς μὲν πεδίονδε δίωκε
πρὸς πόλιν, ᾗπερ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ.
τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες. ἠέρα δ' Ἥρη
πίτνα πρόσθε βαθεῖαν, ἐρυκέμεν. ἡμίσεες δὲ
ἐς ποταμὸν εἱλεῦντο βαθύῤῥοον, ἀργυροδίνην·
ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ· βράχε δ' αἰπὰ ῥέεθρα,
ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
ἔννεον ἔνθα καὶ ἔνθα, ἑλισσόμενοι κατὰ δίνας.
ὡς δ', ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται

3. vulg. πεδίονδ' ἐδίωκε. 5. vulg. ὅτ' ἐμαίνετο. 6. δ' Ϝήρη. Bentl. 8. Ϝειλεῦντο. 10. μέγα ϜίϜαχον. 11. ἔνθα Ϝελισσόμενοι.

per se exigui alvei ingens aquarum moles tributa; quæ quandoquidem a poetico œstro proficiscuntur, cum consilio poetæ bene conveniunt; tum vero Scamandri is cursus esse debuit, ut a castris Achivorum ad urbem tendentes partim per camporum planitiem, ideoque secundum ripam amnis, iter facere possent, partim ut trajecto amne alia via ad urbem duceret: etsi, an fugientium pars eo modo incolumis ad urbem pervenerit, non narratur; hæc manifesta fiunt e vss. 3. sqq. Videtur igitur alia esse loci facies, quam sup. E. 773. ubi Simois et Scamander, loco aliquo ante castra, miscentur: ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος. nisi mecum contendas, συμβάλλειν posse accipi de amnibus binis inter se vicinis ita decurrentibus, ut aliquo loco alveis suis invicem sibi appropinquantibus, angustiore inter utrumque campi spatio relicto, utrinque deferantur; nam et sic συμβάλλει ῥοάς, συμβάλλεσθαι, quodammodo dici potuere. Quod autem poeta de locorum situ magis perspicue et accurate tradere neglexit, tanquam poeta recte fecisse statuitur: non enim geographica subtilitate singula hæc constituenda ab eo erant; relinquenda erant plura audientium animis, quæ ipsi effingerent et in majus, si vellent ac possent, augustiusque amplificarent. Apparet tamen a littore inde et castris Achivorum, cum in superioribus libris pugnæ quas Trojani exorsi erant, fere factæ essent a boreali parte, versus et secundum Simoentem, nunc a dextra parte, versus Scamandrum, res geri: qua parte jam superiore die Achivorum a Patroclo ad urbem ductorum fuga facta erat.—4. ᾗπερ, Patroclo rejecto ab urbe ac cæso: P. 756. sq.

6. Præclarum hoc inventum, quod a Junone objecta est caligo fugientibus, ut trepidantes et occæcati timore ipsi se Achilli cædendos offerrent; hoc dixit: ἠέρα πίτνα Juno, prætendit nebulam seu tenebras, ὥς τε ἐρύκειν αὐτούς, ut iis impediret fugam, eos retardaret, cum alias iter versus Ilium ipsis liberum pateret; partim illi in amnis alveum desilierunt. εἱλεῦντο, seu coacti et inclusi sunt, ut exire et alteram ripam superare non possent, ut Achivi in castris erant inclusi, et ἐν στείνει εἴλεον Od. X. 460. seu εἱλεῦντο ἐς ποταμόν, detrusi, provoluti sunt, permixtim ac præcipites, nam sequitur ἐν δ' ἔπεσον.

12. Comparatio cum locustis, incensis camporum herbis, ad fluvium profugientibus, (πτώσσουσι, καταδύονται) est a re petita in locis Asiæ etiamnum obvia, cum agrestes incendunt in agris stipulas, ut locustas fugent ingruentes segeti. Quod 15. alveus repletur viris et curribus, opportunitatem dat undis, ut objecta mole auctæ fluctus volvant.

δες ξανθὰς κόμας ἔσχον. 3. Διατμήξας.] Διατεμών, εἰς δύο χωρίσας. 4. Ἀτυζόμενοι.] Ταρασσόμενοι, φοβούμενοι. 6. Προχέοντο.] Ἀθρόως ἔφευγον. Πεφυζότες.] Πεφευγότες, πεφοβημένοι. Ἠέρα.] Ἀέρα. σκότος. 7. Πίτνα.] Ἐξέτεινεν, ἐπέβαλεν. 8. Ἀργυροδίνην.] Λαμπράν. 9. Πατάγῳ.] Ψόφῳ, ἤχῳ. Βράχε.] Ἐψόφησεν. ἤχησε. μεταφορικῶς. Αἰπά.] Νῦν βαθέα. 10. Ὄχθαι.] Τὰ τῶν ποταμῶν χείλη. οἱ κρημνοί. Ἀμφὶ περὶ μεγάλ' ἴαχον.] Μέγα περιήχουν. 11. Ἔννεον.] Ἐνήχοντο. Ἑλισσόμενοι.] Στρεφόμενοι. 12. Ῥιπῆς.] Ὁρμῆς.

φευγέμεναι ποταμόνδε, τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὀρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ᾽ ὕδωρ·
ὡς ὑπ᾽ Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
αὐτὰρ ὁ Διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ᾽ ὄχθῃ,
κεκλιμένον μυρίκῃσιν· ὁ δ᾽ ἔσθορε, δαίμονι ἶσος,
φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
τύπτε δ᾽ ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ᾽ ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ᾽ αἵματι ὕδωρ.
ὡς δ᾽ ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες, πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου,
δειδιότες· μάλα γάρ τε κατεσθίει, ὅν κε λάβῃσιν·
ὡς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
πτῶσσον ὑπὸ κρημνούς. ὁ δ᾽, ἐπεὶ κάμε χεῖρας ἐναίρων,
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
τοὺς ἐξῆγε θύραζε τεθηπότας, ἠΰτε νεβρούς,
δῆσε δ᾽ ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι,
τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι·

17. vulg. ὄχθαις. 18. vulg. ἔνθορε. 19. μήδετο Ϝέργα. 20. ἀϜεικής.

17—26. Achilles, seposita hasta, in alveum Scamandri insilit et Trojanos fugientes gladio cædit. Illustratur res exemplo piscium delphinem fugientium.—18. μυρίκῃσιν. Nam abundat campestris illa regio hoc arbusto. v. K. 466, 7.—19. κακὰ δὲ, insiluit infesto, hostili animo, cædem parans.—26. πτῶσσον ὑπὸ κρημνούς. Vox cum dilectu posita de eo, qui submisso capite et incurvato corpore latebras quærit. Vidimus eam Δ. 371. Ε. 634. et al.

26—33. Achilles XII. juvenes captivos in castra mittit servandos inferiis, quas Patroclo meditatur: ut jam voverat Σ. 336.—28. ποινὴν (ἀντὶ) Πατρόκλου, τὴν ἐκδίκησιν. ut Π. 398. πολέων δ᾽ ἀπετίνυτο ποινήν. h. e. ἀντὶ πολλῶν. Inf. 134. τίσετο Πατρόκλοιο φόνον.—31. τοὺς αὐτοὶ φορέεσκον. Quæras, quorsum? Præeunte Eustathio referunt ad morem lora secum gestandi, quibus vinciantur quos captos abducere contigerit. Probabilius mihi fit, eos, pro balteis affabre factis, ilia cinxisse loris coriaceis. Χιτὼν στρεπτὸς qualis fuerit, satis tuto pronuntiari nequit. Supra Ε. 113. de thorace dictum esse, manifestum erat. Nunc, cum de hominibus agatur, qui in gregariis catervis

Ἠερέθονται.] Ἤτοι ἐρεθίζονται, ἢ εἰς ἀέρα αἴρονται, καὶ ἀποκρύπτονται. 13. Ἀκάματον.] Ἀκοπίαστον. πολύ. 14. Ὄρμενον.] Διεγερθὲν, κινούμενον. Πτώσσουσι.] Καταδύονται, κρύπτονται. 16. Πλῆτο.] Ἐπληρώθη. Κελάδων.] Ἠχῶν. παραξύτονας. 18. Κεκλιμένον μυρίκῃσιν.] Ὑπὸ μυρικῶν περιεχόμενον, κεκαλυμμένον. Ἔκθορε.] Ἐνήλατο, ἐπήδησε. Δαίμονι ἶσος.] Θεῷ ὅμοιος. 20. Ἐπιστροφάδην.] Ἐπιστρεφόμενος πυκνῶς. Ἀεικής.] Ἀπεοικὼς, χαλεπός. 21. Ἄορι.] Ξίφει. 23. Πιμπλᾶσι.] Πληροῦσι. Μυχούς.] Φωλεούς. λέγει δὲ τοὺς ἐσωτάτω τόπους καὶ ἀποκρύφους. Εὐόρμου.] Καλοὺς ὅρμους ἔχοντος. 26. Πτῶσσον.] Ἐφοβοῦντο, ἐκρύπτοντο. Κρημνούς.] Τὰς τῶν ποταμῶν ὄχθας. 29. Τεθηπότας.] Ἐκπεπληγμένους. 31. Ἐπιστρεπτοῖσι χιτῶσιν.] Ἤτοι εὐκλάστοις.

δῶκε δ' ἑταίροισι, κατάγειν κοίλας ἐπὶ νῆας·
αὐτὰρ ὁ ἂψ ἐπόρουσε, δαϊζέμεναι μενεαίνων.
Ἔνθ' υἱεῖ Πριάμοιο συνήντετο Δαρδανίδαο,
ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι· τόν ῥά ποτ' αὐτὸς
ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς, οὐκ ἐθέλοντα,
ἐννύχιος προμολών· ὁ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ
τάμνε, νέους ὄρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
τῷ δ' ἄρ' ἀνώϊστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς.
καὶ τότε μέν μοι Λῆμνον ἐϋκτιμένην ἐπέρασσε,
νηυσὶν ἄγων· ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκε.
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δὲ δῶκεν,
Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην·
ἔνθεν ὑπεκπροφυγὼν, πατρώϊον ἵκετο δῶμα.
ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν,
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
πέμψειν εἰς Ἀΐδαο, καὶ οὐκ ἐθέλοντα νέεσθαι.

33. vulg. κατακτάμεναι. 42. vulg. δ' ἔδωκε.
45. ἐτέρπετο Ϝοῖσι. 48. ἈϜΐδαο.

militabant, videntur tunicæ, vestimenta, esse e filis pluribus simplicibus in unum filum, laquei more, torquendo coactis, texta: χιτῶνες ἐκ στρεπτῶν κροκῶν. ut opponantur οἱ νητοὶ, ἐΰνητοι, Σ. 596. simplicibus filis textæ tunicæ. Ita convenit cum thorace e pluribus loris seu funibus texto: Cujus generis multa exempla in vasis pictis antiquis occurrunt. Etsi in his ac similibus parum mihi confido. Subtilius de his egit nunc Schneider ad Orphei Arg. 589.

34—35. Lycaonem, Priami filium, quem, antea jam captum, pretio soluto liberaverat, iterum sibi oblatum miratus, supplicem sibi factum, efferato animo occidit Achilles. Digressio inserta habet nonnulla, quæ discere jucundum est.—Oppressus fuerat ille vs. 36. ab Achille ἐν ἀλωῇ πατρὸς, vinea vel arbusto, noctu, dum fabricabatur manu sua currum. Poliebat vs. 38. caprificum, ut inde latera currus in *orbem* cingentia eum, qui currui instaret, ἄντυγας τοῦ δίφρου, (nam duo erant semicirculi, ut modo Υ. 500. et jam Ε. 728. vidimus,) elaboraret.—τάμνεν ἐρινεὸν (κατὰ τοὺς) ὄρπηκας h. novellas frondes, ramos, amputabat, exasciabat.—40. vendidit Achilles (inf. Ψ. 747. Patroclo tribuitur) captivum in insulam Lemnum, in qua Achivi Trojam oppugnantes mercatum facere solebant: ut Η. 467. sq.—ὦνον, pretium pro captivo. Emit eum Jasonis filius, *Euneus*, quem supra memoraverat Η. 468. Fuit autem pretium crater ex argento: quod diserte memoratur inf. Ψ. 746.—42. Hospitio junctus Priamo, redimit ejus filium *Eetion*, ex insula Imbro, ab Euneo, et mittit eum *Arisbam*, Asiæ urbem ad Hellespontum: memoratam sup. Β. 836. unde Lycaon in patriam se recepit. Ejus redemtio et ad patrem reditus paullo ante hoc tempus contigerat: XII. dies 45. sq. satis subtiliter memorantur, respectu temporis rerum in Iliade gestarum.

36. Ἀλωῆς.] Γῆς. κήπου νῦν. 37. Ἐννύχιος.] Διὰ νυκτός. Προμολών.] Προελθών. Ἐρινεόν.] Συκῆν ἀγρίαν. 38. Ὄρπηκας.] Κλάδους. 39. Ἀνώϊστον.] Ἀνυπονόητον, ἀπροσδόκητον. 40. Ἐπέρασσε.] Πέραν θαλάσσης ἐπώλησεν. 41. Υἱὸς Ἰήσονος.] Ὁ Εὔνηος. Ὦνον.] Ὠνὴν, τιμήν. 42. Ἐλύσατο.] Ἐλυτρώσατο. 43. Ἀρίσβην.] Πόλιν Θρᾴκης ὑφ' Ἑλλήσποντον. 57. Νηλεὲς ἦ-

τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς
γυμνὸν ἄτερ κόρυθός τε καὶ ἀσπίδος· οὐ δ' ἔχεν ἔγχος,
ἀλλὰ τὰ μὲν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕσπερ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος·
οἷον δὴ καὶ ὅδ' ἦλθε, φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχε
πόντος ἁλὸς πολιῆς, ὃ πολεῖς ἀέκοντας ἐρύκει.
ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν, ἠδὲ δαείω,
ἢ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει
γῆ φυσίζοος, ἥτε κατὰ κρατερόν περ ἐρύκει.
Ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθε τεθηπὼς,
γούνων ἅψασθαι μεμαώς· περὶ δ' ἤθελε θυμῷ
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἤτοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεὺς,
οὐτάμεναι μεμαώς· ὁ δ' ὑπέδραμε καὶ λάβε γούνων
κύψας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔστη, ἱεμένη χροὸς ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῇ δ' ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον, οὐδὲ μεθίει·
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Γουνοῦμαί σ', Ἀχιλεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον.

53. ἄρα Ϝεῖπε πρὸς Ϝόν. v. Obss. 59. ἀϜέκοντας. 61. ὄφρα Ϝίδωμαι. 64. δέ Ϝοι. 70. Ϝιεμένη. Porro vulg. ἄμμεναι. 73. Ϝέπεα.

49. τὸν δ' ὡς οὖν ἐνόησε ὀχθήσας δ' ἄρα. vs. 53. se excipiunt. δὲ in apodosi; ut aliquoties vidimus.—52. φεύγοντ' ἐκ ποταμοῦ. non escenderat in alteram ripam Scamandri, ad austrum; verum in campo intra duo amnes patente cum ceteris fugiebat.—55. ἦ μάλα δὴ—Sane nunc eveniet, ut Trojani a me cæsi etiam ex inferis redeant, cum hic Lemnum venditus redierit.—57. (κατὰ τοῖον) οἷον. οὕτως, ὡς.—62. Ut videam et discam (εἰ) ἢ—ἢ—num etiam illinc, *ex inferis*, (ex 56.) reversurus sit, an terra eum coercitura sit, h. e. rediturus non sit. ὁμῶς, *pari modo*.—70. ἱεμένη χροὸς ἄμεναι. ut ἔμμεναι. ἴμμεναι pro ἴμεναι. ἄσασθαι, κορέσασθαι. Nam esse debuit ἄω, et ἄμι, stirps τοῦ ἐδω, satio, et hinc ductorum. Creditur vulgo factum ex ἀδέμεναι, ἔδειν. δοῦρα λιλαιόμενα χροὸς ἆσαι vidimus jam aliquoties, ut Λ. 573.—74. σὺ δέ μ' αἴδεο quod pro-

μαρ.] Ἀνηλεῆ ἡμέραν. λέγει δὲ τὸν θάνατον. 58. Πεπερημένος.] Πεπεραιωμένος, πεπραμένος. 64. Ὥρμαινε.] Διενοεῖτο, ἐλογίζετο. Τεθηπώς.] Ἐκπεπληγμένος. 70. Ἄμμεναι.] Πληρωθῆναι, κορεσθῆναι. 72. Μεθίει.] Οὐκ εἴα. 74.

ἀντί τοι εἴμ' ἱκέταο, Διοτρεφὲς, αἰδοίοιο.
πὰρ γάρ σοι πρώτῳ πασάμην Δημήτερος ἀκτὴν
ἤματι τῷ, ὅτε μ' εἷλες ἐϋκτιμένῃ ἐν ἀλωῇ,
καί με πέρασσας, ἄνευθεν ἄγων πατρός τε, φίλων τε,
Λῆμνον ἐς ἠγαθέην· ἑκατόμβοιον δέ τοι ἦλφον·
νῦν δὲ λύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοι ἐστὶν
ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα,
πολλὰ παθών. νῦν αὖ με τεῇς ἐν χερσὶν ἔθηκε
Μοῖρ' ὀλοή. μέλλω που ἀπέχθεσθαι Διῒ πατρὶ,
ὅς με σοὶ αὖτις δῶκε· μινυνθάδιον δέ με μήτηρ
γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι·
τοῦ δ' ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας.
τῆσδε δύω γενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεις.

78. vulg. καί μ' ἐπέρασσας. 79. Ϝεκατόμβοιον.
80. vulg. δ' ἐλύμην. 81. ὅτε Ϝίλιον. v. Obss. 83. ὀλοϜή. Bentl.
86. φιλοπτολέμοισι Ϝανάσσει. 87. vulg. ὑπὸ Σ.

prium de religione in hospitem et supplicem. unde is est αἰδοῖος, αἰδοῦς ἄξιος.—75, 76. Locus notabilis propter notiones hominum priscæ ætatis. Vult Lycaon, servatus, cum in pugna captus esset, ab Achille, videri ei esse loco ἱκέτου. An recte Lycaon ita censuerit, disputari potest. Eustath. hoc negavit: ἱκέτης μὲν γὰρ, ὁ ἑκουσίως προσφυγών τινι. Itaque adjectum ab ipso Lycaone: ἀντὶ ἱκέτου σοι εἰμὶ, h. e. κατὰ τρόπον τινὰ ἱκέτης. Alterum est: adhibitum mensæ esse, fuisse pignus incolumitatis. Vendi tamen, etsi fide data, talis captivus potuit.—79. ἑκατόμβοιον δέ τοι ἦλφον sc. τιμὴν, ἀξίαν s. τίμημα. videtur non subtiliter de pretio centum boum, sed omnino de magno pretio dictum esse, quod Achilli solutum fuerat eo vendito. Fuit enim pro pretio crater argenteus; quod inf. Ψ. 746. diserte narratur. Nam id, unde ditescimus, dicitur ἄλφειν, parare, nobis opes. ut Od. O. 452. ὁ δ' ὑμῖν μυρίον ὦνον ἄλφοι. P. 250. Υ. 383. unde etiam dici potuit puella ἀλφεσίβοια quæ acquireret parentibus boves: Σ. 593.—80. Νῦν δὲ λύμην. *Nunc autem*, jam vero, (formula pergendi in narratione,) *illo tempore* (cum in Lemnum venditus eram) *redemtus fui*, ἐλελύμην.—83. *videor invisus esse Jovi*, qui me iterum in tuas manus incurrere fecit. Odisse creduntur dii eum, qui in mala graviora incidit.—84. *Lycaonis* genus maternum: *Laothoe* filia *Altis*, s. Altæ, regis Lelegum, qui *Pedasum* ad *Satnioentem* fl. in australi Troadis parte ad sinum Adramyttenum inhabitabant. Pedasus ad Satnioentem fl. memorata jam Z. 34, 35. et Υ. 92

Γουνοῦμαι.] Γονάτων ἅπτομαι. ἱκετεύω. 75. Ἀντί τοι εἶμ' ἱκέταο.] Ἀντὶ ἱκέτου σοι εἰμί. Αἰδοίοιο.] Αἰδοῦς καὶ ἐντροπῆς ἀξίου. 76. Πασάμην.] Ἐγευσάμην. Δημήτερος ἀκτήν.] Τὸν ἄρτον, περιφραστικῶς. 78. Ἐπέρασσας.] Πωλήσας. 79. Ἑκατόμβοιον.] Τιμὴν ἑκατὸν βοῶν ἀξίαν. οἱ παλαιοὶ πρὶν ἐπινοηθῆ τὰ νομίσματα, τὰς συναλλαγὰς ἐποιοῦντο διὰ τῶν τετραπόδων, ὅθεν ὕστερον ἐφευρεθέντων τῶν νομισμάτων, βοῦν ἐπ' αὐτῶν ἐξετύπουν, ἐνδεικνύμενοι τὸ ἀρχαῖον ἔθος, καὶ παροιμία, Βοῦς ἐπὶ γλώσσης, ὅ ἐστι νόμισμα. ἁρμόζει δὲ ἡ παροιμία αὕτη ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα ὑπὲρ τοῦ μὴ κατασυνηγορῆσαί τινι, ἀλλὰ σιωπῆσαι. Ἦλφον.] Εὗρον. 80. Λύμην.] Λυτρωσοίμην. 82. Τεῇς.] Ταῖς σαῖς. 83. Ἀπέχθεσθαι.] Μισεῖσθαι. 87. Σατνιόεντι.] Ποταμὸς Τροίας. 89. Δειροτομήσεις.] Τὸν τράχηλον κόψεις. δειρὴ γὰρ ὁ τράχηλος. 90. Πρυ-

ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
νῦν δὲ δὴ ἐνθάδε μοι κακὸν ἔσσεται· οὐ γὰρ ὀΐω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσε γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε, κρατερόν τε.
Ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς,
λισσόμενος ἐπέεσσιν· ἀμείλικτον δ' ὄπ' ἄκουσε·
Νήπιε, μή μοι ἄποινα πιφαύσκεο, μηδ' ἀγόρευε·
πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
τόφρα δέ μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦε
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον, ἠδὲ πέρασσα·
νῦν δ' οὐκ ἔσθ', ὅστις θάνατον φύγοι, ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσι,
καὶ πάντων Τρώων, πέρι δ' αὖ, Πριάμοιό γε παίδων.
ἀλλὰ, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι οὕτως;
κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.
οὐχ ὁράας, οἷος κἀγὼ, καλός τε, μέγας τε,
πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ Θάνατος καὶ Μοῖρα κραταιὴ
ἔσσεται, ἢ ἠὼς, ἢ δείλης, ἢ μέσον ἦμαρ,
ὁππότε τις καὶ ἐμεῖο Ἄρει ἐκ θυμὸν ἕληται,
ἢ ὅγε δουρὶ βαλὼν, ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ.

98. Ϝεπέεσσιν. 100. vulg. μόρσιμον. 101. vulg. τόφρα τί μοι. 102. vulg. ἠδ' ἐπέρασσα. 103. vulg. ὅς κεν θάνατον φύγῃ. 104. Ϝιλιόφι. 105. vulg. συμπάντων. 106. vulg. αὔτως. 109. vulg. δέ μ' ἐγείνατο. 110. vulg. κἀμοί. 112. ἐμεῖο ἄρει. v. Obss.

eversa cum Lyrnesso: v. ad B. 690.—90 ἤτοι τὸν—Polydorum. sup. Υ. 407. sq.—92. κακὸν, h. l. [illegible].—99. μή μοι ἄποινα πιφαύσκεο ostende, nunc, verbis Σ. 500.—100. πρὶν μὲν—τόφρα. aut pro ὄφρα, τόφρα. aut πρὶν μὲν, πρὶν ἤ.—105. πέρι δ' αὖ. περισσῶς. ante alios. —110. ἀλλ' ἔπι τοι καὶ ἐμοὶ ἐπέσσεται θάνατος· ingruet mors. Hemistichium aliquoties obvium. v. ad Υ. 410.—111. (εἰ) ἢ ἠὼς, ἢ δείλης (ὥρα) ἢ μέσον ἦμαρ (γένοιτο ἄν.) Enumeratio mira partium diei, quibus in pugna cadere possit; pro, quocunque tempore, quavis hora.—113. βαλών. dum eminus telo petitur: nam ut cominus aliquis pugna

λέεσσι.] Πεζοῖς. Δάμασσας.] Ἀπέκτεινας. 95. Ὁμογάστριος.] Ὁ ἐκ τῆς αὐτῆς γαστρὸς ἀδελφός. 98. Ἀμείλικτον.] Ἀπηνῆ, σκληράν. 99. Μή μοι ἄποινα πιφαύσκεο.] Περὶ λύτρων μὴ δ' ὅλως μοι διαλέγου. 100. Ἐπισπεῖν.] Ἐπιδιῶξαι. πληρῶσαι. Αἴσιμον ἦμαρ.] Τὸν θάνατον. 110. Ἀλλ' ἔπι τοι.] Τὸ ἑξῆς, ἀλλὰ καὶ ἐμοὶ ἐπελεύσεται θάνατος. 112. Ἄρης ἐκ θυμὸν ἕληται.] Σί-

Ὣς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
ἔγχος μέν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας
ἀμφοτέρας. Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
τύψε κατὰ κληῗδα παρ' αὐχένα· πᾶν δέ οἱ εἴσω
δῦ ξίφος ἄμφηκες. ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν δ' Ἀχιλεὺς ποταμόνδε, λαβὼν ποδὸς, ἧκε φέρεσθαι,
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
Ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλὴν
αἷμ' ἀπολιχμήσονται, ἀκηδέες· οὐδέ σε μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται· ἀλλὰ Σκάμανδρος
οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
θρώσκων τις κατὰ κῦμα, μέλαιναν φρῖχ' ὑπαλύξει,
ἰχθὺς, ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ', εἰσόκεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων·
οὐδ' ὑμῖν ποταμός περ ἐΰῤῥοος ἀργυροδίνης

116. δὲ Ϝερυσσάμενος. 117. δέ Ϝοι. 121. Ϝοι—Ϝέπεα.
122. vulg. ὠτειλῆς. 128. εἰσόκε Ϝάστυ κιχείομεν Ϝιλίου. v. Obss.

congressus eum interimat, haud veretur.—115. ἔγχος μέν ῥ' ἀφέηκεν. ἔγχος puta Achillis, quod Lycaon manu sua prehensum retinebat sup. vs. 72.—117. κατὰ κληῗδα, in jugulo. ut E. 146.

122—135. Si parum humana parumque amabili indole in his sarcasmis Achilles habendus est: naturæ tamen suæ convenienter exhibetur, ipso molliore affectu in Patroclum ad atrocitatem iræ et affectus abreptus.—123. ἀκηδέες pisces, qui id non curant ut sepulturæ honorem habeat: οὐ φροντίζοντες. οὐ κηδόμενοί σου. Sic Hectorem equi Achillis ἕλκον ἀκηδέστως X. 465.—126. μέλαιναν φρῖχ' ὑπαλύξει. φρὶξ h. l. mare ipsum venti motu horrens. Od. Δ. 402. Proteus prodit μελαίνῃ φρικὶ καλυφθείς. ὑπαλύσκειν, ὑποδύεσθαι, potest dici et is, qui fundum maris petit, et is, qui e fundo maris emergens subit superficiem maris, ὑπέρχεται. ὑπονήχεται. ὑποτρέχει τὴν ἐπιφάνειαν ἁλός. Potest utroque modo accipi, melius tamen, censeo, hoc altero: nam natat in summo mari cadaver recens. Tum θρώσκων κατὰ κῦμα, ludens in mari, emicans, exiliens, ut solent, inprimis delphines, maxime imminente tempestate, ut inf. Ψ. 692. ὡς δ' ὅθ' ὑπὸ

δηρος τὴν ψυχὴν ἀφέληται. 119. Δεῦε.] Ἔβρεχεν. 122. Ἐνταυθοῖ νῦν κεῖσο.] Ἐνταῦθα ἀρτίως κατάκεισο. 123. Ἀπολιχμήσονται.] Ἀπολείξουσιν. Ἀκηδέες.] Ἀφρόντιστοι. 124. Γοήσεται.] Θρηνήσεται. 126. Θρώσκων τις κατὰ κῦμα.] Καὶ τὰ ἑξῆς. Ἐφαλλόμενος καὶ νηχόμενος τὶς τῶν ἰχθύων κατὰ θάλασσαν, καὶ ἐμπλησθεὶς τῆς Λυκάονος πιμελῆς, πάλιν ὑπὸ τὴν μέλαιναν φρίκα κατελεύσεται. Φρὶξ δέ ἐστι ἡ ἠρεμαία τοῦ ὕδατος κίνησις. Ὑπαΐξει.] Ὁ δὲ νοῦς, ὁ δὲ ἰχθὺς οὐκ ἐπιπολῆς γενήσεται, ἀλλ' ἐπὶ τὴν φρίκα ἀΐξει. τὰ γὰρ νεοσφαγῆ τῶν σωμάτων ἄνωθεν ἐπιπλεῖ. Ἀΐξει.] Ὑπονήξεται. ὑπεκκλινεῖ. 127. Ἰχθὺς ὅς κε φάγῃσιν.] Οὐ δεῖ τὸ ὅς κε φάγῃσιν ἄρθρον ὑποτακτικὸν λαμβάνειν, ἀλλ' ἀντὶ τοῦ ὥς κεν ἐπίῤῥημα. Ἀργέτα δημόν.] Τὸν λευκὸν ἐπίπλουν, τὸ λίπος. 129. Κεραΐζων.] Διαφθείρων.

ἀρκέσει, ᾧ δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους,
ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰσόκε πάντες
τίσετε Πατρόκλοιο φόνον, καὶ λοιγὸν Ἀχαιῶν,
οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε, νόσφιν ἐμεῖο.
Ὣς ἄρ' ἔφη· Ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον·
ὥρμηνεν δ' ἀνὰ θυμὸν, ὅπως παύσειε πόνοιο
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
τόφρα δὲ Πηλέος υἱὸς, ἔχων δολιχόσκιον ἔγχος,
Ἀστεροπαίῳ ἐπᾶλτο, κατακτάμεναι μενεαίνων,
υἱέϊ Πηλεγόνος· τὸν δ' Ἀξιὸς εὐρυρέεθρος
γείνατο, καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
πρεσβυτάτη· τῇ γάρ ῥα μίγη Ποταμὸς βαθυδίνης.
τῷ δ' Ἀχιλεὺς ἐπόρουσεν. ὁ δ' ἀντίος ἐκ ποταμοῖο
ἔστη, ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκε
Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
τοὺς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον, οὐδ' ἐλέαιρεν.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Τίς, πόθεν εἶς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν;
δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.
Τὸν δ' αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·
Πηλείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
εἴμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούσης,

145. δέ Ϝοι. 147. vulg. ἐδάϊξε. 149. προσέϜειπε.

φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς θῖν' ἐπὶ φυκιόεντι.—131, 2. οὐδ' ὑμῖν ἀρκέσει, ἐπαρκέσει. Notabile sacrum Fluvio, non modo tauris, sed et equis factum.—135. νόσφιν ἐμεῖο. ἐμοῦ οὐ παρόντος, ideoque nec opitulante me Patroclo.—137. ὅπως παύσειε πόνοιο. μάχης. ut toties vidimus.

139—202. Asteropæum, Pelegonis filium, Axii et Peribœæ nepotem, Thracem e Pæonibus ad Axium fl. Thraciæ, posthæc Macedoniæ, aggressus Achilles altera ejus hasta, nam ambidexter ille erat, in manu leviter perstringitur, ipse hastam frustra in illum emiserat, tum gladio eum percutit, antequam ille hastam terræ infixam recipere poterat. De ejus cæde gloriatur Achilles inde a vs. 184.

145. ἔχων δύο δοῦρε. memorabile exemplum non gestantis modo duo spicula, sed etiam iis utentis uno eodemque jactu in pugna. v. inf. 162. Fuit igitur ambidexter; eumque sine clipeo adstitisse, necesse est.—154. *Pæones* hi, e Thracum stirpe, loca

131. Ἀρκέσει.] Ἐπαρκέσει, βοηθήσει. Δηθὰ πολεῖς.] Πολλὰ καὶ πολλούς. Ἱερεύετε.] Θύετε. 136. Κηρόθι μᾶλλον.] Ἐκ ψυχῆς. 137. Ὥρμηνε.] Διενοεῖτο. 138. Ἀλάλκοι.] Ἀποστρέψει, βοηθήσει. 140. Ἐπᾶλτο.] Ἐφήλατο. ὥρμησε. 146. Δαϊκταμένων.] Τῶν ἐν πολέμοις ἀναιρουμένων. 147. Ἐδάϊζε.] Διέφθειρεν. ἐφόνευε. 151. Δυστήνων.] Κακοδαιμόνων, δυστυχῶν. 154. Ἐρι-

Παιονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
ἠὼς ἐνδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα·
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τόνδ' ἐμὲ φασὶ
γείνασθαι. νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ.
 Ὣς φάτ' ἀπειλήσας. ὁ δ' ἀνέσχετο δῖος Ἀχιλλεὺς
Πηλιάδα μελίην· ὁ δ' ἁμαρτῇ δούρασιν ἀμφὶς
ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦε.
καί ῥ' ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διὰ πρὸ
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρὸς
δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφές· ἡ δ' ὑπὲρ αὐτοῦ
γαίῃ ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι.
δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
Ἀστεροπαίῳ ἐφῆκε, κατακτάμεναι μενεαίνων·
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν· ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,
μεσσοπαλὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
Πηλείδης δ', ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
ἆλτ' ἐπί οἱ μεμαώς· ὁ δ' ἄρα μελίην Ἀχιλῆος
οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ·
τρὶς μέν μιν πελέμιξεν, ἐρύσσεσθαι μενεαίνων,

156. ὅτε Fίλιον. 162. vulg. ὁμαρτῇ. 172. vulg. μεσσοπαγές.
173. ὀξὺ Fερυσσάμενος. 174. ἐπί Fοι. 175. κρημνοῖο Fερύσσαι.
176. πελέμιξε, Fερύσσεσθαι. vulg. ἐρύσσασθαι.

Thraciæ ad Axium habitantes, noti nobis sunt ex B. 848. ubi idem vs. qui h. l. 158. —162. ὁ δ' ἁμαρτῇ δούρασιν ἀμφὶς sc. ἔβαλλεν. ἠκοντίζετο. ἀμφὶς utrinque, *utraque manu*, ἀμφοῖν. *eodem momento.* ut Σ. 502. ἀμφὶς ἀρωγοί.—165. χρυσὸς γὰρ—comparandus locus Υ. 269. sq.—167. σύτο, ἔσσυτο, pro ἐξέσσυτο.—168. χροὸς ἆσαι, vide modo Φ. 70. —169. μελίην ἰθυπτίωνα. ἐπ' ἰθὺ πετόμενον. a πτῖμι.—172. μεσσοπαλὲς δ' ἄρ' ἔθηκε. ἔπηξε κατὰ τῆς ὄχθης τὸ ἔγχος, ἐν μέσῳ παλλόμενον, propter longitudinem teres hasta in medio incurvata vibrat se, κραδαίνεται.—174. ἐφῆλτο, ἐπῆλθεν, αὐτῷ. ὁ δ' ἄρα· Astero-

βώλου.] Μεγαλοβώλου, εὐγείου. 155. Δολιχεγχέας.] Μακρὰ δόρατα ἔχοντας. 157. Ἀξίου.] Ποταμὸς Παιονίας. ἡ δὲ Παιονία τῆς Θρᾴκης. 161. Ἀπειλήσας.] Νῦν αὐχήσας, ἢ ὀργισθείς. 162. Ἁμαρτῇ δούρασιν ἀμφίς.] Ὁ δὲ ἀμφότερα τὰ δόρατα ὁμοῦ ἀφῆκε. 163. Περιδέξιος.] Ἀμφοτέραις ταῖς χερσὶ δεξιῶς χρώμενος. 165. Ἐρύκακεν.] Ἐπέσχεν, ἐκώλυσεν. 166. Ἐπιγράβδην.] Ἄχρι τοῦ ἐπιξέσαι μόνον τὸ δέρμα. 167. Σύτο.] Ἀνηνέχθη. ἐῤῥύη. 168. Ἐνεστήρικτο.] Ἐνεπάγη. Χροὸς ἆσαι.] Τοῦ σώματος κορεσθῆναι. 169. Ἰθυπτίωνα.] Ἐπ' εὐθείας φερομένην, καὶ οἱονεὶ ἱπταμένην. 172. Μεσσοπαγές.] Μέχρι τοῦ ἡμίσεος καταπεπηγὸς τῇ γῇ, ἐὰν δὲ μεσοπαλὲς, ἐκ μέσου σειόμενον.

τρὶς δὲ μέθηκε βίῃ· τὸ δὲ τέτρατον, ἤθελε θυμῷ
ἆξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο.
ἀλλὰ πρὶν Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπηύρα.
γαστέρα γάρ μιν τύψε παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι
χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψεν
ἀσθμαίνοντ'. Ἀχιλεὺς δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρούσας
τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Κεῖσ' οὕτω. χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
παισὶν ἐριζέμεναι, Ποταμοῖό περ ἐκγεγαῶτι.
φῆσθα σὺ μὲν, Ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος·
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι·
τίκτε μ' ἀνὴρ, πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσι,
Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦε·
τῷ κρείσσων μὲν Ζεὺς Ποταμῶν ἁλιμυρηέντων,
κρείσσων δ' αὖτε Διὸς γενεὴ Ποταμοῖο τέτυκται.
καὶ γάρ σοι Ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διῒ Κρονίωνι μάχεσθαι·
τῷ οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,

178. Ϝάξαι. 183. Ϝέπος. 188. πολλοῖσι Ϝανάσσων.
194. vulg. τῷ οὔτε. Ἀχελώϊος Ϝισοφαρίζει. v. Obss.

pæus, qui duabus hastis emissis, nihil habebat armorum.—177. μέθηκε βίῃ, ἐν βίῃ, defecit, robore. quod alias esset βίην, κατὰ βίην. Usitatius μεθιέναι βίης. ut Od. Φ. 125, 6.—179. πρὶν, scil. πρὶν ἢ τοῦτο γενέσθαι.

184—199. Fatendum est, inaniter gloriantem et satis loquacem h. l. Achillem induci. Comparat primum genus suum a Jove ductum cum ortu Asteropæi a Fluvio ducto: jam autem Fluvium Jove esse inferiorem. Vanitatem prædicandi originem generis præstantiorem inter eos quoque, qui diis nati essent, vidimus jam Υ. 206. sq. ubi de Ænea et Achille agebatur. Comparatione inter matres habita; nunc, inventi similitudine, nobilitas e paterno genere prædicatur.—186. φῆσθα, ἔφης, *jactabas.*—190. Quare, quum Jupiter præcellat Fluvios, necesse est, ejus quoque progeniem præstare progenie Fluviorum.—192. καὶ γάρ σοι Ποταμός γε πάρα μέγας. Dubitari primo intuitu potest, sitne Axius intelligendus, an Xanthus seu Scamander: Verum dubitationem tollunt verba πάρα Ποταμός ἐστι. quod non nisi de Xantho accipi potest, qui aderat Asteropæo: vs. 136.—τῷ sc. Διῒ ἰσοφαρίζει, cum quo Jove nec Ache-

174. Ἐπὶ οἷ.] Ἐπὶ αὐτῷ. 177. Μεθῆκεν.] Ἀπέλιπεν, εἴασεν. 178. Ἐπιγνάμψας.] Ἐπικάμψας. 181. Χύντο.] Ἀπεχύθησαν ἀθρόως. Χολάδες.] Τὰ ἔντερα. 182. Ὀρούσας.] Ὁρμῶν. 190. Ἁλιμυρηέντων.] Εἰς τὴν θάλασσαν ῥεόντων. 194. Ἀχελώϊος.] Ποταμὸς μεταξὺ Αἰτωλίας καὶ Ἀκαρνανίας. κοινῶς δὲ πᾶν ὕδωρ Ἀχελῷος καλεῖται. Ἰσοφαρίζει.] Ἴσος ἐστιν, ἐξισοῦται. Τῷ οὔτε κρείων Ἀχελώϊος ἰσοφαρίζει.] Ἡρακλῆς εἰς ᾅδου κατελθὼν ἐπὶ τὸν Κέρβερον, συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως. οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς, ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα. καταλαβὼν δὲ μνηστευομένην τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμὸν, διεπάλαισεν αὐτῷ ταύρου μορφὴν ἔχοντι. οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον.

οὐδὲ βαθυῤῥείταο μέγα σθένος Ὠκεανοῖο,
ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα,
καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσιν·
ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν,
δεινήν τε βροντὴν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.
Ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος.
τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες.
αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστὰς,
οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,
ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ' ὑπὸ Πηλείδαο καὶ ἄορι ἶφι δαμέντα.
ἔνθ' ἕλε Θερσίλοχόν τε, Μύδωνά τε, Ἀστύπυλόν τε,
Μνῆσόν τε, Θρασίον τε, καὶ Αἴνιον, ἠδ' Ὀφελέστην·
καί νύ κ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεὺς,
εἰ μὴ χωσάμενος προσέφη Ποταμὸς βαθυδίνης,
ἀνέρι εἰσάμενος, βαθέης δ' ἐφθέγξατο δίνης·

198. *καὶ ὃς*, non *Fός*. est enim *οὗτος ἐκεῖνος*, non suus. 200. *κρημνοῖο Fερύσσατο*. 207. *Fεῖδον*. 208. *ἄορι Fῖφι*. 209. *τε, Fαστύπυλόν τε*. 213. *ἀνέρι Fεισάμενος*. vulg. *βαθέης δ' ἐκφθέγξατο δίνης*.

lous, inter Fluvios princeps, nec ipse Oceanus, contendit.—195, 6. *ἐξ οὗπερ πάντες ποταμοὶ* (*sunt*) non uno modo ac sensu hæc sententia ab antiquis est pronuntiata, modo paullo disertius, modo obscurius, ut h. l., mythice tamen.—198, 199. metuit Jovem. At positum est id, quo Jupiter terret, fulmen.

200—234. Relicto corpore spoliato Asteropæi ad cædem aliorum Pæonum procedit Achilles in ripa et arenis Scamandri discurrentium. Indignatus Fluvius (212.) cursu aquarum strage cadaverum intercepto, monet eum, ut relicto alveo Trojanos agitet per campos. Recte, ait sarcastice Achilles, 222. faciam hoc, simulque e ripa in medium alveum desilit. Interea Scamander Apollinem objurgat cessantem a succurrendo Trojanis.

203. *ἀμφεπένοντο* simpl. *occupati erant circa corpus*, nisi propria ea notione accipias, qua est, *epulas instruere* fere ut Ψ. 184. sicque *πένεσθαι, πονεῖσθαι*—*δημὸν ἐπινεφρίδιον* *pinguedinem renum* *ἐρεπτόμενοι κείροντες* *devorantes arrodendo*:—206. *πὰρ ποταμὸν*, *in ripa*: nam non insilit in amnem, nisi demum 233, 234.—209, 210. sunt ii

φασὶ δὲ αὐτὸν τὸν Ἀχελῷον παρ' Ἀμαλθείας τῆς Ὠκεανοῦ κέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ καὶ τὸ ἴδιον ἀπολαβεῖν. δοκεῖ δὲ τῶν ἐν τῇ Ἑλλάδι ποταμῶν μέγιστος εἶναι ὁ Ἀχελῷος, διὸ καὶ πᾶν ὕδωρ τῇ τούτου προσηγορίᾳ καλεῖται. ἱστορεῖ Πίνδαρος. 197. Φρείατα.] Φρέατα. Μακρά.] Νῦν βαθέα. Νάουσι.] Ῥέουσι. 199. Σμαραγήσῃ.] Ἠχήσῃ. 204. Ἐρεπτόμενοι.] Ἐσθίοντες. Ἐπινεφρίδιον.] Τὸ περὶ τοὺς νεφροὺς λίπος. Δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες.] Τὸ ἐρεπτόμενοι καὶ κείροντες, διλογεῖται. δεῖ συνάπτειν δημὸν ἐπινεφρίδιον. ἐπὶ τῶν νεφρῶν γὰρ ἐπίκειται ἡ πιμελή. 213. Εἰσάμενος.] Ὁμοιωθείς.

Ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, πέρι δ' αἴσυλα ῥέζεις
ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσι θεοὶ αὐτοί.
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα, μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πη δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν,
στεινόμενος νεκύεσσι· σὺ δὲ κτείνεις ἀϊδήλως.
ἀλλ', ἄγε δὴ καὶ ἔασον· ἄγη μ' ἔχει, ὄρχαμε λαῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
ἔσται ταῦτα, Σκάμανδρε Διοτρεφὲς, ὡς σὺ κελεύεις·
Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
πρὶν ἔλσαι κατὰ ἄστυ, καὶ Ἕκτορι πειρηθῆναι
ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἤ κεν ἐγὼ τόν.
Ὣς εἰπὼν, Τρώεσσιν ἐπέσσυτο, δαίμονι ἶσος.
καὶ τότ' Ἀπόλλωνα προσέφη Ποταμὸς βαθυδίνης·
Ὢ πόποι, Ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ' ἐπέτελλε
Τρωσὶ παρισταμέναι καὶ ἀμύνειν, εἰσόκεν ἔλθῃ
δείελος ὀψὲ δύων, σκιάσῃ δ' ἐρίβωλον ἄρουραν.
Ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσῳ,
κρημνοῦ ἀπαΐξας· ὁ δ' ἐπέσσυτο, οἴδματι θύων·

217. vulg. ῥέζειν.
225. πρὶν Fέλσαι κατὰ Fάστυ.
227. Fειπὼν,—δαίμονι Fῖσος.
234. ἐπέσσυτο, Fοίδματι.

e vulgo Pæonum.—214, 5. περὶ (ὑπὲρ) ἀνδρῶν. (ὑπὲρ ἄλλων) *nefanda perpetras plus quam quisquam alius inter homines:* quod sane non mirandum, *dii enim tibi semper adsunt.* Attamen tibi vel sic mei reverentia erat habenda *nec alveus meus cadaveribus obstruendus; persequere Trojanos extra alveum in campo.*—218. ῥέεθρα πλήθει, plenus est alveus cadaveribus cæsorum.—221. ἄγε δὴ καὶ ἔασον, *tandem nunc saltem desine:* ἔασον τὸ κτείνειν. ἄγη μ' ἔχει ut conveniat satis, conjunge cum superioribus: σὺ δὲ κτείνεις ἀϊδήλως. ἄγη μ' ἔχει. *stupor me tenet, obstupesco* temeritatem tuam. Sarcastice respondet Achilles: fiet hoc: sed tum demum, cum Trojanos in urbem compulero (ἔλσαι A. 409.) et cum Hectore pugnavero.—225. καὶ πρὶν πειρηθῆναι scil. τῆς μάχης κατ' ἀντιβίην Ἕκτορι.—229. βουλὰς, voluntatem, mandata: et ἐπέτελλε sequitur. Respicit adeo Υ. 25, 26.

233. Perstat in furore Achilles: ἔνθορε μέσσῳ l. ποταμῷ, l. εἰς τὸ μέσον τῶν Τρώων ex 224. Redit tamen ad idem; certe in amnem desilit. Tum in Achillem irruit Scamander 233. Quod enim necesse erat aliquando fieri, ut obstructus amnis auctis aquis tandem majores fluctus faceret, iræ Scamandri bene tribuitur: idque nunc

214. Ῥέζε.] Πράττε. 220. Στεινόμενος.] Στενούμενος. Ἀϊδήλως.] Ἀφανιστικῶς, ὀλεθρίως. 221. Ἄγη.] Ἔκπληξις, θαῦμα. 225. Ἔλσαι.] Συνελᾶσαι, συγκλεῖσαι. 230. Εἰρύσαο.] Ἐφύλαξας. 232. Δείελος ὀψὲ δύων.] Ἡ ὀψινὴ κατάστασις τοῦ ἡλίου παρ' Ἀττικοῖς δείελος λεγομένη. 234. Οἰδ-

πάντα δ' ὄρινε ῥέεθρα κυκώμενος· ὦσε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ' αὐτὸν ἔσαν ἅλις, οὓς κτάν' Ἀχιλλεύς·
τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς, ἠΰτε ταῦρος,
χέρσονδε· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνῃσι βαθείῃσι μεγάλῃσι.
δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
εἶχε στηρίξασθαι. ὁ δὲ πτελέην ἕλε χερσὶν
εὐφυέα, μεγάλην· ἡ δ' ἐκ ῥιζῶν ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
ὄζοισι πυκινοῖσι· γεφύρωσε δέ μιν αὐτὸν,
εἴσω πᾶσ' ἐριποῦσ'· ὁ δ' ἄρ' ἐκ δίνης ἀνορούσας,
ἤϊξε πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
δείσας. οὐδ' ἔτ' ἔληγε μέγας θεὸς, ὦρτο δ' ἐπ' αὐτὸν
ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Πηλείδης δ' ἀπόρουσεν, ὅσον τ' ἔπι δουρὸς ἐρωή,
αἰετοῦ οἴματ' ἔχων μέλανος τοῦ θηρητῆρος,

236. ἔσαν Ϝάλις. vulg. ἅλις ἔσαν. 238. vulg. δ' ἐσάω.
246. vulg. ἐκ λίμνης.

materiam ingenio poetæ suppeditat idoneam.—238. ζωοὺς δὲ σάω. poeticum phantasma, non physicum: si fluctibus ac vorticibus involvendo Trojanos servat. Totus hic locus de congressu Scamandri cum Achille est haud dubie e præstantissimis propter magna et sublimia phantasmata poetæ.—241, 2. ὁ ῥόος ἐμπίπτων σάκει, h. e. τὸ κῦμα, ὤθει αὐτον, οὐδὲ αὐτὸς ἠδύνατο στῆναι τοῖς ποσὶν, ὥστε στηρίξαι ἑαυτόν.—245. γεφύρωσε δέ μιν αὐτὸν—ipsum fluvium: proprie γεφυροῖ is, qui jungit utramque ripam, tanquam ponte, nunc saltem partem alvei, qua ille in ripam eniteretur, ulmus in alveum prolapsa ἐγεφύρωσε.—246. tum tandem enisus super hac ulmo prostrata ex alveo Achilles in plana camporum se recipit; at insequuntur eum aquæ late in campum evolutæ.—249. ἀκροκελαινιόων, nigricans in superficie, ut in aquis altis solet fieri. et ἵνα μιν παύσειε πόνοιο, μάχης.—252. ὅσον τ' ἔπι, saltibus factis fugit ἐπὶ τόσον, ἐφ' ὅσον δουρὸς ἐρωὴ γίνεται. *quam longe hasta manu emitti potest.* ut plene est O. 358.—252. αἰετοῦ οἴματ' ἔχων *cum impetu* et ῥιπῇ *aquilæ*, ex earum genere, quæ venanmati.] Οἰδήματι, κύματι. Θύων.] Πληθύων καὶ ἐνθουσιωδῶς ὁρμῶν. 235. Κυκώμενος.] Ταρασσόμενος. 237. Θύραζε.] Ἔξω. Μεμυκὼς, ἠΰτε ταῦρος.] Ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ, ταυρομόρφους λέγουσιν εἶναι τοὺς ποταμούς. 238. Χέρσονδε.] Εἰς τὴν γῆν. 241. Οὐ δὲ πόδεσσιν Εἶχε στηρίξασθαι.] Οὐ δὲ ἠδύνατο στῆναι τοῖς ποσίν. 243. Εὐφυέα.] Εὖ πεφυκυῖαν. μεγάλην. 244. Διῶσε.] Συνεμόχλευσεν. ἀπεώσατο. 245. Γεφύρωσε.] Διαβατὸν ἐποίησεν. 246. Ἐριποῦσα.] Πεσοῦσα. 249. Ἀκροκελαινιόων.] Τὸ ἄνω μέρος τοῦ κύματος ἐξ ἐπιπολῆς μελαινόμενος. τοιοῦτοι δέ εἰσι πάντες οἱ ὀξεῖς ποταμοί. 252. Οἴματα.] Ὁρμήματα. Μέλανος.] Μέλανος ὄντος. εἶτα ἀπὸ ἄλλης ἀρχῆς τοῦ θηρητῆρος. τινὲς δὲ μέλανός του, ἤγουν μέλανός τινος. μελανόστου Ἀριστοτέλης συνθέτως κατὰ βαρεῖαν τάσιν ὡς Ὀρέστου. Φησὶ γὰρ τοὺς ἀετοὺς

ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν.
τῷ εἰκὼς ἤϊξεν· ἐπὶ στήθεσσι δὲ χαλκὸς
σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθεὶς
φεῦγ', ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
ἀμ φυτὰ καὶ κήπους ὕδατος ῥόον ἡγεμονεύῃ,
χερσὶ μάκελλαν ἔχων, ἀμάρης δ' ἐξ ἔχματα βάλλων·
τοῦ μέν τε προρέοντος, ὑπὸ ψηφῖδες ἅπασαι
ὀχλεῦνται, τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
χώρῳ ἐνὶ προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο,
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς
στῆναι ἐναντίβιον, καὶ γνώμεναι, εἴ μιν ἅπαντες
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
τοσσάκι μιν μέγα κῦμα Διϊπετέος ποταμοῖο
πλάζ' ὤμους καθύπερθεν· ὁ δ' ὑψόσε ποσσὶν ἐπήδα,
θυμῷ ἀνιάζων· ποταμὸς δ' ὑπὸ γούνατ' ἐδάμνα
λάβρος, ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπτε ποδοῖϊν.

254. Ϝεικώς. 258. vulg. ἡγεμονεύει.

tur minora animantia. Eandem μόρφνον, θηρητῆρα, appellat inf. Ω. 316.—Pro jejuno μέλανος τοῦ θηρητῆρος facile probes μελανοστέου (vel—οστοῦ).—255. ὕπαιθα τοῖο λιασθεὶς φεῦγε. fugit ante alterum, sed ὕπαιθα, ὑπ' αὐτοῦ, quippe a quo, alto in eum irruente fluctu, jamjam obrui posset, φεῦγε καὶ ἐλιάζετο, *se subduxit* declinando se et inclinando: ut O. 520.

257. Comparatio suavis et ornata Fluvii Achillem insequentis cum rivulo in viridarium e fonte per canaliculos deducto. Suavitas maxime ipsa re, et positu ejus inter terrorem et discrimen Achillis, tum ante sensum oculorum et animi singula apponendo, proficiscitur. Versatur ante oculos vinitor cum ligone canaliculum aperiens 259. et obstantes rivo glebas vel lapillos removens. ἐκβάλλων ἔχματα, κωλύματα τῆς ἀμάρης, διώρυγος.—258. ἀνὰ φυτὰ καὶ κήπους. Etsi omnino de agro culto cujusvis generis accipi potest, φυτὰ tamen de arbusto proprie, ut vidimus Ξ. 123. dicuntur, et h. l. per κήπους declarantur.—262. χώρῳ ἐνὶ προαλεῖ. declivi. ex ἄλημι, εἰλέω. de quo v. ad Π. 714.—269. πλάζε μιν κῦμα (κατὰ τοὺς) ὤμους, καθύπερθεν. amnis in altos fluctus intumescens irruit in ipsum desuper. πλάζειν ita σφάλλειν, de statu movere, ne posset firmiter stare. Sic P. 751. agger ῥόον πλάζει.—271. Amnis subter

μέλανα ὀστέα ἔχειν. τινὲς δὲ γράφουσι μελανόσσοι, παρὰ τὸ μέλανας ὀφθαλμοὺς ἔχειν. 253. Ὤκιστος.] Τάχιστος. 254. Εἰκώς.] Ἐοικώς. Ὁμοιωθείς. 255. Ὕπαιθα.] Ἐκ πλαγίου, ἢ ἔμπροσθεν. Λιασθείς.] Χωρισθείς. ἐκκλίνας. 257. Ὀχετηγός.] Ὑδραγωγός. ὁ τὸν τοῦ ὕδατος ὀχετὸν καθαίρων. 259. Μάκελλαν.] Μακέλλην. ἔστι δὲ εἶδος ἐργαλείου. Ἀμάρης.] Τῆς ὑδροῤῥόης τοῦ ὀχετοῦ. Ἔχματα.] Ἐμφράγματα. 261. Κατειβόμενον.] Καταφερόμενον. καταῤῥέον. Κελαρύζει.] Ποιὸν ἦχον ἀποτελεῖ. 262. Προαλεῖ.] Κατωφερεῖ. 269. Πλάζε.] Ἀπέκρουεν, ἐπλάνα, ἢ προσεπέλαζεν. 270. Ἀνιάζων.] Ἀνιώμενος, λυπούμενος. 271. Λάβρος.] Ἀθροός. σφοδρός. Κονίην.] Κόνιν. τέφραν. Ὑπέρεπτε.] Ὑπέ-

Πηλείδης δ' ᾤμωξεν, ἰδὼν εἰς οὐρανὸν εὐρύν·
  Ζεῦ πάτερ, ὥς οὔ τις με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
ἄλλος δ' οὔ τις μοι τόσον αἴτιος οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν,
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχει θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος,
τῷ κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε·
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι,
ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ὡς παῖδα συφορβὸν,
ὅν ῥά τ' ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα.
  Ὣς φάτο· τῷ δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν εἴκτην·
χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ' ἐπέεσσι·
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
  Πηλείδη, μήτ' ἄρ τι λίην τρέε, μήτε τι τάρβει·

272. ᾤμωξε, Ϝιδών. 279. vulg. ὃς ἐνθάδε τέτραφ'.
280. vulg. immutato ordine: ἀγαθὸν—ἀγαθὸς—.
281. εἵμαρτο Ϝαλῶναι. Bentl. Ϝείμαρτο. sine caussa idonea.
282. Ϝερχθέντ' ἐν. 283. vulg. ἀποέρσει. An ἀποϜέρσει sit, v. Obss.
285. ἄνδρεσσι Ϝείκτην. 286. ἐπιστώσαντο Ϝέπεσσι.

pedes impetu suo eruens solum, subducta sub pedibus arena labantem gressum efficiebat, ideoque eum ἐδάμνα, labefactabat, statu dejiciebat.

272—298. Achilles jam salutem desperans et mortem ignobilem in undis conquestus, confirmatur a Neptuno et Minerva asseverantibus, salvum ipsum e discrimine evasurum esse et Hectorem, fuga Trojanorum facta, occisurum.

273. οὔ τις θεῶν ὑπέστη σαῶσαι ἐμὲ ἐλεεινὸν, ἐλέου ἄξιον ὄντα, ἐκ ποταμοῦ. pro ὑφίσταται, ὑπομένει. *nemo sustinet, in se recipit, id agit, ut me servet.* ἔπειτα δὲ καί τι πάθοιμι. (ex noto usu τοῦ, παθεῖν τι, de eo, cui humani aliquid accidit, h. e. qui moritur) haud uno modo accipi potest: ἔπειτα, *secundum hæc*, si nemo mihi subvenit, *erit tum mihi pereundem:* usu Homerico obvio. Ita equidem malim. Potest tamen sic quoque reddi: *postea*, dummodo nunc servatus fuero, *licet, alia morte occumbam, dummodo honesta!*—277, 8. Iterum nova vaticinii, toties memorati, accessio: quod Apollinis sagittis confodietur; v. ad P. 408.—279. ὥς μ' ὄφελ' *quanto magis debebat.* h. e. *utinam.* ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος pro ἐγένετο. veteres pro ἐτράφη dictum volunt. Præstat dicere τράφω et τράφημι habuisse eam vim, ut esset, adolesco, vivo. ut E. 555.—283. ὅν ῥά τ' ἔναυλος ἀποέρσῃ. *quem forte perdat, mergat aqua, et suffocet* torsυρεν, ὑφήρπαζεν. ὄπισθεν ὑπεδύετο.

274. Ἔπειτα δὲ καί τι πάθοιμι.] Σωθείην ἐκ τοῦ ποταμοῦ. ἔπειτα δὲ καὶ πάθοιμί τι. κατὰ τὸ, Ἐν φάει δὲ καὶ ὄλεσον. 276. Ἔθελγεν.] Ἐξηπάτα. 278. Λαιψηροῖς.] Ταχέσι. 281. Λευγαλέῳ.] Χαλεπῷ, ἀδόξῳ. 282. Ἐρχθέντα.] Ἐν τῷ ὕδατι ἀποπνιγέντα. Συφορβόν.] Χοιροβοσκόν. 283. Ἔναυλος.] Χείμαῤῥος ποταμὸς διὰ στενοῦ ῥέων. 285. Εἴκτην.] Ὡμοιοῦντο. 286. Ἐπιστώσαντο.] Πίστιν τῆς σωτηρίας ἔδωκαν. 288. Τρέε.] Φοβοῦ. τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ τάρβει. 289. Ἐπιταῤῥόθω.]

τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταῤῥόθω εἰμὲν,
Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν·
ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός.
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ', αἴκε πίθηαι,
μὴ πρὶν παύειν χεῖρας ὁμοιΐου πολέμοιο,
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκὸν, ὅς κε φύγῃσι· σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.
Τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην.
αὐτὰρ ὁ βῆ, μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμὴ,
ἐς πεδίον. τὸ δὲ πᾶν πλῆθ' ὕδατος ἐκχυμένοιο,
πολλὰ δὲ τεύχεα καλὰ δαὶ κταμένων αἰζηῶν
πλῶον, καὶ νέκυες. τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα
πρὸς ῥόον ἀΐσσοντος ἀν' ἰθύν· οὐδέ μιν ἔσχεν
εὐρὺ ῥέων ποταμός· μέγα γὰρ σθένος ἔμβαλ' Ἀθήνη.
Οὐ δὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ' ἔτι μᾶλλον
χώετο Πηλείωνι, κόρυσσε δὲ κῦμα ῥόοιο,
ὑψόσ' ἀειρόμενος· Σιμόεντι δὲ κέκλετ' ἀΰσας·
Φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ

292. σὺ δὲ Ϝείσεαι. 294. ὁμοιΐόφι πτολέμοιο. 295. κατὰ Ϝιλιόφι—ἐϜέλσαι. 298. Ϝειπόντε. 301. vulg. δαϊκταμένων una voce. 305. τὸ Ϝόν.

rens, qui implevit cava loca. ἔναυλος sup. Π. 71. ἔῤῥειν, φθείρειν.—289. τοίω γάρ τοι. formula jam ante obvia, ut E. 828.—290. Ζηνὸς ἐπαινήσαντος. *Jove probante:* haud temere adjectum; valet ad τὸ πιστοῦν, s. πιστοῦσθαι, tanquam fide data confirmare animum, proprie manu data.—295. ἐέλσαι quod ἔλσαι sup. 225. ἔλω, εἰλέω.

299—323. Confirmatus ita animo Achilles per campos fugam continuat: haud dubie versus loca edita. At aquæ, Simoente Scamandri hortatu aquas suas admiscente, auctæ in novissimum discrimen adducunt Achillem.

299, 300. ἐφετμὴ, nunc est *hortatus*. Abierunt μετ' ἀθανάτους, non, in Olympum, sed ad deos assidentes suarum quemque partium defensores, Υ. 144. sq.—303. τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα πρὸς ῥόον ἀΐσσοντος ἀν' ἰθύν. amnem *a tergo* venientem fluctibus eum impulisse, animo tene; nam ipse ab amnis alveo fugerat altiora loca petendo; ergo ordo verborum et sententia esse debet: τοῦ δὲ ἀΐσσοντος ἀν' ἰθὺν, dum Achilles recta contenderet cursu, τὰ γούνατα ἐπήδα ὑψόσε, πρὸς ῥόον, prouti fluctus auctus (a tergo scilicet) in eum irrueret. οὐδέ μιν ἔσχεν, κατέσχεν, fluvius, quo minus porro fugeret Achilles.—306. κόρυσσε κῦμα, *erexit aquas*, in eum collectas immisit, ipse as-

Ἐπιτάῤῥοθοι. βοηθοὶ. σημαίνει δὲ βοηθούς. 290. Ἐπαινήσαντος.] Συγκαταθεμένου. 291. Δαμήμεναι.] Ἀναιρεθῆναι. 292. Λωφήσει.] Λήξει, παύσεται. μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῶν τὰ φορτία ἀποθεμένων τοῦ λόφου ὑποζυγίων. 296. Ἕκτορι θυμὸν ἀπούρας.] Ἀντὶ τοῦ Ἕκτορος. 301. Δαϊκταμένων.] Διακοπτομένων. 303. Ἀν' ἰθύν.] Ἐπ' εὐθείας κατὰ τὴν ὁρμὴν τοῦ ποταμοῦ. Ἔσχεν.] Ἐπέσχε. 306. Κόρυσσεν.] Ὕψωσεν.

σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν·
ἀλλ' ἐπάμυνε τάχιστα, καὶ ἐμπίπληθι ῥέεθρα
ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόθυνον ἐναύλους·
ἵστη δὲ μέγα κῦμα· πολὺν δ' ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
ὃς δὴ νῦν κρατέει, μέμονε δ' ὅγε ἶσα θεοῖσι.
φημὶ γὰρ οὔτε βίην χραισμησέμεν, οὔτε τι εἶδος,
οὔτε τὰ τεύχεα καλά· τά που μάλα νειόθι λίμνης
κείσεθ' ὑπ' ἰλύος κεκαλυμμένα· κὰδ δέ μιν αὐτὸν
εἰλύσω ψαμάθοισιν ἅλις χέραδος περιχεύας
μυρίον, οὐδέ οἱ ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔσται τυμβοχόησ', ὅτε μιν θάπτωσιν Ἀχαιοί.
Ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆϊ, κυκώμενος, ὑψόσε θύων,

309. τάχα Fάστυ—Πριάμοιο Fάνακτος. 315. ὅγε Fῖσα. 316. οὔτε τι Fεῖδος. 319. Fειλύσω ψαμάθοισι, Fάλις. vulg. χεράδος. 320. οὐδέ Fοι. 321. Fοι. 322. Fοι. 323. vulg. τυμβοχοῆς.

surgens.—310. οὐ μενέουσιν sc. αὐτόν. *eum non sustinebunt.*—312. πάντας δ' ὀρόθυνον ἐναύλους. διέγειρε τοὺς χειμάῤῥους, aquis auctis.—316. Minatur Fluvius, mersum iri Achillem cum armis. μάλα νειόθι λίμνης. κατωτάτω κατὰ τοῦ ποταμοῦ.—318. κατειλύσω μιν ψαμάθοις.—319. περιχεύας (αὐτῷ) χέραδος μυρίον. *immensam colluviem, limum.* Jam potest jungi περιχεύας ἅλις. *multum, affatim,* plus quam satis est, aut etiam εἰλύσω ψαμάθοισιν ἅλις, ut facit Venetus.—320. ἐπιστήσονται, δυνήσονται. ut Π. 142. Od. Ν. 207.—321. ἄσιν, ἰλὺν καὶ ψάμμον, ei obducam.—322. Eodem in loco etiam tumulus educetur a nobis: ita non necesse erit τυμβοχοῆσαί μιν. Ne offendat, saltem enuntia: Ipsa limi colluvies in eam molem congeretur, ut pro tumulo esse ei possit. —Ceterum Simois obtemperasse Scamandro haud videtur, nulla saltem ejus rei fit mentio; solum Scamandrum coercet Vulcanus.

324—384. Scamandro majore cum impetu in Achillem irruente, Juno ei metuens,

309. Σχῶμεν.] Ἐπίσχωμεν. 310. Κατὰ μόθον.] Κατὰ τὴν μάχην. 312. Ὀρόθυνον.] Ἐρέθισον, διέγειρον. Ἐναύλους.] Τὰς τῶν ποταμῶν διώρυγας. ἢ τοὺς διὰ στενοῦ ῥέοντας ποταμούς. 313. Ἵστη.] Ἀνίστα. 315. Μέμονε.] Προθυμεῖται. 317. Νειόθι.] Κάτωθεν. 318. Ὑπ' ἰλύος.] Ὑπὸ τῆς ἰλύος τοῦ ποταμοῦ, ὅ ἐστι τοῦ πλήθους τοῦ πηλοῦ. 319. Χεράδος.] Τῆς ὑπὸ ποταμῶν ἀθροιζομένης ψάμμου, καὶ ξύλων συγκομιδῆς. Ἀρίσταρχος δέ φησι, χεράδας καλεῖσθαι τοὺς ποταμοὺς, καὶ τοὺς ἐν αὐτοῖς λίθους· εἶναι δὲ τὸν νοῦν τοιοῦτον, πολλῇ ἰλύϊ οὐκ ὀλίγον πλῆθος τῶν ποταμίων λίθων ἐπισωρείσας χώσω, χεράδος οὖν, λιθάδος. 320. Ἐπιστήσονται.] Γνῶναι δυνήσονται. 321. Ἀλλέξαι.] Ἀναλέξαι, συλλέξαι. Ἄσιν.] Ἰλύν. ὅ ἐστι γῆν ψαμμώδη, ὅθεν ἀσιογεῖαι αἱ αἱμασιαί. 323. Τυμβοχοῆς.] Χωστοῦ τάφου. τύμβος γὰρ ὁ τάφος. τὸ πλῆρες τυμβοχοῆσαι. οὕτως Ἀρίσταρχος καὶ Ἀσκαλωνίτης, καὶ οἱ πλείους. ἄμεινον γὰρ ἐν τῷ ῥήματι τὸ πρᾶγμα λαμβάνειν, ἢ τῷ ὀνόματι. 324. Θύων.] Πληθύων

μορμύρων ἀφρῷ τε, καὶ αἵματι, καὶ νεκύεσσι.
πορφύρεον δ' ἄρα κῦμα Διϊπετέος ποταμοῖο
ἵστατ' ἀειρόμενον, κατὰ δ' ᾕρεε Πηλείωνα.
Ἥρη δὲ μέγ' ἄϋσε, περιδδείσασ' Ἀχιλῆϊ,
μή μιν ἀποέρσειε μέγας ποταμὸς βαθυδίνης·
αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
Ὄρσεο, Κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἠΐσκομεν εἶναι·
ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν·
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργέσταο Νότοιο
εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
φλέγμα κακὸν φορέουσα· σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί· μηδέ σε πάμπαν
μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ·
μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος· ἀλλ' ὁπόταν δὴ
φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ.
Ὣς ἔφαθ'· Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.

329. ἀποϝέρσειε. 330. προσεφώνεε ϝόν. 332. ϝηϝίσκομεν.
339. ϝεπέεσσι. 341. ϝιϝάχουσα.

Vulcanum in amnem concitat, qui explicitis per campum ignibus arbores in ripa concremat et aquas exsiccat: donec Scamandro exorante Juno Vulcanum incendium sistere jubet.

327. καθήρει δὲ, in eo erat, ut prosterneret.—329. ἀποέρσειε ut 283.—332. ἄντα σέθεν εἶναι esse adversarium tibi destinatum, et oppositum. cf. Υ. 73. Ο. 415. sic ἄντα στῆναι. ἰέναι.—333. πιφαύσκεο δὲ φλόγα πολλὴν, ut jam vidimus, pro φαῖνε, exsere,—334. ἀργέσταο Νότοιο. *qui serenat cælum.* Λ. 306.—335, 6, 7. *a mari* venientibus ventis (ut solet) flamma concitabitur. φλέγμα, φλόγα. ἣ ἀποκήαι κεν Τρώων κεφαλὰς, Τρῶας. præclare autem ornatum, quod ipsa Juno ventos arcessit. ἁλόθεν, ex mari, non quasi in eo habitent, sed θύελλαν ἐξ ἁλόθεν, quam venti afferunt ex mari commoto ortam.—338. ipsum involve flamma.—339. vidimus jam Γ. 431.—340. πρὶν—ἀλλ' ὁπόταν. pro πρὶν ἢ ὅτε.

342. Vulcanus τιτύσκετο πῦρ tanquam telum *direxit.*—344. κατ' αὐτὸν, sc. ποταμόν·

καὶ ὁρμῶν. 325. Μορμύρων.] Ἀναζέων. πληθύων. 326. Πορφύρεον.] Νῦν βαθύ. Διϊπετέος.] Τοῦ ἐκ τῶν ὄμβρων τοῦ Διὸς γεγονότος. 327. Ἀειρόμενον.] Ἐπαιρόμενον, ὑψούμενον. Κατὰ δ' ᾕρεε.] Κατελάμβανε δέ. 331. Κυλλοπόδιον.] Χωλέ. λέγει δὲ τὸν Ἥφαιστον. Ἄντα σέθεν γὰρ Ξάνθον δινήεντα.] Κατὰ σοῦ γὰρ ἄξιον ἀνταγωνιστὴν ἡγούμεθα τὸν Ξάνθον. 333. Πιφαύσκεο.] Ἐνδείκνυσο δὲ καὶ διέγειρε πολλὴν φλόγα ἐμφαίνων, ἵνα γνῷ τὴν τοῦ πυρὸς δύναμιν. 335. Εἴσομαι.] Ὁρμήσω. πορεύσομαι. 336. Κῆαι.] Καύσει. 337. Φλέγμα.] Φλόγωσιν, πύρωσιν. 338. Ἐν δ' αὐτὸν ἵει πυρί.] Καὶ αὐτὸν δὲ τὸν Ξάνθον περίβαλλε πολλῇ φλογί. 341. Σχεῖν.] Ἐπισχεῖν. Ἀκάματον.] Ἀκατάπαυστον. πολύ· ἢ παρ' ὅσον τὸ πῦρ ἀκμητὶ ἐκβόσκεται τὴν ὕλην. 342. Τιτύσκετο.]

πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
πολλοὺς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς·
πᾶν δ' ἐξηράνθη πεδίον, σχέτο δ' ἀγλαὸν ὕδωρ.
ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν
αἶψ' ἂν ξηράνῃ· χαίρει δέ, μιν ὅστις ἐθείρῃ·
ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδ δ' ἄρα νεκροὺς
κῆεν, ὁ δ' ἐς ποταμὸν τρέψε φλόγα παμφανόωσαν.
καίοντο πτελέαι τε, καὶ ἰτέαι, ἠδὲ μυρῖκαι,
καίετο δὲ λωτός τ', ἠδὲ θρύον, ἠδὲ κύπειρον,
τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει.
τείροντ' ἐγχέλυές τε, καὶ ἰχθύες, οἱ κατὰ δίνας,
οἱ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα,
πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
καίετο δ' ἲς Ποταμοῖο, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἥφαιστ', οὔ τις σοί γε θεῶν δύνατ' ἀντιφερίζειν.
οὐδ' ἂν ἐγὼ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ' ἔριδος· Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
ἄστεος ἐξελάσειε· τί μοι ἔριδος καὶ ἀρωγῆς;
Φῆ πυρὶ καιόμενος· ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
ὡς δὲ λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ,

344. Ϝάλις. v. Obss. 346. forte νεοϜαρδέ'.
347. vulg. ἀνξηραίνῃ et ἐθείρει. 352. ῥέεθρα Ϝάλις.
356. καίετο Ϝὶς Ποταμοῖο, Ϝέπος. 360. Ϝάστεος.

atqui nunc de campi planitie agitur; requiritur ergo κατ' αὐτό. scil. πεδίον.—346. Aquilones etesiæ, qui post Caniculæ ortum perflant in plagis Ioniæ et Archipelagi.—347. ὅστις ἐθείρῃ qui colit arbustum vel vineam. ὃς ἔθει, ἔθος ἔχει, ἐργάζεσθαι, ἐπιμελέσθαι αὐτοῦ.—350. Memorantur arbores in locis humidis nasci solitæ: de myrica jam vidimus sup. ad. K. 466. herbæ lotus; tum θρύον et κύπειρος juncorum palustrium genera.—355. πνοιῇ Ἡφαίστοιο. proprie *aura flammæ*, quæ etiam longius ab igni sentitur: Diversa est ἀϋτμὴ, ut v. c. in Hesiod. Theog. 696. et mox vs. 366. de vapore aquæ ferventis.—358. σοὶ πυρὶ μαχοίμην. pro πυρί σου.—360. καὶ ἄστεος ἐξελάσειε. vel ex ipsa urbe, non modo ex amne. τί μοι πρᾶγμά ἐστιν. ἔριδος.—362. λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ, μελδόμενος κνίσσην. In his λέβης est τὸ ἐν λέβητι ὂν, *adeps* in lebete, κνίσσῃ σιάλοιο (συὸς) *Adeps suillus.* nam est κνίσσα, τὸ λίπος omenti, ut Od. Σ. 118. alias nidor ex adipe in flamma liquefacto. Jam λέβης, h. e. *adeps* ζεῖ ἔνδον, et ἐπείγεται πυρὶ πολλῷ, urgetur, agitatur, vi flammæ lebeti undique admotæ, et effervescit. Porro λέβης (κατὰ *quod attinet ad*) κνίσσην μελδόμενος est pro κνίσσῃ μελδομένη ἐν λέβητι. Tum λέβης, h. e. κνίσση, *adeps*, ζεῖ πάντοθεν ἀμβολάδην, *ebulliens* ab omni

Κατεσκεύαζεν, ηὐτρέπιζεν. 346. Ὀπωρινός.] Ὁ κατὰ τὴν ὀπώραν πνέων. Νεοαρδέα.] Νεωστὶ πεποτισμένην καὶ ἀρδευθεῖσαν. 347. Ἐθείρῃ.] Ἐξ ἔθους ἐπιμελοῖτο. 351. Θρύον.] Εἶδος πόας, ὁ λεγόμενος θρύσις. Κύπειρον.] Ἔνιοί φασι κήβριον. 355. Πνοιῇ.] Θέρμῃ. Πολυμήτιος.] Πολυτέχνου. 356. Ἶς.] Δύναμις. 361. Ἀνέφλυε.] Ἀνέζει.

κνίσσην μελδόμενος ἁπαλοτρεφέος σιάλοιο,
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται·
ὡς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ,
οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴσχετο· τεῖρε δ' ἀϋτμὴ
Ἡφαίστοιο βίηφι πολύφρονος· αὐτὰρ ὅγ' Ἥρην,
πολλὰ λισσόμενος, ἔπεα πτερόεντα προσηύδα·
Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν
ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι,
ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί.
ἀλλ' ἤτοι μεν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις·
παυέσθω δὲ καὶ οὗτος. ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
μηδ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
καιομένη, καίωσι δ' Ἀρήϊοι υἷες Ἀχαιῶν.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ' ἄρ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
Ἥφαιστε, σχέο, τέκνον ἀγακλεές. οὐ γὰρ ἔοικεν
ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν.
Ὣς ἔφαθ'· Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ·
ἄψοῤῥον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἱ μὲν ἔπειτα
παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ.
Ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα,

363. vulg. κνίσση. 368. Fέπεα. 369. Fήρη.
378. προσεφώνεε Fόν. 379. ἔFοικε.

parte.—369. ἔχραε κήδειν. ὥρμησεν, ὥστε λυπεῖν.—ἐμὸν ῥόον (pro ἐμὲ μάλιστα) ἐξ ἄλλων θεῶν. *me potissimum*.—374, 5, 6. lecti jam Υ. 315, 6, 7.—380. ἀθάνατον θεὸν στυφελίζειν, male mulcare, ut inf. 512. quippe igni aquis admoto ut effervescerent.—382. τὸ κῦμα (aqua) ἔσσυτο ἄψοῤῥον (retro) iit, (rediit) κατὰ (ἐπὶ τὰ) καλὰ ῥέεθρα (intra alveum.) οἱ μὲν Vulcanus et Xanthus.

385—520. Committuntur nunc pugna reliqui dii: primo Mars cum Athene: quæ, Marte saxo percusso, cum Venerem eum abducentem vidisset, etiam hanc, percusso manu pectore, prostravit.—434. Neptunus et Apollo a conserendis manibus pruden-

363. Κνίσση μελδόμενος.] Ἀντὶ τοῦ τὰ λίπη τήκων. παθητικὸν ἀντὶ ἐνεργητικοῦ τὸ μέλδων. Σιάλοιο.] Εὐτραφοῦς, λιπαροῦ. 364. Ἀμβολάδην.] Ἀναβάλλων. Κάγκανα.] Κατάξηρα, παρὰ τὸ κῆαι. 366. Οὐδ' ἔθελε.] Νῦν, οὐκ ἠδύνατο. Ἀλλ' ἴσχετο.] Ἀλλὰ ἐπίσχετο. 369. Ἔχραε.] Ἐπεὶ ἐξαρχῆς ἐπηνέχθη σφοδρῶς. Κήδειν.] Λυπεῖν, κακοῦν. 370. Ἐξ ἄλλων.] Ὑπὲρ τοὺς ἄλλους. 375. Μαλερῷ.] Τῷ πάντα μαραίνοντι. Δάηται.] Καίηται. 379. Σχέο.] Ἐπίσχες. 380. Στυφελίζειν.] Ταράσσειν, θλίβειν, κακοῦν. 382. Κατέσχετο καλὰ ῥέεθρα.] Γράφεται καὶ κατέσσυτο, ἵν' ᾖ τὰ καλὰ ῥεῖθρα ὥρμησε. 385. Βε-

ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο.
σὺν δ' ἔπεσον μεγάλῳ ὁμάδῳ, βράχε δ' εὐρεῖα χθών·
ἀμφὶ δὲ σάλπιγξε μέγας οὐρανος· ἄϊε δὲ Ζεὺς
ἥμενος Οὐλύμπῳ, ἐγέλασσε δέ οἱ φίλον ἦτορ
γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
ἔνθ' οἵ γ' οὐκ ἔτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε,
χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·
Τίπτ' αὖτ', ὦ κυνάμυια, θεοὺς ἔριδι ξυνελαύνεις,
θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ οὐ μέμνῃ, ὅτε Τυδείδην Διομήδε' ἀνῆκας
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας;

389. δέ Ϝοι. 394. vulg. κυνόμυια. et αὖ.

ter abstinent—469. Dianam eum increpantem Juno male verberibus mulcat—496. Mercurio et ipso pugnam detrectante, Latona in Olympum redit—505. ubi Diana ad Jovem de injuria a Junone illata conqueritur—514. Redit Apollo Ilium et ceteri dii in Olympum. Ita solus relinquitur Achilles—520. Hoc est episodium τῆς θεομαχίας. de quo h. l. saltem hæc monebo. Nulla caussa idonea apposita est, cur nunc demum dii manus conferant. Supra Υ. 138. convenerat Neptuno auctore, ne intervenirent dii pugnæ, nisi ab Apolline et Marte aliquid novatum esse vidissent. Tum ipse congressus nihil habet, quo fortuna pugnæ inter Trojanos et Achivos mutetur, nisi quatenus Scamander in ordinem coactus quiescit. Totum itaque episodium, quod per se plurima habet præclara phantasmata et ornamenta, natat in medio et fluctuat, neque carminis summæ ullo vinculo adhæerescit. cf. ad Υ. 75.

385—390. Pugna inter deos inita. ἔρις βεβριθυῖα, βαρεῖα.—386. δίχα θυμὸς ἄητο. ἐφέρετο μετέωρος. ipsi ambigebant. ut quæ in aere suspensa sunt, afflante vento mota modo huc modo illuc feruntur. Ductum inde ἀεσίφρων.—388. οὐρανὸς σάλπιγξε simpl. resonuit, remugiit.—389. ἐγέλασσε. v. Η. 61. Θ. 81.

391—414. Primo loco pugnam facit Mars cum Minerva, parum feliciter.

391. ἔνθα *tum* illi, qui diu otiosi sederant, Υ. 146. irruentes manus conseruerunt. —394—409. et sq. Ad ductum moris vitæ heroicæ convicia sibi faciunt dii pugnantes.—394. κυνάμυια, ἡ ἀναιδής. quæ aliis κυνόμυια.—395. θάρσος ἄητον. ἄατον. *ingens.* ἄτω, ἆτον, ἄατον, cui noceri nequit, validum, ingens, nunc ἄητον et Σ. 410. αἴητον. Nisi ab ἄδω, satio, duxeris, Nicandri exemplo, Ther. 783. ποηφάγος, αἰὲν ἄητος. pro ἄπληστος. Certe ἄητον est τὸ πολὺ, τὸ μέγα.—396. annon recordaris sc. sup. Ε. 855. sqq.—397. πανόψιον, *in conspectu omnium, palam.* κατὰ τὸ ἐπιφανὲς, ἐπιφανῶς. nisi

βριθυῖα.] Βαρεῖα, δεινή. 386. Ἄητο.] Ἐκινεῖτο, ὥρμα. Δίχα δέ σφισι θυμὸς ἄητο.] Διχῶς δὲ αὐτῶν ὡρμήθη ἡ ψυχὴ, τουτέστι διάφορον ἔσχον τὴν γνώμην. 387. Πατάγῳ.] Ψόφῳ. 388. Ἀμφὶ δὲ σάλπιγξ ἴαχε.] Περιήχησεν δὲ ἡ σάλπιγξ, ἐξ ὧν προείρηται, ὅτι τῶν ἰδίων χρόνων ὠνόμακε τὴν σάλπιγγα ὁ Ποιητής. 392. Ῥινοτόρος.] Ὁ τιτρώσκων καὶ διακόπτων τοὺς ῥινούς. ῥινοὶ δὲ καλοῦνται αἱ ἀσπίδες, ὅτι ἐκ βοείων βυρσῶν εἰσιν. ὁμοίως δὲ καὶ τὸ τῶν ἀνθρώπων δέρμα. 393. Ὀνείδειον.] Ὀνειδιστικόν. 394. Κυνόμυια.] Ἀναιδὴς ὡς μυῖα. ἐκ δύο ἀναιδῶν τελείων τοῦ τε κυνὸς καὶ τῆς μυίας διὰ τὸ ὑπερβάλλον τῆς ἀναιδείας. Συνελαύνεις.] Συμβάλλεις εἰς μάχην. 395. Θάρσος ἄητον.] Μέγιστον θάρσος. 397. Πανόψιον ἔγχος.] Ἐν τῇ πάντων ὄψει ὁρώμενον. πᾶσιν ὁρώ-

τῷ σ' αὖ νῦν οἴω ἀποτισέμεν, ὅσσα μ' ἔοργας.
Ὣς εἰπὼν, οὔτησε κατ' αἰγίδα θυσσανόεσσαν,
σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνὸς,
τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ.
ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ,
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε, μέγαν τε,
τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦσε δὲ γυῖα·
ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσὼν, ἐκόνισσε δὲ χαίτας,
τεύχεά τ' ἀμφαράβησε. γέλασσε δὲ Παλλὰς Ἀθήνη,
καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·
Νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράσω, ὅσσον ἀρείων
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἀντιφερίζεις;
οὕτω κεν τῆς μητρὸς Ἐριννύας ἐξαποτίνοις,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺς
κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις.
Ὣς ἄρα φωνήσασα, πάλιν τρέπεν ὄσσε φαεινώ·
τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη,
πυκνὰ μάλα στενάχοντα· μόγις δ' ἐσαγείρετο θυμόν.

399. ὅσσα μ' ἔϝοργας aut potius ὅσσα ϝέϝοργας. 400. ϝειπών. 409. ϝοι—ϝέπεα. 415. vulg. τράπεν. 417. vulg. ἐσαγείρατο.

præferas pro λαμπρὸν ἔγχος.—400—3. Indocte satis clipeum ferit Mars; quo ictu penetrare non poterat in corpus, sed tantum deam percellere et de statu movere. At mirum, quod illa 403. non et ipsa hasta eum petit, sed saxo arrepto: putabimusne eam jam solo acclinem in genua subsedisse? an et hoc ex vetustiore carmine Θεομαχίας, ut cetera esse arreptum?—402. τῇ μιν Ἄρης οὔτησεν. h. e. ἐν ταύτῃ τῇ αἰγίδι. hasta in ægidem impacta percussit.—405. οὖρον ἀρούρης, ὅρον χώρας, terminum agri.—406. In *collo* petitur saxo Mars ut sup. Teucer ab Hectore Θ. 326. Sic Π. 587. Patroclus Sthenelaum ferit. Forte dum petebatur caput. Æneas tamen a Diomede ἐπ' ἰσχίον E. 305 et al.—407. Locus memorari solitus in notatione vastæ speciei deorum. *plethrum* centum pedum.—411. ὅτι μοι μένος ἀντιφερίζεις κατὰ μένος μένει. ut inf. 482 488.—412. μητρὸς Ἐριννύας ἐξαποτίνοις. Erinnyes *ulciscuntur* scelus; impietatem, injuriam: ut πρεσβυτέροισιν Ἐριννύες αἰὲν ἕπονται, O. 204. Inde dictæ μητρὸς Ἐριννύες. Od. Λ. 279. ἄλγεα—ὅσσα τε μητρὸς Ἐριννύες ἐκτελέουσι (ut πτωχῶν Ἐριννύες ultrices injuriæ Od. P. 473.) et nunc ipsam *pœnam* debitam ex scelere declarant; dum ille persolvit pœnam, luit quoque impietatem in matrem, dum adversas ei partes tuetur. Hæc pœna mox declaratur per κακά. Alio ac diverso modo Erinnys est ipsum *scelus*, et *reatus*, tandem et *furor animi*, unde scelus et injuria manavit. Sic et Latini. *regnat Erinnys* et, *Furias Ajacis Oilei.*—413. quæ te ultura est.—415. Contemtus hostis victi bene declaratur in dea.—Tum 416—434. Venus Martem abducens, Junone instigante, a Minerva prosternitur.—417. μόλις δ' ἐσαγείρετο θυμὸν Mars. Formam lo-

μενον. Οἱονεὶ πανόρατον. 398. Ἔδαψας. Ἔκοψας. 403. Ἀναχασσαμένη.] Ὑποχωρήσασα. 405. Οὖρον ἀρούρης.] Ὅρον χώρας. 408. Ἀμφαράβησε.] Περιήχησεν. 410. Ἐπεφράσω.] Ἐπέγνως, ἐνόησας. Ἀρείων.] Βελτίων. 412. Οὕτω κεν τῆς μητρὸς ἐριννύας ἐξαποτίνοις.] Οὕτως ἄν σε αἱ τῆς μητρὸς ἐριννύες μετελθοιεν. 413. Χωομένη.] Νῦν ὀργιζομένη.

τὴν δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,
καὶ δ' αὖθ' ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα
δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.
Ὣς φάτ'· Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῷ·
καί ῥ' ἐπιεισαμένη, πρὸς στήθεα χειρὶ παχείῃ
ἤλασε, τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τὼ μὲν ἄρ' ἄμφω κεῖντο ποτὶ χθονὶ πουλυβοτείρῃ·
ἡ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντ' ἀγόρευε·
Τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοὶ,
εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῇσιν,
ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
ἦλθεν Ἄρει ἐπίκουρος, ἐμῷ μένει ἀντιόωσα·
τῷ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,
Ἰλίου ἐκπέρσαντες ἐϋκτίμενον πτολίεθρον.
Ὣς φάτο· μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.
αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων Ἐνοσίχθων·
Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν,
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ' ἀμαχητὶ
ἴομεν Οὔλυμπόνδε, Διὸς προτὶ χαλκοβατὲς δῶ.
ἄρχε. σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοιγε
καλὸν, ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα.
νηπύτι', ὡς ἄνοον κραδίην ἔχες, οὐδέ νυ τῶν περ

419. Ϝέπεα. 421. vulg. κυνόμυια. 427. Ϝέπεα.
433. Ϝιλίου. 436. οὐδέ Ϝέϝοικε. 440. πλείονα Ϝοῖδα.

quendi vidimus jam O. 240. ἀτρυτώνη· jam B. 157.—424. καί ῥ' ἐπιεισαμένη. ἐπελθοῦσα. μετελθοῦσα, μετεσσυμένη. ut in antec. verss.—425. jacuit prostrata et sensu privata, syncopen passa.—430. τλήμονες, εὔτολμοι. sarcastice.—432. τῷ κεν. τῷ, ἐν τούτῳ. οὕτως. subintell. *Quod si jam antea factum esset:* dudum sane Troja capta esset.

435—469. Neptunus cum Apolline congressurus revocat ei in animum injurias a Laomedonte acceptas, stultitiamque exprobrat, quod nunc nihilominus Trojanorum res tutetur. Tum Apollo verecundia victus pugna haud tentata discedit.

439. ἄρχε, σὺ γὰρ—Notabis exquisitum hunc heroicæ ætatis sensum honesti et decori, quod minori natu jus est emittendi primo loco hastam. Quod igitur in cædibus ex provocatione mutuis homines nostri ad honoris, quem appellant, sensum exquisitiorem referunt, uter alterum priore loco petat et jugulet, jam rudes et barbari homines, nec modo in provocandi alios immanitate, verum in ipso prælio, statuerunt.—440. οὐ γὰρ ἔμοι γε καλὸν sc. τὸ ἄρχειν τῆς μάχης.—442—460. Fabula de

422. Μέτελθε.] Ἐπ' αὐτὴν παραγενοῦ. τιμώρησον. 423. Μετέσσυτο.] Ὥρμησεν. 424. Ἐπιεισαμένη.] Ἐφορμήσασα. 430. Θαρσαλέοι.] Εὐθαρσεῖς. 437. Αἴσχιον.] Ὀνειδιστικόν. 438. Χαλκοβατές.] Ἰσχυρόν.

μέμνῃ, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ,
μοῦνοι νῶϊ θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν,
μισθῷ ἔπι ῥητῷ, ὁ δὲ σημαίνων ἐπέτελλεν;
ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλὸν ἵν' ἄῤῥηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.
ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες Ὧραι
ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ' ἀπέπεμπε.
σὺν μὲν ὅγ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
στεῦτο δ' ὅγ' ἀμφοτέρων ἀποκοψέμεν οὔατα χαλκῷ.

442. κακὰ Ϝίλιον. 446. vulg. πόλιν καὶ τεῖχος. 448. Ϝέλικας. 453. vulg. σοὶ μέν.

θητεία Neptuni et Apollinis apud Laomedontem, et munita muris Troja. cf. Apollod. II. 5, 9. §. 9.—444. πὰρ Διὸς, *Jovis jussu*, pœna a Jove inflicta.—445. ὁ δὲ σημαίνων ἐπέτελλε, Laomedon, tanquam dominus τοῖς θητεύουσιν, opus injungit.—448. Alias Apollo et ipse muris exstruendis operam dat, ut etiam ap. Pindar. Ol. VIII. 41. sq. et in ipso Homero Il. H. 452, 3.—450. μισθοῖο τέλος. τῆς μισθώσεως. diem dictam mercedis persolvendæ.—451. νῶϊ βιήσατο (κατὰ) μισθὸν, injuriam fecit auferendo, h. negavit mercedem condictam.—453. σὺν μὲν ὅγε. *una cum hoc. præterea.* Vix tamen ab eodem auctore profecti sunt vss. 453, 454. et is, qui subjicitur, στεῦτο δ' ὅγε.—454. περάαν *vendere in servitutem.*—455. στεῦτο δ' ὅγ' asseverabat. διεβεβαιοῦτο, B. 597. et

443. Ἀγήνορι.] Ἀνδρείῳ. 444. Θητεύσαμεν.] Ἐπὶ μισθῷ ἐδουλεύσαμεν. 445. Ἐπὶ ῥητῷ.] Ἐπὶ ὡμολογημένῳ καὶ ὡρισμένῳ μισθῷ. πῶς δέ φησιν Ἀπόλλων μὲν οὐ μέμνηται τῆς παρὰ Λαομέδοντος θητείας, Ποσειδῶν δὲ μνείαν ταύτης ποιεῖται; καὶ ῥητέον, ὅτι Ποσειδῶν μὲν εἰκότως τοῖς Ἕλλησι βοηθεῖ, καὶ προσέτι παροξύνεται τῇ μνήμῃ. Ἀπόλλων δὲ οὐ μνησικακεῖ, διότι μᾶλλον τιμᾶται παρ' αὐτῶν, ἡ δὲ τελευταία χάρις κἂν ἐλάσσων ᾖ δύναται μεῖζον ἔγκλημα λῦσαι. 446. Ἔδειμα.] Ὠικοδόμησα. 448. Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες.] Φασὶ τὸν Ἀπόλλωνα κεκλῆσθαι νόμιον, διὰ ταύτην αἰτίαν. οἱ παλαιοὶ τοὺς λοιμοὺς ἐξ Ἀπόλλωνος ἐνόμιζον. πᾶς δὲ λοιμὸς ἀπὸ τῶν ἀλόγων ἄρχεται, ὥς φησι καὶ Ὅμηρος· Οὐρῆας μὲν πρῶτον ἐπῴχετο, καὶ κύνας ἀργούς. βουλόμενοι οὖν τὸν θεὸν [illegible], ἵνα τοὺς λοιμοὺς ἀποστρέψῃ, νόμιον καὶ φύλακα τῶν βοσκημάτων ἐκάλεσαν. ὅθεν ἠδύνατο Ὅμηρος εἰπεῖν ἐβουκόλησε παρὰ Λαομέδοντι, καὶ Ἀδμήτῳ ἱπποφορβῆσαι, ὥς ἱστορεῖ Ἀπολλόδωρος. Ἕλικας βοῦς βουκολέεσκες.] Ἔνεμες, ἔβοσκες. ἕλικας καὶ τὰς βοῦς φησιν ἐπιθετικῶς, ἤτοι ἀπὸ τῆς κινήσεως τῶν ποδῶν, καθ' ὃ εἰλίποδες λέγονται, ἢ τοὺς ἑλικοειδῆ τὰ κέρατα ἔχοντας, ὅ ἐστιν ἐπικαμπῆ. 449. Κνημοῖσι.] Ταῖς προβάσεσι τῶν ὀρῶν. Πολυπτύχου.] Πολλὰς ἐξοχὰς καὶ ἀποκλίσεις ἔχοντος. 450. Πολυγηθέες.] Πολλὴν χαρὰν τοῖς ἀνθρώποις τῇ αὐτῶν ἐπελεύσει ἐμποιοῦσαι. 451. Βιήσατο.] Μετὰ βίας ἀφείλετο. 454. Περάαν.] Περᾶσαι. Τηλεδαπάων.] Πόῤῥω οὐσῶν. 455. Στεῦτο.] Διεβεβαιοῦτο, ὑπισχνεῖτο. Ἀπειλε-

νῶϊ δέ τ' ἄψορροι κίομεν, κεκοτηότι θυμῷ,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσε.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν; οὐδὲ μεθ' ἡμέων
πειρᾷ, ὥς κε Τρῶες ὑπερφίαλοι ἀπόλωνται
πρόχνυ κακῶς, σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισι;
  Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Ἐννοσίγαι', οὐκ ἄν με σαόφρονα μυθήσαιο
ἔμμεναι, εἰ δὴ σοί γε, βροτῶν ἕνεκα, πτολεμίξω,
δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δ' αὖ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης· οἱ δ' αὐτοὶ δηριαάσθων.
  Ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.
τὸν δὲ κασιγνήτη μάλα νείκεσε, πότνια θηρῶν
Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
  Φεύγεις δή, Ἑκάεργε; Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας;
νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω

461. προσέϝειπε ϝάναξ ϝεκάϝεργος. 463. vulg. πτολεμίζω. 464. φύλλοισι ϝεϝοικότες. 472. ϝεκάϝεργε. 473. δέ ϝοι.

al.—458. λαοῖσι Laomedontis, τοῖς Τρωσί.—460. πρόχνυ vidimus I. 566.—465, 6. ζαφλεγέες et ἀκήριοι. *modo sunt vigore et robore pleni, vigentes, alacres*, ἔνθερμοι. δραστήριοι. *modo viribus deficiunt; privati omni vi et vita.* ἀκήριος a κέαρ, κῆρ, vita, vis. ut jam, E. 812. δέος ἀκήριον.

470—496. Diana, stans et ipsa a Trojanorum caussa, Apollinem objurgat pugnam cum Neptuno detrectantem. Tum inde a 479. his auditis Juno eam verbis exagitat, mox arrepto ejus arcu verberibus mulcat.

473. μέλεον εὖχος. *gloriam*, victoriam, *inanem*, quippe nulla pugna ἀκοντὶ, partam. —475. Possis credere, Apollinem aliquando cum Neptuno esse congressum; forte pugna contra Neptunum et Minervam, cum Jovem vincire illi volebant; v. ad A. 400. Potest tamen junctura verborum haud uno modo fieri. μὴ σεῦ νῦν ἔτι. *vide ne*—

ψέμεν.] Ἀπολεπίσαι. Οὔατα.] Ὦτα. 456. Κεκοτηότι.] Ὀργίλῳ. Κεκοτηότι θυμῷ.] Ὠργισμένῃ τῇ ψυχῇ. 458. Τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν.] Διὰ οὖν τὰς τοιαύτας αἰτίας, τοῖς τούτου ὄχλοις φέρεις χάριν. 460. Πρόχνυ.] Παντελῶς, πρόῤῥιζοι. 462. Σαόφρονα.] Σώφρονα, φρόνιμον. 464. Δειλέων.] Δειλῶν, ἀθλίων. Οἳ φύλλοισιν ἐοικότες.] Ἀντὶ τοῦ φύλλοις ὅμοιοι, διὰ τὸ καὶ αὐτὰ ἀποῤῥέοντα ἀφανίζεσθαι. 465. Ζαφλεγέες.] Μεγάλως ἔνθερμοι. ἐνεργεῖς. δραστήριοι. ἢ λαμπροὶ καὶ αὐξανόμενοι. Τελέθουσι.] Γίγνονται. 467. Δηριαάσθων.] Φιλονεικείτωσαν. 468. Αἴδετο.] Ἠιδεῖτο. 469. Πατρικασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσιν.] Εἰς χεῖρα ἐλθεῖν τοῦ πατρὸς ἀδελφοῦ. 471. Ἀγροτέρη.] Κυνηγετική, θηρατική. λέγει δὲ τὴν Ἄρτεμιν. 473. Μέλεον.] Μά-

εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν.
Ὣς φάτο· τὴν δ' οὔτι προσέφη ἑκάεργος Ἀπόλλων.
Ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις,
νείκεσεν Ἰοχέαιραν ὀνειδείοις ἐπέεσσι·
Πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδδεὲς, ἀντί' ἐμεῖο
στήσεσθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι,
τοξοφόρῳ περ ἐούσῃ, ἐπεί σε λέοντα γυναιξὶ
Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν', ἥν κ' ἐθέλῃσθα.
ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν,
ἀγροτέρας τ' ἐλάφους, ἢ κρείσσοσιν ἶφι μάχεσθαι.
εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι· ὄφρ' εὖ εἰδῇς,
ὅσσον φερτέρη εἴμ', ὅτι μοι μένος ἀντιφερίζεις.
Ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε
σκαιῇ, δεξιτερῇ δ' ἄρ' ἀπ' ὤμων αἴνυτο τόξα·
αὐτοῖσι δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιόωσα
ἐντροπαλιζομένην· ταχέες δ' ἔκπιπτον ὀϊστοί·
δακρυόεσσα δ' ὕπαιθα θεὰ φύγεν, ὥστε πέλεια,
ἥ ῥά θ' ὑπ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,

478. ϜεκάϜεργος. 480. Ϝεπέεσσι. 482. vulg. στήσασθαι.
486. κρείσσοσι Ϝῖφι. 487. Ϝειδῇς. 493. vulg. ἔπειτα.

φυλάττει, ut ait.—482. χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι. χαλεπόν ἐστι, ὥστε σε ἀντιφέρεσθαι ἐμοὶ κατὰ τὸ μένος, μένει, ut 488. μοὶ (κατὰ) μένος ἀντιφερίζεις.—483. ἐπεί σε ad ultima spectant, τοξοφόρῳ περ ἐούσῃ. itaque minorem interpunctionem appono. Arcum illa gerit tanquam venatrix: hactenus Jupiter eam inter deas ceteras constituit λέοντα, leænam, h. e. *vastatricem, ferarum.* Eo sensu continuatur oratio vs. 485. At, si Jupiter ἔδωκε κατακτάμεν ἥν κ' ἐθέλῃσθα. nihil est quo ἥν referas quam ad voc. γυναιξὶν, ut sit ἥν γυναῖκα. Nunc igitur necesse est, aut, quod veteres sequuntur, ut ad præsidem partuum Dianam hæc referamus, etsi Ilithyiarum munus hoc est apud Homerum; aut, quod equidem mihi persuadeo, respiciunt hæc opinionem de mulieribus subita morte extinctis per tela Dianæ.—487. εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι· cum gestu, (ἐν ἤθει) et cum actu: scilicet, agedum discito hoc meo facto. Cum his manum Dianæ utramque sua sinistra prehendit Juno, et dextra eam verberat.—490. τόξα, ipsum arcum ex humero suspensum, eoque ejus tempora et aures percutit; sequitur tamen: ἔκπιπτον ὀϊστοί· quod non nisi de pharetra accipi potest; aut igitur de hac accipienda sunt τόξα, aut dicendum, ista, ἔκπιπτον ὀϊστοὶ, spectare ad motum corporis deæ, subducentis se verberibus, ita ut inclinato aut intorto humero pharetra exciderent sagittæ.—492. ἐντροπαλιζομένην. sane ad rem ipsam ad vivum exhibendam accommodatissimum. Ut hæc ferenda in carmine hoc putarent veteres, tenendum est: pro disciplinæ priscæ domesticæ lege, Dianam, ut puellam, a Junone matrona castigari.—493. comparatio est suavis et bene ornata adjunctis. ὕπαιθα φύγε,

ταιον. 481. Ἀδδεές.] Μὴ δεδοικυῖα, θρασεῖα. 482. Μένος ἀντιφέρεσθαι.] Ἐναντιοῦσθαι τὴν δύναμιν. 483. Λέοντα.] Ἐπίφοβον ὡς λέοντα. 485. Βέλτερον.] Βέλτιον, κρεῖσσον. 486. Ἀγροτέρας.] Ἀγρίας. 487. Δαήμεναι.] Μαθεῖν. 489. Ἔμαρπτε.] Κατέλαβεν. Ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε.] Ἀμφοτέρας τὰς χεῖρας συνέλαβε τῶν καρπῶν. 490. Αἴνυτο.] Ἀφῃρεῖτο. 491. Ἔθεινεν.] Ἔτυπτεν. 493. Πέλεια.] Περιστερά. 494. Ἴρηκος.] Ἱέ-

χηραμόν· οὐδ' ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν·
ὣς ἡ δακρυόεσσα φύγε, λίπε δ' αὐτόθι τόξα.
Λητὼ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·
  Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι· ἀργαλέον δὲ
πληκτίζεσθ' ἀλόχοισι Διὸς νεφεληγερέταο·
ἀλλὰ μάλα πρόφρασσα μετ' ἀθανάτοισι θεοῖσιν
εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφιν.
  Ὣς ἄρ' ἔφη· Λητὼ δὲ συναίνυτο καμπύλα τόξα,
πεπτεῶτ' ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης·
ἡ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·
ἡ δ' ἄρ' Ὄλυμπον ἵκανε, Διὸς ποτὶ χαλκοβατὲς δῶ,
δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἑανὸς τρέμε. τὴν δὲ προτὶ οἷ
εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο, ἡδὺ γελάσσας·
  Τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, οὐρανιώνων
μαψιδίως, ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ;
  Τὸν δ' αὖτε προσέειπεν ἐϋστέφανος Κελαδεινή·

495. τῇ γε Ϝαλώμεναι. 497. προσέϜειπε. 503. vulg. πεπτεότ'. 504. Ϝῆς. 507. προτὶ Ϝοῖ. 508. ἀνείρετο, Ϝηδύ. vulg. ἀνήρετο. 511. προσέϜειπε.

Diana vapulans subter manibus Junonis elabitur, ut columba fugiens sub accipitre in aere volatu se circumagente. Inf. X. 141. circo in columbam irruente ἡ δέ θ' ὕπαιθα φοβεῖται. cf. ad O. 520.—495. χηραμὸς idem quod κοίλη πέτρη, cavum quo reconditur ales, qui fugit.

497—513. Latona, Mercurio et ipso congressum recusante, collectis filiæ sagittis in Olympum redit, ubi Diana apud Jovem de contumelia a Junone illata frustra conqueritur.

499. πληκτίζεσθ' ἀλόχοισι Διός. frequentius, διαπληκτίζεσθαι, μάχεσθαι. idem quod πλήττεσθαι. unde πλήκτης, πληκτὸς, πληκτικός. ἀλόχοισι. subint. σὺν ἀλόχοις. Et sunt ἄλοχοι nunc amicæ Jovis et concubinæ, vocabulo honesto. Periculosum autem cum iis pugnare, ne Jovis iram in se concitet. Est ergo: *Nolo tecum pugnare, quippe cum ea, quæ amata est a Jove.*—500. ἀλλὰ μάλα πρόφρασσα εὔχεσθαι. εὔχου, μάλα προφρόνως, per me, *ex animi sententia, quantum voles*, gloriare, me victum esse a te, ut E. 816. τῷ τοι προφρονέως ἐρέω ἔπος, οὐδέ τι κεύσω.—504. πάλιν κίε θυγατέρος ἧς. conversa abiit, μετὰ θυγατέρος ὑπεχώρει. discessit simpliciter. ut sæpe πάλιν ἰέναι, τραπῆναι. et πάλιν κίον Ψ. 257. Ω. 801.—502. τόξα nunc sunt sagittæ: etsi epitheton arcus servatum est.—507. ἀμβρόσιος ἑανὸς τρέμε suaviter ipsius corpore contremiscente et palpitante. προτιεῖλεν οἷ, *attraxit ad se*. προσεῖλε, προσήγετο.—510. μαψιδίως vel nulla idonea de caussa, vel impune. ἐνωπῇ palam, in aliorum conspectu: uterque versus lectus sup. E. 374. Cogitandum, ut dixi, de disciplina domestica priscorum Græcorum.

ρακος. Προσληπτέον τὸ διωκομένη. 495. Χηραμόν.] Χώρημα. κατάδυσιν. Ἁλώμεναι εἵμαρτο.] Ληφθῆναι εἱμαρμένον ἦν. 499. Πληκτίζεσθαι.] Διαπληκτίζεσθαι. στασιάζειν. 502. Συναίνυτο.] Συνελάμβανε. 503. Πεπτεότα.] Πεπτωκότα. Στροφάλιγγι.] Συστροφῇ. 507. Ἑανός.] Πέπλος. Προτὶ οἷ.] Πρὸς ἑαυτόν. 511. Ἐϋστέφανος.] Καλὴν στεφάνην ἔχουσα. στεφάνη δέ ἐστι κόσμος γυναικεῖος, καὶ περικεφαλαίας εἶδος.

σή μ' ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
μέμβλετο γάρ οἱ τεῖχος ἐϋδμήτοιο πόληος,
μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
οἱ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
οἱ μὲν, χωόμενοι, οἱ δὲ, μέγα κυδιόωντες·
κὰδ δ' ἵζον παρ Ζηνὶ κελαινεφεῖ. Αὐτὰρ Ἀχιλλεὺς
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους.
ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἱκάνει
ἄστεος αἰθομένοιο· θεῶν δέ ἑ μῆνις ἀνῆκε·
πᾶσι δὲ θῆκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν·
ὡς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδεα θῆκεν.
Ἑστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
ἐς δ' ἐνόησ' Ἀχιλῆα πελώριον. αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκὴ
γίγνεθ'. ὁ δ' οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
ὀτρύνων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς·
Πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰσόκε λαοὶ
ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς

515. ἐδύσετο Ϝίλιον. 516. γάρ Ϝοι. 520. vulg. παρὰ πατρί.
523. Ϝάστεος—δέ Ϝε. 524. vulg. δ' ἔθηκε. 525. vulg. κήδε' ἔθηκεν.
526. vulg. εἱστήκει. 530. al. ὀτρυνέων. 532. προτὶ Ϝάστυ.

rum in puellarum custodia.—512. στυφέλιξε *male mulcavit*, ut modo 380. ultro citroque jactando, pulsando.—513. νεῖκος ἐφῆπται *immitti solet.*

515—520. Apollo Ilium, reliqui dii in Olympum redeunt. Relinquuntur suis ipsorum viribus et animis pugnantes: ita ut vix assequare, quo cum fructu ac consilio dii in pugnam descenderint.—517. ὑπὲρ μόρον, nondum ultima necessitate fatali urgente, quæ averti nequit; v. ad P. 321. οἱ μὲν χωόμενοι, *indignantes* cum pudore, se victos esse. At veteres, *confusi*, *perturbati*, accepere: συγχεόμενοι, ut N. 165.

520—536. Redit narratio ad Achillem, qui servatus a Vulcano (328. sq.) Trojanis fugientibus instat. Ad eos recipiendos Priamus portam urbis apertam habere jubet.

522. Comparatur strages Trojanorum ab Achille facta cum incendio late grassante, vento immisso; quod repetitur a diis iratis; πᾶσι δὲ τίθησι πόνον, (μῆνις θεῶν an καπνός? hoc præfero) qui in igni restinguendo desudant, πολλοῖς δὲ κήδεα ἐφίησι, incensis domibus.—523. θεῶν δέ ἑ μῆνις ἀνῆκε. pro, ὃν καπνὸν, ignem ἀνίησι θεῶν μῆνις. Etiam hoc ex antiqua simplicitate, cum, incendio facto repente magna venti vis aut procella ingruit, ita ut flamma increbescat; pro istorum hominum superstitione res nova ab ira deorum repetitur.—527. αὐτὰρ ὑπ' αὐτοῦ. Mutata structura facit orationem vividiorem, quam vulgaris: videbat Achillem καὶ τοὺς Τρῶας κλονουμένους.—οὐδέ τις ἀλκὴ

516. Μέμβλετο.] Ἔμελλεν. 521. Ὤλεκεν.] Ἀνῄρει. 530. Ἀγακλειτούς.] Ἐνδόξους. Πυλαωρούς.] Πυλωρούς. 531. Πεπταμένας.] Ἀνεῳγμένας.

ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγι' ἔσεσθαι·
αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
αὖτις ἐπ' ἂψ θέμεναι σανίδας πυκινῶς ἀραρυίας·
δείδια γὰρ, μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται.
 Ὣς ἔφατ'· οἱ δ' ἄνεσάν τε πύλας, καὶ ἀπῶσαν ὀχῆας·
αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος. αὐτὰρ Ἀπόλλων
ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
οἱ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο,
δίψῃ καρχαλέοι, κεκονιμένοι, ἐκ πεδίοιο
φεῦγον· ὁ δὲ σφεδανῶν ἔφεπ' ἔγχεϊ· λύσσα δέ οἱ κῆρ
αἰὲν ἔχε κρατερὴ, μενέαινε δὲ κῦδος ἀρέσθαι.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκε
φῶτ', Ἀντήνορος υἱὸν ἀμύμονά τε, κρατερόν τε.
ἐν μέν οἱ κραδίῃ θάρσος βάλε, πὰρ δέ οἱ αὐτὸς
ἔστη, ὅπως Θανάτοιο βαρείας χεῖρας ἀλάλκοι,
φηγῷ κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.

534. ἀναπνεύσωσι Ϝαλέντες. 536. vulg. ἅληται.
542. vulg. σφεδανὸν ἔφεπ'. δέ Ϝοι. 547. ἐν μέν Ϝοι—δέ Ϝοι.

γίνετο. *resistere* instanti *non poterant*.—533. νῦν οἴω λοίγι' ἔσεσθαι. τὰ λοίγια pro τὸν λοιγὸν, sic iterum Ψ. 310. et οἴω *metuo*.—534. ἐς τεῖχος ἀλέντες junge, *intra urbem collecti, recepti*. iterum inf. 607. X. 47. v. ad Π. 714.—536. ἐς τεῖχος ἅληται *irruat in urbem* per portam patentem εἰσάλληται ab ἅλλομαι, vel ἄλλομαι, nam et hoc scriptum olim est: ut in μετάλμενος. Sup. Λ. 192. εἰς ἵππους ἅλεται.

537.—ad f. Aperta urbis porta fugientes recipiuntur. Consulit eorum saluti Apollo. Cum enim instaret iis Achilles, prorumpit ante portam, et Agenorem incitat, ut is, ad eum avertendum, se objiciat Achilli; hasta in hunc emissa sine vulnere, fugit Agenor in diversas ab urbe partes, eoque erepto et ejus specie assumta ipse Apollo fugere pergit, ut instante ei Achille tutus interea esset receptus Trojanis fugientibus. Sunt in his nonnulla, quæ cum novissimis fatis Patrocli conveniunt; variata tamen.

538. τεῦξαν φάος *salutem*, ut sæpe.—541. δίψῃ καρχαλέοι, καταξηροι, aridi, sicci, præ siti. κάρχαρος, καρχαρέος et καρχαλέος, τραχὺς, ὀξὺς asper, exasperatus. Etiam Apollon. IV. 1442. Idem III. 1058. καρχαρέοι vel καρχαλέοι κύνες.—542. σφεδανῶν, *vi instans*, urgens a σφεδανὸς, quod vidimus Λ. 165. Π. 372.—544. Salutem fugientibus parat Agenor, unus ex Antenoris filiis, Achillem a cæde in se avertendo, dum ei occurrit eumque ad pugnam provocat, mox fugit. Quæ vir fortis deliberato facit, Apollinis monito tribuuntur, qui sub ilice caligine occultatus adstat.—548. Adstat Apollo Agenori, *ut mortem ipse ab eo avertat*. Num et memorabile est Θανάτου χεῖρας. Mutatus ille in personam, unde in Eurip. Alcest. in scenam non sine exemplo Thanatos produci potuit.—551. multa ei animus *versabat*. Præclare hic locus

534. Ἀλέντες.] Συστραφέντες. 535. Αὖτις ἐπ' ἂψ θέμεναι.] Πάλιν ἐπικλεῖσαι, καὶ ἐπιθεῖναι. Σανίδας.] Θύρας. 537. Ἄνεσάν τε.] Ἀνέστειλαν, ἐνέωξαν. Ὀχῆας.] Νῦν μοχλούς. 538. Πετασθεῖσαι.] Ἐξαπλωθεῖσαι, ἀνοιχθεῖσαι. 541. Δίψῃ καρφαλέοι.] Ξηροὶ ὑπὸ δίψης. Καρφαλέοι.] Ξηροί. 542. Σφεδανόν.] Ἀντὶ τοῦ σφεδανῶς, ἐσπευσμένως, ἢ καταπληκτικῶς. 549. Κεκλιμένος φηγῷ.] Ἀντὶ τοῦ περιεχόμενος ὑπὸ φηγοῦ. καὶ περικεκλιμένος αὐτῇ. 551. Πόρφυρε.]

αὐτὰρ ὅγ', ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον,
ἔστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγών. εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,
αἱρήσει με καὶ ὧς, καὶ ἀνάλκιδα δειροτομήσει.
εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑπὸ κλονέεσθαι ἐάσω
Πηλείδῃ Ἀχιλῆϊ, ποσὶν δ' ἀπὸ τείχεος ἄλλῃ
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ' ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς, κατά τε ῥωπήϊα δύω,
ἑσπέριος δ' ἂν ἔπειτα, λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθεὶς, προτὶ Ἴλιον ἀπονεοίμην·—
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ' ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ,
καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν.
οὐκ ἔτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι.
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
εἰ δέ κεν οἱ προπάροιθε πόλεος κατεναντίον ἔλθω·—
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ,

551. δέ Ϝοι. 552. ἄρα Ϝεῖπε πρὸς Ϝόν. v. Obss. 554. vulg. φοβέονται. 556. vulg. ὑποκλονέεσθαι. 558. πεδίον Ϝιλήϊον. 560. Ϝεσπέριος. 561. ποτὶ Ϝίλιον. 567. κέ Ϝοι. vulg. πόλιος et πόλεως.

et hæc deliberatio animi in omnes partes se vertentis est exposita: ἐν ἤθει illa recitanda. Heu, inquit Agenor, misero mihi! utrum elegero, miser sum. Nunc tria subjicit. Si in turba ceterorum fugientium fugero: cædar et ipse inter fugientes: 553, 4, 5.—556, 7. Alterum quod in mentem venit: *Sin vero fugiam;* sic, ut a ceteris fugientibus deflectens, declinem fugam capessam versus Ili sepulcrum. unde mihi facilis sit ad Idæ saltus receptus, ita ut, sub noctem Trojam incolumis redeam; Jam apodosis vs. 563. sequitur; interposito vs. 562. tanquam dubitantis. *id quod* (561) *tutius foret:* κλονέεσθαι ὑπ' Ἀχιλῆϊ, pro ὑπ' Ἀχιλῆος.—559. καταδύω τὰ ῥωπήϊα, ὑπεισέλθω τὰ δάση. Bene hæc cum situ locorum conveniunt: de quo v. Excursum ad libr. V.—562—566. Alteri huic consilio, ut ipse fuga in diversas partes facta sibi consulat, obstare ait Agenor, quod verendum sit, ne Achilles animadvertens eum fugientem persequatur et attingat.—563. μή μ' subint. δέδοικα. δείδω, μὴ— ἀπαειρόμενον πόλιος πεδίονδε. ἀπαίροντα. ἀποχωροῦντα. φεύγοντα. ante 562. est aposiopesis: συνεὶς ὅτι οὐ καλῶς ἐνταῦθα νοεῖ, ἐγκόπτει τὸν ἐφεξῆς εἱρμὸν τοῦ λόγου τούτου, ait Eustath. καὶ ἀφεὶς ἀναπόδοτον, κατὰ σχῆμα ἐλλείψεως, ἐπισημαίνεται τὸ κακόβουλον. Ἀλλὰ τίη sq.—567—570. εἰ δέ κέν οἱ—Restat tertium: Quid vero? si ei ante urbem occurram? omissa apodosis: *optimum hoc factu esse videtur:* κάλλιον ἔσται aut simile

Κατὰ βάθος ἐμερίμνα, καὶ διενοεῖτο. 556. Εἰ δ' ἂν ἐγὼ ὑποκλονέεσθαι ἐάσω Πηλείδῃ.] Ὑπὸ Ἀχιλλέως συγχωρήσω ταράσσεσθαι. 558. Πεδίον Ἰλήϊον.] Τόπος ἐν ᾧ ὁ Ἴλου τάφος ἐστί. 559. Ῥωπήϊα.] Ἱμαντώδη φυτὰ, ἀφ' οὗ τὰ δάσεα τῆς ὕλης. 562. Διελέξατο.] Διελογίσατο. 563. Ἀπαειρόμενον.] Ἀπαίροντα. 564. Μάρψῃ.] Καταλάβῃ. 567. Εἰ δέ κέν οἱ προπάροιθε πόληος.] Ἐὰν δὲ αὐτῷ ἔμπροσθεν τῆς πόλεως.

ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἑ φάσ᾽ ἄνθρωποι
ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.
Ὣς εἰπὼν, Ἀχιλῆα ἀλεὶς μένεν· ἐν δέ οἱ ἦτορ
ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
ἠΰτε πόρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ
ταρβεῖ, οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ·
εἴπερ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ, ἠὲ βάλησιν,
ἀλλά τε, καὶ περὶ δουρὶ πεπαρμένη, οὐκ ἀπολήγει
ἀλκῆς, πρίν γ᾽ ἠὲ ξυμβλήμεναι, ἠὲ δαμῆναι·
ὣς Ἀντήνορος υἱὸς ἀγαυοῦ, δῖος Ἀγήνωρ,
οὐκ ἔθελε φεύγειν, πρὶν πειρήσαιτ᾽ Ἀχιλῆος.
ἀλλ᾽ ὅ γαρ ἀσπίδα μὲν πρόσθε σχέτο πάντοσ᾽ ἐΐσην,
ἐγχείῃ δ᾽ αὐτοῖο τιτύσκετο, καὶ μέγ᾽ ἄΰτει·
Ἦ δή που μάλ᾽ ἔολπας ἐνὶ φρεσὶ, φαίδιμ᾽ Ἀχιλλεῦ,
ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων·
νηπύτι᾽, ἦ τ᾽ ἔτι πολλὰ τετεύξεται ἄλγε᾽ ἐπ᾽ αὐτῇ·
ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμὲν,
οἵ κε πρόσθε φίλων τοκέων, ἀλόχων τε, καὶ υἱῶν,
Ἴλιον εἰρυόμεσθα· σὺ δ᾽ ἐνθάδε πότμον ἐφέψεις,
ὧδ᾽ ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής.
Ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκε·
καί ῥ᾽ ἔβαλε κνήμην ὑπὸ γούνατος, οὐδ᾽ ἀφάμαρτεν.

569. δέ Fε. porro leg. ἐν δέ τ᾽ ἴα. 570. αὐτάρ Fοι. 571. Fειπὼν, Ἀχιλῆα Fαλεὶς—δέ Fοι. 573. vulg. πάρδαλις. 581. ἐFίσην. vulg. ὅγ᾽ ἄρ᾽—πρόσθ᾽ ἔσχετο. 583. ἔFολπας. 586. γάρ Fοι. 588. FΊλιον.

quid. Fieri enim potest, ut ipse interimatur a me; est enim et ipse mortalis, etsi nunc superior pugnando est. Ita enim accipienda *αὐτάρ οἱ.* ex more Homerico.

571—594. Postrema ratione prælata, ut cum Achille congrediatur, manet in statu Agenor et Achilli venienti se offert; verbis eum provocat, hasta petit, ferit crus nec tamen sauciat.—571. *ἀλεὶς*, *collectus*, incurvatus h. e. corpore ad excipiendum hostem et hastam emittendam composito, quod inf. 581, 2. declaratur. Vidimus jam Π. 403. v. ad Π. 714.—573. *εἶσι. cum impetu, ruit.* ut jam alibi.—577. *περιπεπαρμένη δουρί. transfixa. οὐκ ἀπολήγει ἀλκῆς*, pro *τῆς μάχης. ξυμβλήμεναι, cominus congreditur* cum venatore, unguibus et dentibus ut dilaniet, nisi eminus telo fera percussa fuerit, *ἠὲ δαμῆναι.*—580. *οὐκ ἔθελε φεύγειν. constitutum habuit, ne fugeret, sed maneret: πρὶν*, non, quasi postea fugere vellet; sed eo sensu, ut sit: loco, vice. Tantum aberat, ut fugeret, ut potius aggrederetur.—587. *πρόσθε φίλων—Ἴλιον εἰρυόμεσθα.* dictum ut *πρόσθε*

570. Ὀπάζει.] Κατόπιν διώκει. 571. Ἀλείς.] Συστραφείς. 573. Ξυλόχοιο.] Ὑλώδους τόπου συνδένδρου. 578. Ἀλκῆς.] Νῦν ἀλεξήσεως, βοηθείας. 582. Ἄΰτει.] Ἐβόα. 583. Ἦ δή που μάλ᾽ ἔολπας.] Ὄντως δὴ πάνυ ἤλπικας. 584. Ἀγερώχων.] Αὐθαδῶν. 588. Εἰρυόμεσθα.] Φυλάττομεν. Πότμον ἐφέψεις.] Τεθνήξῃ, ἐπὶ θάνατον ἔλθῃς.

ἀμφὶ δέ μιν κνημὶς νεοτεύκτου κασσιτέροιο
σμερδαλέον κονάβησε. πάλιν δ' ἀπὸ χαλκὸς ὄρουσε
βλημένου, οὐδ' ἐπέρησε· θεοῦ δ' ἠρύκακε δῶρα.
Πηλεΐδης δ' ὡρμήσατ' Ἀγήνορος ἀντιθέοιο
δεύτερος. οὐδέ τ' ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι.
ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
ἡσύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι.
αὐτὰρ ὁ Πηλεΐωνα δόλῳ ἀποέργαθε λαοῦ·
αὐτῷ γὰρ Ἑκάεργος Ἀγήνορι πάντα ἐοικὼς,
ἔστη πρόσθε ποδῶν, ὁ δ' ἐπέσσυτο ποσσὶ διώκειν.
Ἕως ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο,
τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσι·
τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
ἀσπάσιοι προτὶ ἄστυ· πόλις δ' ἔμπλητο ἀλέντων.
οὐδ' ἄρα τοί γ' ἔτλαν πόλιος καὶ τείχεος ἐκτὸς
μεῖναι ἔτ' ἀλλήλους, καὶ γνώμεναι, ὅς τε πεφεύγοι,
ὅς τ' ἔθαν' ἐν πολέμῳ· ἀλλ' ἐσσυμένως ἐσέχυντο
ἐς πόλιν, ὅντινα τῶν γε πόδες καὶ γοῦνα σάωσαν.

599. ἀπὸ Ϝέργαθε. 600. γὰρ ϜεκάϜεργος—πάντα ϜεϜοικώς. vulg. γάρ ῥ' Ἑκάεργος. 603. vulg. στρέψας. 605. Ϝέλποιτο—ποσὶ Ϝοῖσι. 607. προτὶ Ϝάστυ—ἔμπλητο Ϝαλέντων. 610. vulg. ἀλλ' ἀσπασίως.

—μάχεσθαι. h. περὶ, tuendo eos. Proprie est πρόσθεν στὰς, ut Π. 321.—592. Ocrea κασσιτέρου. Non satis nobis constare de hujus metalli natura: monitum jam ad Λ. 25. hoc loco ærea cuspis ab eo resonante resilit: durum ergo metallum fuisse necesse est.—595.—ad f. Achilles jam hasta transfixurus erat Agenorem, cum Apollo hunc eripuit, ejusque persona sumta Achillem fugiendo ad diversas partes traxit: interea Trojani fuga dilapsi in urbem se recipiunt.—598. ἡσύχιον δ' ἄρα μιν. ἡσύχως. tranquille, tacite, leniter, ut a nemine animadverteretur.—602. ἕως ὁ τὸν πεδίοιο διώκετο· h. ὄφρα ὁ Ἀπόλλων τὸν Ἀγήνορα—respondet 606. τόφρα. *dum—interea.*—603. τρέψας παρὰ Σκάμανδρον. Vidimus supra 556. sq. Agenorem fugam capere voluisse seorsum a ceteris, qui secundum Scamandrum versus Trojam tendebant, dum ipse in lævam partem campi, versus Ili tumulum, ad Simoentem tenderet; hoc idem, specie ejus assumta, puta exsequutum esse Apollinem; itaque Achilles eum per planitiem segetibus consitam persequitur sic, ut, a læva, qua Simois prætendebatur, præveniendo ejus cursum, interceptum eum versus Scamandrum, aut ejus fontes, retroageret; τρέψας αὐτὸν πὰρ ποταμὸν Σκάμανδρον. Interea Trojani fugientes cursu portam urbis attingunt.—604. δόλῳ δ' ἄρ' ἔθελγεν, quasi fascinavit, *fefellit:* De vocis vi vidimus Μ. 255.—607. ἀλέντων. sup. 534.—608. Fugiunt intra mœnia suæ quisque saluti consulens nec, quid de aliis fieret, circumspiciens.

594. Ἠρύκακε.] Κατέσχεν. 599. Ἀποέργαθεν.] Ἀπεῖργεν, ἀπεχώριζε. 604. Ἔθελγε.] Νῦν ἠπάτα. 610. Ἐσέχυντο.] Ἀθρόως ἐπῆλθον.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Χ.

ARGUMENTUM.

TROJANIS in urbem fugientibus Achivisque propius ad mœnia accedentibus, Hector extra portam Scæam subsistit—7. Achillem, qui se Agenorem fugientem persequi putabat, ab Apolline de dolo edoctum, redire versus urbem prospiciens (—24.) Priamus hortatur Hectorem, ut intra portam se recipiat—76. Adjungit preces suas mater Hecuba—92. At Hector in diversa consilia districta mente in statu manere decernit—130. accedente tamen propius Achille expavescens in fugam se conjicit, insequente et eum ter ab urbe intercludente Achille—165. Jove Hectoris fortunam miserante, Minerva indignata, venia data Olympo descendit,—187. Cursu aliquamdiu continuato ab Hectore, quem Apollo recreaverat,—207. cum jam quarta vice ad fontes Scamandri perventum esset, fatis utriusque lance expensis Jupiter Hectoris mortem sciscit, Apollo eum derelinquit,—213. Minerva, Achille vires colligere jusso,—225. Deiphobi persona sumta, Hectorem inducit ad novam pugnam ineundam tanquam ei adfutura,—247. Paciscitur Hector de sepultura; ferociter abnuente Achille;—272. Hastam in se conjectam evitat Hector, et hasta sua ferit clipeum Achillis, nec perforat. Reddit Achilli hastam Minerva; at Hector se nudum et ab Deiphobo desertum videns, et a Minerva se proditum suspicatus, fortiter mori decernit—305. educto ense in Achillem procedit, a quo vulnus in gutture accipit, frustraque sepultura exorata, Achilli fatum simile ulciscentium deorum ominatur—360. Ita animam exhalat; at Achilles eum armis spoliat, accurrentibus Achivis ad contemplandum hostem prostratum; tum quasi triumphum acturus, alligato currui cadavere, in castra redit—405. Interea summus in urbe luctus exoritur prospicientium hæc de muro; inde lamenta Priami—429. Hecubæ—430. et, quæ domo accurrerat, Andromaches—515 f.

Deorum ministerium in hoc libro est haud obscurum sub novissima Hectoris. Primo Apollinis, qui assumta Agenoris persona Achillem a fugientibus Trojanis ad alias campi partes abduxerat: 7—20. Tum, Achille Hectorem fugientem urgente, Jupiter inter deos de Hectoris fato consultat; Minerva, ne is fatis intercedat, obtinet, et de Olympo degressa, 166—187. partes agit deæ persona parum dignas. Cum enim Jupiter lancibus sublatis Hectorem morti damnasset, et Apollo, qui ejus vires aliquamdiu sustentaverat, eum deseruisset, v. 203, 4. 213. Minerva Achillem confirmat vires recipientem; fraude aggreditur Hectorem, persona Deiphobi assumta ei obvia facta, ut pugnam cum Achille renovet hortata: 214—247. a qua se elusum Hector sentit, dum hasta frustra

in Achillem emissa aliam a Deiphobo sibi subministrandam frustra circumspicit. 293—299.

Inscripta rhapsodia ἡ Ἕκτορος ἀναίρεσις.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Χ. ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΤΩΝ Τρώων ἐγκλεισθέντων εἰς τὴν πόλιν, μόνος Ἕκτωρ ὑπομείνας Ἀχιλλέα, τὸ μὲν πρῶτον φεύγει, ἔπειτα δὲ ἀνθίσταται, Ἀθηνᾶς αὐτὸν πεισάσης· καὶ ἀναιρεῖται. Ἐξάψας δὲ αὐτὸν τοῦ ἅρματος Ἀχιλλεὺς, διὰ τοῦ πεδίου ἐπὶ τὸν ναύσταθμον ἕλκει. Οἱ δὲ κατὰ τὴν πόλιν ὀδύρονται ταῦτα ὁρῶντες ἐγκεκλεισμένοι.

Χῖ δ' ἄρα τρὶς περὶ τεῖχος ἄγων κτάνεν Ἕκτορ' Ἀχιλλεύς.

ΩΣ οἱ μὲν κατὰ ἄστυ πεφυζότες, ἠΰτε νεβροὶ,
ἱδρῶ ἀπεψύχοντο, πίον τ', ἀκέοντό τε δίψαν,
κεκλιμένοι καλῇσιν ἐπάλξεσιν. αὐτὰρ Ἀχαιοὶ
τείχεος ἆσσον ἴσαν, σάκε' ὤμοισι κλίναντες.
Ἕκτορα δ' αὐτοῦ μεῖναι ὀλοὴ Μοῖρα πέδησεν,
Ἰλίου προπάροιθε, πυλάων τε Σκαιάων.
αὐτὰρ Πηλείωνα προσηύδα Φοῖβος Ἀπόλλων·
Τίπτε με, Πηλέος υἱὲ, ποσὶ ταχέεσσι διώκεις,
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νυ πώ με
ἔγνως ὡς θεός εἰμι, σὺ δ' ἀσπερχὲς μενεαίνεις;
ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος, οὓς ἐφόβησας,
οἳ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης.

1. κατὰ Fάστυ. 5. ὀλοFή. vulg. ὀλοιὴ Μοῖρ' ἐπέδησεν. 6. FιλιόΦι. 12. ἐς Fάστυ Fάλεν.

1—20. Sentit tandem Achilles persequendo Agenorem se a pugna longius recessisse.

1. πεφυζότες. ut Latini, qui *ex fuga nondum se receperant*. ἱδρῶ ἀπεψύχοντο Λ. 620. Φ. 561.—3. κεκλιμένοι ἐπάλξεσιν, ἐπερειδόμενοι τοῖς τείχεσιν.—4. Subeunt mœnia Achivi σάκε' ὤμοισι κλίναντες, non rejectis in tergum clipeis; sed arcte junctis ordinibus, ita ut clipeos ante se ferendo humero admotos haberent: quod faciunt acie accedentes ad hostem Λ. 592. ubi cf. Not. hoc loco muros subeuntes, et, ne telis de turribus petantur, verentes.—5. Μοῖρα ἐπέδησεν Hectorem, ὥστε μεῖναι.—10. ἀσπερχὲς μενεαίνεις. jam Δ. 32.—11, 12. ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος. seu simpl. μάχη seu fuga et ἧττα Trojanorum, *qui ne in urbem se reciperent, cavere debebas*. ἄλεν ἠλύσαν. v. Π. 714.

1. Κατὰ ἄστυ.] Κατὰ τὴν πόλιν. Πεφυζότες.] Δεδειλιακότες, ἐκπεπληγμένοι, ἢ μετὰ δέους πεφυγότες. 2. Ἀπεψύχοντο.] Πρὸς ἄνεμον ἐξηραίνοντο, ἀνεκτῶντο ἑαυτούς. Ἀκέοντο.] Ἐθεραπεύοντο. κυρίως ἀκεῖσθαι, τὸ ἄχος ἰᾶσθαι. καὶ τὸ ὁπωσδήποτε θεραπεύειν, ὅθεν Φρύγες ἀκεστὴν τὸν ἰατρὸν, καὶ Ἀθηναῖοι ἀκέστορα φασί. 3. Κεκλιμένοι καλῇσιν ἐπάλξεσιν.] Προσκεκλιμένοι. ὅ ἐστι περιεχόμενοι ὑπὸ τῶν τειχῶν. ἐπάλξεις γὰρ οἱ τῶν τειχῶν καλούμενοι προμαχῶνες. 4. Ἴσαν.] Παρεγένοντο. Σάκε' ὤμοισι κλίναντες.] Τοὺς ὤμους ταῖς ἀσπίσι καλύψαντες. 5. Ὀλοή.] Ὀλεθρία. 11. Τρώων πόνος.] Τὸ κατὰ Τρώων ἔργον. 12. Ἄλεν.] Συνεστράφησαν, ἔφυγον. Λιάσθης.] Ἐξέφυγες, ἐξέκλινας, ἢ ἐ-

οὐ μέν με κτενέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
ἔβλαψάς μ', Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοὶ
γαῖαν ὀδὰξ εἷλον, πρὶν Ἴλιον εἰσαφικέσθαι.
νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ' ἐσάωσας
ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ' ἔδδεισας ὀπίσσω.
ἦ σ' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη.
Ὣς εἰπὼν, προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει,
σευάμενος, ὥσθ' ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν,
ὅς ῥά τε ῥεῖα θέησι τιταινόμενος πεδίοιο·
ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα.
Τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσι,
παμφαίνονθ', ὥστ' ἀστέρ', ἐπεσσύμενον πεδίοιο,
ὅς ῥά τ' ὀπώρης εἶσιν· ἀρίζηλοι δέ οἱ αὐγαὶ
φαίνονται πολλοῖσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ·
ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσι·

15. ἔβλαψας ϝεκάϝεργε. leg. βλάψας με ϝεκάϝεργε. porro ὀλοϝώτατε.
17. πρὶν ϝίλιον. 21. ϝειπὼν, προτὶ ϝάστυ. 25. πρῶτος ϝίδε. 27. δέ ϝοι.

—13. οὔτοι μόρσιμός εἰμι. *non obnoxius morti, non mortalis.*—ἔβλαψάς με. *mentem occæcasti*, eoque in errorem induxisti. βλάπτειν τὰς φρένας, θέλγειν, Ο. 724. Od. Ξ. 178.—19. ἐπεὶ οὔ τι quia bene noras, te, utpote deum, impune hoc facere posse nec tibi verendum esse, ne pœnam a te expetam.

21—37. Achille ad mœnia accedente, Hectorem hortatur Priamus, ut in urbem se recipiat.—22. comparatio præclara, et lucida, re ante sensus constituta, si veteres currus certaminum memineris, leves nec cursum tardantes.—23. τιταινόμενος equus, ἐντείνων ἑαυτὸν cursu διὰ πεδίου. nam protendit se cursum intendendo. Sic Ψ. 403. 517, 8. Χ. 23.—25—32. Achillem armis divina arte factis conspicuum cum stella fulgida, Canicula, comparat. ἐπεσσύμενον (διὰ) πεδίοιο junge cum παμφαίνοντα sic: *fulgebat discurrendo*, cum incedebat per campum.—ὅς ῥά τ' ὀπώρης εἶσιν, oritur κατ' ὀπώρης, h. æstate exeunte: nam ita ὀπώρα dicitur. Est idem qui ἀστὴρ ὀπωρινὸς

πλανήθης. 13. Μόρσιμος.] Μοίρᾳ ὑποκείμενος, θνητός. 15. Ὀλοώτατε.] Ὀλεθριώτατε. 17. Ὀδάξ.] Τοῖς ὀδοῦσιν. 19. Ὀπίσω.] Ὕστερον. χρονικῶς. 20. Ἦ σ' ἂν τισαίμην.] Ἐτιμωρησάμην ἄν σε. 22. Σευάμενος.] Ὁρμήσας. Ἀεθλοφόρος.] Ἀγωνιστής. 23. Θέησι.] Τρέχῃ. Τιταινόμενος.] Τείνων. ἕλκων. 24. Λαιψηρά.] Ταχέα. Ἐνώμα.] Κατέφερεν. ἐκίνει. 27. Ὀπώρης.] Κατὰ τὸ φθινόπωρον. Εἶσιν.] Ἀνατέλλει, ἄνεισι τὴν ἑώαν ἀνατολὴν δηλονότι. Ἀρίζηλοι.] Λαμπραὶ, εὐσύνοπτοι. 29. Ὅν τε κύν' Ὠρίωνος.] Τὸν ἀστρῷον κύνα οὕτως ἔφη. ἔνιοι δέ φασι τόνδε τὸν κατηστερισμένον κύνα, οὐκ Ὠρίωνος, ἀλλὰ Ἠριγόνης ὑπάρχειν, ὃν κατηστερισθῆναι διὰ τοιαύτην αἰτίαν. Ἰκάριος γένος μὲν ἦν Ἀθηναῖος· ἔσχε δὲ θυγατέρα Ἠριγόνην, ἥτις κύνα νήπιον ἔτρεφε. ξενίσας δέ ποτε ὁ Ἰκάριος Διόνυσον, ἔλαβε παρ' αὐτοῦ οἶνόν τε καὶ ἀμπέλου κλῆμα. κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας, περιῄει τὴν γῆν προφαίνων τὴν τοῦ Διονύσου χάριν, ἔχων σὺν ἑαυτῷ καὶ τὸν κύνα. γενόμενος δὲ ἐκτὸς τῆς πόλεως, βουκόλοις οἶνον παρέσχε. οἱ δὲ ἀθρόως ἐμφορησάμενοι, οἱ μὲν εἰς βαθὺν ὕπνον

λαμπρότατος μὲν ὅδ' ἐστὶ, κακὸν δέ τε σῆμα τέτυκται,
καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅγε κόψατο χερσὶν,
ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει,
λισσόμενος φίλον υἱόν. ὁ δὲ προπάροιθε πυλάων
ἑστήκει, ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι.
τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα, χεῖρας ὀρεγνύς·
Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
οἶος, ἄνευθ' ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπῃς,
Πηλείωνι δαμεὶς· ἐπειὴ πολὺ φέρτερός ἐστιν.
σχέτλιος, αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο,
ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδονται
κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι·
ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε,
κτείνων, καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,

30. vulg. ὅγ' ἐστί. 36. vulg. εἱστήκει. 42. τάχα κέ Fε.

erat E. 5. ubi v. Not.—30. *κακὸν σῆμα. σημεῖον*, *ostentum* ex sequ. quia æstus nimius sub illud anni tempus febres acutas corporibus immittit; unde ille inter sidera sinistra et noxia: cf. laudd. ad Virgil. Æn. X. 273. sq. primo loco Apollon. II. 518. c. Schol. et hinc erat *οὔλιος ἀστὴρ* sup. Λ. 62.—34. *ὑψόσ' ἀνασχόμενος* sc. *τὰς χεῖρας*. sæpius *χεῖρας ἀνασχών*. *ἀνασχέσθαι* tamen pro *ἀνασχεῖν* etiam alibi vidimus. v. Γ. 362. Od. Σ. 94. 99.

38—78. Miserabilis oratio Priami ad persuadendum Hectori, ut intra urbem se recipiat; argumento gravissimo a miseratione senis patris ducto. Interposita execratio Achillis cum expositione malorum ab eo sibi inflictorum 41—55.

41. *αἴθε θεοῖσι φίλος τόσσονδε—ὅσσον ἐμοί.* ex ipsa re, *φίλος* nunc pro *invisus*. *τάχα ἔδονταί κεν.* pro *οὕτως ἔδωνται ἄν, ἔδοιντο.*—43. *ἦ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι κε.* h. e. *ἀπείη*. *a me removeretur dolor, animus dolore levaretur.*—44. *εὖνιν ἔθεντο. ἐστερημένον.* ab *εἷς, ὁ μεμονωμένος.*—46. Duo ex filiis non poterat cernere Priamus, quia *Lycaon* cæsus erat ab Achille in Scamandri alveo Φ. 34—135. *Polydorus* Υ. 407.

ἐτράπησαν. ὀψέ τε ἐγερθέντες, καὶ νομίσαντες πεφαρμάχθαι, τὸν Ἰκάριον ἀπέκτειναν. ὁ δὲ κύων ὑποστρέψας πρὸς τὴν Ἠριγόνην, δι' ὠρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γενόμενα. ἡ δὲ μαθοῦσα τὸ ἀληθὲς, ἑαυτὴν ἀνήρτησε. νόσου δὲ ἐν Ἀθήναις γενομένης, κατὰ χρησμὸν Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσιαίαις ἐγέραιρον τιμαῖς. οἳ καὶ κατηστερισθέντες, Ἰκάριος μὲν Βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος. ὁ δὲ κύων τὴν αὐτὴν ὀνομασίαν ἔσχεν. Ἱστορεῖ Ἐρατοσθένης. 30. Σῆμα.] Σημεῖον. 31. Πυρετόν.] Ἤτοι κυρίως ὡς ἡμεῖς λέγομεν, ἢ τὴν τοῦ ἀέρος ἔκκαυσιν. 39. Ἄνευθ' ἄλλων.] Χωρὶς τῶν λοιπῶν. 40. Πηλείωνι δαμείς.] Ὑπὸ Ἀχιλλέως ἀναιρεθείς. 41. Τοσσόνδε.] Τοσοῦτον. 43. Ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι.] Οὕτως ἂν ἀπέλθοι μου τὰ κακὰ τῶν φρενῶν. 44. Εὖνιν.] Ἔρημον. χῆρον. ἐστερημένον. εὖνιν ὅ ἐστιν εὐναζόμενον, ἐξ οὗ τὸ ἡσυχάζοντα, ἐξ οὗ ἠρημωμένον, ἐξ οὗ ἐστερημένον. ἢ παρὰ τὸ εἷς ἑνὸς ἕνις καὶ εὖνις, ὁ μεμονωμένος. 45. Περνάς.] Πιπράσκων. Τηλεδαπάων.] Πόῤῥω οὐ-

οὐ δύναμαι ἰδέειν, Τρώων εἰς ἄστυ ἀλέντων,
τούς μοι Λαοθόη τέκετο, κρείουσα γυναικῶν.
ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦτ' ἂν ἔπειτα
χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ'· ἔστι γὰρ ἔνδον·
πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὄνομα κλυτὸς Ἄλτης.
εἰ δ' ἤδη τεθνᾶσι· καὶ εἰν Ἀΐδαο δόμοισιν
ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεσθα,
λαοῖσι δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος
ἔσσεται, ἢν μὴ καὶ σὺ θάνῃς, Ἀχιλῆϊ δαμασθείς.
ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρῳάς, μηδὲ μέγα κῦδος ὀρέξῃς
Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς.
πρὸς δ', ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον,
δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα,
υἱάς τ' ὀλλυμένους, ἑλκηθείσας τε θύγατρας,
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίῃ, ἐν αἰνῇ δηϊοτῆτι,
ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν.
αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν

47. Ϝιδέειν,—ἐς Ϝάστυ Ϝαλέντων. 51. vulg. ὀνομάκλυτος.
59. vulg. ἐλέαιρε. 65. ὀλοϜῆς.

sq.—47. εἰς ἄστυ ἀλέντων. v. Φ. 534.—51. *Altes;* Lelegum rex Pedason incolentium: sup. Φ. 85. sq. cujus filiam Laothoen Priamus conjugio habuit.—52. εἰ δ' ἤδη τεθνᾶσι· apodosis: ἄλγος (ἔσονται) καὶ ἐν Ἀΐδαο δόμοισιν ὄντες ἐμοὶ καὶ μητέρι, λαοῖσι δὲ ἔσσεται ἄλγος μινυνθαδιώτερον. *sin autem mortui jam sunt: nobis quidem parentibus etiam in inferis sunt luctus caussa. Aliis tamen luctum tantum brevem ferent, dummodo tu, o Hector, incolumis manseris.*—59. πρὸς δὲ, *præterea, insuper* me miserum adhuc vitam protrahentem miserare. φρονέοντα, ζῶντα.—60. ἐπὶ γήραος οὐδῷ, ingressu, antiquo sermone. pro ipsa senectute. Iterum Ω. 487. φθίσει sc. si Hector se occidendum præbuerit. h. e. opprimet me mors in conditione et statu vitæ atrocissimo, ut urbem captam ac direptam oculis meis videam.—62. ἑλκηθείσας τε θύγατρας mox ἑλκομένας, latinis *raptatas*, de captivis abductis: v. Z. 465. Locus affectu et gravitate

σῶν. 47. Ἀλέντων.] Συστραφέντων. συγκλεισθέντων. φυγόντων. 48. Κρείουσα.] Κρατιστεύουσα. 50. Ἀπολυσόμεθα.] Ἀπολυτρωσόμεθα. 51. Ὀνομακλυτός.] Ἔνδοξος. ἀναγνωστέον δὲ ὑφ' ἕν. 54. Μινυνθαδιώτερον.] Ὀλιγοχρονιώτερον. 58. Αἰῶνος.] Βίου, ζωῆς. Ἀμερθῇς.] Στερηθῇς, ἀφαιρεθῇς. 59. Ἔτι φρονέοντα.] Ἔτι σωφρονοῦντα, πρὶν ἐπιστῆναί σοι τοὺς πολεμίους. ἤγουν ἕως τοῦ φρονεῖν εἰμι κύριος. 60. Ἐπὶ γήραος οὐδῷ.] Ἐπὶ τῇ τοῦ γήρως ἐξόδῳ, ἐπὶ τῷ τέρματι. 61. Ἐπιδόντα.] Θεασάμενον. 62. Ἑλκυσθείσας τε θύγατρας.] Ἀντὶ τοῦ αἰχμαλωτισθείσας. 63. Κεραϊζομένους.] Πορθουμένους. 64. Βαλλόμενα ποτὶ γαίῃ.] Προσρηγνύμενα τῇ γῇ. 65. Νυούς.] Νύμφας. 66. Πύματον.] Τελευταῖον, ἔσχατον. Πρώτῃσι θύρῃσι.] Ταῖς πρώταις θύραις, ταῖς

ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
τύψας, ἠὲ βαλὼν, ῥεθέων ἐκ θυμὸν ἕληται,
οὓς τρέφον ἐν μεγάροισι, τραπεζῆας θυραωροὺς,
οἵ κ' ἐμὸν αἷμα πιόντες, ἀλύσσοντες περὶ θυμῷ,
κείσοντ' ἐν προθύροισι. νέῳ δέ τε πάντ' ἐπέοικεν
Ἄρηϊ κταμένῳ, δεδαϊγμένῳ ὀξέϊ χαλκῷ,
κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅ ττι φανήῃ.
ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον
αἰδῶ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν.
Ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσὶ
τίλλων ἐκ κεφαλῆς· οὐδ' Ἕκτορι θυμὸν ἔπειθε.
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δακρυχέουσα,
κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε,
καί μιν δακρυχέουσ' ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, τέκνον ἐμὸν, τάδε τ' αἴδεο, καί μ' ἐλέησον
αὐτήν. εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον,

67. Ϝερύουσι. vulg. ἐρύσουσι, ἐπεί. 69. vulg. πυλαωρούς.
71. πάντ' ἐπέϜοικε vel πάντα ϜέϜοικε. 73. vulg. φανείη.
81. δακρυχέουσα Ϝέπεα (h. e. ἔπη.)

insignis.—70. ἀλύσσοντες θυμῷ πέρι, περισσῶς rabie efferati ipso sanguinis et carnis gustatu.—71. νέῳ (κατὰ) πάντα ἐπέοικε κεῖσθαι. juvenis vir si cæsus pugna jaceat, omni modo decorum adspectum præbet intuentibus; *et quicquid in eo etiam mortuo nudatum est, pulcrum est.*—75. αἰδῶ τ' αἰσχύνωσι cum *comas, barbam, pudenda diripiendo fœdant canes.* Expressus locus in notis Tyrtæi verss. servatis a Lycurgo c. Leocr. Ceterum ex iis, quæ ominatur Priamus, ducta sunt ea, quæ de ejus novissimis fatis narrantur a serioribus; ornata a Virgilio Æn. II.

79—89. Lamenta Hecubæ et hortatus ut intra mœnia se recipiat Hector. Illa altera sinum vestis levat, ἀναστέλλει, pectus nudat, altera mammam exserit eamque ostentando obtestatur.—82. τάδε δ' αἴδεο. δεικτικῶς. Quod in artificium rhetoricum mutatum adhibuit alio modo Euthias in Phryne capitis accusata ap. Athen. XIII. p. 590. ex quo duxit sua Eustath. ad h. l.—83. λαθικηδέα μαζὸν quam cum sugeret infans doloris oblitus obdormiscit. τάδε. τῶν. etsi de solo μαζῷ.

προαυλίοις. 67. Ὠμησταί.] Ὠμοφάγοι. Ἐρύουσιν.] Ἑλκύσουσι. 68. Τύψας.] Ἐκ χειρὸς πλήξας. Ῥεθέων.] Τῶν τοῦ σώματος μελῶν, ὅτι κατὰ παντὸς μέλους τὸ ζωτικὸν καὶ ψυχικόν ἐστι. ῥέθη δὲ τὰ ζῶντα μέλη, δι' ὧν ῥέζομέν τι· Αἰολεῖς δὲ, τὸ πρόσωπον· καὶ ῥεθομαλίδας τὰς εὐπροσώπους. 69. Τραπεζῆας.] Τοὺς ἐν τραπέζῃ τρεφομένους. Πυλαωρούς.] Πυλωρούς. φύλακας. 70. Ἀλύσσοντες.] Ὑπὸ πλησμονῆς ἀλύοντες. οἷον ἐν ἄλῃ ὄντες, δυσφοροῦντες, οἱ δὲ εἶπον ἄγαν λυττῶντες. 71. Κείσοντ' ἐν προθύροισιν.] Κείσονται ἐν τοῖς προθύροις. 74. Πολιόν.] Ἢ τὸ πεπολιωμένον, ἢ τὸ ἔντιμον καὶ αἰδοῦς ἄξιον τοῦ σώματος. 75. Αἰσχύνωσι.] Καταισχύνωσιν, ἐνυβρίσωσιν. 76. Οἴκτιστον.] Ἐλεεινὸν, οἰκτρόν. Δειλοῖσι.] Δειλαίοις, ἀθλίοις. 80. Κόλπον ἀνιεμένη.] Γυμνοῦσα τὸν κόλπον. λέγει δὲ τὸ κατὰ στῆθος μέρος. Ἀνέσχεν.] Ἀνέτεινεν. 82. Αἴδεο.] Αἰδοῦ, ἐντρέπου. 83. Λαθικηδέα μαζόν.] Τὸν λήθην ἐμποιοῦντα τοῖς παισὶ

τῶν μνῆσαι, φίλε τέκνον· ἄμυνε δὲ δήϊον ἄνδρα
τείχεος ἐντὸς ἐών· μὴ δὲ πρόμος ἵστατο τούτῳ.
σχέτλιος· εἴπερ γάρ σε κατακτάνῃ, οὔ σέ τ' ἔγωγε
κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν τέκον αὐτὴ,
οὐδ' ἄλοχος πολύδωρος. ἄνευθε δέ σε μέγα νῶϊν
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται.
Ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱὸν,
πολλὰ λισσομένω. οὐδ' Ἕκτορι θυμὸν ἔπειθον·
ἀλλ' ὅγε μίμν' Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.
ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι,
βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνὸς,
σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ·
ὣς Ἕκτωρ, ἄσβεστον ἔχων μένος, οὐχ ὑπεχώρει,
πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδ' ἐρείσας.
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼν, εἰ μέν κε πύλας καὶ τείχεα δύω,

85. vulg. ἰών. 95. δέδορκε Ϝελισσόμενος. 98. ἄρα Ϝεῖπε πρὸς Ϝὸν aut εἶπε ϜεϜὸν μ. aut verius ἄρ' ἔφη πρὸς Ϝὸν μ.

90—130. Nullis hortatibus permotus Hector multa animo volvens, pervicaciter, accedente Achille, in statu manet.

93. Comparatio hæc est celebratissima vel ex Virgilii imitatione Æn. II. 471. sqq. ad quem locum vide. in Homero spectat ad pervicaciam in subsistendo accedente hoste. ὀρέστερος, nunc ἄγριος. βεβρωκὼς κακὰ φάρμακα, *succos herbarum*, qui acritudine, calore, sale suo, succos serpentis imbuere et iracundiam exasperare videri possunt: *mala gramina pastus* est in Virgilio; et ibidem eum *tumidum* appellat: quod ductum ex verbis: ἔδυ δέ τέ μιν χόλος αἰνός. Cogitandum autem est de serpente qui ante lustrum suum in sole apricatur: unde ἑλισσόμενος περὶ χειῇ, quod ex ornamentis ap. Nicandrum Ther. 31. sqq. et Virgil. l. l. multo magis patet, ubi etiam adjicitur tempus vernum, pelle exuta; et quod hic est σμερδαλέον δὲ δέδορκε ampliatum est: *Lubrica convolvit sublato pectore terga Arduus ad solem et linguis micat ore trisulcis.*—97. ἐπερείσας ἀσπίδα πύργῳ προὔχοντι. crepidini muri, inferiore parte positu saxorum latiore, prominenti.

99—130. Varia animo versat Hector: incessit pudor, quod Polydamantis consiliis non obtemperaverat superiore nocte—110. tum subit consilium depositis armis agendi cum Achille de reddenda Helena et parte bonorum, quæ in urbe supersint: —121. Verum Achillem sibi haud placabilem fore ratus, armis congredi decernit—130.

τῶν κακῶν πάντων. 84. Ἄμυνε.] Ἀμύνου. Δήϊον.] Πολεμικὸν, ἐχθρόν.] 87. Θάλος.] Βλάστημα, φυτὸν πᾶν τὸ νέον, ἀπὸ τοῦ θάλλειν τῇ αὐξήσει. 88. Πολύδωρος.] Πολλὰ δωρουμένη ἀγαθὰ, ἢ ἡ μετὰ πολλῶν δώρων καὶ ἕδνων γεγαμημένη. 93. Χειῇ.] Σχισμῇ. λέγει δὲ, τῇ τοῦ δράκοντος καταδύσει. Ὀρέστερος.] Ἐν ὄρει διατρίβων. ὄρειος. ἐξ οὗ ἄγριος. 94. Βεβρωκώς.] Φαγὼν τὰ κακωτικὰ καὶ ἰοῦ ποιητικὰ φάρμακα. λέγει δὲ μύρμηκας καὶ κανθάρους. 95. Δέδορκε.] Βλέπει. διὰ γὰρ τοῦτο καὶ δράκων εἴρηται, διὰ τὸ ὀξέως δεδορκέναι. Ἑλισσόμενος.] Συστρεφόμενος, εἱλούμενος. 97. Πρoὔχοντι.] Προέχοντι.

Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
ὅς μ' ἐκέλευε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι,
νύχθ' ὕπο τήνδ' ὀλοὴν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν·
νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίησιν ἐμῇσιν,
αἰδέομαι Τρῶας καὶ Τρωάδας ἑλκεσιπέπλους,
μήποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο·
Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαόν.
ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη,
ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
ἠέ κεν αὐτῷ ὀλέσθαι ἐϋκλειῶς πρὸ πόληος.
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν,
καὶ κόρυθα βριαρὴν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας,
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω,
καί οἱ ὑπόσχωμαι Ἑλένην, καὶ κτήμαθ' ἅμ' αὐτῇ
πάντα μάλ', ὅσσα τ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχὴ,
δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα δ' ἀμφὶς Ἀχαιοῖς
ἄλλ' ἀποδάσσασθαι, ὅσσα πτόλις ἥδε κέκευθε·
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι,
μή τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσασθαι,
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.—
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών. ὁ δέ μ' οὐκ ἐλεήσει,

102. ὀλοϝήν. 106. τις ϝείπῃσι. 107. ϝῆφι βίηφι. 114. ϝοι.

100. ἐλεγχείην ἀναθήσει *in me conferet.* θήσει. ἐπιθήσει. h. e. exprobrabit mihi, ὅς με κέλευε sup. Σ. 254. sq. 284. 313. cf. ad M. 60. notam.—104. ἀτασθαλίησιν ἐμῇσι pro ἀτασθαλίᾳ ut alia in Homero: simpl. pro stultitia, errore pudendo.—107. Hector, violentia et impetu animi, imprudenter et inconsulto perdidit exercitum, quem servare poterat incolumem, si Polydamanti obtemperans intra urbem se recepisset.—109. ἢ ἄντην (ἐπὶ) Ἀχιλῆα νέεσθαι (ἐμὲ,) κατακτείναντα (αὐτὸν) pro νέεσθαι καὶ ἀποκτεῖναι. vel ἄντην νεόμενον κατακτεῖναι Ἀχιλλῆα.—110 αὐτῷ. ὑπ' αὐτοῦ.—111—121. εἰ δέ κεν. *quid vero si.*—114. κτήμαθ' ἅμ' αὐτῇ. ita cum Helena opes ablatæ repetuntur alibi v. Γ. 70. sq. ubi. v. notata. add. 93. 287.—117, 118. ἀμφὶς præter illa, ἀποδάσσασθαι Ἀχαιοῖς ἄλλα, ὅσσα. eorum partem, (ex vs. 120. ἄνδιχα patet, esse dimidiam) reddere, partiri: hoc est ἀποδάσασθαι.—119. Τρωσὶν δ' αὖ ἕλωμαι pendat ab εἰ δέ κεν—καταθείομαι vs. 111. Tum γερούσιον ὅρκον. h. ὅρκον γερόντων, *ut jurare jubeat principes,* quo tanto major fides fiat fœderi. Notabilis forma: ἑλέσθαι ὅρκον τινι. ut ὅρκους λαβεῖν παρά τινος. et δοῦναί τινι. Pollux IV. 30.—123. μή μιν. dii prohibeant, ne ego eum

100. Ἐλεγχείην.] Ὄνειδος. 102. Ὤρετο.] Ὥρμησεν. 104. Ἀτασθαλίῃσιν.] Ἁμαρτίαις, βλάβαις. 106. Εἴπῃσι.] Περὶ ἐμοῦ εἴπῃ. 110. Ἐϋκλειῶς.] Ἐνδόξως. 118. Κέκευθε.] Κέκρυφεν. ἐν αὐτῇ εἶχε. 119. Γερούσιον ὅρκον.] Τὸν ἐπὶ τῶν ἐντίμων ὅρκον, ὃν ἐν τοῖς ἐντίμοις ἐξῆν ὀμόσαι. 123. Ἵκωμαι.]

οὐδέ τι μ' αἰδέσεται, κτενέει δέ με, γυμνὸν ἐόντα,
αὔτως ὥστε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
οὐ μέν πως νῦν ἐστὶν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
τῷ ὀαριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιϊν.
βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
εἴδομεν, ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.
Ὣς ὅρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεύς,
ἶσος Ἐνυαλίῳ κορυθάϊκι πτολεμιστῇ,
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον,
δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
ἢ πυρὸς αἰθομένου, ἢ ἠελίου ἀνιόντος.
Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος, οὐδ' ἄρ' ἔτ' ἔτλη
αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.

128. vulg. ἀλλήλοισιν. 130. Ϝείδομεν. 131. δέ Ϝοι.
132. Ϝῖσος. 134. ἐλάμπετο Ϝείκελος. 135. vulg. αἰθομένοιο.

supplex adeam.—126. ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης non nunc tuto et per otium, confabulari licet. Sunt petita a vita rustica, cum sermones seruntur, confabulationes habentur, ab otiosis qui diversis in locis morantur; confabulantur alter humi stans alter in arbore vel rupe sedens; nam notio securitatis subesse videtur: unde res in proverbium abire debuit, de sermonibus tuto faciendis. Convenit ex parte quod vindemiatores facere dicit Horatius; I, 7, 30, 31. Serm.

131—166. Propius accedente Achille Hector, se solum ei objectum esse sentiens, repente expavescens fugam capessit, persequitur eum Achilles. Ad nostros sensus et opiniones id non minus indecore quam imprudenter fieri, in aperto est; at naturæ humanæ etiam in viro forti id consentaneum esse, ut repentino conspectu, aut discrimine ipso instante, percellatur animus, sæpe monitum est etiam a fortibus viris, qui ipsi ea experti erant. Ad terrorem injiciendum præclare faciunt vss. 132—5. nec minus ad aspectum Achillis terribilem declarandum.

137. ὀπίσω δὲ πύλας λίπε. aversus ab urbe, imprudenter, et porta, ad quam propugnatores erant, a tergo relicta, fugit. Achilles, Trojanos fugientes insequutus, fraude Agenoris versus Simoentem aliquantum abductus, nunc ad eas partes, unde declinaverat, rediisse putandus est. Necesse ergo est, Hectorem primo versus sinistras a porta Scæa partes fugisse; occurrente autem ab hac parte Achille se recepisse versus dextram; ab ea tamen et ipsa Achillem eum prævenisse eique obsti-

Νῦν ἀντὶ τοῦ ἱκετεύσω. 124. Αἰδέσεται.] Προσδέξεται, ὡς ἱκέτην. οἱ γὰρ ἱκέται αἰδοῖοι. 126. Οὐ μέν πως νῦν ἐστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης Τῷ ὀαριζέμεναι.] Οὐκ ἔστι φησὶν ἄντικρυς Ἀχιλλέως μύθους διηγεῖσθαι, ὁποίους ἂν παρθένοι καὶ ἠΐθεοι. οἱ γὰρ παλαιοὶ τὰ ἐκτιθέμενα βρέφη παρὰ δρυσὶ ἢ πέτραις εὑρίσκοντες, ἐνόμιζον ἐκ τούτων γεγεννῆσθαι. ἐκ τοιούτου δὲ ἐγένετο ἡ ὑπόληψις. οἱ γὰρ παλαιοὶ νομαδικῷ ἐχρῶντο βίῳ, οἰκίας μηδέπω κεκτημένοι. αἱ οὖν γυναῖκες τίκτουσαι ἐν τοῖς ὄρεσιν ὑπὸ τὰ κοιλώματα τῶν πετρῶν καὶ δρυῶν ἀνέστρεφον. εὑρίσκοντες δέ τινες, ἐνόμιζον ἐκεῖθεν γεγεννῆσθαι. ἡ ἱστορία παρὰ Διδύμῳ. 127. Ὀαριζέμεναι.] Γυναικώδεις προσδιαλέγεσθαι λόγους. ὄαροι γὰρ, αἱ γυναῖκες. 128. Ἠΐθεος.] Ἀκμάζων νέος. 129. Ξυνελαυνέμεν.] Συμβάλλειν. 130. Εἴδομεν.] Μάθωμεν. 132. Κορυθάϊκι.] Πολεμικῷ. κινοῦντι τὴν περικεφαλαίαν καταπλήξεως ἕνεκα καὶ φόβου τῶν ἐναντίων.

Πηλείδης δ' ἐπόρουσε, ποσὶ κραιπνοῖσι πεποιθώς·
ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν·
ἡ δέ θ' ὕπαιθα φοβεῖται· ὁ δ' ἐγγύθεν ὀξὺ λεληκὼς
ταρφέ' ἐπαΐσσει, ἑλέειν τέ ἑ θυμὸς ἀνώγει·
ὣς ἄρ' ὅγ' ἐμμεμαὼς ἰθὺς πέτετο· τρέσε δ' Ἕκτωρ
τεῖχος ὑπὸ Τρώων, λαιψηρὰ δὲ γοῦνατ' ἐνώμα.
οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεος αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐσσεύοντο·
κρουνὼ δ' ἵκανον καλλιῤῥόω, ἔνθα δὲ πηγαὶ
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς

142. τέ Fε.

tisse. Licet saltem ex narratione qualemcunque rerum et locorum speciem ante oculos sibi ponere; alioqui nulla carminis satis magna esset suavitas.—140. οἴμησε. οἰμᾷ. ὁρμᾷ.—141. ὕπαιθα φοβεῖται. *fugit, subter volando;* sed sic, ut impetum recta ruentis eludat, dum simul in obliquum tendit, ut jam Φ. 493. Ο. 520. et al. Est ex ipso rei adspectu petitum.

143. τρέσε δ' Ἕκτωρ τεῖχος ὑπὸ Τρώων. ἔφυγε. Perventum est ad nobilem locum de fuga Hectoris non satis perspicue declarata, et in diversas partes accepta. Notabimus uno loco ea, quæ ex ipsa narratione ad eam definiendam facere possunt: relicta porta Scæa *fugit* Hector *sub murum* ὑπὸ τεῖχος *secundum murum;* putes hoc eo factum, ne Achilles auderet propius accedere; quod si fecisset, telis a muris peti poterat. Mirum tamen Hectorem longius a muris recessisse; cum priore cursu semper tutus esse potuisset a vi Achillis; si modo per totum murum, quam longus erat, Trojani in statione erant: At manifestum fit, tantum ad unam portam Scæam turrim fuisse, in qua propugnatores stabant; cf. inf. 194. 6. nam hoc tantum loco intervenit et prohibet Achilles, ne Hector ad murum accedat, eumque longius ab urbe in campum evagari cogit.—145, 6, 7. Sunt adeo duo termini, intra quos cursus factus est: ab una parte, si urbe exires, a dextra erat specula et caprificus, ab altera ad lævam, fontes Scamandri. Cursus in via publica semper ὑπὲκ, quod antea ὑπὸ, τείχεος. secundum muros exteriore eorum parte. Jam de his fontibus disputationes notæ angustia haud capit. Non nisi citra urbem eos esse posse, ratio grammatica docet; tum vix aliter quam sive ex fama, sive ex locorum situ tradere hæc potuit poeta; nec potest merum commentum esse quod loca adeuntes refellere possent. Si nunc calorem et frigus desideres, naturæ vicissitudinibus haud uno modo hoc evenire potuit. In ipsa descriptione nonnulla sunt ambigue dicta. Creduntur duo fontes esse ipsius Scamandri; κρουνὼ sunt scaturgines ipsæ, e quibus duo fontes aquæ profluunt; his Scamander procedit collectis in unum alveum. In vs. 181. ἡ δ' ἑτέρη, necesse non est statuere, alterum fontem *tantum æstate* profluxisse; itaque post προρέει interpunctionem sustuli: defluit ἡ ἑτέρη πηγὴ εἰκυῖα ἐν θέρει χαλάζῃ. Cum de ipsa re nil satis constet; manet et hoc in ambiguis. Σκοπιὴν autem et ἐρινεὸν jam vidimus sup. Ζ. 433. Scilicet fuit a dextra urbis parte exeuntibus locus ante muros editior caprificis consitus, quo etiam minus difficile erat muros conscendere. Itaque

140. Οἴμησεν.] Ὥρμησε. Πέλειαν.] Περιστεράν. 141. Φοβεῖται δέ.] Φεύγει δέ. Λεληκώς.] Κεκραγὼς, νῦν δὲ ἦχον διὰ τῆς πτήσεως ἀποτελῶν. 145. Ἠνεμόεντα.] Καταπνεόμενα. ὑψηλά. τὰ γὰρ ὑψηλότερα μέρη μᾶλλον καταφυσᾶται τῶν κοίλων. 146. Ἀμαξιτόν.] Ἀμαξήλατον ὁδόν. Ἐσσεύοντο.] Ὥρμων. 147. Κρουνώ.] Κρουνοὶ, κυρίως μὲν αἱ ἀρχαὶ τῶν ῥευμάτων. νῦν δὲ οἱ τόποι ὅπου πλύνουσι. 148. Ἀναΐσσουσι.] Ἀνορμῶσι.

γίγνεται ἐξ αὐτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο·
ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ,
ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ.
ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
καλοὶ, λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
πλύνεσκον Τρώων ἄλοχοι, καλαί τε θύγατρες,
τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων
καρπαλίμως· ἐπεὶ οὐχ ἱερήϊον, οὐδὲ βοείην
ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν,
ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
ῥίμφα μάλα τρωχῶσι, (τὸ δὲ μέγα κεῖται ἄεθλον,
ἢ τρίπος, ἠὲ γυνὴ,) ἀνδρὸς κατατεθνειῶτος,
ὡς τὼ τρὶς Πριάμοιο πόλιν πέρι δινηθήτην

151. Ϝεικυῖα. 154. ὅθι Ϝείματα. 165. vulg. περιδινηθήτην.

apposita erat *specula*, e qua hostium insidiæ prospici possent.—153. Ad fontes hos erant πλυνοὶ, solia e saxo facta, lintres, alvei, magna vasa, quibus vestes lavarentur a mulieribus, more istarum ætatum.—157. τῇ ῥα παραδραμέτην. *hic*, num παρὰ τῷ κρουνῷ? Immo vero, *ea via* inter caprificum et fontes Scamandri; unde ter redibat Hector, et, cum quarta vice eo pervenisset fraude Minervæ deceptus substitit, 208. sq.—159, 160. οὐχ ἱερήϊον οὐδὲ βοείην ἀρνύσθην. dictum de conatu: *non obtinere volebant* seu bovem seu corium taurinum scuto parando idoneum.—162. Comparatio per se præclara; de hoc nemo dubitet, nec quicquam moveat; verum hoc monetur, esse eam nihil aliud quam variationem superiorum versuum 159, 160. *non illi tanquam in certamine cursus, proposito præmio bove vel corio, cursum instituebant;* iterantur ea nunc hoc modo: *quemadmodum præmio proposito tripode vel femina in certamine currunt equi, sic currebant illi.* περὶ τέρματα simpliciter cursum curulem declarare potest; qui semper ita fiebat, ut circa metam flexu facto altera parte ad carceres redirent equi.—164. Agitur de ludis funebribus, et jungenda sunt: ὡς δ' ὅτε ἵπποι τρωχῶσιν ἀνδρὸς κατατεθνειῶτος, interjectis illis: (τὸ δὲ μέγα κεῖται ἄεθλον ἢ τρίπος ἠὲ γυνή.)—165. τρὶς πόλιν πέρι δινηθήτην. hic jam, imprimis si voces περὶ τέρματα animo habeas, dubitatio illa existit, num *circa totam urbem*, qua ambitus patet, cursus factus fuerit; quod nec probabile, nec ex locorum situ possibile est, nec verbis et narrationi superiori vss. 145, 6, 7. 157. convenire, jam ex supra dictis patet. Aut itaque admittenda sunt, quæ probari nequeunt, aut, ne miraculum in τὸ ἀπίθανον abeat, statuendum est, *circa urbem esse*, præter, *ante urbem;* aut conjectandum est, vs. 165. ὡς τὼ τρὶς, esse interpolatoris serioris molestam opellam; una cum vs. 251. Si mediam rationem admiseris, potest quoque probari scriptio περιδινηθήτην, *circumegerunt se*, κατὰ πόλιν, παρὰ, ἐπί. Ita nec περιστῆναι, περιβῆναι, περιδραμεῖν, semper declarat motum esse *undique, in orbem.* v. c. inf. 369. ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν. Ita saltem interpretandi rationibus satisfecisse videor.

154. Λαΐνεοι.] Λίθινοι. 159. Ἱερήϊον.] Ἱερεῖον ταῦρον. Βοείην.] Βύρσαν. 160. Ἀρνύσθην.] Ὑπὲρ ἀγῶνος ἐσπούδαζον λαβεῖν. Ἀέθλια.] Ἀγωνίσματα. 162. Ἀεθλοφόροι.] Ἀγωνισταὶ, ἀθληταί. Τέρματα.] Τέλη, καμπτῆρας. 163. Τρωχῶσι.] Τρέχουσι. 165. Περιδινηθήτην.] Ἐκύκλωσαν, περιῆλθον.

καρπαλίμοισι πόδεσσι. Θεοὶ δέ τε πάντες ὁρῶντο·
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ' αὖτε
ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεὺς
ἄστυ πέρι Πριάμοιο ποσὶ ταχέεσσι διώκει.
ἀλλ' ἄγετε, φράζεσθε, θεοὶ, καὶ μητιάασθε,
ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη
Πηλείδῃ Ἀχιλῆϊ δαμάσσομεν, ἐσθλὸν ἐόντα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ὦ πάτερ, ἀργικέραυνε, κελαινεφὲς, οἷον ἔειπες;
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ'· ἀτὰρ οὔτοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·
ἔρξον, ὅπῃ δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει.
Ὣς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην,
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,

172. αὖτέ Ϝε. 173. Ϝάστυ. 177. προσέϜειπε. 178. ἔϜειπες. 185. Ϝέρξον. 186. Ϝειπών.

166—187. Interponitur deorum de fato Hectoris altercatio: ut sup. Π. 431. de Sarpedone. Jove de fato Hectoris sollicito et ambigente, Minerva, nullum miserationi locum relinquens, ad pugnam mittitur.—173. ἄστυ πέρι sensus constituendus ex vs. 165. iterum 230.—176. Ἀχιλῆϊ pro ὑπὸ Ἀχιλλέως, ut sexcenties, et supplendum εἰ ἠὲ—ἠέ.—181. οὔτοι πάντες ἐπαινέομεν. *assentimur*. ut jam sæpe; omissum est τὸν μῦθον. vss. 179, 180, 181. jam lecti Π. 441, 2, 3. At Jovis oratio quæ sequitur, 182. sq. est ignava et ex Θ. 38, 39, 40. recocta.—184. οὔ νύ τι θυμῷ πρόφρονι μυθέομαι. ex ipsa re esse debet: animo pervicaciter in proposito meo persistente.—185. νόος ἔπλετο, πέλεται. et μηδέ τ' ἐρώει, *nec cessa*. Β. 179.

188—247. Continuatur cursus ante urbem; cum autem quarto ad Scamandri fontes perventum esset, Jupiter intellexit, fatale esse, ut Hector caderet; ita Apollo eum dereliquit;—213. Minerva autem primo Achillem confirmat et subsistere jubet,—225. inde ad Hectorem pergit, Deiphobique persona assumta ei fraudulenter suadet, ut fratris auxilio confisus subsistat et Achillem aggrediatur—247.

189. Comparatio egregie accommodata Achilli ab omni parte occurrenti fugæ

172. Πόλει ἀκροτάτῃ.] Ἀκροπόλει. 188. Ἔφεπεν.] Ἐδίωκεν. 189. Δίηται.] Διάξει.

ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα, καὶ διὰ βήσσας·
τὸν δ', εἴπερ τε λάθησι καταπτήξας ὑπὸ θάμνῳ,
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
ἀντίον ἀΐξασθαι, εὐδμήτους ὑπὸ πύργους,
εἴπως οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι·
τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ' αἰεί.
ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
οὔτ' ἄρ' ὁ τὸν δύναται ὑποφεύγειν, οὔθ' ὁ διώκειν·
ὣς ὁ τὸν οὐ δύνατο μάρψαι ποσὶν, οὐδ' ὃς ἀλύξαι.
πῶς δέ κεν Ἕκτωρ Κῆρας ὑπεξέφερε θανάτοιο,
εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;

195. vulg. ἐπί. 196. Ϝοι. 198. vulg. πεδίον γ'.
202. vulg. ὑπεξέφυγε. 203. Ϝοι. 204. ὅς Ϝοι.

Hectoris.—191. εἴπερ τε λάθησι καταπτήξας ὑπὸ θάμνῳ, res narrata ἐναργῶς, etiam per τὸ καταπτήσσειν. quod et καταπτώσσειν.—192. ἀλλά τε pro ὅμως.—194. ἀντίον (ἀντὶ) πυλῶν Δαρδανιῶν.—195, 196. Igitur hac utique murorum parte propugnatores stabant; quod monitum sup. ad 143. εἴπως pro ὅπως. ut toties.—197. παραφθὰς ἀποστρέψασκε πρὸς πεδίον. quod serius est ἔφθη ἀποστρέψας.—199. Comparatio per se non insuavis. Per somnum potest aliquis cursu persequi aliquem sic ut nunquam eum assequi videatur. διώκειν nunc erit μάρπτειν, *assequi.* Ne vero altero versu 200. bis idem dictum sit, erit discrimen, fere ad ductum Eustathii, faciendum inter φεύγοντα et ὑποφεύγοντα. ut prius, sit, simpliciter ὁ τρέχων, ὁ φεύγων. etiamsi nemo sit qui eum persequatur. Altero loco is, qui insequentem effugiat. Quam jejuna tamen hæc sit subtilitas, facile percipitur: ita ut versum sublatum esse præstet.—202. Ut longum cursum sustinere posset Hector, Apollo iterum ad eum accessisse et eum viribus instruxisse putandus est. Ut autem nexus sit cum anteced. supplendum est *tamdiu.* πῶς δὲ Ἕκτωρ (ἐπὶ τόσον), ὑπεξέφερεν ἂν κῆρας θανάτοιο, tamdiu mortem fatalem distinuisset, moram ei fecisset: dudum eum defecisse putares viribus, εἰ μή.—

190. Ὄρσας ἐξ εὐνῆς.] Ἐκ τῆς κοίτης ἐγείρας ὥρμησε. Διά τ' ἄγκεα καὶ διὰ βήσσας.] Ἀντὶ τοῦ δι' ἀγκέων καὶ βησσῶν, οὕτω δὲ καλοῦνται οἱ κοῖλοι καὶ βάσιμοι τῶν ὀρῶν τόποι. 191. Καταπτήξας.] Δειλιάσας. Θάμνῳ.] Θάμνοι καλοῦνται οἱ σύμφυτοι καὶ ὑλώδεις τόποι, παρὰ τὸ θαμινόν. 192. Ἀνιχνεύων.] Ἐξ ἴχνους διώκων. 194. Ὁρμήσειε πυλάων Δαρδανιάων.] Ὡς ἐπὶ τὰς Δαρδάνου πύλας ὁρμήσει. 201. Ὣς ὃ τὸν οὐ δύνατο μάρψαι ποσὶν, οὐδ' ὃς ἀλύξαι.] Πῶς τάχιστος ὢν ὁ Ἀχιλλεὺς, οὐ καταλαμβάνει τὸν Ἕκτορα; καὶ φασὶν οἱ μὲν ἐξεπίτηδες αὐτὸν ὑπὸ τοῦ Ποιητοῦ καταπεπονῆσθαι πολλῷ πόνῳ πρότερον, ἵν' ὥσπερ ἐν θεάτρῳ νῦν μείζονα κινήσῃ πάθη. οἱ δὲ, ὅτι τὸν ἐνδοτέρω καὶ πρὸς τῷ τείχει δρόμον Ἕκτορος ποιουμένου, Ἀχιλλεὺς διπλάσιον ἔκαμνεν ἔξωθεν περιθέων. 202. Ὑπεξέφερεν.] Ὑπεξέφυγεν. ὠλίσθηνε. Πῶς δέ κεν Ἕκτωρ Κῆρας ὑπερξέφερε θανάτοιο.] Καὶ τὰ ἑξῆς. Πῶς δέ, φησιν, ὁ Ἕκτωρ ἠδύνατο διαφυγεῖν τὸν Ἀχιλλέα, εἰ μὴ ὑστάτην βοήθειαν παρέχων αὐτῷ ὁ Ἀπόλλων ποδώκη ἐποίησεν.

λαοῖσι δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεὺς,
οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα·
μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·
ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
τὴν μὲν, Ἀχιλλῆος, τὴν δ', Ἕκτορος ἱπποδάμοιο·
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ.
ᾤχετο δ' εἰς Ἀΐδαο· λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Νῦν δὴ νῶί γ' ἔολπα, Διὶ φίλε, φαίδιμ' Ἀχιλλεῦ,
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δηώσαντε, μάχης ἆτόν περ ἐόντα.
οὔ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι,
οὐδ' εἰ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων,

213. δέ Fε. 215. Fέπεα. 216. νῶϊ FέFολπα.
219. οὔ Fοι. 220. FεκάFεργος.

208. Nobilis locus. Cum memorandum esset, fatale decretum a Jove esse pronuntiatum: poeta rem ad trutinationem fatorum utriusque, Hectoris et Achillis, revocat. Ipsa fata per figuras adumbrata. Comparandus alter locus Θ. 69. sq. de fatali clade Achivorum.—209. ἐτίταινε τάλαντα libravit *lances*, h. libram.—210. δύο κῆρε θανάτου, et mox 212. αἴσιμον ἦμαρ, αἶσα, sunt *mortes fatales* utrinque: adeoque idem ac si dixisset *Vitas* a fato utrique decretas. Æschylus κῆρας in ψυχὰς mutarat apud Virgil. XII. 726. *et fata imponit diversa duorum.*—212. ἕλκε δὲ μέσσα λαβών. Hic et sequens versus magna phantasmata exhibent; expende singula. *majore longe pondere* est fatum Hectoris, adeoque gravat ac deprimit lancem: Necessitas enim, ἀνάγκη, mortis urget ac premit. Eustath. τὸ ῥέπειν et ῥοπὴν in Tragicis comparat p. 1266. 38. ᾤχετο δ' εἰς Ἀΐδαο comparatum cum altero ἐπὶ χθονὶ ἑζέσθην, sublimitatem habet ex ipsa notione *Orci*, τοῦ Ἀΐδου, qui sane, si sensum haud obtusum habes, phantasma objicit majus, quam si lanx tantum *in terram* consederet. At sensum animi percutit horrore quodam, id, quod sequitur: λίπε δ' Ἕκτορα Φοῖβος Ἀπόλλων. nunc conclamatum esse de Hectore sentimus.

214—225. Minervæ partes h. l. nullo modo ex decoro, multo minus ex sensu justi, sed tantum poetice sunt probandæ. nam poetæ interventus numinis, ex epicæ narrationis indole, accommodatus erat rerum mirationi augendæ. Quod autem ipsa res postulabat, opus erat, ut Achilles reciperet se longo cursu, antequam pugnam iniret: ejusque rei providenda erat caussa idonea: cum autem ita Hector fuga elabi posset, ratio ineunda erat, quomodo et is subsisteret et pugnam iniret. Ita fraude res geritur tanquam in hostem. Illud autem jam sæpe vidimus, ex istorum hominum sensu plus mirationis fuisse, si deus præsens victoriam dedisset, quam si virtute herois ea obtigisset. Eo spectant dicta ap. Eustath. p. 1267, 6.—218. μάχης ἆτον, ἄατον, ἀκόρεστον, E. 388.—219. πεφυγμένον εἶναι, πεφύχθαι pro φυγεῖν ἡμᾶς. 220. πολλὰ πάθοι. κάμοι. expertus sit.—226—247. Deiphobi forma assumta ad

205. Καρήατι.] Κεφαλῇ. 209. Τάλαντα.] Ζυγά. 218. Δηϊώσαντε.] Ἀνελόντες. 219. Οὔ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι.] Ἀδύνατόν φησίν ἐστιν αὐτῷ διαφυγεῖν ἡμᾶς.

προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε· τόνδε δ' ἐγώ τοι
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι.
῝Ως φάτ' Ἀθηναίη· ὁ δὲ πείθετο, χαῖρε δὲ θυμῷ.
στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβῳ εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν.
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
ἄστυ πέρι Πριάμοιο ποσὶ ταχέεσσι διώκων·
ἀλλ' ἄγε δὴ στέωμεν, καὶ ἀλεξώμεσθα μένοντες.
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὃς ἔτλης, ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσι.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
λίσσονθ', ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι,
αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα εἴδομεν, εἴ κεν Ἀχιλλεὺς
νῶϊ κατακτείνας, ἔναρα βροτόεντα φέρηται
νῆας ἐπὶ γλαφυράς, ἤ κεν σῷ δουρὶ δαμείη.

224. vulg. ὁ δ' ἐπείθετο. 227. Ϝεικυῖα. 228. Ϝέπεα. 230. Ϝάστυ. 232. προσέϜειπε. 236. Ϝίδες. 238. προσέϜειπε. 243. vulg. μηδ' ἔτι. 244. ἵνα Ϝείδομεν.

Hectorem pergit Minerva, eique persuadet ut cursum sistat et cum Achille congrediatur. Narratio hæc de facinore deæ indignissimo est prorsus ex sensu antiquorum hominum obtusiore judicanda; ut jam dixi.—230. *ἄστυ πέρι* sup. v. 173.—235. *νοέω.* quod alias ad cogitationem et animadversionem spectat, *νοέω καὶ φράζομαι, ἐπιφράζομαι*, nunc refertur ad animum et voluntatem hic et Ω. 560. et aliquoties in Odyssea. *propositum mihi habeo*, carum te habere.—243. *μηδ' ἔτι δούρων ἔστω φειδωλὴ*, nunc de mora et cunctatione: ne differatur pugna: est nunc utendum armis. Supra B. 386.

221. Προπροκυλινδόμενος πατρὸς Διός.] Πρὸ τῶν ποδῶν τοῦ Διὸς κυλινδούμενος, ὅ ἐστιν ἱκετεύων. 222. Ἄμπνυε.] Ἀναπαύεο. 225. Χαλκογλώχινος.] Χαλκᾶς ἐχούσης γωνίας. 235. Νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι.] Νῦν δ' ἔτι μᾶλλόν σε τιμήσω. 241. Τοῖον.] Τοίως, οὕτως. 244. Φειδωλή.]

Ὣς φαμένη, καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε μέγας κορυθαιόλος Ἕκτωρ·
Οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ·
τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ' ἔτλην
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε,
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλώην.
ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων·
οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς
δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν·

249. προσέϝειπε. 251. περὶ ϝάστυ. 253. ἤ κε ϝαλοίην. 256. ἀϝεικιῶ. 260. ὑπόδρα ϝιδών. 263. οὐδὲ λύκοι καὶ ϝάρνες. v. Obss.

erat πανσωλὴ πολέμοιο. et sic φείδεσθαι pro abstinere, cessare.—247. (σὺν) κερδοσύνῃ, κερδαλέως. *fraudulenter. dolose.*

248—272. Confirmatus animo, quod Deiphobum pugnæ socium habebat, Hector subsistit, et, Achille propius accedente, ad pugnam se parat. Nunc armis congressuri sermones inter se faciunt Hector et Achilles; ille ut paciscatur, ne victor victi corpus fœdet; hic omnem conditionem ferociter respuit.

252. *nunc vicissim lubet tecum congredi.*—253. sive occidam te sive ipse occidar. ut 244. 245.—254. [illegible]. ab ἐπιδίδωμι subintellecto μάρτυρας. *deos constituamus testes.* [illegible] ἐπιδώμεθα, μάρτυρας [illegible] ποιησώμεθα. cf. ad Ψ. 485.—256. ἔκπαγλον ἀεικιῶ. non quasi modica fœdatione contentus esse velit; verum omnis αἰκία est ἔκπαγλος. Est adeo pro οὐ μάλα, *nequaquam;* aut pro simplici οὐκ ἀεικιῶ σε immani hoc more quo sæviri solet. Similis pactio erat ante pugnam Hectoris cum Ajace Il. Η. 77. sqq. Faciunt hæc, ut tanto major calamitas esse deberet, cum idem Hector, qui hæc pacisci volebat, cæsus male mulcaretur.—257. καμμονίην, virtutem, proprie quæ viribus inexhaustis sustinet hostem; nunc ex virtute victoriam. iterum Ψ. 661. Contrarium est φυγὴ, ἧττα.—261. ἄλαστε invisum et abominandum designat. τὸν ἄλαστα, ἀνεπίληστα, κακὰ δεδρακότα. συνημοσύνας, pactionem, qua conveniat inter nos, ὥστε συνιέναι καὶ συντίθεσθαι περί τινος.—263. ὁμόφρονα θυμὸν, pro fœdere,

Φειδώ. 247. Κερδοσύνῃ.] Ἐντρεχείᾳ, πονηρίᾳ, ἀπάτῃ. 250. Φοβήσομαι.] Φεύξομαι. 251. Δίον.] Ἔδεισα. ἐδιωκόμην. ἔφευγον. 254. Θεοὺς ἐπιδώμεθα.] Ὀμόσωμεν, ἐπόπτας καὶ μάρτυρας τῶν λεγομένων ποιησώμεθα. 255. Ἐπίσκοποι.] Ἔφοροι, φύλακες. Ἁρμονιάων.] Τῶν συνθηκῶν. 257. Καμμονίην.] Τὴν ἐκ καταμονῆς νίκην, ὅ ἐστιν ἐκ μονομεροῦς. 261. Ἄλαστε.] Ἀλάθητε. δεινὰ καὶ ἀνεπίληστα εἰργασμένε. Συνημοσύνας ἀγόρευε.] Ἀντὶ τοῦ μή μοι περὶ συνθηκῶν διαλέγου. 263. Ὁμόφρονα θυμὸν ἔχουσιν.] Ὁμονοοῦσι.

ὡς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶϊν
ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις· ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχει ἐμῷ δαμάα. νῦν δ' ἀθρόα πάντ' ἀποτίσεις
κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
ἕζετο γὰρ προϊδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
ἂψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα·
Ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον· ἦτοι ἔφης γε·
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον. ὡς δή μιν σῷ ἐν χροῒ πᾶν κομίσαιο·
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο,

274. *ἄντα Ϝιδών.* 275. *προϜιδών.* 278. *προσέϜειπε.* 279. *ἐπιϜείκελ'.* 280. *ἠϜείδης.* 281. *ἀρτιϜεπής.*

ὁμόνοια.—265. *φιλήμεναι* amicitiam contrahere. *εἰς φιλίαν ἐλθεῖν.* priusquam id fieri possit, alterutri nostrum moriendum est.—268. Quin tu te ad pugnam accinge. *παντοίης ἀρετῆς.* Illustrationem pete ex Π. 237. sq. cf. O. 642.

273—291. Impatienter moram ferens Achilles præcipitat ictum, et hasta aberrat. Recipit tamen illam Achilles, clam a Minerva redditam. Hector exultans et verbis Achillem increpans, emittit et ipse hastam, et medium Achillis scutum percutit, a quo illa resilit.—279. *οὐδ' ἄρα πώ τι—ἐκ Διὸς ἠείδης* respiciunt vs. 270. *ἄφαρ δέ σε Παλλὰς Ἀθήνη ἔγχει ἐμῷ δαμάα.*—281. *ἀρτιεπὴς* cum alias de prudenti homine dicatur, *εἰπεῖν τὰ ἄρτια*, consentanea, *ὑγιῆ*, ut Ξ. 92. nunc in deteriorem sensum dicitur de vafro et insidioso. *ἐπίκλοπος μύθων*, *es homo vafre verba faciens et callidus dicendi.* callidus *διὰ μύθων, τῷ μυθεῖσθαι, κλέπτων. ἀπατῶν.*—283. versus lectus Θ. 95.—286.

265. Φιλήμεναι.] Εἰς φιλίαν ἐλθεῖν. 266. Πεσόντα.] Ἀναιρεθέντα. 270. Ὑπάλυξις.] Ἔκκλισις, φυγή. 271. Ἀποτίσεις.] Ἐκτίσεις, ἀποδώσεις. 280. Ἠείδεις.] Ἀκριβῶς ἠπίστασο, κατὰ ἐπίτασιν τοῦ η. Μόρον.] Εἱμαρμένην. Ἦτοι ἔφης γε.] Καί τοι ἔλεγες. 281. Ἀρτιεπής.] Ἀπηρτισμένος καὶ ἱκανὸς εἰπεῖν, ἢ ἄρτι ἐσκευασμένος. δεινός. Ἐπίκλοπος.] Παραλογιστικὸς, ἀπατεὼν, διὰ λόγων κλέπτειν τὴν ἀλήθειαν εἰδώς. 285. Ἄλευε.] Ἔκκλινε, φυλάσσου.

σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλε Πηλεΐδαο μέσον σάκος, οὐδ' ἀφάμαρτε.
τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ. χώσατο δ' Ἕκτωρ,
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
στῆ δὲ κατηφήσας, οὐδ' ἀλλ' ἔχε μείλινον ἔγχος.
Δηΐφοβον δ' ἐκάλει λευκάσπιδα, μακρὸν ἀΰσας,
ἤτεέ μιν δόρυ μακρόν· ὁ δ' οὔτι οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, φώνησέν τε·
Ὢ πόποι, ἦ μάλα δή με θεοὶ θανατόνδε κάλεσσαν.
Δηΐφοβον γὰρ ἔγωγ' ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς, οὐδέ τ' ἄνευθεν·
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἷι Ἑκηβόλῳ, οἵ με πάρος γε
πρόφρονες εἰρύαται· νῦν αὖτέ με Μοῖρα κιχάνει·
μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.
Ὣς ἄρα φωνήσας, εἰρύσσατο φάσγανον ὀξὺ,
τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε, στιβαρόν τε·

292. ῥά Fοι βέλος ὠκὺ Fετώσιον. 295. οὔτι Fοι. 296. Fῇσι.
297. vulg. θανατόνδ' ἐκάλεσσαν. 302. υἷι Fεκηβόλῳ. vulg. υἱεῖ.
303. corrig. εἴρυνται. 304. vulg. ἀσπουδεί γε. 306. Fειρύσσατο.
307. τό Fοι.

κομίσαιο utinam tu recipias corpore tuo totam hastam!—291. τῆλε ἀπεπλάγχθη resiliendo ab ærea et convexa superficie τοῦ σάκους Ἡφαιστοτεύκτου.

291. χώσατο δ' αἰνῶς. graviter excanduit. Veteres tamen hoc quoque loco accipiunt συνεχύθη v. N. 165.—294. λευκάσπιδα de splendore ærei clipei accipio. Emissa perperam hasta, circumspicit fratrem Deiphobum Hector, ut ejus hasta utatur: nunc delusum se videt a dea, quam putandus est novisse Achillis studiosam, sentitque se morti damnatum; vel sic tamen fortiter pugnando occumbere decernit. Inest loco magna vis et nervus cum affectu.—301. ἦ γάρ ῥα πάλαι τόγε φίλτερον ἦν. φίλον ἦν· *adest mors, neque est effugiendi eam locus; nam dudum illa mihi* (in hoc tempus) *decreta erat a Jove et Apolline, etsi amicissimis mihi* per superiorem vitam *diis; fatalis hora nunc instat;* fatum, mors, me assequitur.—304. μὴ μὰν ἀσπουδί γε— *ne tamen ignave et inglorie occumbam!* deprecantis formula. Talem nunc amplectimur Hectorem! καὶ ἐσσομένοισι πυθέσθαι. pro vulgari τοῖς ἐσομένοις πυθομένοις αὐτὸ vel αὐτοῦ. Jam Γ. 287. B. 119.

306—329. Congressi, impari utique pugna, Hector gladio stricto, at hasta Achil-

291. Χώσατο.] Συνεχύθη, ἐλυπήθη. 293. Κατηφήσας.] Στυγνάσας. Οὐδ' ἀλλ' ἔχε.] Ὁ δὲ ἀντὶ τοῦ γάρ. οὐ γὰρ εἶχεν ἄλλο. 301. Ἀλέη.] Ἔκκλισις, φυλακή. Φίλτερον.] Ἥδιον. 303. Εἰρύατο.] Εἰρύοντο. ἔσωζον. 304. Ἀσπουδεί.] Χωρὶς κακοπαθείας. 305. Πυθέσθαι.] Γνῶναι. μαθεῖν.

οἴμησεν δὲ ἀλεὶς, ὥστ' αἰετὸς ὑψιπετήεις,
ὅς τ' εἶσι πεδίονδε διὰ νεφέων ἐρεβεννῶν,
ἁρπάξων ἢ ἄρν' ἀμαλὴν, ἢ πτῶκα λαγωόν·
ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
ὡρμήθη δ' Ἀχιλεὺς, μένεος δ' ἐμπλήσατο θυμὸν
ἀγρίου· πρόσθεν δὲ σάκος στέρνοιο κάλυψε
καλὸν, δαιδάλεον· κόρυθι δ' ἐπένευε φαεινῇ,
τετραφάλῳ, καλαὶ δὲ περισσείοντο ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
οἷος δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ
ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ·
ὣς αἰχμῆς ἀπέλαμπ' εὐήκεος, ἣν ἄρ' Ἀχιλλεὺς
πάλλεν δεξιτερῇ, φρονέων κακὸν Ἕκτορι δίῳ,
εἰσορόων χρόα καλὸν, ὅπῃ εἴξειε μάλιστα.
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη,
καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς·
φαίνετο δ', ᾗ κληῗδες ἀπ' ὤμων αὐχέν' ἔχουσι,

308. οἴμησε δὲ Ϝαλείς. 310. Ϝάρν'. 315. περισσείοντο Ϝέθειραι.
318. Ϝέσπερος.

les: in qua pugna cervix Hectoris nudata ab hoc transfigitur.—308. *οἴμησε δὲ ἀλεὶς* colligens vires contracto corpore, *colligens se* et *insurgens*, in eum irruit. ut modo Φ. 571—312. Achilles, nunc summum facinus perpetraturus, præclare ad sensum describitur; dum autem ita oculis nostris tanquam vivus obversatur, vis carminis est maxima.—315. *τετραφάλῳ κόρυθι* quatuor conis, adeoque totidem cristis instructo: quæ h. l. sunt jubæ equinæ flavæ, *ἔθειραι χρυσαῖ*, eæque *θαμειαὶ*, densæ. v. ad E. 743.—317. Fulgor cuspidis hastæ comparatus cum Hespero seu stella Veneris exoriente sub vesperam; hac hasta autem nunc edendum erat facinus dudum expectatum; itaque ea quasi in conspectum nostrum adducitur.—319. Sup. 26. sq. comparatio Achillis erat cum canicula; nunc hastæ cum hespero. Pallantem cum lucifero comparat hinc Virgil. Æn. VIII. 589.—321. *εἰσορόων, ὅπη εἴξειε χροῦς μάλιστα*, ubi cederet sc. mucroni, transfigi posset, nudatum nec ære munitum corpus, ut hasta penetraret.—322. *ἄλλο τόσον μὲν ἔχε.* Tota oratio, per se tautologica, sic explenda est: *τὰ τεύχη χάλκεα ἔχε*, (*κατεῖχον*, tegebant) *τὸν χρόα τοῦ* (*αὐτοῦ*) *κατὰ τὸ ἄλλο* (*μέρος τοῦ χροὸς*) (*ἐπὶ*) *τόσον* (*μέρος*). Debebat sequi *ἐφ' ὅσον μὴ κληῗδες ἔχουσι*—h. aliquantum, excepta ea parte, qua jugulum patet inde ab humero et crate pectoris: sup. Φ. 117. E. 146, 7. Θ. 325. Nunc invertit hæc in alium modum: *φαίνετο δ' ᾗ.* quod ad *reliqua corporis* attinet, *arma tegebant corpus aliquantum.* Cf. Hesiod. Sc. Herc. 416—420. ubi Cycno Hercules simile vulnus infert.—324, 325. Explenda hæc sunt, aut: *φαίνετο* (scil. *ὁ χροῦς*) *κατὰ τῆς λαυκανίης*, in gutture, *ᾗ*—aut: *φαίνετο τῆς λαυκανίας τι*, (*μέρος τι*) *ἐν ταύτῃ τῇ χώρᾳ, ἐν ᾗ κληῗδες ἀπέχουσιν*) h.e. *ἀπείρ-*

310. Ἀμαλήν.] Ἁπαλήν. τρυφεράν. νηπίαν. Πτῶκα.] Λαγωόν. παρὰ τὸ πτήσσειν. δειλὸν γὰρ τὸ ζῶον. 313. Ἀγρίου.] Χαλεποῦ. 319. Εὐήκεος.] Καλῶς ἠκονημένης. 322. Τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη.] Τοῦ δὲ Ἕκτορος φησὶ τὸ μὲν λοιπὸν σῶμα ὑπὸ τῶν ὅπλων κατεκάλυπτο. 323. Πατρόκλοιο βίην.] Περιφραστικῶς τὸν Πάτροκλον. 324. Ἧι κληῗδες ἀπ' ὤμων αὐχέν' ἔχουσι.] Καθ' ὃ μέρος αἱ κατακλεῖδες συνάπτουσι διείργουσαι τὸν αὐ-

λαυκανιης, ινα τε ψυχῆς ωκιστος ολεθρος·
τῇ ῥ' επι οι μεμαως ελασ' εγχει δῖος 'Αχιλλευς·
αντικρυ δ' απαλοῖο δι' αυχενος ηλυθ' ακωκη·
ουδ' αρ' απ' ασφαραγον μελιη ταμε χαλκοβαρεια,
οφρα τι μιν προτιειποι αμειβομενος επεεσσιν.
ηριπε δ' εν κονιησ'· ο δ' επευξατο δῖος 'Αχιλλευς·
Ἕκτορ, αταρ που εφης, Πατροκλῆ' εξεναριζων,
σῶς εσσεσθ', εμε δ' ουδεν οπιζεο νοσφιν εοντα·
νηπιε, τοῖο δ' ανευθεν αοσσητηρ μεγ' αμεινων
νηυσιν επι γλαφυρῇσιν εγω μετοπισθε λελειμμην,
ος τοι γουνατ' ελυσα. σε μεν κυνες ηδ' οιωνοι
ελκησουσ' αϊκῶς, τον δε κτεριοῦσιν 'Αχαιοι.
Τον δ' ολιγοδρανεων προσεφη κορυθαιολος Ἕκτωρ·
λισσομ' υπερ ψυχῆς, και γουνων, σῶν τε τοκηων,
μη με εα παρα νηυσι κυνας καταδαψαι 'Αχαιῶν·

326. ἐπί Ϝοι. 329. προτιϜείποι—Ϝεπέεσσι. 331. vulg. ἔφησθα.
336. ἀϜικῶς. 339. leg. μή μ' ἐάα.

γουσιν) αὐχένα ἀπ' ὤμων, qua parte clavicula, os furcale, a sterno ad scapulam protenditur, et, collo finito, initium humeri facit.—326. τῇ ῥα, ἐπιμεμαώς οἱ, ἔλασεν αὐτὸν Ἀχιλλεύς. parte colli nudata; quandoquidem thorax Patroclo ereptus non sedebat collo, non erat aptatus hac parte corporis Hectori.—328, 9. οὐδ' ἄῤ ἀπ' ἀσφάραγον. nec tamen hasta disciderat guttur, fauces, bronchum, qua aer, seu spiritus, ducitur. ὄφρα τέ μιν. non, quasi id consilio factum esset; sed: *quo factum est, ut posset Hector verba fari.*

331—343. Achillis gloriatio; et Hectoris preces, ne corpus fœdetur, sed propinquis ad sepulturam reddatur. Esse in his respectum nonnullorum, quæ in Patrocli cæde evenerant, docet locorum comparatio Π. 829. sqq. Mirum tamen a poeta in tota narratione, nec in Achillis verbis Hectori quicquam exprobrari, aut pro compensatione factorum annumerari, quod ea, quæ nunc experitur, malo exemplo ipse antea in se statuerit.—332. σῶς ἔσσεσθαι. nunc est impunitus, inultus, qui impune aliquid fert.—336. σὲ ἑλκήσουσ' ἀϊκῶς, indignis modis, fœde dilaniabunt, diripient. Tum. vs. 337. ὀλιγοδρανέων, deficiens jam Hector, animam agens.

χένα ἀπὸ τῶν ὤμων. 325. Λαυκανίης.] Στόμαχος, λαιμός. Ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος.] Ὅπου τρώσεως γενομένης, ταχεῖα γίνεται τῆς ψυχῆς ἡ ἀπώλεια, καί τοι ἀθάνατον οἶδε τὴν ψυχήν. νῦν οὖν τὴν ἀφάνειαν φησὶν αὐτῆς καὶ τὸν ἀπὸ τοῦ σώματος χωρισμόν. Πραξαγόρας δὲ ἐν τῇ Ἀνατομῇ οὕτως φησί· Μετὰ δὲ τὴν τῆς γλώττης θέσιν ὑπέρκειται κατὰ τὸ ἔσχατον τοῦ οὐρανοῦ ἡ κιονίς. μετὰ δὲ ταύτην φάρυγξ καὶ στόμαχος. ἔστι δὲ ὁ μὲν φάρυγξ ἐκ τοῦ ἐμπροσθίου, ὁ δὲ στόμαχος ἐκ τοῦ ὀπισθίου, προσπεφυκὼς τοῖς τοῦ τραχήλου σπονδύλοις. καὶ ὁ μὲν φάρυγξ ἐμφύεται εἰς τὸν πνεύμονα. ὁ δὲ στόμαχος εἰς τὴν κοιλίαν. καὶ μεταξὺ δὲ φάρυγγος καὶ γλώσσης ἐπιγλωσσὶς ἐπιπωματίζουσα τοῦ φάρυγγος τὸ στόμα. Ποσειδώνειος δέ φησι κατὰ ῥιπὴν τῆς τροφῆς σκέπεσθαι ὑπὸ τῆς ἐπιγλωττίδος τὸν βρόγχον. 326. Ἔλασσεν.] Ἔπληξεν, ἔτρωσεν. 328. Ἀσφάραγον.] Φάρυγγα. βρόγχον. 332. Σῶς ἔσσεσθαι.] Σωθήσεσθαι. Ὀπίζεο.] Ἐντροπὴν ποιοῦ. 333. Ἀοσσητήρ.] Βοηθός. 336. Ἀϊκῶς.] Αἰκιστικῶς, ὑβριστικῶς. 337. Ὀλιγοδρανέων.] Ὀλιγοδυναμῶν, ὀλίγον ἰσχύων. 339. Καταδάψαι.] Καταδαπανῆσαι, κατακόψαι.

ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο,
δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ·
σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
μή με, κύον, γούνων γουνάζεο, μηδὲ τοκήων.
αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνήη
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας·
ὡς οὐκ ἔσθ', ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι·
οὐδ' εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα·
οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ' ὥς σέ γε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.
Τὸν δὲ καταθνήσκων προσέφη κορυθαιόλος Ἕκτωρ·
ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός.

340. τε Ϝάλις. 342. δὲ Ϝοίκαδ'. 344. ὑπόδρα Ϝιδών. 346. vulg. ἀνείη. 347. οἷά μ' ἔϜοργας. 349. δεκάκις καὶ Ϝεικοσινήριτ'. 351. Ϝερύσασθαι. 357. vulg. ἔνδοθι.

342. ὄφρα με πυρὸς λελάχωσι, impertiant me justis funebribus, tanquam λάχει, munere. ut H. 80.

343—363. Atrox Achillis et inhumanum responsum; tum Hector animam agens ominatur ultionem divinitus ipsi paratam, et exspirat. Achilles enim et ipse ad portas Scæas erat occubiturus.—345. μή με (διὰ) γούνων γουνάζεο.—346, 7. αἲ γάρ πως αὐτόν με. utinam possem, natura non repugnante. ἀνίεναι est incitare, immittere, efferare. εἴθε ὄρεξις ἐγγίνηταί μοι. οἷα ἔοργας pro κατὰ τοῖα, οἷα. pro iis quæ.—348. ὣς οὐκ ἴσθ' ὅς. adeo nemo prohibebit, quo minus cadaver tuum canibus lacerandum projiciatur. Præstruitur sic difficultas redimendi corporis Hectoris; quæ tamen Il. Ω. efficitur.—349, 350. οὐδ' εἴ κεν στήσωσι. appendant, ad redimendum. cf. ad N. 745. ἀποστήσωνται. εἰκοσινήριτα ἄποινα, εἰκοσάκις ἐξισούμενα. ἐριστὰ, quia ea, quæ sunt aliis ἀντάξια, ἐρίζουσι πρὸς αὐτὰ, contendunt paritate.—351. χρυσῷ ἐρύσασθαι ἀνώγοι, si roget, ut auri pari pondere appenso corpus tuum ponderetur; si pari auri pondere appenso redimere te voluerit. ἐρύειν, ἐρύσασθαι, ut ἕλκειν, ἕλκεσθαι, de libra et lancibus: sup. vs. 212.—356. ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι. est hoc pro simplici, ὄσσομαι, animo video, sentio, percipio. pro communi: εὖ γιγνώσκω σε καὶ ὄσσομαι, ὠσσόμην, ὅτι οὐ μέλλω πεί-

345. Μή με γούνων γουνάζεο, μηδὲ τοκήων.] Μή με πρὸς τῶν γονάτων καὶ γονέων λιτάνευε. 348. Ἀπαλάλκοι.] Ἀποδιώξοι. 349. Εἰκοσινήριτ' ἄποινα.] Εἰκοσαπλασίονα, εἰκοσάκις ἐξισούμενα τῇ τοῦ σώματος σωτηρίᾳ. τὸ γὰρ ἐρίζειν, ἐξισοῦσθαί ἐστιν. 351. Οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγει.] Οὐδ' εἰ χρυσῷ σταθμίσασθαι θελήσει τὸ σῶμα ὁ Πρίαμος. Ἐρύσασθαι.] Ἐρύσασθαι γὰρ νῦν τὸ ζυγοστατῆσαι. 354. Δάσονται.] Μερίσονται. 356. Προτιόσσομαι.] Καλῶς γιγνώσκων καὶ προορῶν ταῦτά σοι λέγω.

φράζεο νῦν, μή τοι τι θεῶν μήνιμα γένωμαι
ἤματι τῷ, ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων,
ἐσθλὸν ἐόντ', ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἀΐδοσδε βεβήκει,
ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνειῶτα προσηύδα δῖος Ἀχιλλεύς·
Τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος·
καὶ τό γ' ἄνευθεν ἔθηχ', ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα
αἱματόεντ'· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
Ἕκτορος. οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ, ἢ ὅτε νῆας ἐνέπρησε πυρὶ κηλέῳ.
Ὣς ἄρα τις εἴπεσκε, καὶ οὐτήσασκε παραστάς.
τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,

361. Ϝειπόντα. 363. Ϝὸν πότμον. vulg. ἀδροτῆτα. 367. ἐκ νεκροῖο Ϝερύσσατο. 370. Ϝεῖδος. 371. οὐδ' ἄρα Ϝοί. 372. τις Ϝείπεσκεν Ϝιδών. 375. τις Ϝείπεσκε.

σιν σε.—358. φράζεο νῦν, μή τοί τι. vide ne caussa noxæ, ποινῆς, ultionis, tibi sim divinitus. Animæ morientium sunt μαντικαί. Etiam Patroclus vaticinabatur moriens Π. 851. Quod Hector de morte post Hectoris cædem mox subsequutura monet, resciverat jam Achilles ex matre Σ. 96. et de morte ex deo et mortali a Xantho equo Τ. 416, 417. Exposita hæc sunt a Quinto lib. III. Præmunita est fabulis seriorum materia de Achillis cæde variis modis exornata.—363. ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην. "quod corpus adhuc vigens, nondum maturum morti, linqueret." *Ern.* vss. 361, 2, 3, 4. jam legimus Π. 855. seqq.—366. Ζεὺς ἐθέλῃ τελέσαι scil. κῆρα, ad eventum adducere.

364—375. Increpat moribundum Hectorem et spoliat Achilles. Similia in Patroclo Π. 859. sq.—369. ἄλλοι δὲ περίδραμον υ. — οἳ καὶ θηήσαντο, *morati sunt.* Accurrunt Achivi, et insultant corpori: quod summæ immanitatis, plus quam belluinæ, flagitium facile se tueatur ferorum hominum exemplo et more. At sarcasmus vs. 373, 4. est, simul cum fœditate, tam jejunus et illiberalis, ut vix assequi liceat, quomodo ille iis, qui Iliadem concinnarunt, tolerabilis videri potuerit.

376—405. Achilles primo Achivis persuadere vult, ut ad urbem accedendo, quasi muros adorituri, experiantur, an Trojani perterriti cæde Hectoris omni spe abjecta, urbem tradituri sint; mox mente mutata, ex recordatione Patrocli, pompam triumphalem raptato Hectoris corpore in castra indicit. Prius illud ad laudem impera-

μάτην δὲ, οὐ γάρ σε πείθω. 358. Μή τοί τι θεῶν μήνιμα γένωμαι.] Μή πως τῆς ἐκ θεῶν βλάβης αἴτιός σοι καταστῶ. 370. Θηήσαντο.] Ἐθεάσαντο. ἐθαύμασαν. Ἀγητόν.] Θαυμαστόν. 371. Ἀνουτητί γε παρέστη.] Οὐδαμῶς γάρ τις χωρὶς τοῦ ἐπιτιτρώσκειν τὸν Ἕκτορα παρέστη. 373. Ἀμφαφάασθαι.] Κα-

στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι·
εἰ δ' ἄγετ', ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν,
ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅντιν' ἔχουσιν·
ἢ καταλείψουσι πόλιν ἄκρην, τοῦδε πεσόντος,
ἦε μένειν μεμάασι, καὶ Ἕκτορος οὐκ ἔτ' ἐόντος.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος, ἄθαπτος,
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε
ζωοῖσι μετέω, καί μοι φίλα γούνατ' ὀρώρῃ.
εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
νῦν δ' ἄγ', ἀείδοντες Παιήονα, κοῦροι Ἀχαιῶν,
νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν·
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ἄστυ, θεῷ ὥς, εὐχετόωντο.

377. ἐν Ἀχαιοῖσι Fέπεα. 386. vulg. ἄκλαυστος. 390. vulg. κᾀκεῖθι. 394. κατὰ Fάστυ. θεῷ Fώς. Bentl.

toriam pertinuisse facile intelligas; alterum ut præferret consilium et iræ indulgeret Achilles, ad poetæ artem refertur; cum Ilium ab Achille non esset capiendum.

381. ἀμφὶ πόλιν πειρηθῶμεν absolute, hoc, *experiamur*, ὄφρα γνῶμεν (εἰ) ἢ καταλείψουσιν, ἦε μεμάασι. pro vulgari, experiamur, *an Trojani sint urbem relicturi.* adjectum σὺν τεύχεσιν, ut πειρᾶσθαι σὺν τεύχεσι jam vidimus Λ. 386. et σὺν ἔντεσι πειρηθῆναι Ε. 220. omnino *aggredi.* ἀμφὶ πόλιν breviter; plena oratio esset: discursu circa mœnia facto.—385. ἀλλὰ τίη μοι ταῦτα. Subit animum, quod Patroclus insepultus jacet, quem non ante sepelire se velle professus erat, quam Hectorem cæsum adduxisset ad cadaver Σ. 333. sq.—389, 390. θανόντων καταλήθονται. Ex Achillis sensu putes esse sententiam: se etiam post mortem in inferis, εἰν Ἀΐδαο, καὶ κεῖθι, memorem fore amici: ita vero prior versus parum respondet; Conjunctim utique incedentes in Necyia Od. Λ. 465, 6. Achillem et Patroclum exhibuit auctor carminis. Ut tamen nunc verba leguntur: ratio suppetit nulla, quam ut jungantur verba θανόντων, τῶν ἐν ᾅδῃ ὄντων. ut sit: εἰ (οἱ ἄλλοι, εἰ πάντες,) καταλήθονται τῶν θανόντων, εἰν Ἀΐδαο (ὄντων) *si omnes homines viventes obliviscuntur mortuos, ego tamen memor ero amici etiam mortui*, ἐγὼ ἑταίρου καὶ κεῖθι ὄντος, (ut fere Ψ. 19.) μεμνήσομαι.—391. Παιήονα nunc carmen quodcunque et h. l. victoris.—392. ἐπινεώμεθα νηυσίν. εἰς νῆας ἐπανέλθωμεν. ad castra; non enim de reditu in patriam dictum est; etsi νεώμεθα pro ἀπονεώμεθα recte diceretur, non tamen ἐπὶ sed σὺν νηυσὶ vel ἐν νηυσί.—394. ᾧ, θεῷ ὥς, εὐχετόωντο, quem dei loco habebant; proprie ei ut deo vota precesque facere solebant. Ita Διῒ εὐχετάασθαι Il. Ζ. 268. In simili forma interdum propius ad gratias agendas vox spectat, ut Λ. 760. πάντες δ' εὐχετόωντο θεῶν Διῒ, Νέστορι δ' ἀνδρῶν. Similiter dictum est ab Ulysse

θάπαξ ψηλαφᾶσθαι. 379. Δαμάσασθαι ἔδωκαν.] Δαμασθῆναι ἢ ἀναιρεθῆναι παρέσχον. Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν.] Σημειωτέον, ὅτι ἀκεφάλοις χρῆται ὁ Ποιητής. ὥστε οὐ δεῖ περισπᾶν, φίλε κασίγνητε. 383. Πεσόντος.] Νῦν ἀποθανόντος. 393. Ἠράμεθα.] Ἐκτησάμεθα. Ἕκτορα δῖ-

Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα·
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε,
ἐς σφυρὸν, ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν·
ἐς δίφρον δ' ἀναβὰς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας,
μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην·
τοῦ δ' ἦν ἑλκομένοιο κονίσσαλος· ἀμφὶ δὲ χαῖται
κυάνεαι πίτναντο, κάρη δ' ἅπαν ἐν κονίῃσι
κεῖτο, πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.
Ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν. ἡ δέ νυ μήτηρ
τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσε· κώκυσεν δὲ μάλα μέγα, παῖδ' ἐσιδοῦσα.
ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ·
τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.

395. ἀϝεικέα. 400. vulg. ἄκοντε. ἀϝέκοντε. 404. ἀϝεικίσσασθαι ἑϝῇ. 407. Bentl. malit παῖδα ϝιδοῦσα sed v. Exc. de Digammo. 409. κατὰ ϝάστυ. 411. ϝίλιος.

ad Nausicaam Od. Θ. 467. et a Telemacho ad Helenam O. 181. Inf. 434. Hectorem cives *ut deum excipiebant.* Notio *gloriandi* ab his aliena est.—395. μήδετο ἔργα (εἰς) Ἕκτορα.—397. ἐς σφυρὸν, ἐκ πτέρνης. ad talum, a calce. quod nos; in tendine inter talum et calcem.—399. τεύχεα, spolia.—402. χαῖται πίτναντο solutæ dispergebantur. [illegible]

405—429. Sequuntur lamenta Trojanorum super Hectoris fato; primo Priami, quem vix retinent, quo minus ad supplicandum Achilli urbe exeat.

410. τῷ δὲ μάλιστ' ἄρ' ἔην. quod plene foret τὸ δὲ χρῆμα ἦν ἐναλίγκιον τῷ (χρήματι,) ὡσεὶ—luctus erat non aliter ac si Troja capta igni deleretur.—411. Ἴλιος ὀφρυόεσσα, ἐν

ον.] Ἀντὶ τοῦ κατὰ Ἕκτορος τοῦ δίου καὶ ἐνδόξου. 396. Τέτρηνε.] Διέκοψεν. 397. Ἐς σφυρὸν ἐκ πτέρνης.] Ἀντὶ τοῦ, ἀπὸ σφυροῦ ἕως πτέρνης. 398. Ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασε.] Διατί Ἀχιλλεὺς θανόντα διασύρει τὸν Ἕκτορα; καὶ λέγομεν, οὐ δι' ὠμότητα, ὅς γε καὶ Ἠετίωνα φονεύσας οὐκ ἐσύλησεν, ἀλλὰ σὺν αὐτοῖς τοῖς ὅπλοις ἔθαψε. ἀλλ' ὅτι πρότερον ὁ Ἕκτωρ εἰς τὸν Πάτροκλον ἀεικέα μήσατο ἔργα, οἷα καὶ λέγει περὶ αὐτοῦ· Κεφαλὴν δὲ θυμὸς ἄνωγε Πῆξαι ἀνὰ σκολόπεσι ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς. παρανομοῦσι δὲ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ ἄρξαντες. ὁ δὲ Καλλίμαχος φησὶν, ὅτι πάτριόν ἐστι Θετταλοῖς, τοὺς τῶν φιλτάτων φονέας σύρειν περὶ τοὺς τῶν φονευθέντων τάφους. Σίμωνα γάρ φησι Θεσσαλὸν τὸ γένος Εὐρυδάμαντα τὸν Μειδίου σύραι φασὶν ἀποκτείναντα Θρασύνον τὸν ἀδελφὸν αὐτοῦ, ἄρξασθαί τε τοῦ νόμου πρῶτον. τοῦτον γὰρ ἐξάψαι τοῦ δίφρου τὸν φονέα, καὶ περὶ τὸν τοῦ τετελευτηκότος τάφον ἕλκειν. ὡς Θεσσαλὸν οὖν καὶ τὸν Ἀχιλλέα, πατρίῳ ἔθει καὶ τοῦτο ποιῆσαι. 402. Πίλναντο.] Τῇ γῇ προσεπελάζετο. 406. Λιπαρήν.] Λαμπράν. 407. Κώκυσε.] Θρηνῶδες ἀνεβόησεν. 409. Οἰμωγή.] Ὀδυρμός. 411. Ὀφρυόεσσα.] Εἰς ὕψος

λαοὶ μέν ῥα γέροντα μόγις ἔχον ἀσχαλόωντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντας δὲ λιτάνευε, κυλινδόμενος κατὰ κόπρον,
ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
Σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε, κηδόμενόν περ,
ἐξελθόντα πόληος, ἱκέσθ' ἐπὶ νῆας Ἀχαιῶν·
λίσσωμ' ἀνέρα τοῦτον ἀτάσθαλον, ὀβριμοεργὸν,
ἤν πως ἡλικίην αἰδέσσεται, ἠδ' ἐλεήσῃ
γῆρας. καὶ δέ νυ τῷδε πατὴρ τοιόσδε τέτυκται
Πηλεὺς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε, πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγεα θῆκε.
τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας.
τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
ὡς ἑνὸς, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος. ὡς ὄφελε θανέειν ἐν χερσὶν ἐμῇσι.
τῷ κε κορεσσάμεθα κλαίοντέ τε, μυρομένω τε,
μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός.
Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο πολῖται·
Τρῳῇσι δ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Τέκνον, ἐγὼ δειλὴ τί νυ βείομαι, αἰνὰ παθοῦσα,
σεῦ ἀποτεθνειῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ

412. vulg. μόλις. 415. ἄνδρα Fέκαστον. 416. vulg. κηδόμενοί περ. 418. ὀβριμοFεργόν. vulg. λίσσομαι ἀνέρα. 422. vulg. ἄλγε' ἔθηκε. 433. κατὰ Fάστυ.

ὀφρύϊ τῆς Ἴδης, prominente colle, sita. αἰπεινὴ, *alta* Virgilio. κατ' ἄκρης, a culmine, Latini, funditus v. ad N. 772.—414. κατὰ κόπρον, simpl. κατὰ κόνιν.—416. σχέσθε, φίλοι, continete vos; eoque sinite me.—426. ὡς ὄφελε. quantopere ille debebat! pro, utinam. ita satiassemus nos.

430—436. Jam lamenta matris Hectoris excipiunt.

431. τί νυ βείομαι· quorsum, πρὸς τί vivo. v. ad O. 494.—433. ὅ μοι (ὅς μοι) εὐχωλὴ

πεπολισμένη. μεταφορὰ ὁ τρόπος. Σμήχοιτο.] Καταφλέγοιτο. ὁ δὲ λόγος, τοιοῦτος φησὶ θρῆνος διεγήγερτο, ὡς τῆς Ἰλίου πάσης ὑπὸ πυρὸς καταφλεγομένης. 412. Ἀσχαλόωντα.] Δυσανασχετοῦντα, λυπούμενον. 415. Ἐξονομακλήδην.] Ἐξ ὀνόματος καλῶν. 416. Σχέσθε.] Ἐπίσχετε. 418. Ἀτάσθαλον.] Ἁμαρτωλὸν, ἄδικον. 423. Τηλεθάοντας.] Πάνυ θάλλοντας, ἀκμάζοντας. 425. Κατοίσεται.] Κατοίσει, ἀποκομίσει. 430. Ἀδινοῦ.] Νῦν ἐλεεινοῦ, οἰκτροῦ. 431. Ἕκτωρ τέκνον ἐμὸν τί νυ βείομαι.] Ἀντὶ τοῦ, εἰς τί ἔτι βιώσω, ὅ ἐστι ζήσομαι. Πῶς Ἑκάβη μὲν οὐ πίπτει, Ἀνδρομάχη δὲ τοῦτο πάσχει; ῥητέον, ὅτι ἐκείνη μὲν ἐκ τοῦ κατ' ὀλίγον καὶ ἐν προσαγωγῇ δεξαμένη τὸ πάθος, οὐχ ἡττήθη τῶν κακῶν τοσοῦτον. Ἀνδρομάχη δὲ ἀπροσδοκήτως εἰσπεσοῦσα, εἰκότως τοῦτο πάσχει. 433. Πελέσκεο.] Ὑπῆρχες, ἐγένου. Ὄνειαρ.] Ὠφέλεια.

Τρωσί τε καὶ Τρῳῇσι κατὰ πτόλιν, οἵ σε, θεὸν ὥς,
δειδέχατ'· ἦ γάρ καί σφι μάλα μέγα κῦδος ἔησθα,
ζωὸς ἐών· νῦν αὖ Θάνατος καὶ Μοῖρα κιχάνει.
Ὣς ἔφατο κλαίουσ'· ἄλοχος δ' οὔπω τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
ἤγγειλ', ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων·
ἀλλ' ἥγ' ἱστὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο,
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε.
κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα,
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι·
νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν
χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.
κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου,
τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς.
ἡ δ' αὖτις δμῳῇσιν ἐϋπλοκάμοισι μετηύδα·
Δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα τέτυκται·
αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον, ἐν δέ μοι αὐτῇ
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.

434. θεὸν Fώς. Bentl. 438. οὐ γάρ Fοί. 439. ῥά Fοι.
441. vulg. δίπλακα μαρμαρέην. 448. δέ Fοι.
450. ἕπεσθον, Fίδωμ', ὅτιν' Fέργα. v. Obss. 451. Fεκυρῆς.

πελέσκεο, h. e. καύχησις, ut jam B. 160. et Δ. 173. de quo Hecuba gloriari poterat; at civibus ille erat ὄνειαρ, ὄφελος. h. erat ὠφέλιμος.—435. οἵ σε, θεὸν ὥς, δειδέχατο, δε-[illegible], putes redeuntem ex pugna. verum nunc omnino est, excipere honore, colere.—436. κιχάνει, non nunc, assequitur, sed, assequutus, *tenet, occupat*, te oppressit.

437. ad f. Andromachæ adventus ad muros; ubi illa prospicit Hectoris corpus raptatum. Sederat illa in thalamo, omnium rerum ignara, bona materfamilias, mariti reditum exspectans.—447. Mox audit e longinquo ejulatus; conterrita exsilit, Hectoris recordatio animum percutit, ad muros properat—461. ubi videt obtruncatum et tractum bigis, defectu animi corripitur.—472. ægre refecta in lamenta erumpit—476. Locus inter felicissimas carminis partes, dulcissimi affectus et gravissimi; etsi emblematibus alienis fœdatus.

441. δίπλακα fuisse videri vestem duplicem, διπλοΐδα, quæ duplicata corpori injiceretur; itaque pannum amplum, largum; jam dictum est ad Γ. 126. πορφυρέην, seu vere purpureo colore, seu fulgidam, candentem... [illegible] Intexebat illa [illegible] ποικίλα, variis coloribus (*Ranken.*)—448. ἐλελίχθη γυῖα tremore quassata sunt; et excidit manu κερκὶς, radius: instrumentum, diversæ formæ a nostris, quo stamina

441. Θρόνα.] Ποικίλματα, ἄνθη. Ἔπασσεν.] Ἐποίκιλλεν, ἐξ οὗ καὶ παστός. 447. Κωκυτοῦ δ' ἤκουσεν.] Ἀντὶ τοῦ, θρήνου ἤκουσεν. ἐζήτηται δὲ, πῶς τοσούτου γενομένου θορύβου, μόλις Ἀνδρομάχη προῆλθε. φασὶ δὲ, ὅτι ἡ προτέρα τοῦ ἀνδρὸς ἐπίπληξις ἡ ἐν τῇ ζ σωφρονεῖν αὐτὴν ἠνάγκαζεν. 448. Ἐλελίχθη.] Κλονοειδῶς ἐσείσθη ὑπὸ τρόμου. 451. Ὀπός.] Φωνῆς. 452. Πάλλε-

αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος. ἀλλὰ μάλ' αἰνῶς
δείδω, μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς,
μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται·
καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
ἥ μιν ἔχεσκ'· ἐπεὶ οὔποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.
 Ὣς φαμένη, μεγάροιο διέσσυτο, μαινάδι ἴση,
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
αὐτὰρ, ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,
ἔστη παπτήνασ' ἐπὶ τείχεϊ· τὸν δ' ἐνόησεν
ἑλκόμενον πρόσθεν πόλιος, ταχέες δέ μιν ἵπποι
ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν·
ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε,
τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
ἄμπυκα, κεκρύφαλόν τ', ἠδὲ πλεκτὴν ἀναδέσμην,
κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυσέη Ἀφροδίτη
ἤματι τῷ, ὅτε μιν κορυθαιόλος ἠγάγεθ' Ἕκτωρ
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν,

454. Ϝέπος. 459. τὸ Ϝόν. 460. μαινάδι Ϝίσῃ. 469. vulg. κεκρύφαλόν τε, ἰδέ. 470. ῥά Ϝοι. 472. μυρία Ϝέδνα. 473. Ϝάλις.

discriminabantur, ut diremto stamine inseri posset trama.—454. ἀπ' οὔατος jam Σ. 272.—457. ἀγηνορίη debet esse quod vs. 459. μένος, audacia, eaque ἀλεγεινὴ, exitiosa, quod illa Ζ. 407. efferebat: φθίσει σε τὸ σὸν μένος.—459. (κατὰ) τὸ ὃν μένος οὐδενὶ εἴκων. nemine inferior sua virtute.—465. ἀκηδέστως, ad verbum: ita ut ipse privatus esset honore justorum, ἀκήδεστος. aut ita, ut nemo ejus vindicandi curam haberet. itaque ἀνηλεῶς. Iterum Ω. 417. ἀκήδεστοι καὶ ἄφαντοι erant sup. Ζ. 60. Ad 468, 9. saltem hæc notare licet: Generalis vox δέσματα mox per singula capitis ornamenta declaratur, quæ sigillatim quomodo constituerent, nec grammatici antiquiores habuerunt; probabiliter erat ἄμπυξ, fascia, qua coma in fronte religatur in verticem, et cum ea ἀναδέσμη, funiculus ad colligendam comam circa tempora; κρήδεμνον autem latius aliquod textum in fasciam collectum, quod solutum et explicitum velare caput poterat. —470. Suave est seu poetæ inventum, seu aliunde acceptum, quod ornatus Andromaches a munere nuptiali Veneris repetitur. Talia dona nuptialia, ut vel ex Catullo et Statio liquet, in nuptiis Thetidis et Harmoniæ celebrata sunt a poetis.—473. ἅλις

ται.] Πάλλει, ἀγωνιᾷ. 454. Αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος.] Εἴθε γὰρ μὴ ἤκουσα ποτὲ τοῦ λόγου τούτου. 457. Ἀγηνορίης.] Νῦν ἀνδρείας. 459. Τὸ ὃν μένος.] Τὴν ἰδίαν δύναμιν. 465. Ἀκηδέστως.] Ἀφροντίστως, ἀμελῶς. 467. Ἀπὸ δὲ ψυχὴν ἐκάπυσεν.] Ἀνέπνευσε δὲ τὴν ψυχήν. κάπος γὰρ καλεῖται τὸ πνεῦμα, κατὰ διάλεκτον, ἐξ οὗ καὶ κῆπος. 469. Ἄμπυκα.] Κόσμον τινὰ περὶ τὴν κεφαλὴν ἀνέχοντα τὰς τρίχας τῆς κεφαλῆς. Κεκρύφαλον.] Τὸν πρὸς ἡμῶν λεγόμενον κροκύφαντον. 470. Κρήδεμνον.] Κεφαλόδεσμον. 472. Ἕδνα.] Τὰ ὑπὸ τῶν νυμφίων διδόμενα δῶρα ταῖς γαμουμέναις. 473. Εἰνατέρες.] Αἱ τῶν

αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
ἡ δ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἀμβλήδην γοόωσα, μετὰ Τρῳῇσιν ἔειπεν·
Ἕκτορ, ἐγὼ δύστηνος. ἰῇ ἄρα γεινόμεθ' αἴσῃ
ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
ἐν δόμῳ Ἠετίωνος, ὅ με τρέφε τυτθὸν ἐοῦσαν,
δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους, ὑπὸ κεύθεσι γαίης,
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις
χήρην ἐν μεγάροισι. πάϊς δ' ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὔτε σὺ τούτῳ
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
ἤνπερ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω
ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησι·
πάντα δ' ὑπεμμήμυκε, δεδάκρυνται δὲ παρειαί.
δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε,

474. αἵ Ϝε. 476. ἔϜειπε. 480. vulg. ὅ μ' ἔτρεφε. 489. γάρ Ϝοι. 493. Ϝερύων.

ἴσταν confertim.—474. ἀτυζομένην. percussam, mente alienatam, ita ut exanima ἀπολέσθαι videretur.—476. ἀμβλήδην alte petitis suspiriis, puto. ἀναβολάδην, quod de ebullitione erat Φ. 364.—477. fato infausto uterque ut pariter uteremur.—480. τυτθὸν ἐοῦσαν pro τυτθὴν, ut iterum 494.—479. De Thebe hac v. A. 366. et Z. 397. c. Not. Debuit in ea regione seu collis nemorosus seu tractus esse ἡ Πλάκος dictus; etsi Strabonis ætate nomen ignotum erat: XIII. p. 912. extr.—489. ἀπουρίσσουσιν ἀρούρας. ἀφορίσουσιν. ἀφαιρήσονται.—490. Ad generales sententias delabitur Andromache. Conditio pupilli reddit puerum παναφήλικα, desertum ab omnibus æqualibus.—491. ὑπεμμήμυκε pro ὑπεμήμυκε, dejecto, submisso, est vultu, non attollens oculos, præ metu aut pudore. ὑποπτήσσει. ab ἠμύω. ὑπημύω. ut T. 405.—492. Ille omnium rerum indigus adit patris amicos, unum post alterum, mendicando, eosque a precibus suis aversos, veste arrepta vellicat.—494. κοτύλην. vix tandem aliquis ex paternis amicis miserabundus sitienti porrigit parvum calicem, nec ad sitim restinguendam quod

ἀδελφῶν γυναῖκες. 475. Ἄμπνυτο.] Ἀνέπνευσεν. Ἀγέρθη.] Συνηθροίσθη. 476. Ἀμβλήδην.] Ἀναφέρουσα ἀθρόως τὸ πνεῦμα. 477. Ἰῇ.] Μιᾷ. 481. Αἰνόμορον.] Κακόμορον. 489. Ἀπουρίσσουσι.] Παραγενόμενοι ἀφαιρήσουσιν. 490. Παναφήλικα.] Πάντων ἡλικιωτῶν ἐστερημένον, τουτέστι ἐλαυνόμενον τῆς ἀπ' αὐτῶν διατριβῆς. 491. Ὑπεμμήμυκε.] Καταμέμυκε. κατεστύγνακε. κάτω βλέπει. ὁ δὲ Ἀρίσταρχος, ἐπὶ τοῦ κατανένευκε ἐκδέχεται. οἱ δὲ, ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἔρχεται τοῦ πατρός. 492. Δευόμενος.] Ἐνδεὴς ὤν. 494. Ἐπέσχε.] Τῷ στόματι προσήνεγκε. Κοτύλην.] Νῦν εἶδος ποτηρίου. οὕτω λέ-

χείλεα μέν τε δίην', ὑπερώην δ' οὐκ ἐδίηνε.
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε,
χερσὶν πεπληγὼς, καὶ ὀνειδείοισιν ἐνίσσων,
ἔῤῥ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.
δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην·
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
μυελὸν οἶον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν·
αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
εὐνῇ ἐνὶ μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ·
νῦν δ' ἂν πολλὰ πάθησι, φίλου ἀπὸ πατρὸς ἁμαρτὼν,
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
νῦν δέ σε μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
γυμνόν. ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται,
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
οὐδέν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.
  Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.

495. vulg. μέν τ' ἐδίην'. 498. Ϝέῤῥ'. 500. ἈστυϜάναξ—ἑϜοῦ.
506. ἈστυϜάναξ. 510. Ϝείματ'.

satis sit. ὑπερώην. palatum. οὐρανίσκον. egregius versus!—496. ἀμφιθαλὴς *patrimus et matrimus.*—499, 500. redit ad matrem suam puer. Et hic est ille Astyanax! qui—502. νηπιαχεύων puerorum more ludens, παίζων νηπίαχος ὤν.—504. θαλέων *satiatus opimis cibis.* τὰ θαλέα res lautæ, opimæ. Mox 505. πατρὸς ἀφαμαρτὼν, *orbatus.*—506, 7. Jam lecti Z. 402, 3.—509. αἰόλαι εὐλαὶ *mobiles vermes,* lubrici.—513. comburam vestes, non quidem sic, ut tuo cum corpore comburantur;—514. ἀλλὰ ὡς εἶναι, κλέος σοι πρὸς Τρώων—*sed ut sint tibi honori in conspectu Trojanorum.*

γουσι καὶ τὸ τοῦ ἰσχίου ὀστοῦν, καὶ πᾶν τὸ κοῖλον. 495. Ὑπερώην.] Τὸν καλούμενον οὐρανίσκον. 496. Ἀμφιθαλής.] Κατὰ ἀμφοτέρους τοὺς γονεῖς θάλλων, ὅ ἐστιν ἔχων τοὺς γονεῖς ἀμφοτέρους. Ἐστυφέλιξε.] Μετὰ πληγῶν ὕβρισεν. 497. Ἐνίσσων.] Ἐπιπλήσσων, κακολογῶν. 498. Οὕτως.] Ὡς ἔχεις. Μεταδαίνυται ἡμῖν.] Μεθ' ἡμῶν εὐωχεῖται. 501. Μυελόν.] Τὸ νοστιμότατον τῆς τροφῆς. Πίονα δημόν.] Τὸν ἐπίπλουν, τὸ λίπος. Ἔδεσκεν.] Ἤσθιεν. 502. Νηπιαχεύων.] Νήπια φρονῶν, νηπιευόμενος.

504. Θαλέων ἐμπλησάμενος κῆρ.] Πάντων τῶν πρὸς τὸ θάλλειν ἐμπλησθείς. 505. Ἀπὸ πατρὸς ἁμαρτών.] Χωρισθείς. ὅ ἐστι τοῦ πατρὸς ἀστοχήσας. 507. Ἔρυσο.] Ἐφύλαττες. 509. Αἰόλαι.] Ποικίλαι. εὐκίνητοι. Εὐλαί.] Σκώληκες. παρὰ τὸ αἰολεῖσθαι, ὅ ἐστι κινεῖσθαι, τῷ δὲ τόνῳ ὡς εὐναί. 510. Κέονται.] Κεῖνται. 511. Χαρίεντα.] Εὐχάριστα, καλά. 514. Ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.] Ὁμοίως ἂν φιλεργῶν, ἤτοι ὡς ἂν πλουσίων, ἢ διὰ τὴν ἐκ τοῦ πλήθους δόξαν.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Ψ.

ARGUMENTUM.

REDUX in castra Achilles Myrmidonibus pompam funebrem indicit decursu ter circa corpus Patrocli facto: Hectore ad Patrocli feretrum projecto 1—29. tum ille sociis epulum funebre instituit—34. Ipse ab Agamemnone vocatus corpus curare negat antequam justa Patroclo persoluta sint: et noctem insomnis exigit—61. tandem somno oppressum Patrocli anima properare justa et providere jubet, ut, si quando Achilles fato functus fuerit, utriusque cinis eadem urna condatur—110. Die orto Merione, cui negotium hoc datum erat, urgente operam, ligna cæduntur.—127. Iis allatis, et apportato Patrocli corpore, in pompa Myrmidonum funebri—139. Achilles comam, Spercheo fluvio patrio post reditum in patriam ex voto consecratam, abscissam Patroclo in manus reponit tanquam amoris sui pignus—152. Vulgo dimisso sub vesperam rogus extruitur; multæ cæduntur victimæ, et in rogum conjiciuntur, cum his cæsi XII. captivi e Trojanis—182. Hectoris vero corpus canibus laniandum servat, quod tamen intactum præstant Venus et Apollo—191. Votis ab Achille factis venti tandem ingruunt, ut rogus igne consumatur, Achille interea libante et lamentante—225. Die orto conduntur ossa Patrocli tumulo facto—257.

Inde Achilles ludos funebres instituit, propositis præmiis. Habentur certamina, primum cursus curulis—652. tum pugilatus cestu—699. luctæ—739. cursus gymnici—797. pugnæ cum hasta—825. disci—849. sagittandi—883. jaculandi ad f.

Deorum interventus nullus est, nisi in corpore Hectoris servando Veneris et Apollinis cura vs. 184—191. tum Borea et Zephyro ab Iride arcessitis, ut ignem rogo immittant: 192—218. rogo consumto illi domum redeunt 226—230.

A parte potiore liber inscriptus olim: Ἀγὼν ἐπιτάφιος et τὰ ἐπὶ Πατρόκλῳ ἆθλα.

ὙΠΟΘΕΣΙΣ ΤΗΣ Ψ. ὉΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ἈΧΙΛΛΕΥΣ τῶν νενομισμένων ἐπὶ τοῖς νεκροῖς μεταδίδωσι Πατρόκλῳ, πυρὰν νήσας καὶ σφάξας ἐπ' αὐτῷ δυοκαίδεκα Τρωϊκοὺς νεανίσκους, καὶ κύνας καὶ ἵππους, καὶ ἄλλα ἱερεῖα. ἔπειτα καὶ ἀγῶνα ἐπιτάφιον ποιεῖ, ἐν ᾧ νικᾷ ἵπποις μὲν Διομήδης, δρόμῳ δὲ Ὀδυσσεὺς, ἄλλοι δὲ ἄλλοις· καὶ οὕτως ὁ ἀγὼν διαλύεται.

Ψῖ, Δαναοῖσιν ἀγῶνα διδοὺς ἐτέλεσσεν Ἀχιλλεύς.

ΩΣ οἱ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ,
ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος·
Μυρμιδόνας δ' οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεὺς,
ἀλλ' ὅγε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ', αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες,
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
αὐτὰρ, ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο,
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες.
Ὣς ἔφαθ'· οἱ δ' ᾤμωξαν ἀολλέες· ἦρχε δ' Ἀχιλλεύς.
οἱ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
μυρόμενοι, μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε.
δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
τοῖσι δὲ Πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο,
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀίδαο δόμοισι·
πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην,

3. ἐσκίδναντο ϝεϝὴν ἐπὶ νῆα ϝέκαστος. 5. ὅγε ϝοῖς. 10. ὀλοϝοῖο.

1—26. Reditu in castra facto Myrmidones, antequam equos solvant, et cibo sumto se recreent, lamenta cursu circa corpus Patrocli ter facto instaurare jubet Achilles; corpus Hectoris ad feretrum prostratum abjicit. Adornata autem hæc sunt eo consilio, ut honos funebris Patroclo habitus, Hectoris corpore insepulto projecto, comparatione tacite facta tanto magis illustretur.—14. μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε, si versus sunt Homerici, necesse est ipsam deam interfuisse, ex mari propinquo (v. inf. Ω. 78.) egressam, et suo luctu aliorum luctum excitasse, ut alibi fit: inf. 108. 153.—15. Dicas, nimis γοργῶς hæc narrata esse, ipsam arenam lacrimis esse humectatam. Verum in luctu exprimendo prisca ætas sibi mirum in modum indulsit.—16. τοῖον γὰρ, h. e. præstantissimus enim erat heros, cujus mortem lugebant. Sic τοῖος Δ. 390. Is autem qui anteit ceteris et auctoritate et dolore, ἐξάρχει γόου· Σ. 51. et γόος ἀδινὸς, συνεχὴς ibid. 316. ubi hic idem versus.—et vs. 18. χεῖρας ἐπ' jam lectus Σ. 317. cum vs. 17.—20. τὰ πάροιθεν ὑπέστην Σ. 335. sq. effectum habent inf. 175.—

2. Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.] Ἀκέφαλον καλεῖται τοῦτο τὸ μέτρον. πέποιθε γὰρ καταρχὰς ὁ στίχος. Ἑλλήσποντον δὲ καλεῖ, τὴν πέριξ Ἰλίου θάλασσαν. 5. Ὅγε.] Οὗτός γε. 8. Αὐτοῖς ἵπποισι καὶ ἅρμασι.] Κατὰ Ἀττικὸν ἔθος πέφρακε χωρὶς τοῦ σύν. 9. Ὃ γάρ.] Τοῦτο γάρ. 10. Τεταρπώμεσθα.] Τερφθῶμεν. 11. Δορπήσομεν.] Δειπνήσομεν. 14. Ἵμερον.] Ἐπιθυμίαν. 15. Δεύοντο.] Ἐβρέχοντο. Ψάμαθοι.] Αἱ παραθαλάσσιοι ἄμμοι. 17. Ἀδινοῦ.] Νῦν πυκνοῦ, συνεχοῦς. Γόοιο.] Θρήνου.

Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
ἐν κονίῃς· οἱ δ' ἔντε' ἀφωπλίζοντο ἕκαστος
χάλκεα, μαρμαίροντα· λῦον δ' ὑψηχέας ἵππους.
κὰδ δ' ἷζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ.
πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ,
σφαζόμενοι, πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες·
πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῇ,
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔῤῥεεν αἷμα.
αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλείωνα
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
σπουδῇ παρπεπιθόντες, ἑταίρου χωόμενον κῆρ.
οἱ δ', ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,

21. δεῦρ' Ϝερύσας. v. Obss. 24. δῖον ἀϜεικέα μήδετο Ϝέργα.
26. ἐφοπλίζοντο Ϝέκαστος. 29. μενοϜεικέα. 31. ὄϜιες.
35. τόν γε Ϝάνακτα.

21. κυσὶν ὠμὰ δάσασθαι, ὠμῶς. dilaniandum a canibus.—24. ἐμήδετο, ἐμηχανήσατο ἀεικές τι. etiam X. 395.

27—34. Myrmidones Achilles epulis factis recreat ex acie. Epulæ hæ loco τάφου, epularum funebrium ab Achille parantur.—30. ὀρέχθεον de gemitu seu mugitu cæsorum accepere veteres: ἐστέναχον. ἐμυκῶντο. ἐβρύχοντο.—34. κοτυλήρυτον magna copia, ac si vase effusum esset.

35—56. Ad Agamemnonem deductus Achilles corpus quidem lavare et curare, antequam justa Patroclo persoluta fuerint, recusat; epulis paratis aut ipse omnino non interest, aut cibum saltem haud degustat. Nam ipse videri debet nec corpus curasse

22. Ἀποδειροτομήσειν.] Ἀποτεμεῖν τοὺς τραχήλους. 24. Ἕκτορα δῖον.] Κατὰ Ἕκτορος δίου, ἤγουν ἐνδόξου. 25. Πὰρ λεχέεσσι.] Παρὰ τῷ φερέτρῳ. ἤγουν τῇ κλίνῃ. 26. Ἀφωπλίζοντο.] Ἀφῃροῦντο τὰ ὅπλα. 29. Τάφον μενοεικέα δαίνυ.] Τάφον, τὸ περίδειπνον, τὸ ἐπὶ τοῖς τετελευτηκόσι παρασκευαζόμενον. οἱ Κύπριοι καὶ τὸν φόνον τάφον καλοῦσι. Μενοεικέα.] Θυμήρη, ἀρεστόν. Δαίνυ.] Εὐώχει. 30. Ὀρέχθεον.] Ἀπετείνοντο ἀναιρούμενοι. ἢ ἐφθέγγοντο, καὶ ὥσπερ ἐστέναζον. μεμίμηται γὰρ τὸ ὄνομα τῆς φωνῆς, ὃ προΐενται ἀναιρούμενοι οἱ βόες. οἱ δὲ ἐκόπτοντο, ἀπὸ τούτου καὶ ἐρεγμὸς, ὁ ἀποκεκομμένος κύαμος. 31. Μηκάδες.] Μηκητικαί. ἀπὸ τοῦ ἰδιώματος τῆς φωνῆς. 32. Θαλέθοντες.] Θάλλοντες. λιπαροί. 33. Εὑόμενοι.] Φλογιζόμενοι. Τανύοντο.] Ἐξετείνοντο φλογιζόμενοι τῷ πυρί. 34. Κοτυλήρυτον.] Τοσοῦτον τῷ πλήθει ὥστε καὶ κοτύλῃ ἀρύσασθαι. κοτύλην δὲ πᾶν τὸ κοῖλον ἔλεγον, ὥστε καὶ τὸ κοῖλον τῆς χειρὸς κοτύλην λέγεσθαι. 36. Εἰς Ἀγαμέμνονα.] Ἀντὶ τοῦ, πρὸς τὸν Ἀγαμέμνονα. 37. Σπουδῇ παρ-

αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν,
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν· εἰ πεπίθοιεν
Πηλείδην, λούσασθαι ἀπὸ βρότον αἱματόεντα.
αὐτὰρ ὅγ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
Οὐ μὰ Ζῆν', ὅστις τε θεῶν ὕπατος καὶ ἄριστος,
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ, σῆμά τε χεῦαι,
κείρασθαί τε κόμην· ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἤτοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί·
ἠῶθεν δ' ὄτρυνον, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
ὕλην τ' ἀξέμεναι, παρά τε σχεῖν, ὡς ἐπιεικὲς
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα·
ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος.
Πηλείδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης

39. vulg. κέλευσεν. 45. vulg. χεῦσαι. 48. vulg. μὲν νῦν.
49. ὄτρυνον Fάναξ. v. Obss. 50. ἐπιFεικές. 53. ἐπὶ Fέργα.
55. ἐφοπλίσσαντες Fέκαστοι. v. Obss. 56. ἐFίσης. 58. κλισίηνδε Fέκαστος.

nec lavasse se et unxisse, ante justa Patroclo persoluta.—41. βρότον αἱματόεντα jam H. 425. et al.—44. λοετρὰ καρήατος ἆσσον ἱκέσθαι, h. e. ἅπτεσθαι, antiquo sermone, pro λούεσθαι. admoveri aquam ei.—48. στυγερῇ πειθώμεθα δαιτὶ, invisas celebremus epulas etsi inviti. se ipsum annumerat, etsi ipse expers sibi manet; pro πείθησθε.—50. ὡς ἐπιεικές. Jungo sic: ὡς ἐπιεικές ἐστι, νεκρὸν ἔχοντα (scil. αὐτὰ) νέεσθαι. ut consentaneum est, mortuum iis instructum ad inferos discedere. pro vulgari παρασχεῖν ταῦτα, ἃ ἔχων νέηται ἂν ὑπὸ ζόφον 53. θᾶσσον ἀπ' ὀφθαλμῶν. ut paullo ante ἀπ' οὔατος. plene: ἵνα ταχύτερον ἐκτὸς τῆς ὄψεως ἡμῶν γένηται.

57—108. Epulis factis alii ad quietem se componunt, Achilles, sero capto somno, Patrocli videt umbram adstantem auditque monentem, ut justis quam primum factis aditum sibi ad Haden procuret; tum ut, ubi ipse obierit, ossa utriusque eadem urna componi curet.—93. Respondet Achilles, frustraque umbram fugientem amplectitur.

πεπιθόντες.] Μόλις καὶ μετὰ πολλῆς κακοπαθείας πείσαντες. 40. Τρίποδα.] Λέβητα, βάσιν ἔχοντα τριῶν ποδῶν. 41. Βρότον.] Τὸν φόνον. 43. Οὐ μὰ Ζῆν'.] Οὐ μὰ τὸν Δία. Ὕπατος.] Ἤτοι ὁ μέγιστος, ἢ ὁ ἄριστος. 44. Οὐ θέμις.] Οὐ δίκαιον, οὐ προσῆκον. 45. Χεῦσαι.] Χῶσαι. 46. Ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε Ἵξετ' ἄχος κραδίην.] Οὐκ ἂν μοι ἄλλο τοιοῦτο συμβήσεται κακόν. Δεύτερον.] Ἔσχατον. 47. Μετείω.] Μετῶ. 51. Ζόφον.] Σκότος, ὃν ἡμεῖς ᾅ-

κεῖτο βαρυστενάχων, πολέσι μετὰ Μυρμιδόνεσσιν,
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνας κλύζεσκον·
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα,
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν.
ἦλθε δ' ἔπι ψυχὴ Πατροκλῆος δειλοῖο,
πάντ' αὐτῷ, μέγεθός τε καὶ ὄμματα κάλ', εἰκυῖα,
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.
τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πως μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν·
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων

61. vulg. ἠϊόνος. 64. προτὶ Fίλιον. 66. κάλ', Fεικυῖα. v. Obss. 67. χροῒ Fείματα Fέστο. 68. ἔFειπε. 71. 'AFίδαο. 72. με Fείργουσι vel τῆλέ μ' ἐFέργουσι—Fείδωλα. 74. "AFιδος. 76. 'AFιδαο.

61. ἐν καθαρῷ simpl. de loco hominum frequentia vacuo, solitario, accipio. cf. ad usum vocis Θ. 490. K. 199.—62. Achilles ἐπὶ θαλάσσης κεῖτο,—εὖτε τὸν ὕπνος ἔμαρπτε. jacebat, ingemiscendo, *cum* somnus eum oppressit. Vss. 66, 67, 68. notabiles de specie per somnum oblata. ὑπὲρ κεφαλῆς sollenni usu somniorum: ut B. 20. et al.—69. λελασμένος ἔπλευ. πέλη, ut εὕδεις.—71. Locus, unde vetusta opinio illustratur, aditum ad loca infera non dari animæ insepulto corpore. Nondum *portam Orci* intravit: (πύλας 'Αΐδαο περήσω ait) in animarum cœtum trans amnem (Oceanum h. amne trajecto) nondum admittitur; 72, 73. Versatur tamen umbra ἀνὰ δῶμα "Αϊδος 74. Operam perdet, qui hanc locorum inferorum faciem cum aliis locis in consensum revocare volet. Videtur tamen altero loco generalius dictum, ut inf. 103, 104. de tota conditione, quæ nos post mortem manet.—73. μίσγεσθαι sc. αὐτοῖς ὑπὲρ ποταμοῖο, Oceano.—75. καί μοι δὸς τὴν χεῖρα, ὀλοφύρομαι. da mihi manum, rogo cum fletu.—77. ad miserationem movendam apti versus, non amplius una erimus.—79. ἐμὲ

δην λέγομεν. 'Ηερόεντα.] 'Αερώδη, σκοτεινὸν, ἢ πλατύν. 61. 'Εν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον.] "Οπου ἐπικλύζουσα ἡ θάλασσα ἐποίει καθαρὸν τὸν αἰγιαλόν. 62. Εὖτε.] 'Ηνίκα. "Εμαρπτεν.] 'Ελάμβανεν. Μελεδήματα.] Φροντίδας. 64. "Εκτορ' ἐπαΐσσων.] 'Επὶ "Εκτορα ὁρμῶν. 69. "Επλευ.] 'Εγένου. 70. 'Ακήδεις.] 'Αφροντίστεις. 72. Εἴδωλα.] 'Απεικονίσματα. Καμόντων.] Τῶν τεθνηκότων. 74. 'Αλάλημαι.] Πλανῶμαι. Εὐρυπυλές.] Πλατείας πύλας ἔχον. 75. 'Ολοφύρομαι.] Οἰκτίζομαι, θρηνῶ. ἐλλείπει δὲ τὸ ἵνα. 76. Νίσσομαι.] Παραγενήσομαι. Λελάχητε.] Λαχεῖν καὶ τυχεῖν ποιήσετε. 77. Φίλων ἀπάνευθεν ἑταίρων.] Τῶν ἑταίρων ἄποθεν τῶν ἡμετέρων. τοῦτο γὰρ προσυπακουστέον.

βουλὰς ἑζόμεναι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν Κὴρ
ἀμφέχανε στυγερὴ, ἥπερ λάχε γεινόμενόν περ.
καὶ δέ σοι αὐτῷ μοῖρα, θεοῖς ἐπιεικέλ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴκε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ.
ἀλλ', ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν,
εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ', ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
ἔνθα με, δεξάμενος ἐν δώμασιν, ἱππότα Πηλεὺς
ἔτραφέ τ' ἐνδυκέως, καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὡς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτηρ.
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
  Τίπτε μοι, ἠθείη κεφαλὴ, δεῦρ' εἰλήλουθας,

80. ἐπιϝείκελ'. 90. vulg. ἔτρεφέ τ'.

μὲν Κὴρ ἀμφέχανε, ἀμφιχαίνει, εἰς ἐμὲ, inhiat in me. Fatum, Mors fatalis, Parca, quæ me assignatum sibi accepit nascentem, in me involavit tanquam prædam. Nam ἀμφιχαίνει, ut devoret, prædam fera vel ales.—80. καὶ δέ σοι αὐτῷ μοῖραι. De hac prædictione v. ad P. 408.—81. Troes εὐηγενεῖς. εὐγενεῖς. (nisi fuit ἠϋγενέων hic, et sup. Λ. 427. ἠϋγενέος) ut iidem μεγάθυμοι et μεγαλήτορες sunt dicti.—83. μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι. quod factum esse docemur Od. Ω. 74. sq —84. ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν. apodosis 91. ὧς δὲ καὶ ὀστέα.—85. εὖτε με cf. sup. ad Λ. 764. ubi Menœtium in Pelei domo degentem vidimus vs. 770. 87. Clysonymum Amphidamantis fil. v. ibid.—92. ἀμφιφορεὺς—de eo v. Od. Ω. 74. cf. Obss. ad Apollod. p. 232. extr. Post σορὸς, capulus, arca, memoratur ἀμφιφορεὺς, tanquam per appositum; quasi σορὸς et ἀμφιφορεὺς una eademque res sit; quod vix fieri posse putes. Nisi versus 92. ex Od. Ω. 74. est confictus a rhapsodo, dicendum est, alteram vocem esse declarative positam; interdum enim urna, qua cinis reconditur, in arca reponebatur, sicque humabatur. Alioqui solus σορὸς, λάρναξ cinerem recipiebat. Uterque mos in sepulcris Companiæ est deprehensus. Ceterum etiam apud Quintum III. 727. Achillis ossa leguntur ἐς χηλὸν,

79. Ἀμφέχανε.] Περιέχανε, κατέπιεν. 81. Εὐηγενέων.] Εὖ διαγόντων. εὐγενῶν. 82. Ἐφήσομαι.] Ἐπισκέψομαι. ἐντελοῦμαι. 85. Ὀπόεντος.] Ὀποῦντος. ἡ δὲ Ὀποῦς πόλις τῆς Λοκρίδος. 86. Ὑμετερόνδε.] Προσληπτέον οἶκον. Ἀνδροκτασίης ὑπὸ λυγρῆς.] Διὰ τὴν χαλεπὴν ἀνδροφονίαν. 87. Παῖδ' Ἀμφιδάμαντος.] Κλυσώνυμος ἦν ὁ ὑπὸ Πατρόκλου ἀναιρεθείς. ἡ δὲ ἱστορία εἴρηται ἐν τῇ μ. 89. Δεξάμενος.] Ὑποδεξάμενος. 90. Ἐνδυκέως.] Ἐπιμελῶς. 91. Ὁμή.] Ὁμοία καὶ ἡ αὐτή. Ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορός.] Διόνυσος Ἥφαιστον γενόμενον ἐν Νάξῳ μιᾷ τῶν Κυκλάδων ξενίσας, ἔλαβε παρ' αὐτοῦ δῶρον χρύσεον ἀμφορέα. διωχθεὶς δὲ ὕστερον ὑπὸ Λυκούργου, καὶ καταφυγὼν εἰς θάλασσαν, φιλοφρόνως αὐτὸν ὑποδεξαμένης Θέτιδος, ἔδωκεν αὐτῇ τὸν Ἡφαιστότευκτον ἀμφορέα. ἡ δὲ τῷ παιδὶ ἐχαρίσατο, ὅπως μετὰ θάνατον ἐν αὐτῷ ἀποτεθῇ τὰ ὀστᾶ αὐτοῦ. ἱστορεῖ Στησίχορος. 92. Ἀμφιφορεύς.] Νῦν σορός. λέγεται δὲ οὕτω

καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω, καὶ πείσομαι, ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους, ὀλοοῖο τεταρπώμεσθα γόοιο.
Ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν,
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνὸς,
ᾤχετο τετριγυῖα. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς,
χερσί τε συμπλατάγησεν, ἔπος τ' ὀλοφυδνὸν ἔειπεν·
Ὦ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισι
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
ψυχὴ ἐφεστήκει γοόωσά τε, μυρομένη τε,
καί μοι ἕκαστ' ἐπέτελλεν· ἔϊκτο δὲ θέσκελον αὐτῷ.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο·
μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος Ἠὼς
ἀμφὶ νέκυν ἐλεεινόν. Ἀτὰρ κρείων Ἀγαμέμνων
οὐρῆάς τ' ὤτρυνε καὶ ἀνέρας, ἀξέμεν ὕλην,

95. ταῦτα Fέκαστ'. 98. ὀλοFοῖο. 102. συμπλατάγησε, Fέπος—ἔFειπε.
104. Fείδωλον. 106. vulg. ἐφειστήκει.
107. καί μοι Fέκαστ' (v. Obss.) ἐπέτελλε· FέFικτο.

et tum Thetis præbet ἀμφορῆα, in quo ossa reponuntur.—99. ὠρέξατο χερσὶ, v. ad Δ. 307.—101. ᾤχετο τετριγυῖα acute ejulando. Voc. vidimus de pullis passerum B. 314. et Od. Ω. 6. sq. pro *stridere* inf. 714.—102. χερσί τε συμπλατάγησε, pro, πλαταγὸν ἐποίησε σὺν χερσὶ, χεῖρας συνεκρότησε.—104. ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν. Sunt ergo sequentia quæ ex dictis colligas, nam alia in Odyssea occurrunt, non cum his confundenda, fere hæc: Anima, ψυχὴ, quam 66, 67. Patroclo simillimam, etiam amictu, vidimus verba facere; tum, cum Achilles eam amplecti vellet, diffluxit, fumi instar, acute exclamando. Etenim, quod ᾤχετο κατὰ χθονὸς, interpretatio est Achillis, nam ipse tantum evanuisse viderat. Nunc ille pro experto habet, etiam post mortem, in Hade, h. e. postquam vita effluxit, superesse instar aliquod hominis; 104. ψυχὴν et εἴδωλον, esse; sed non sunt φρένες in hoc simulacro, quod vi oppositi nihil aliud esse potest, quam *nihil solidi inesse, nullum corpus solidum.* φρένες, proprie diaphragma, (v. ad Π. 481.) nunc omnino tendines et musculi, quos pinguiore vocabulo nervos appellant, adeoque partes solidiores; quibus deficientibus nulla vis, robur, inest, omninoque nihil solidi. Supra φρένες μένεος πίμπλαντο A. 103. pectus sanguine ex ira intumescens simul vim et impetum capiebat. At de *mente* h. l. cogitare velle, alienum esset.—107. ἔϊκτο δὲ θέσκελον αὐτῷ. θείως. θαυμαστῶς.

109—126. Die orto ligna ad rogum exstruendum apportantur.—112. ἐπὶ δ' ἀνὴρ

καὶ τὸ μέγα κεράμιον. 98. Τεταρπώμεσθα γόοιο.] Οὕτω γὰρ ὁ θρῆνος ἀτερπής ἐστι καὶ παραμυθεῖται δὲ τοὺς ἀνιωμένους. 99. Ὠρέξατο.] Νῦν, προετείνατο. 101. Τετριγυῖα.] Τρίζουσα, ποιὸν ἦχον ἀποτελοῦσα. 102. Συμπλατάγησε.] Ψόφον ἐποίησε, συνεκρότησεν. Ὀλοφυδνόν.] Ἐλεεινὸν, οἰκτρὸν, θρηνῶδες. 104. Φρένες.] Νῦν ὅλον τὸ σῶμα. 107. Ἔϊκτο.] Ὡμοίωτο. Θέσκελον.] Ἀντὶ τοῦ θεσκέλως, ὅ ἐστι θείως καὶ θαυμαστῶς. 111. Ἀξέμεν ὕλην.] Κόπτειν ὕλην, παρὰ τὸ ἆξαι. ἢ φέρειν. ἄγεται γὰρ τὸ ζῶον.

πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸς ὀρώρει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος.
οἱ δ' ἴσαν, ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες,
σειράς τ' εὐπλέκτους· πρὸ δ' ἄρ' οὐρῆες κίον αὐτῶν.
πολλὰ δ' ἄναντα, κάταντα, πάραντά τε, δόχμιά τ', ἦλθον.
ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,
αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναηκέϊ χαλκῷ
τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
πίπτον· τὰς μὲν ἔπειτα διαπλίσσοντες Ἀχαιοὶ,
ἔκδεον ἡμιόνων. ταὶ δὲ χθόνα ποσσὶ δατεῦντο,
ἐλδόμεναι πεδίοιο, διὰ ῥωπήϊα πυκνά.
πάντες δ' ὑλοτόμοι φιτροὺς φέρον· ὡς γὰρ ἀνώγει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος.
κὰδ δ' ἄρ' ἐπ' ἀκτῆς βάλλον ἐπισχερὼ, ἔνθ' ἄρ' Ἀχιλλεὺς
φράσσατο Πατρόκλῳ μέγα ἠρίον, ἠδὲ οἱ αὐτῷ.
  Αὐτὰρ ἐπεὶ πάντη παρακάββαλον ἄσπετον ὕλην,
εἵατ' ἄρ' αὖθι μένοντες ἀολλέες· αὐτὰρ Ἀχιλλεὺς
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε,
χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπ' ὄχεσφιν ἕκαστον

120. vulg. διαπλήσσοντες. 126. μέγα Ϝηρίον, ἠδέ Ϝοι.
130. ὑπ' ὄχεσφι Ϝέκαστον.

ὀρώρει. ἐπορώρει. *ad hoc exortus est*, processit, ducem se obtulit, operam suam ad hoc conferendo. Non vero, incitabat eos. Nam ὀρώρειν, ὄρωρα, ubique vim immanentem habent.—120. τὰς μὲν ἔπειτα Ἀχαιοὶ ἔκδεον, ἔδεον ἐξ, ἡμιόνων, διαπλίσσοντες, εὖ διαβάντες, gressu firmato, ut viribus intentis vincula adstringerent, quibus ligna mularum dorsis illigarentur. nunc homines διαπλίσσουσι. At Od. Z. 318. de mulabus: εὖ δὲ πλίσσοντο πόδεσσιν. πλίσσειν, quod πλέκειν. διαπλίσσειν, διαβεβηκέναι. pede altero ante alterum firmiter impresso.—121. χθόνα ποσσὶ δατεῦντο dictum ut, carpere viam.—122. ἐλδόμεναι πεδίοιο, *cupidi plani campi*, cupientes in planitiem descendere, ut minus ærumnosus esset incessus, tendentes in campum.—126. φράσσατο designaverat. Mox vs. 138. πέφραδε.

127—137. Myrmidones armatos incedere et in eorum medio corpus Patrocli, ad rogum seu ad locum, ubi rogus exstruendus erat, e tentorio duci jubet Achilles.—

113. Ἀγαπήνορος.] Ἀνδρείου. 114. Ὑλοτόμους.] Ξυλοτόμους. 115. Σειρὰς εὐπλέκτους.] Ὑστριχίδας. 116. Ἄναντα.] Προσάντη, ἀνωφερῆ. Κάταντα δέ.] Κατωφερῆ. Πάραντα.] Τὰ κρημνώδη καὶ γήλοφα. Δόχμια.] Πλάγια. 117. Ἄλλοτε.] Ἀλλαχοῦ τῶν ποδῶν τιθεμένων. Κνημούς.] Τὰς προβάσεις τῶν ὀρῶν νῦν. 120. Διαπλήσσοντες.] Διακόπτοντες. 121. Ἔκδεον.] Ἐξεδέσμευον. Ποσσὶ δατεῦντο.] Ἐμερίζοντο βαδίζουσαι. μερισμῷ γάρ τινι ὅμοιον γίγνεται κατὰ τὴν πορείαν. 122. Ῥωπήϊα.] Διὰ τῶν δασέων καὶ θαμνωδῶν τόπων. 123. Φιτρούς.] Κορμούς. 125. Ἐπ' ἀκτῆς.] Ἐπὶ τοῦ αἰγιαλοῦ. Ἐπισχερώ.] Ἐφεξῆς. 126. Φράσσατο.] Ἐβουλεύσατο. ἐνόησε. Ἠρίον.] Κατὰ γῆν μνῆμα. τάφον. 130. Ζώννυσθαι.] Καθοπλίζεσθαι. 132. Πα-

ἵππους. οἱ δ' ὤρνυντο, καὶ ἐν τεύχεσσιν ἔδυνον.
ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται, ἡνίοχοί τε·
πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν,
μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.
θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς
ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἄϊδόσδε.
Οἱ δ' ὅτε χῶρον ἵκανον, ὅθι σφίσι πέφραδ' Ἀχιλλεύς,
κάτθεσαν, αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν·
ὀχθήσας δ' ἄρα εἶπεν, ἰδὼν ἐπὶ οἴνοπα πόντον·
Σπερχεῖ', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,
κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν,
σοί τε κόμην κερέειν, ῥέξειν θ' ἱερὴν ἑκατόμβην·
πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν

135. καταϜείνυον. 137. ἌϜιδος. 139. δέ Ϝοι μενοϜεικέα.
143. ἄρα Ϝεῖπε, Ϝιδὼν ἐπὶ Ϝοίνοπα.

131. ἐν τεύχεσσιν ἔδυνον. ἐνέδυνον τεύχεσιν, εἰσεδύοντο τὰ τεύχεα. et, ἀνέβησαν εἰς δίφρους.—135. θριξὶ δὲ πάντα νέκυν κατείνυον—quod mox 140. sq. ipse Achilles facit; orto forte more ab eo consilio, ut in sui memoriam mortuo darent partem sui aliquam auferendam: quod patet v. 151, 2, 3. Ex ἕω, ἕνω, ἕννυμι. εἵνω, εἰνύω. induo. obtego. obruo. quod ἐνδύω et καλύπτω.

138—163. Ipse Achilles comam rescissam Patrocli manibus reponit; tum discedere jubet turbam, nec retinet præterquam necessarios.—139. αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην aggesserunt ligna, eduxerunt rogum in altum, quantum ipse volebat, μενοεικῶς. sup. H. 428. νεκροὺς πυρκαϊῆς ἐπενήνεον.—142. Ex his patet, Peleum in filii, tum adhuc comam alentis, discessu vota fecisse pro ejus reditu, ut, si is rediturus esset, se ejus comam Fluvio patrio, sacro facto, esse consecraturum.—146. Hecatombe h. l. per L oves constituitur. cf. ad A. 65. ἔνορχα μῆλα, ὄρχεις ἔχοντα. accipio simpliciter, integra, ut opp. castratis. Tum 148. notabile, Fluvio, nunc quidem in Thessalia,

ραιβάται.] Οἱ ἐπὶ τῶν ἁρμάτων συμπολεμοῦντες, τουτέστι κύριοι τῶν ἁρμάτων. 133. Νέφος.] Πλῆθος νῦν. 135. Θριξὶ δὲ πάντα νέκυν καταείνυον.] Κατεκάλυπτον, ἐσκέπαζον. τουτέστι πολλὰς τρίχας κατέβαλλον, ὥστε καλύπτειν τὸν νεκρόν· τοῦτο δὲ πρὸς τιμὴν ἐγίγνετο τῷ θνήσκοντι. ὡς καὶ ἀλλαχοῦ φησι· Τὸ γὰρ γέρας ἐστὶ θανόντων, Κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν. 139. Μενοεικέα.] Πολλήν. Νήεον.] Ἐσώρευον. 142. Σπερχειῷ.] Ποταμὸς Θετταλίας. 143. Οἴνοπα.] Νῦν, βαθύν. 144. Ἄλλως.] Μάτην. Ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς.] Ἔθος ἦν τοῖς ἀρχαίοις, μετὰ τὸ παρακμάσαι τῆς νεότητος, τὰς κόμας ἀποκείρειν τοῖς ποταμοῖς. τούτους γὰρ ἐνόμιζον τῶν ἀνατροφῶν αἰτίους εἶναι. διὰ ταύτην δὲ τὴν αἰτίαν, καὶ εἰς τοὺς ποταμοὺς ὕδωρ ἐκόμιζον, τέκνων τε γενέσεως καὶ παιδοτροφίας οἰωνὸν τιθέμενοι. διόπερ καὶ τὰς Ἀχιλλέως κόμας Πηλεὺς τούτῳ καθιέρωσεν. ἦν γὰρ ἐκ Φαρσάλου τῆς Θετταλίας. 147. Ἔνορχα.] Ὄρχεις ἔχοντα. τοιαῦτα γὰρ ἔθυον τοῖς ποταμοῖς.

ἐς πηγὰς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι.
  Ὣς εἰπὼν, ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
θῆκεν· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο,
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι εἶπε παραστάς·
  Ἀτρείδη, (σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
πείσονται μύθοισι) γόοιο μὲν ἔστι καὶ ἆσαι·
νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον, καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι· τάδε δ' ἀμφὶ πονησόμεθ', οἷσι μάλιστα
κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἄμμι μενόντων.
  Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα λαὸν μὲν σκέδασε κατὰ νῆας ἐΐσας,
κηδεμόνες δὲ παρ' αὖθι μένον, καὶ νήεον ὕλην.
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα·
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἀχνύμενοι κῆρ.
πολλὰ δὲ ἴφια μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς
πρόσθε πυρῆς ἔδερόν τε, καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων

149. δέ Ϝοι. 152. Ϝειπών. 155. Ἀγαμέμνονι Ϝεῖπε. 161. ἄκουσε Ϝάναξ. 162. ἐϜίσας. 164. al. ἑκατόμποδον. 166. δὲ Ϝίφια—Ϝέλικας.

litatum esse ad fontem, ibique ei sacellum et aram fuisse consecratum.—149. σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας pro οὐ τελεῖς. Norat autem hoc Achilles, se non esse rediturum in patriam, e matris monito, et ex umbra Patrocli sup. 80. Ad 151. v. notata sup. ad 135.—157. γόοιο μὲν ἐστὶ καὶ ἆσαι. vel, supplendo ὕστερον. *licebit lamentari, quantum lubet, in posterum:* νῦν δέ. vel: *est lamentandi modus aliquis.* ut πάντων μὲν κόρος ἐστί. N. 636. sq. Sic, Od. Δ. 103. αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο. et inf. Ω. 227. ἐπὴν γόου ἐξ ἔρον ἕντο.—158. ἀπὸ πυρκαϊῆς σκέδασον, jube discedere et se ad sua conferre.—δεῖπνον ὅπλεσθαι, ὁπλίζεσθαι. T. 171, 172. inter hæc scilicet jam noctem ingruere puta. Exsequiæ autem habentur noctu.—160. οἷς μάλιστα (διὰ) κήδεός ἐστιν ὁ νέκυς, corpus. Iidem mox 163. κηδεμόνες.

163—191. Exstruitur rogus, parantur inferiæ, accenditur ignis, Hectoris corpus servat canibus dilaniandum, quod tamen dii ab omni injuria vindicant, ne fœdetur.

163. κηδεμόνες. simplic. οἱ κηδόμενοι. ἐπιμελούμενοι. Iterum sic 674.—164. πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα, h. τετράγωνον, τετράπλευρον, καθ' ἑκάστην πλευρὰν ἑκατὸν ποδῶν.—

151. Ὀπάσαιμι.] Παράσχοιμι. 158. Πυρκαϊῆς.] Πυρᾶς. 159. Ὅπλεσθαι.] Ἑτοιμάζεσθαι. Τάδε τ' ἀμφιπονησόμεθα.] Ταῦτα ἀσχολησόμεθα. 160. Κήδεος.] Φροντίδος ἄξιος, κηδεύσιμος. κηδεμόνες γὰρ οἱ κύριοι οἷς μάλιστα προσήκει τὸ φροντίζειν. Παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων.] Παραμενέτωσαν δὲ ἡμῖν οἱ ἡγεμόνες. 164. Ἑκατόμπεδον ἔνθα καὶ ἔνθα.] Τετράγωνον ὥστε ἑκάστην πλευρὰν ἑκατὸν ποδῶν μέτρον ἔχειν. Ἔνθα καὶ ἔνθα.] Τῇ δὲ κἀκεῖσε, κατὰ μῆκος καὶ πλάτος. 165. Πυρῇ ὑπάτῃ.] Νῦν ἐν μέσῳ καὶ ἐξέχοντι μέρει τῆς

δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νήει·
ἐν δὲ τίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας,
πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους
ἐσσυμένως ἐνέβαλλε πυρῇ, μεγάλα στεναχίζων.
ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν·
καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας,
δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
ᾤμωξέ τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισι.
πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην.
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔτι
δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.
Ὣς φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο·
ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
ἤματα καὶ νύκτας· ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ,

172. vulg. στοναχίζων. 173. τῷ γε Fάνακτι. 176. μήδετο Fέργα.

169. δρατὰ σώματα. excoriatæ pecudes, cum ceteris quæ ad inferias spectant in seqq., honoris caussa cremantur; adipe, πιμελῇ, involvitur corpus alendæ flammæ caussa, quod facile est ad assequendum.—170. Vasa melle et adipe repleta ita collocasse videtur Achilles, ut ea vergerent versus corpus in lecto reclinatum, quo vi ignis effusus adeps in corpus manaret.—174. Junge καὶ ἐνέβαλλε πυρῇ τῶν μὲν κυνῶν δύο, δειροτομήσας, δώδεκα δὲ Τρώων υἱοὺς, δηϊόων χαλκῷ—176. κακὰ δὲ φρεσὶ μήδετο ἔργα, scil. ipso hoc, quod ἐδήϊωσε, necavit, atrox consilium exsequutus est in eos —183. Constat sibi pervicacia in hoc, quod semel ad contumeliam Hectoris pronuntiaverat, insepultum ejus corpus objectum iri, X. 348. δώσω δάπτειν κυσὶν, οὐ πυρὶ ἐσθίειν.—184. τὸν δ' οὐ κύνες ἀμφεπένοντο. a parando cibo: antecedens pro consequente; non comederunt, laniarunt; sic jam sup. Φ. 203. Veneris opera id factum dicitur. Omnino Hectoris corpus servatum est incolume; ut nec cutis raptato corpori detraheretur nec calore solis siccata exaresceret, sed ut corpus adspectu haud fœdum servaretur. Tribuuntur hæc Veneris et Apollinis operæ.—186. ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ ἀμβροσίῳ. Unguento, pro hoc Homerus ἔλαιον dicit, hoc effectum facile intelligas, ne corpus putresceret; verum est quoque remedio, ne attritu tractuque livida cutis soluta in corruptelam abeat. Ita equidem accipio. ἵνα μὴ sc. Achilles. Plin. XXI. 10. *rosa oleo maceratur;*

πυρᾶς. 168. Δημὸν ἑλών.] Πρὸς τὸ ταχὺ τὴν πιμελὴν ἐξαφθῆναι τοῦτο ποιεῖ Ἀχιλλεύς. 169. Περὶ δὲ δρατὰ σώματα νήει.] Ἐσώρευε δὲ τὰ σώματα τῶν ἀνῃρημένων ἀνδρῶν. Δρατά.] Ἐκδεδαρμένα. 170. Ἀλείφατος.] Ἀλείμματος, ἐλαίου. 171. Πίσυρας.] Τέσσαρας. Ἐριαύχενας.] Μακροτραχήλους. μεγάλους, ἀπὸ μέρους. 177. Πυρὸς μένος.] Περιφραστικῶς, τὸ πῦρ. Σιδήρεον.] Νῦν, ἰσχυρόν. Ὄφρα νέμοιτο.] Ὅπως ἐσθίῃ, τουτέστι καταδαπανᾷ. 179. Χαῖρέ μοι, ὦ Πάτροκλε.] Ἀντὶ τοῦ χαῖρε, τέρπου, ὅ ἐστιν ἥδου. 183. Δαπτέμεν.] Ἐσθίειν, διακόπτειν. 186. Ῥοδόεντι ἐλαίῳ.] Τῷ ῥοδίνῳ.

ἀμβροσίῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
οὐρανόθεν πεδίονδε· κάλυψε δὲ χῶρον ἅπαντα,
ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
σκήλῃ ἀμφὶ περὶ χρόα ἴνεσιν, ἠδὲ μέλεσσιν.
Οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνειῶτος.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἀπάνευθε πυρῆς, δοιοῖς ἠρᾶτ' Ἀνέμοισι,
Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπέσχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ, λιτάνευεν
ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγέθοιατο νεκρόν,
ὕλη τε σεύαιτο καήμεναι. ὠκέα δ' Ἶρις
ἀράων ἀΐουσα μετ' ἄγγελος ἦλθ' Ἀνέμοισιν.
οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
βηλῷ ἔπι λιθέῳ. τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι,
πάντες ἀνήϊξαν, κάλεόν δέ μιν εἰς ἓ ἕκαστος·
ἡ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·
Οὐχ ἕδος· εἶμι γὰρ αὖτις ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας

191. χρόα Fίνεσι. 198. ὠκέα Fῖρις. vulg. ὕλη τ' ἐσσεύοιτο. parum grammatice. 201. θέουσα δὲ Fῖρις. 202. Fίδον. 203. εἰς Fὲ Fέκαστος. 204. ἀνήνατο, Fεῖπε.

idque jam a Trojanis temporibus Homero teste! Serioribus quoque temporibus fuit unguentum rosaceum inter antiseptica habitum; v. Pausan. IX. extr. qui ξόανα eo inungi solita memorat. Inf. Ω. 20. corpus tractum Apollinis quoque ægide levatur. —188. Nube corpori obumbrato inducta calor solis infringitur, ne corpus exsiccet.

192—230. Vento suborto rogus consumitur. Ingeniose hoc adornatum a poeta; vota facit Ventis Achilles; nuntiat ea Ventis Iris; adveniunt illi et flammam augent. Suspicari licet boream et zephyrum memorari, quia sunt venti stati in illa regione, qui sub certum noctis tempus exoriuntur.

198. ὄφρα (οἱ ἄνεμοι) νεκρὸν φλεγέθοιντο, ὕλη τε σεύαιτο καῆναι et ligna ocyus conflagrarent; quasi, se incitent, festinent, ut ardeant. Iris itaque h. l. vota ac preces perfert ad eos, quibus sunt factæ. Novum hoc, et inter singularia hujus libri habendum. Nam ubique Iris non mortalium preces, sed Junonis vel Jovis mandata perfert: v. sup. ad B. 786. add. Γ. 121. Tum 200. etiam Ventorum, ut deorum, vita epulis exigitur.—199. ἄγγελος μετῆλθεν Ἀνέμοις nunc dictum est, uti ἐπῆλθε, pro ἦλθε μετὰ τοὺς Ἀνέμους.—202. Locus similis sup. O. 85. sq.—205. εἶμι γὰρ αὖτις. Videmus veterem mythum in formulam poeticam et inventum esse versum æmulando anti-

187. Ἀποδρύφοι.] Ἀποσπᾷ, καὶ ἀποσύρῃ. Ἑλκυστάζων.] Ἕλκων. 188. Ἤγαγεν.] Ἐπήγαγε. 190. Μένος ἠελίοιο.] Περιφραστικῶς, ὁ ἥλιος. 191. Σκήλῃ.] Σκληρύνῃ. ξηράνῃ, ὅθεν καὶ σκελετὸς ὁ ξηρός. Ἀμφὶ περὶ χρόα ἴνεσι.] Τὸν περὶ τοῖς νεύροις χρῶτα. 198. Σεύαιτο.] Ὁρμὴν λάβοι, ἐπειχθῇ. 199. Ἀΐουσα.] Ἀκούουσα. 200. Δυσαέος.] Σφοδρὸν πνεῦμα ἔχοντος. 202. Βηλῷ.] Τῇ φλιᾷ, ἀπὸ τοῦ βαίνεσθαι. 203. Εἲς ἕ.] Πρὸς ἑαυτὸν ἐκάλουν. 207. Μεταδαίσομαι.]

ἀθανάτοις, ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν·
ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλά,
ὄφρα πυρὴν ὄρσητε καήμεναι, ᾗ ἔνι κεῖται
Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπεβήσετο. τοὶ δ' ὀρέοντο
ἠχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθεν,
αἶψα δὲ πόντον ἵκανον, ἀήμεναι. ὦρτο δὲ κῦμα
πνοιῇ ὕπο λιγυρῇ. Τροίην δ' ἐρίβωλον ἱκέσθην,
ἐν δὲ πυρῇ πεσέτην, μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ.
παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον,
φυσῶντες λιγέως. ὁ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
χρυσέου ἐκ κρητῆρος, ἑλὼν δέπας ἀμφικύπελλον,
οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν,
ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
νυμφίου, ὅστε θανὼν δειλοὺς ἀκάχησε τοκῆας·
ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,
ἑρπύζων παρὰ πυρκαϊὴν, ἀδινὰ στεναχίζων.
ἦμος δ' Ἑωσφόρος εἶσι, φόως ἐρέων ἐπὶ γαῖαν,
ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠώς,
τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ.
οἱ δ' Ἄνεμοι πάλιν αὖτις ἔβαν οἶκόνδε νέεσθαι,
Θρηΐκιον κατὰ πόντον· ὁ δ' ἔστενεν, οἴδματι θύων.

212. Ϝειποῦσ'. 213. Ϝηχῇ. 216. μέγα ϜιϜαχε. v. Exc. III. ad lib. XIX. Bentl. μέγα Ϝίαχε. 219. vulg. ἔχων. 220. Ϝοῖνον. 222. Ϝοῦ παιδός. 229. Ϝοικόνδε. 230. ἔστενε, Ϝοίδματι.

quiora: A. 423.—212. sq. Locus præclare elaboratus.—214. πόντον ἵκανον ἀήμεναι. incessus Ventorum e Thracia ferebat super mare Ægæum: missi autem erant, ut flando flammam rogi augerent, non, ut mare moverent; est ergo omnino dictum. ὀρέοντο, iverunt, πόντον ἵκανον. itaque interpunctionem mutavi.—217. φλόγ' ἔβαλλον φυσῶντες sane pro ἐφύσων. Sed in βάλλειν, ἀναβάλλειν, est notio τοῦ ἀναῤῥιπίζειν, suscitare flammam jactando et ventilando.—218. sqq. habes inferiarum morem diserte expositum.

226—248. Sub diem ortum rogus erat consumtus; somno paullulum capto Achilles excitatus cinerem et ossa legere et tumulum exstruere parat.

Μεταλάβω αὐτῶν, εὐωχηθῶ. Ἱρῶν.] Ἱερῶν. θυσιῶν. 210. Ὄρσητε.] Ὁρμήσητε. 212. Ὀρέοντο.] Ὥρμων. 214. Ἀήμεναι.] Πνεῖν. 215. Λιγυρῇ.] Ὀξείῃ. 218. Λιγέως.] Ὀξέως. 223. Νυμφίου.] Ἤτοι νεογάμου ἡλικίαν ἔχοντος. Ἀκάχησεν.] Ἐλύπησεν. 225. Ἑρπύζων.] Συγκεκυφὼς καὶ ἠρέμα παραγενόμενος. 226. Ἑωσφόρος.] Ὁ κατὰ τὴν ἡμέραν ἀνατέλλων λαμπρότατος ἀστὴρ, ὃς Ἕσπερος καλεῖται. οὗτος δ' ἐστὶν ὁ τῆς Ἀφροδίτης. Ἐρέων.] Ἀπαγγέλλων.

Πηλείδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθεὶς,
κλίνθη κεκμηὼς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν.
οἱ δ' ἀμφ' Ἀτρείωνα ἀολλέες ἠγερέθοντο,
τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν·
ἕζετο δ' ὀρθωθεὶς, καί σφεας πρὸς μῦθον ἔειπεν·
Ἀτρείδη τε, καὶ ἄλλοι, ἀριστῆες Παναχαιῶν,
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν,
εὖ διαγιγνώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
ἐσχατιῇ καίοντ' ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες·
καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
θείομεν, εἰσόκεν αὐτὸς ἐγὼν Ἄϊδι κεύθωμαι.
τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν, Ἀχαιοὶ,
εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.
Ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο ποδώκεϊ Πηλείωνι.
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ,
ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
ἄλλεγον ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν·
ἐν κλισίῃσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν.

237. αἴθοπι Ϝοίνῳ. 244. ἄϜιδι. 246. ἐπιϜεικέα. 250. αἴθοπι Ϝοίνῳ.

240. Locus disertus de modo legendi cineris corporis ex cinere lignorum et pecudum cæsarum.—243. δίπλακι δημῷ. notabile inventum ad excludendum aerem et cum eo putorem. Scilicet adeps eundem usum præstat, quem alias unguenta, quibus corpus inungi et condiri solebat.—246. Jubeo facere τύμβον ἐπιεικέα, τοῖον, tumulum modicum, fere tantum, δεικτικῶς, quantum manu ac gestu circumscribebat ac definiebat: Fama autem acceptum hoc esse debuit, tumulum Patrocli, illato mox Achillis cinere, fuisse in majus auctum et, non quidem latius, sed altius tamen, eductum; nam ut ἑκατόμπεδος fieret, jam Achilles designaverat sup. vss. 164.—247. vos, Achivi, qui me superstites in exercitu ad Trojam eritis, μέμνησθε τιθέναι.

249—257. Leguntur ossa; exstruitur tumulus; et Patrocli ossa in eo conduntur.—254. ἐν κλισίῃσι δὲ θέντες, in tentorio collocant urnam, donec tumulus confectus

239. Λέγωμεν.] Ἀναλέγωμεν. 240. Ἀριφραδέα.] Εὐεπίσημα. εὔγνωστα. 242. Ἐσχατιῇ.] Τῷ κατωτάτῳ μέρει. Ἐπιμίξ.] Ἀναμεμιγμένως. 243. Φιάλῃ.] Ἀγγείῳ κοίλῳ. 244. Ἄϊδι κεύθωμαι.] Εἰς ᾄδου τὴν κέλευσιν, ὅ ἐστι τὴν ὁδὸν ποιήσομαι. συγκέκοπται δὲ ἀπὸ τοῦ κελεύθομαι, καὶ σημαίνει τὸ πορεύομαι. 245. Πονέεσθαι.] Πονεῖν, ἐνεργεῖν. 252. Ἐνηέος.] Προσηνοῦς. 254. Ἑανῷ λιτί.] Ἁπαλῷ καὶ λιτῷ ἱματίῳ.

τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν·
χεύαντες δὲ τὸ σῆμα, πάλιν κίον. Αὐτὰρ Ἀχιλλεὺς
αὐτοῦ λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα·
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε, τρίποδάς τε,
ἵππους θ', ἡμιόνους τε, βοῶν τ' ἴφθιμα κάρηνα,
ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον.
ἱππεῦσι μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
θῆκε, γυναῖκα ἄγεσθαι, ἀμύμονα ἔργ' εἰδυῖαν,
καὶ τρίποδ' ὠτώεντα δυωκαιεικοσίμετρον,
τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
ἑξέτε', ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα,
καλὸν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔτ' αὔτως·

263. leg. *γυναῖκά τ' ἄγεσθαι, ἀμύμονα Ϝέργα Ϝιδυῖαν.* 264. *δυωκαιϜεικοσίμετρον.* Bentl. malebat *διοκαιεϜεικοσίμετρον.* 266. *ἐξϜετέ'.*

esset, cui inferri posset. *ἑανῷ λιτὶ* *tenui linteo.* Σ. 352.—255. *τορνώσαντο δὲ σῆμα,* descripserunt, *περιέγραψαν,* aream, quam terra aggesta erant accumulaturi; nam, si recte assequor, tumulus in ipso rogi loco exstruitur, ut sup. Η. 336. sq. multo tamen latior, nam quadringentorum pedum in circumitu esse debuit, cum a quaternis lateribus *ἑκατόμπεδος* esset. Nec tamen tumulus tum ad summum cacumen educi potuit; verum serius post Achillis mortem, cinere ejus cum Patrocli cinere conjuncto. Ita convenit quoque Od. Ω. 80.

257. sqq. Edicuntur ab Achille *ludi funebres;* et quidem *primo* loco *ludi curules; secundo* vs. 653. fit *pugilatus; tertio* 700. *lucta; quarto* 740. *cursus; quinto* vs. 798. *monomachia; sexto* vs. 826. *discus; septimo* vs. 850. *arcus;* et *octavo* vs. 884. *jaculum.*

258. *ἵζανεν εὐρὺν ἀγῶνα.* magnum hominum consessum instruxit; ut *ἱζάνειν τὸν λαόν.* etsi proprie locum indixit, designavit et instruxit, in quo multitudo ad spectandum considere posset. De ipso consessu et sedentibus *ἀγὼν* aliquoties in hoc libro; interdum pro ipso loco.—262. In curuli certamine, tanquam nobiliore ac ceteris præstantiore quinque proposita sunt præmia; prodeunt quinque certaturi 287. sq. Fit inde certamen, et persolvuntur præmia—652.—Observanda est in seqq. notabilis ratio habita illa ætate inter pretia diversarum rerum: ut statim serva et tripus XXII. mensurarum, majore pretio fuere habita quam equa gravida ex asino; minore pretio quam equa, tripus ex ære IV congiorum; huic inferius habitum præmium II talentorum auri: quod quis nostra æstimatione ita statuat? phiala ex ære huic posthabita ultimo loco memoratur: siquidem deminutum est in singula præmia pretium. —266. Equam sex annorum, jugo tamen nondum subditam, notabis tum eandem *ἔγκυον* ex asino.—267. *ἄπυρον,* igni nondum admotum. mox *ἀπύρωτον.*—268. *λευκὸν,*

255. Τορνώσαντο.] Κύκλῳ περιέγραψαν. 256. Χυτήν.] Χωστήν. οὐ πᾶσαν δὲ, ἀλλὰ τὴν ἰδίως τοῖς νεκροῖς ἐπιχεομένην. 257. Χεύαντες.] Χώσαντες. 259. Ἄεθλα.] Νικητήρια, ἔπαθλα. 260. Βοῶν ἴφθιμα κάρηνα.] Περιφραστικῶς, βοῦς. 261. Εὐζώνους.] Καλὰς, ἀπὸ μέρους. 264. Ὠτώεντα.] Ὦτα ἔχοντα. Δύω καὶ εἰκοσίμετρον.] Δύο καὶ εἴκοσι μέτρα χωροῦντα. 266. Ἑξέτεα.] Ἑξαέτη. Ἀδμήτην.] Ἀδάμαστον. Βρέφος.] Ὃς ἡμεῖς ἔμβρυον λέγομεν ἐν τῇ γαστρὶ ὄν. Κυέουσαν.] Ἔγκυον καὶ κατὰ γαστρὸς ἔχουσαν. 267. Ἄπυρον.] Καινόν. οὐκ εἰς πῦρ χρήσιμον, ἀλλὰ ἀναθεματικόν. 268. Κεχανδότα.] Χωροῦντα.

τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα·
πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε·
στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρείδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοὶ,
ἦτ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην.
ἴστε γὰρ, ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
ἀθάνατοί τε γάρ εἰσι. Ποσειδάων δ' ἔπορ' αὐτοὺς
πατρὶ ἐμῷ Πηλῆϊ, ὁ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν.
ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω, καὶ μώνυχες ἵπποι.
τοίου γὰρ σθένος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο,
ἠπίου, ὃς σφῶϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.
τὸν τώ γ' ἑστάοτες πενθείετον, οὔδεϊ δέ σφι
χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ·
ἄλλοι δὲ στέλλεσθε, κατὰ στρατὸν ὅστις Ἀχαιῶν
ἵπποισί τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν.
Ὣς φάτο Πηλείδης· ταχέες δ' ἱππῆες ἄγερθεν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος,
Ἀδμήτου φίλος υἱὸς, ὃς ἱπποσύνῃ ἐκέκαστο·
τῷ δ' ἔπι Τυδείδης ὦρτο κρατερὸς Διομήδης,

271. ἔϝειπε. 276. ϝίστε. 281. σφῶϊν. non σφῶϊ. 287. al. ἔγερθεν.
288. μὲν ϝάναξ. v. Obss.

φαεινόν.—270. ἀμφίθετον φιάλην, quæ fundum in medio habet, adeoque supra et infra cavum, ut duplex sit poculum.

272—286. Pronuntiat Achilles *certamen curule*: a quo suos equos abfuturos esse ait, qui alioqui facile victoriam ceteris erepturi sint.—273. ἄθλα προσδεχόμενα ἱππῆας. expectantia victorem h. e. victori proposita. iis destinata.—274. ἐπὶ ἄλλῳ. in alterius honorem ludis factis.—276. περιβάλλετον. ὑπερβάλλετον.—277. Dati equi Peleo a Neptuno, in nuptiis cum Thetide. v. sup. Π. 380, 381.—279, 280. nec ego nec equi mei intererunt certamini; τοίου γάρ. nam auriga suo præstantissimo, Patroclo, nunc carent bigæ.—281. Locus notatus propter curam equorum. loti sunt aqua et uncti, ut homines corpus curant.—282. ὕδατι λευκῷ pellucido, puro.—284. οὔδει δέ σφι χαῖται ἐρηρέδαται. ἠρεισμέναι εἰσί. ἐρείδονται. ex P. 437. οὔδει ἐνισκίμψαντε καρήατα de iisdem equis. Mox 285. στέλλεσθαι est κοσμεῖσθαι. parare se, accingere se ad certamen.

287—357. Prodeunt certaturi quinque: *Eumelus*, *Diomedes*, *Menelaus*, *Antilochus* et *Meriones*. Commemorantur eo ordine, quo præstabant equi. *Eumeli* primo

270. Ἀμφίθετον.] Διπλῆν, οἱονεὶ ἔχουσαν, καὶ ἐπὶ στόμα, καὶ ἐπὶ τὸν πυθμένα θέσιν. 273. Δεδεγμένα.] Ἀναμένοντα, προσδεχόμενα. Ἀγῶνι.] Νῦν, τόπῳ. 276. Περιβάλλετον.] Ὑπερβάλλουσιν. 281. Ὑγρὸν ἔλαιον.] Ἤτοι σωμάτων χαλαστικὸν, ἢ τὸ ἐν ὑγρότητι διαφυλάττον, καὶ μὴ ἐῶν ξηραίνεσθαι, ἢ ὅτι τὸ ἔλαιον οὐκ ἀποκρυσταλλοῦται πολὺ ἔχον ἐν αὑτῷ τὸ θερμόν. 284. Ἐρηρέδαται.] Ἐρηρεισμέναι εἰσί. τῇ γῇ προσπελάζονται. 285. Στέλλεσθε.] Παρασκευάζεσθε. ὁρ-

ιππους δε Τρωὸυς υπαγε ζυγον, ους ποτ' ἀπηυρα
Αἰνειαν, ἀτὰρ αὐτον ὑπεξεσαωσεν Ἀπολλων·
τῳ δ' ἀρ' ἐπ' Ἀτρειδης ὠρτο ξαιθὸς Μενελαος
Διογενης, ὑπὸ δὲ ζυγὸν ἠγαγεν ὠκεας ιππους,
Αἰθην τὴν Ἀγαμεμνονεην, τὸν ἑον τε Ποδαργον·
τὴν Ἀγαμεμνονι δῶκ' Ἀγχισιαδης Ἐχεπωλος
δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε
Ζεὺς ἄφενος, ναῖεν δ' ὅγ' ἐν εὐρυχόρῳ Σικυῶνι·
τὴν ὅγ' ὑπὸ ζυγὸν ἦγε μέγα δρόμου ἰσχανόωσαν.
Ἀντιλοχος δε, τεταρτος εὔτριχας ὥπλισαθ' ιππους,
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος
τοῦ Νηληϊάδαο· Πυλοιγενέες δέ οἱ ἵπποι
ὠκύποδες φέρον ἅρμα· πατὴρ δέ οἱ ἄγχι παραστας
μυθειτ' εἰς ἀγαθα, φρονεων νοέοντι καὶ αὐτῷ·
Ἀντιλοχ', ἦτοι μεν σε νεον περ ἐοντ' ἐφιλησαν
Ζεύς τε Ποσειδάων τε, καὶ ιπποσυνας ἐδιδαξαν
παντοιας· τῶ και σε διδασκεμεν οὔ τι μάλα χρεω.
οἶσθα γαρ εὖ περὶ τερμαθ' ἑλισσεμεν· ἀλλα τοι ιπποι
βάρδιστοι θείειν, τῷ τ' οἴω λοίγι' ἔσεσθαι.

291. vulg. Τρωούς. 295. τὸν Fόν τε. 297. μή Fοι—ὑπὸ Fίλιον.
298. γάρ Fοι. 302. ὑπερθύμοιο Fάνακτος.
303. δέ Fοι. vulg. Πυληγενέες. 304. δέ Fοι. 308. vulg. κέν σε.
309. Fοῖσθα—τέρμαθ' Fελισσέμεν. v. Obss.

loco. ut B. 763. sq. vidimus.—291. οὕς ποτ' ἀπηύρα Αἰνείαν. sup. E. 323. Eorum equorum laudes ibid. 265. sq.—297. Locus notabilis, quod, regia potestate admodum tum circumscripta, cogere tamen poterat rex ad arma sumenda, quodque munia militaria a rege remittuntur pretio seu munere dato. Erat autem Sicyon in Agamemnonis ditione B. 572.—300. *μέγα δρόμου ἰσχανόωσαν cupidam cursus*, h. e. gestientem currere. ἰσχανᾷν etiam est ἀντέχειν τινὸς, persistere pervicaciter aliqua in re, etiam in appetendo; imminere rei seu homini. Sup. P. 572. musca ἰσχανάα δακέειν.

304—349. Nestor longa oratione filium Antilochum cursus rationem servandam edocet. Clarus autem ille erat laude artis equestris Γερήνιος ἱππότα Νέστωρ. et Νεστόρεαι ἵπποι Θ. 113. Jungo 305. μυθεῖτο εἰς ἀγαθὰ; sup. I. 102. ὅταν τινὰ θυμὸς ἀνώγῃ εἰπεῖν εἰς ἀγαθόν. εἰπεῖν ἐπὶ τῷ ἀγαθῷ.—307. ἱπποσύνας παντοίας pro sing. ἱπποσύνην, quam esse τὴν ἡνιοχικὴν τέχνην jam aliquoties vidimus, ut Δ. 303. tum παντοίη ἱπποσύνη reddi sane potest *omnis aurigandi ars*, haud dubie est proprie *ars equestris omnigena*, quandoquidem varii modi et multiplex ars est regendi currus. Vide ad 313. dicenda. Sic et παντοῖος δρόμος erat Σ. 281. παντοῖοι δόλοι Γ. 202. παντοίης ἀρετῆς X. 268.—310.

μᾶτε. 295. Αἴθην.] Ὄνομα τῆς ἵππου πεποιημένον ἴσως ἀπὸ τοῦ θερμῶς καὶ ταχέως τρέχειν. 296. Ἀγχισιάδης Ἐχέπωλος.] Ὁ Ἀγχίσου παῖς Ἐχέπωλος. 300. Ἰσχανόωσαν.] Ἐξεχομένην, ἐκτεινομένην. ἢ ἐπιθυμοῦσαν, ἂν ᾖ ἄνευ τοῦ σ. 301. Εὔτριχας.] Καλοὺς, ἀπὸ μέρους. 305. Μυθεῖτο.] Ἔλεγεν. Εἰς ἀγαθὰ φρονέων.] Εἰς ἀγαθὰ σωφρονίζων. 309. Τέρματα.] Τέλη. καμπτῆρας. Ἑλισσέμεν.] Εἱλεῖν, κάμπτειν. 310. Βάρδιστοι.] Βραδύτατοι.

τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐ δὲ μὲν αὐτοὶ
πλείονα ἴσασι σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σὺ, φίλος, μῆτιν ἐμβάλλεο θυμῷ
παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.
μήτι τοι δρυτόμος μέγ' ἀμείνων, ἠὲ βίηφι·
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
μήτι δ' ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἄλλος μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς,
ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει.
ὃς δέ κε κέρδεα εἰδῇ, ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ' ὁρόων, στρέφει ἐγγύθεν· οὐδέ ἑ λήθει,
ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν,
ἀλλ' ἔχει ἀσφαλέως, καὶ τὸν προὔχοντα δοκεύει.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει·

312. πλείονα Fίσασι. 316. ἐνὶ Fοίνοπι. 319. ἅρμασι Fοῖσι. vulg. ἀλλ' ὅς. 320. πολλὸν Fελίσσεται. v. Obss. 322. κέρδεα Fειδῇ. 323. οὐ δέ Fε.

τῷ τ' οἴω λοίγι' ἔσεσθαι. et hoc ipso vereor ne noxa futura sit, ne sinistri quid λοίγιόν τι eveniat h. e. ne successu excidas. λοίγια subint. ἔργα, ut A. 518. ἦ δὴ λοίγια ἔργα et hæc pro λοιγὸς, ut sup. Φ. 533. νῦν οἴω λοίγι' ἔσεσθαι.—311. ἀφάρτεροι. velociores quidem equos ipsi habent; artis tamen peritia te non antecellunt.—313. μῆτιν ἐμβάλλεο θυμῷ παντοίην. μῆτις, ut in seqq. apparet, est sagacitas cum peritia et usu conjuncta; eoque, complexus modorum et artium, quibus quis suo loco et tempore uti debet. παντοίην μῆτιν intellige *consilia omnigena*, h. e. artes et modos varios regendi equos et currum.—315—325. Docet Nestor filium, etsi equos tardiores regat, si tamen artem aurigandi teneat, in oculis semper habendo metam, ne a recta ac brevissima linea evagetur, proxime ad metam flectere equos. Hæc sententia generali extulit.—317. νῆα ἐρεχθομένην ἀνέμοισι, vexatam, jactatam ventis.—319. ἄλλος. alius suis equis confidens, nec arte in consilio in iis regendis utens, cursu incerto temere fertur. οὐδὲ αὐτὸς κατίσχει αὐτούς.—322. ὃς δέ κε κέρδεα εἰδῇ, *artes* aurigandi, etsi ἐλαύνων ἥσσονας ἵππους, *cursu inferiores, ille proxime ad metam circumflectit equos*; ne, ambitu exteriore capto, ad evitandam metam, aliis se præveniendi opportunitatem præbeat.—οὐδέ ἑ λήθει, ὅπως, nec negligit, h. e. *diligenter providet, ut statim a cursu sprincipio regat habenis equos*, ὅπως (κατὰ) τὸ πρῶτον τανύσῃ (τοὺς ἵππους) βοέοισιν ἱμᾶσι, σὺν ἡνίαις. Proprie τανύεσθαι ἡνία dicitur intendi; tum ἵππος, ἡνία. Oppositum, *laxare habenas, equos, cursum.* ἀλλ' ἔχει, sed *retinet equos firmiter, habenis adductis, et observat antecedentem*, scilicet, ut opportunitate capta eum prætereat interiore ad metam cursu.—325. τὸν προέχοντα. προελαύνοντα. Sic et Herodot. IX. 22. iterum inf. 450. ἵππον ἀριστεύειν προὔχοντα. (ab ἔχειν scil. ἑαυτὸν, pro εἶναι).—326—333. Metam, τὸν καμπτῆρα, circa quam cursus erat flectendus, describit Nestor; Achilles designat

311. Ἀφάρτεροι.] Ἀμείνους. ταχύτατοι. 312. Μητίσασθαι.] Κατεργάσασθαι. βουλεύσασθαι. 315. Μήτι.] Συνέσει. τέχνῃ. 317. Ἐρεχθομένην.] Βαρυνομένην. 320. Ἀφραδέως.] Ἀνοήτως. 322. Κέρδεα εἰδῇ.] Ἢ συνετὸς, ἢ πανοῦργος. Ἥσσονας.] Ἐλάττονας. 324. Τανύσῃ.] Ἐκτείνῃ. Βοέοισιν ἱμᾶσιν.] Ἡνίαις. 325. Προὔχοντα.] Προέχοντα. προάγοντα. ὑψηλόν. Δοκεύει.] Ἐνεδρεύει. ἐπιτηρεῖ. 326. Σῆμα.] Νῦν, σημεῖον. 327. Αὖ-

ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης,
ἢ δρυὸς, ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ·
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ,
ἐν ξυνοχῇσιν ὁδοῦ· λεῖος δ' ἱππόδρομος ἀμφίς·
ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνειῶτος,
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς·
τῷ σὺ μάλ' ἐγχρίμψας, ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους,
αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ,
ἦκ' ἐπ' ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τε οἱ ἡνία χερσίν.
ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν·
μήπως ἵππους τε τρώσῃς, κατά θ' ἅρματα ἄξῃς.
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δέ σοι αὐτῷ

329. Ϝεκάτερθε. 337. δέ Ϝοι. 341. ἅρματα Ϝάξῃς.

paucis, inf. vs. 358.—328. *τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ quod* genus arborum *non* (non facile) *imbre*, humore, *putrescit*.—329. duo saxa utrinque ad latus stipitis impacta sunt.—330. ἐν ξυνοχῇσιν ὁδοῦ puta dictum pro ἐν ξυνοχῇ. reddunt veteres in parte cursus angustissima; ubi via συνέχεται, angustatur: (puto in ipso flexu, qua citerius cum ulteriore spatio continuatur;) at ipsum curriculum est citra et ultra læve, planum, nullo lapide asperum.—331. Habemus monumentum memorabile mortui, non tumulum, nec saxum; sed, quod mireris, *stipitem*, acclinatis utrinque binis saxis.—334—342. propius ad hanc metam currum esse flectendum docet Nestor, ita tamen ut ne currus allidatur saxis. μάλ' ἐγχρίμψας, nunc, simpl. *propius accedens*, ut et 338. non προσκρούσας, sed προσπελάσας.—335. ita ut ipse versus lævum (ad quam ei erat meta) inflectat se toto corporis pondere in obliquum nitendo, dextero equo habenam laxet; lævus autem 336. equus, proxime ad metam accedito, ut *rotæ modiolus*, ὡς πλήμνη κύκλου ποιητοῦ, τοῦ τροχοῦ, δοάσσεται (ὡς δοκῇ) ἱκέσθαι (ἐπὶ) τὸ ἄκρον (τῆς νύσσης) pro ἐφικέσθαι, tantum non stringere τὸ ἄκρον *extimam metam*, videatur; ut tamen evitet saxa v. 329. utrinque posita. [illegible] 340. est [illegible] *attingere*, *stringere*.—340. [illegible] meta.—341. τρώσῃς. βλάψῃς. ut M. 66. Herodot. I. 174. ἐφαίνοντο τιτρώσκεσθαι οἱ ἐργαζόμενοι.—342. χάρμα δὲ τοῖς ἄλλοισιν. non potest jungi cum μήπως; sed est propositio abso-

Αὖον.] Ξηρόν. Ὀργυία.] Ἡ τῶν δύο χειρῶν εἰς πλάτος ἔκτασις. 328. Καταπύθεται.] Σήπεται, φθείρεται. 329. Λᾶε.] Λίθοι. 330. Ἐν ξυνοχῇσιν ὁδοῦ.] Ἐν ταῖς ξυμβολαῖς, καθ' ὃ μάλιστα ἐστένωται ἡ ὁδός. Λεῖος δ' ἱππόδρομος ἀμφίς.] Ὁμαλὸς δέ ἐστιν ὁ μετ' αὐτὸ ἱππόδρομος. 332. Νύσσα.] Καμπτήρ. 335. Κλινθῆναι.] Συγκαμφθῆναι. 337. Κένσαι ὁμοκλήσας.] Τῷ κέντρῳ πλήξον, καὶ τῇ φωνῇ ἐπιπλήξας. Εἶξαι ἡνία.] Ἀντὶ τοῦ ἐπιδοῦναι, χαλάσαι. Εἶξαι.] Ἀντὶ τοῦ εἶξον. 339. Πλήμνη.] Χοινικίδι, ἀπὸ τοῦ πληροῦν τὸν ἄξονα. Δοάσσεται.] Δόξειεν. Ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι.] Ἐπὶ τῷ καμπτῆρί σοι ὁ ἀριστερὸς ἵππος οὕτως ἐμπελασάτω ἀκριβῶς, ὥστε τὴν ἔξωθεν περιφέρειαν τοῦ τροχοῦ δόξαι ψαύειν τῆς χοινικίδος. τοῦτο δὲ πάσχειν δοκεῖ ὁ παρὰ τὸν καμπτῆρα τροχός. 340. Κύκλου.] Τροχοῦ, διὰ τοῦτο καὶ ποιητοῖο. Ἐπαυρεῖν.] Νῦν ψαῦσαι. 341. Ἄξῃς.] Κατάξῃς, κλάσῃς. 342. Χάρμα.] Χαρά.

ἔσσεται. ἀλλά, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ' ἐν νύσσῃ γε παρεξελάσησθα διώκων,
οὐκ ἔσθ', ὅς κέ σ' ἕλῃσι μετάλμενος, οὐδὲ παρέλθοι·
οὐδ' εἴ κεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφι γένος ἦεν,
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γε τράφεν ἐσθλοί.
Ὣς εἰπὼν Νέστωρ Νηλήϊος ἂψ ἐνὶ χώρῃ
ἕζετ', ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπε.
Μηριόνης δ' ἄρα πέμπτος ἐΰτριχας ὡπλίσαθ' ἵππους.
Ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο.
πάλλ' Ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τόνδε λάχε κρείων Εὔμηλος·
τῷ δ' ἄρ' ἔπ' Ἀτρείδης δουρικλειτὸς Μενέλαος·
τῷ δ' ἔπι Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδείδης, ὄχ' ἄριστος ἐών, λάχ' ἐλαυνέμεν ἵππους.
σταν δὲ μεταστοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεύς,
τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν
ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο,

345. vulg. παρέλθῃ. 348. vulg. ἐνθάδε τέτραφεν. 349. Ϝειπών.
350. Ϝῷ παιδὶ Ϝεκάστου πείρατ' ἔϜειπε. 354. vulg. μετὰ τόνδ' ἔλαχε.
360. πατρὸς ἑϜοῖο.

lute interposita.—343. ἀλλά, φρονῶν, prudenter, πεφύλαξο. φύλασσε. Quod si ita sibi caverit, fieri non posse ut alius eum prætereat.—344. sin alios præterieris in meta, circumflectendo metam, nemo posthac assequi te poterit: μετάλμενος. insequutus, insequendo. ἕλῃ assequatur, καταλάβῃ.—346. Arion, Adrasti nobilis equus. Apollod. III. 6, 8. §. 7.—348. Laomedontis equi: sup. E. 269. οἱ ἐνθάδε τε τράφεν, ἐτράφησαν, ἐγένοντο, εἰσὶν, (ut B. 661.) ἐσθλοί. Ita Od. K. 416. τρηχείης Ἰθάκης, ἵνα τε τράφεν ἠδ' ἐγένοντο. iidem, quos sibi pactus erat Hercules Hesionem liberaturus: Apollod. II. 5, 9. §. 12.—350. ἑκάστου πείρατα simpl. ἕκαστον. proprie est vel summa rei cujusque vel capita præcipua.

351—361. Redit ad v. 301. Sorte loca occupant quini aurigæ; primum Antilochus, favente fortuna, tum Eumelus, Menelaus, Meriones, Diomedes.—352. κλήρους

343. Πεφυλαγμένος εἶναι.] Ἀντὶ τοῦ πεφύλαξο. 346. Οὐδ' εἴκεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνοι.] Ποσειδῶν ἐρασθεὶς Ἐριννύος, μεταβαλὼν τὴν αὐτοῦ φύσιν εἰς ἵππον, ἐμίγη κατὰ Βοιωτίαν παρὰ τῇ Τιλφούσῃ κρήνῃ. ἡ δὲ ἔγκυος γενομένη, ἵππον ἐγέννησεν, ὃς διὰ τὸ κρατιστεύειν, Ἀρείων ἐκλήθη. Κοπρεὺς δ' Ἁλιάρτου βασιλεύων πόλεως Βοιωτίας, ἔλαβε δῶρον αὐτὸν παρὰ Ποσειδῶνος, οὗτος δὲ αὐτὸν Ἡρακλεῖ ἐχαρίσατο, γενομένῳ παρ' αὐτῷ. τούτῳ δὲ διαγωνισάμενος Ἡρακλῆς πρὸς Κύκνον Ἄρεος υἱὸν καθ' ἱπποδρομίαν, ἐνίκησεν ἐν τῷ τοῦ Παγασαίου Ἀπόλλωνος ἱερῷ, ὅ ἐστι πρὸς Τροιζῆνι. εἶθ' ὕστερον αὖθις ὁ Ἡρακλῆς, Ἀδράστῳ τὸν πῶλον παρέσχεν, ἐφ' οὗ μόνος ὁ Ἄδραστος ἐκ τοῦ Θηβαϊκοῦ πολέμου διεσώθη, τῶν ἄλλων ἀπολομένων. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς. 358. Μεταστοιχεί.] Κατὰ στοῖχον. ἐφεξῆς. 359. Σκοπόν.] Ἐπίσκοπον. παρατηρητήν. 361. Ὡς

ὡς μεμνέῳτο δρόμου, καὶ ἀληθείην ἀποείποι.
Οἱ δ' ἄρα πάντες ἐφ' ἵπποισι μάστιγας ἄειραν,
πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν
ἐσσυμένως· οἱ δ' ὦκα διέπρησσον πεδίοιο,
νόσφι νεῶν, ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
ἵστατ' ἀειρομένη, ὥστε νέφος ἠὲ θύελλα·
χαῖται δὲ ῥώοντο μετὰ πνοιῇς ἀνέμοιο·
ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
ἄλλοτε δ' ἀΐξασκε μετήορα· τοὶ δ' ἐλατῆρες
ἕστασαν ἐν δίφροισι· πάτασσε δὲ θυμὸς ἑκάστου,
νίκης ἱεμένων· κέκλοντο δὲ οἷσιν ἕκαστος
ἵπποις, οἱ δὲ πέτοντο κονίοντες πεδίοιο.
ἀλλ', ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι

361. ἀπὸ Ϝείποι. 362. vulg. οἱ δ' ἅμα. 363. τε Ϝέπεσσι.
367. vulg. δ' ἐῤῥώοντο. 370. θυμὸς Ϝεκάστου. v. Obss.
371. Ϝιεμένων—δὲ Ϝοῖσι Ϝέκαστος. 372. vulg. οἱ δ' ἐπέτοντο.

ἐνεβάλοντο scil. εἰς κυνῆν, eaque inversa, excidunt sortes, seu σύμβολα, sup. H. 175. sq. 361. ὡς μεμνέῳτο δρόμου. ut observaret cursum. μεμνέοιτο. Idem μεμνῷτο, ἐπιμελοῖτο.

Ut statim totius certaminis curulis ordinem teneamus, eum hic adscribam: Sorte tenent loca: *Antilochus*, *Eumelus*, *Menelaus*, *Meriones*, *Diomedes*. Cursu inito, prævertunt statim ceteros *Eumelus* et *Diomedes* equorum velocitate 376. At *Eumelus* fracto jugo curru exigitur, 390. sq. et *Diomedes* priorem locum occupat. Qui proximus erat curriculo, *Menelaus*, circumacta jam meta, in angustiore via subsistere coactus prævertitur ab *Antilocho* 419. sq. Ergo sine controversia fert præmium primarium *Diomedes* 508. sq. *Eumeli* misertus Achilles præmium secundum ei dare constituerat; at *Antilocho* ita sibi injuriam fieri clamante extraordinarium munus Eumelo decernit 558. Tum *Menelaus* in Antilochum insurgit, qui dolo malo eum prævertisse videri poterat; placatus tamen consentit, ut ille præmium secundo loco ferat, ipse in *tertio* acquiescit; 612, 613. *quartum* aufert *Meriones*; 614. reliquum quod erat, *quintum*, honoris caussa Nestori assignatur ab Achille, 615.

362—652. Initur cursus curulis; evolant equi.—364. οἱ δ' ὦκα διέπρησσον (τὸν δρόμον διὰ τοῦ) πεδίου. νόσφι νεῶν, inde a mari versus planitiem campi, intra vallum tamen: non autem, secundum littus, inde a Sigeo versus Rhœteum.—In seqq. poeticam vim miraberis et copiam in reddendis ad sensum significanter, ἐμφαντικῶς, iis, quæ nobis ipsum decursum ante oculos exhibere videantur. Non ad consilium hujus operæ spectat, alios poetas comparare, qui cum nostro certarunt, aut ex eo mutua sumserunt vel adumbrarunt; de his agendum est in iis ipsis, qui Homerica expressere. In his princeps est Virgilius in Æn. V.—367. juba jactatur μετὰ πνοιῇς ἀνέμοιο cum vento moto. cf. ad M. 207.—373. ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον ἂψ ἐφ' ἅλας. versus mare, retro, unde cursus erat factus versus campum, vs. 365. Non itaque πύματος δρόμος est ultimum ex pluribus curriculis seu decursibus; nam unus tantum fuit decursus versus metam, inde retro ad carceres. Ergo est altera curriculi pars inde a meta, quæ sane novissima est, posterior post anteriorem, factam

μεμνέῳτο δρόμου.] Ὅπως ἐπιμελοῖτο καὶ ἐπισκοποῖτο τὸν δρόμον, μή τις περὶ τὸν καμπτῆρα πανουργήσῃ. 363. Ὁμόκλησαν.] Ἠπείλησαν, ἐνεκέλευσαν. 366. Ἀειρομένη.] Ἀναφερομένη, ἐπαιρομένη εἰς ὕψος. 367. Ἐῤῥώοντο.] Ἐκινοῦντο. ἐσείοντο. Μετὰ πνοιῇς ἀνέμοιο.] Ἀντὶ τοῦ, ἀνέμου δίκην. 368. Πίλνατο.] Προσεπέλαζεν, προσήγγιζεν. 369. Μετήορα.] Ὑψηλά. Ἐλατῆρες.] Ἡνίοχοι. 370. Πάτασσεν.] Ἐπάλλετο. ἠγωνία. 372. Κονίοντες.] Κονιορτὸν

ἂψ ἐφ' ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου
φαίνετ', ἄφαρ δ' ἵπποισι τάθη δρόμος. ὦκα δ' ἔπειτα
αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.
τὰς δὲ μετ' ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι
Τρώϊοι· οὐδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς·
αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν εἵκτην.
πνοιῇ δ' Εὐμήλοιο μετάφρενον εὐρέε τ' ὤμω
θέρμετ'· ἐπ' αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην.
καί νύ κεν ἢ παρέλασσ', ἢ ἀμφήριστον ἔθηκεν,
εἰ μὴ Τυδέος υἷϊ κοτέσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλε μάστιγα φαεινήν·
τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο,
οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
οἱ δέ οἱ ἐβλάφθησαν, ἄνευ κέντροιο θέοντες.
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων
Τυδεΐδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν,
δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν.
ἡ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσα βεβήκει,
ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν· αἱ δέ οἱ ἵπποι

374. ἀρετή γε Ϝεκάστου. 377. vulg. μετεξέφερον. 379. ἐπιβησομένοισι Ϝεΐκτην. 384. ῥά Ϝοι. 387. οἳ δέ Ϝοι. 390. δέ Ϝοι. 391. vulg. κοτέουσ' ἐβεβήκει. 392. δέ Ϝοι Ϝῆξε. v. Obss. αἱ δέ Ϝοι.

versus metam.—375. ὦκα δ' ἔπειτα. cursu jam circa metam flexo in alteram partem hippodromi, ea quæ sequuntur, evenerunt. Primi inter ceteros cursu prævaluerunt nunc Eumelus et Diomedes; et hic quidem scutica amissa retardatus, mox tamen ea recepta insequitur, at 391. Eumelus jugo fracto humi sternitur. Ita Diomedes priorem locum occupat.—376. Φηρητιάδαο, Eumeli, nepotis Pheretis, filii Admeti. cf. B. 763. ἔκφερον. ut 759. ἐξέφερον ἑαυτοὺς προέχειν erat sup. 325.—377. Diomedis ἵπποι Τρώϊοι, qui Æneæ fuerant; ut memineris ex sup. 290. sq.—380. junge: πνοιῇ δὲ (τῶν τοῦ Διομήδεος ἵππων) ἐθέρμετο τὸ μετάφρενον τοῦ Εὐμήλου εὐρέε τ' ὤμω.—382. aut prætergressurus erat Eumelum Diomedes, aut eum exæquaturus, ita ut dubium fuisset, uter altero prior carceres attigisset.—387. at alteri (scil. sui equi) ἐβλάφθησαν, retardati sunt in cursu, Π. 331. Η. 271. donec recipiebat scuticam.—388. ἐλεφηράμενος h. βλάψας δι' ἀπάτης. Vox hic lecta et Od. T. 365. de somniis fallacibus. At apud Hesiod. Theog. 330. est simpl. βλάπτειν, leo Nemeæus ἐλεφαίρετο φῦλ' ἀνθρώπων. Nunc 391. intentis nimium per equos annitentes (E. 730. Π. 470.) habenis frangi-

ποιοῦντες. 375. Τάθη δρόμος.] Σύντονος ἐγένετο. ἐκτείνονται γὰρ ἐν τῷ δρόμῳ οἱ ἵπποι. 382. Ἀμφήριστον.] Τὸν ἀμφοτέρωθεν ἐξισούμενον, ἢ ἀμφισβητήσιμον. 383. Εἰ μὴ Τυδέος υἷι κοτέσσατο Φοῖβος Ἀπόλλων.] Δεόντως τῶν Εὐμήλου ἵππων προνοεῖται ὁ Ἀπόλλων, ἐπεὶ αὐτὸς ἀνεθρέψατο αὐτὰς κατὰ τὸν Ποιητὴν λέγοντα· Τὰς ἐν Πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων, Ἄμφω θηλείας φόβον Ἄρηος φορεούσας. δοκεῖ γὰρ κατὰ τὸν μῦθον Ἀπόλλων θητεῦσαι Ἀδμήτῳ τῷ Εὐμήλου πατρί. 388. Ἐλεφηράμενος.] Δι' ἀπάτης βλάψας. 389. Μετέσσυτο.] Μετῄει. 392. Ἦξε.] Συνέτριψεν.

ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη.
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
ἀγκῶνάς τε περιδρύφθη, στόμα τε, ῥῖνάς τε,
θρυλλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδείδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
ἵπποις ἧκε μένος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε.
τῷ δ' ἄρ' ἔπ', Ἀτρείδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
Ἔμβητον, καὶ σφῶϊ τιταίνετον, ὅττι τάχιστα,
ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔτι κελεύω
Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
νῦν ὤρεξε τάχος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν·
ἵππους δ' Ἀτρείδαο κιχάνετε, μηδὲ λίπησθον,
καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ
Αἴθη, θῆλυς ἐοῦσα. τίη λείπεσθε, φέριστοι;
ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
ἔσσεται· αὐτίκα δ' ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῷ,

396. δέ Fοι. 397. δέ Fοι. 402. πατρὸς ἑFοῖο.

tur jugum equorum Eumeli.—393. ἀμφὶς ὁδοῦ. χωρὶς, ἔξωθεν. e via. seorsum. ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη. ab ἐλύεσθαι εἰλύω. provolutus humi est temo. ἐλυσθεὶς Ω. 510. Od. I. 433.—396. θρυλλίχθη. συνεθραύσθη. contusum est os. Conveniunt θρυλλίσσειν. θρύειν. τρύειν, item θραύειν.—400. καὶ αὐτῷ, Diomedi, κῦδος ἐπέθηκεν. ἔδωκε.—401. τῷ δ' ἄρ' ἔπ'. ἐπὶ τῷδε, post hunc. proxime a Diomede, Menelaus agebat equos.

402—447. Celeritate præiverant ceteros equi Eumeli et Diomedis. Eumeli casu Diomedes unus emicat. Huic proximus cursu nunc erat Menelaus; quem antevertere studet Antilochus, ut saltem alterum a Diomede præmium obtineat; insequutus itaque eum in viæ angustia cursum ejus impedit, tandemque sistere cogit, atque ita eo post se relicto præteragit. Tantum igitur ille callidi Nestoris consiliis profecerat, qui arte curuli eum docuerat majora obtineri posse quam equorum velocitate.

403. σφῶϊ τιταίνετον. τιταίνεσθον. τανύεσθον. quod alias sollenne, ut Π. 375. et Χ. 23. *extendite* vos, cursum intendite.—408, 9. ne vos probro adspergat Æthe quæ memorata est vs. 295. καταχέειν ἐλεγχείην jam Ξ. 38. αἶσχος Λ. 432. ὄνειδος Χ. 463.—

393. Ἀμφὶς ὁδοῦ.] Χωρὶς καὶ ἔξωθεν τῆς ὁδοῦ. Ῥυμός.] Τὸ διῆκον ἀπὸ τοῦ ἅρματος ἕως τοῦ ζυγοῦ ξύλον. 394. Ἐξεκυλίσθη.] Συνετρίβη, ἢ ἐξετάθη. οἱ δὲ παρεκυλίσθη. συνεστράφη. 396. Θρυλίχθη.] Συνετρίβη, ἐθραύσθη. 397. Δακρυόφιν πλῆσθεν.] Δακρύων ἐπληρώθησαν. Θαλερή.] Ἱλαρά. ἀκμαία. Ἔσχετο.] Ἐπεσχέθη. 403. Σφῶϊ τιταίνετον.] Ὑμᾶς αὐτοὺς ἐπείγετε πρὸς τὸν δρόμον, καὶ μὴ ἀπολιμπάνεσθε. 408. Ἐλεγχείην καταχεύῃ.] Ὄνειδος ἐπιβάλῃ. 409. Φέριστοι.] Βέλτιστοι, ἢ κάλλιστοι. 411. Κομιδή.] Ἐπιμέλεια. Οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν.] Οὐκ ἔτι ὑμῶν οὕτως ἐπιμελήσεται ὁ Νέ-

αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον·
ἀλλ' ἐφομαρτεῖτον, καὶ σπεύδετον ὅττι τάχιστα·
ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι, ἠδὲ νοήσω,
στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, οὐδέ με λήσει.
Ὡς ἔφαθ'· οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν,
μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον· αἶψα δ' ἔπειτα
στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης·
ῥωχμὸς ἔην γαίης, ᾗ χειμέριον ἀλὲν ὕδωρ
ἐξέῤῥηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα·
τῇ ῥ' εἶχε Μενέλαος, ἁματροχίας ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν.
Ἀτρείδης δ' ἔδδεισε, καὶ Ἀντιλόχῳ ἐγεγώνει·
Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους.
στεινωπὸς γὰρ ὁδὸς, τάχα δ' εὐρυτέρῃ παρελάσσεις·
μήπως ἀμφοτέρους δηλήσεαι, ἅρματι κύρσας.
Ὡς ἔφατ'· Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε,
κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀΐοντι ἐοικώς.
ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,

417. δὲ, Fάνακτος. 419. Fίδε. 420. Fαλέν. 430. ἀΐοντι FεFοικώς.

413. ἀποκηδήσαντε, si ego et vos remisse et supine agentes, h. e. non summis viribus contendentes. Alias ἀκηδεῖν. sup. 70. Ξ. 427.—415. ταῦτα δὲ, h. e. τοῦτο δὲ ἐγὼ αὐτὸς τεχνήσομαι, (ὥστε) παραδῦναι. παραδραμεῖν. parat astute speculari in angustiis viæ opportunitatem prævertendi Menelaum.—418. ὀλίγον χρόνον. Non multum aberant ab eo loco, quo via curriculi coartabatur: τὸ στεῖνος ὁδοῦ κοίλης, στεινωπὸς ἐν ὁδῷ. et mox 420. disertius: ῥωχμὸς ἔην. solum excavatum a torrente hibernis imbribus eo deferri solito; quod ingrediendum erat curribus, quia via per illud ducebat; Menelaus caverat, ne quis una fauces ingrederetur, et juxta incedens utrique periculum crearet; Antilochus tamen extra orbitam invectus eum præterit, coactum inhibere equos, ne rotis mutuo illisis currus frangerentur.—420. χειμέριον ἀλὲν ὕδωρ, collecta aqua, συναθροισθὲν, v. ad Π. 714. ἐξέῤῥηξεν ὁδοῦ (μέρος τι) pro τὴν ὁδόν.—422. ἁματροχίας, τὴν ἁματροχίαν, τοὺς ἅμα τρέχοντας, ne suo currui illideretur alter in angusto tramite.—424. ἐκτὸς ὁδοῦ, quæ erat in illa cavitate; ab orbita rotarum paullulum deflectendo, et aliquam viæ partem una cum Menelao incedendo, donec ille sibi cavens equos sisteret; ita Antilochus antegreditur.—431. ὅσσα δὲ δίσκου οὖρα, pro ὄρα, (ut ὀρῶ pro ὁρμάω) ὁρμήματα. ἴσον τὸ ὅρμημα ἐστιν. Æquato jam cursu, aliquantum spatii decurrebant juxta utræque bigæ; et quidem spatio jactus disci a valida manu in hume-

στωρ. 413. Ἀποκηδήσαντες.] Ἀφροντιστήσαντες, ἀμελήσαντες. 414. Ἐφομαρτεῖτον.] Ἐπιδιώκετε. 419. Στεῖνος.] Στένωμα τόπου. 420. Ῥωχμός.] Ῥῆξις. ἔστι δὲ τόπος κεχαραγμένος ὑπὸ ὀμβρίου ὕδατος. Ἧι ἀλέν.] Ὅπου συνεστράφη, ὅ ἐστι συνεχύθη. 421. Ὁδοῖο.] Ὁδοῦ. 422. Τῇ ῥ' εἶχε.] Κατὰ τοῦτο τὸ μέρος ἤλαυνεν. Ἁματροχίας.] Τὰς τῶν τροχῶν συγκρούσεις, τὰς ἀπὸ τῶν ἄλλων ἁρμάτων. 426. Ἄνεχε.] Ἀνάκοπτε. κράτει. 428. Κρύσας.] Συμπεσών. 430. Ἐπισπέρχων.] Ἐπισπουδάζων. ἀναγκάζων. 431. Δίσκου οὖρα.] Δίσκου ὁρμὴ, ὅ ἐστιν ἄφεσις. Κατωμαδίοιο.] Ὃν ἀφιᾶσι κατὰ τῶν ὤμων

ὅν τ' αἰζηὸς ἀφῆκεν ἀνὴρ, πειρώμενος ἥβης,
τόσσον ἐπιδραμέτην· αἱ δ' ἠρώησαν ὀπίσσω
Ἀτρεΐδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,
μήπως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι,
δίφρους τ' ἀνστρέψειαν ἐϋπλεκέας, κατὰ δ' αὐτοὶ
ἐν κονίῃσι πέσοιεν, ἐπειγόμενοι περὶ νίκης.
τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ', οὔτις σεῖο βροτῶν ὀλοώτερος ἄλλος.
ἔῤῥ', ἐπεὶ οὐ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
ἀλλ' οὐ μὰν οὐδ' ὣς ἄτερ ὅρκου οἴσῃ ἄεθλον.
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο, φώνησέν τε·
μή μοι ἐρύκεσθον, μηδ' ἕστατον ἀχνυμένω κῆρ·
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα,
ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος.
Ὣς ἔφαθ'· οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν,
μᾶλλον ἐπιδραμέτην, τάχα δὲ σφίσιν ἄγχι γένοντο.
Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο

434. γὰρ Ϝεκών. v. Obss. 436. f. ἀντρέψειαν. 439. ὀλοϜώτερος. 440. Ϝέῤῥ'. 442. Ϝειπών. 446. οἱ δὲ, Ϝάνακτος.

rum elata jacti (κατωμαδίοιο.) De voc. τὸ οὖρον, ὅρισμα v. sup. K. 351. δισκοῦρα sunt inf. 523.—432. πειρώμενος ἥβης, virium juvenilium.—434. ἑκὼν μεθέηκεν ἐλαύνειν. Menelaus videns, fieri posse ut currus allisi invicem et rotis impliciti et impediti frangantur, sustinet currum: non incitat equos; itaque hi ἠρώησαν ὀπίσσω, ἀνερωοῦσιν, ἀναχωροῦσιν, non amplius cursu contendunt cum Antilocho: ita hic præcurrit.—439. ὀλοώτερος. in objurgatione jam vidimus vocem adhibitam in Jovem Γ. 365. et X. 15. ubi erat βλαπτικὸς, χαιρέκακος, malitiosus; etiam nunc Menelaus Antilochi factum ad malitiam animi refert, et dolum malum.—440. Junge: οὐκ ἔφαμεν ἔτυμον, ἐτύμως, σὲ πεπνῦσθαι, πεπνυμένον εἶναι, συνετόν. vidimus et hic notionem prudentiæ cum honestate conjungi: noli tamen putare, fieri hoc philosophica subtilitate, sed simplicitate vitæ et sermonis, qui virtutum nomina definita nondum habebat.—441. οὐκ ἄτερ ὅρκου· scil. ut juraret, se non dolo malo et in fraudem Menelai hoc fecisse, v. inf. 581. sqq. Nam poterat abreptus esse equorum impetu, aut putare, id licere facere in certamine et sic porro.—444. φθήσονται πόδες τούτοιν, καὶ γοῦνα καμόντα, (πρὶν, πρότερον,) ἢ ὑμῖν. deficient viribus citius quam vestri pedes, vos. Nam φθάνει τις καμὼν, *prævertit alterum* τῷ καμεῖν. Altera lectio nec ipsa mala est: φθίσονται.—445. ἀτέμβονται νεότητος. nam Antilochi equi juvenili vigore destituti sunt. Nec mirum, nam a Nestore jam habiti fuerant vs. 301. ita nec mirum eos fuisse tardos 310.—447. σφίσιν, Antilochi equis.

448—499. Jam in reditu ad carceres, in quo omnia hæc inde a vs. 373. evenerant, conspecti e longinquo currus: primus quidem Idomeneus, oculorum acie pollens senex, prospiciens animadvertit, non eundem curruum esse ordinem, qui antea

τρέχοντες. 432. Ἥβης.] Νῦν, ἀκμῆς. 433. Αἱ δ' ἠρώησαν.] Ἐκτὸς ἔδραμον, ἢ εἰς τοὔμπροσθεν ὑπεχώρησαν. 434. Μεθέηκεν.] Ἠμέλησεν. 435. Συγκύρσειαν.] Συγκρούσειαν. ὅμοιον δ' αὐτῷ καὶ τὸ συντύχωσιν. 440. Ἔτυμον.] Ἀληθές. Πεπνῦσθαι.] Σώφρονα, καὶ συνετὸν εἶναι. 443. Ἐρύκεσθον.] Κατέχεσθε. 444. Φθίσονται.] Φθαρήσονται. 445. Ἀτέμβονται.] Στέρονται.

ἵππους, τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο.
πρῶτος δ' Ἰδομενεύς, Κρητῶν ἀγός, ἐφράσαθ' ἵππους·
ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ·
τοῖο δ', ἄνευθεν ἐόντος, ὁμοκλητῆρος ἀκούσας
ἔγνω· φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα,
ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ
λευκὸν σῆμα τέτυκτο περίτροχον, ἠύτε μήνη·
στῆ δ' ὀρθός, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
οἶος ἐγὼν ἵππους αὐγάζομαι, ἦε καὶ ὑμεῖς;
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἱ δέ που αὐτοῦ
ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν.
ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας·
νῦν δ' οὔπῃ δύναμαι ἰδέειν, πάντῃ δέ μοι ὄσσε
Τρωϊκὸν ἂν πεδίον παπταίνετον εἰσορόωντι.

455. vulg. σῆμ' ἐτέτυκτο. 456. ἔϝειπε. 462. πρῶτα ϝίδον.
463. vulg. οὔπω. 464. vulg. ἀμπεδίον.

fuerat; non Eumeli esse equos sed Diomedis, qui ceteros præverterint.—472. Contendit contra Ajax, non alios esse equos quam Eumeli et, putes te inter homines nostros litteratos versari, truculenter statim a conviciis et contumeliis exordium facit; neque enim ii interrogant, ut Idomeneus:—458. οἶος ἐγὼ ἵππους αὐγάζομαι ἦε καὶ ὑμεῖς; ἀλλὰ ἴδεσθε καὶ ὕμμες. sed Ajaces illi ab initio statim vociferantur: Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε. cæcutis, homo, et omnes alii cæcutiunt; ego solus visu valeo; tu abi, et perspicilla tibi cura. Vides ergo in nostra quoque vita superesse vestigia vitæ heroum, inter viros nostros litteratos.—481. Inde rixa inter eos; ab Achille repressa—498. Inter hæc Diomedes curru adstat; disputantes Ajax et Idomeneus diremti; secus quam nostri philosophi solent, qui ipsam rerum ac sensuum veritatem sophismatibus eludunt et propositi tenaces pervicaciter altercari pergunt.

451. Idomeneus sedebat ἐκτὸς ἀγῶνος, seorsum a cœtu spectantium, in loco editiore, unde prospectus liberior esset, ἐν περιωπῇ. ut sup. Ξ. 8.—452. Diomedis vocem agnoscit equos hortantis; tum et equum rufum, cum candore in fronte: (κατὰ) τὸ μὲν ἄλλο τόσον quod ad cetera attinet, rufus ἐπὶ τόσον, ἐφ' ὅσον οὐκ ἐν μετώπῳ. ἵππον προὔχοντα. præcurrentem: sup. 325.—459. ἄλλοι sc. quam qui exierant primo loco carceribus:—460. αὐτοῦ, *ejus* scilicet, Eumeli, equi, qui κεῖσέ γε, usque ad metam circumflectendam, ceteros cursu superabant, ἐβλάβησαν, cursu sunt intercepti, casu aliquo impediti: ut sup. 387.—462. ἤτοι γὰρ τάς, ταύτας. Casus ille infaustus evenerat Eumelo, jam relicta a tergo meta, et ad ulteriora progresso; (sup. ad 375.) in

451. Ἐκτός.] Ἔξω. Ὑπέρτατος.] Ἀνώτατος. Περιωπῇ.] Τόπος ὑψηλὸς, ἀφ' οὗ ἔστι περιβλέψαι καὶ ἰδεῖν πάντα. 454. Ἄλλο τόσον.] Τὸ ἄλλο ὅλον σῶμα. Φοῖνιξ.] Φοινικοῦς τὸ χρῶμα, ὅ ἐστι πυῤῥός. 455. Περίτροχον.] Περιφερές. Μήνη.] Σελήνη. 458. Αὐγάζομαι.] Θεωρῶ. 459. Παροίτεροι.] Μᾶλλον ἔμπροσθεν. 460. Ἰνδάλλεται.] Φαίνεται, ἢ ὁμοιοῦται. 461. Ἔβλαβεν.] Ἐβλάβησαν. 462. Περὶ τέρμα βαλούσας.] Περιελθούσας τὸν καμπτῆρα. 463. Νῦν δ' οὔπω.] Νῦν δ' οὐδαμῶς. 464. Παπταίνετον.] Περιβλέπουσιν.

ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, οὐδὲ δυνάσθη
εὖ σχεθέειν περὶ τέρμα, καὶ οὐκ ἐτύχησεν ἑλίξας.
ἔνθα μιν ἐκπεσέειν οἴω, σύν θ' ἅρματα ἆξαι·
αἱ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ
Αἰτωλὸς γενεήν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει
Τυδέος ἱπποδάμου υἱὸς, κρατερὸς Διομήδης.
Τὸν δ' αἰσχρῶς ἐνένιπτεν Ὀϊλῆος ταχὺς Αἴας·
Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἱ δέ τ' ἄνευθεν
ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται.
οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε.
ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι. οὐδέ τί σε χρὴ
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
ἵπποι δ' αὐταὶ ἔασι παροίτεραι, αἳ τὸ πάρος περ,
Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.
Τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
Αἶαν, νεῖκος ἄριστε, κακοφραδὲς, ἄλλα τε πάντα

467. ἅρματα Fάξαι. 469. ἀλλὰ Fίδεσθε. 471. Ἀργείοισι Fανάσσει.
480. vulg. αἵτε. 483. vulg. νείκει.

reditu versus carceres.—466. [illegible] l. [illegible], l. [illegible] [illegible] [illegible] ἐν τῷ [illegible] [illegible] τὴν καμπτῆρα.—468. equi forte via excesserunt, [illegible] τοῦ [illegible], tramite, orbita, acti consternatione, efferati: [illegible], ira et furor invasit equos. Sup. 312. μένεος δ' ἐμπλήσατο θυμὸν ἀγρίου. Et μένος sic jam A. 103. de Achille: μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντο.

473—481. Ajax Oilei f. prociter Idomeneum increpat, Diomedis equos priores esse aientem; esse equos Eumeli, eosdem quos priore cursus parte ante flexum circa metam viderat, priores esse contendit. Cur Eumelo tantopere ille studeat, non apparet caussa; ut hoc faciat, nihil aliud eum adducere videtur, quam ferox animus proclivis ad contradicendum dicto alterius: qua indole multi sunt natura et more asperi et arrogantes.—474. [illegible]—καὶ μεγαλα-γορεῖς. ut Apollonii verbis utar.—475. [illegible].—481. [illegible] τῷ δίφρῳ ἡνιοχῶν. εὔληρα ἔχων. τὰς ἡνίας. vox hoc uno loco obvia: παρὰ τὸ εἰλῶ, volvo, εἴληρα, εὔληρα.

482—487. Pro suo asserto pugnat Idomeneus: tum compescitur contentio ab Achille 488. κακοφραδὲς, ὅτι τοι νόος ἐστὶν ἀπηνής sunt jungenda: vecors, quandoquidem tibi animus truculentus est. Reliqua, ἄλλα τε πάντα δεύεαι τῶν Ἀργείων. sunt in medio: hac una re excellis; quoad cetera omnia inferior es inter Achivos. v. ad P.

465. Ἡνία.] Τὰ λῶρα. 466. Σχεθέειν.] Ἐπισχεῖν. Ἑλίξας.] Συστρέψας περὶ τὴν κάμψιν τοὺς ἵππους. 469. Ἀνασταδόν.] Ἀναστάντες. 473. Αἰσχρῶς.] Χαλεπῶς. 474. Λαβρεύεαι.] Προπετεύεις. 475. Δίενται.] Ἐνδεεῖς ὑπάρχουσιν. 479. Λαβραγόρην.] Προπετῆ ἐν τοῖς λόγοις, τουτέστι λάβρον, καὶ θρασύν. 481. Εὔληρα.] Τὰ ἡνία. 483. Νείκει ἄριστε.] Κακόβουλε, κακολόγε. Ἄλλα τε πάντα Δεύεαι Ἀργείων.] Καὶ τοῖς λοιποῖς ἔργοις ἀπολείπῃ

δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
δεῦρό νυν ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος·
ἵστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θειομεν ἄμφω,
ὁππότεραι πρόσθ' ἵπποι· ἵνα γνοίης ἀποτίνων.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
χωόμενος, χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι.
καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ φάτο μῦθον·
Μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
Αἶαν, Ἰδομενεῦ τε, κακοῖς· ἐπεὶ οὐδὲ ἔοικε·
καὶ δ' ἄλλῳ νεμεσᾶτον, ὅ τις τοιαῦτά γε ῥέζοι.
ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
ἵππους· οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
ἵππους Ἀργείων, οἳ δεύτεροι, οἵ τε πάροιθεν.
Ὣς φάτο· Τυδείδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ ἵπποι
ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον·
αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον·
ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε,
ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλὴ
γίγνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.

486. Ϝίστορα. 489. Ϝεπέεσσι. 492. Ϝεπέεσσι. 493. οὐδὲ ϜέϜοικε. 497. γνώσεσθε Ϝέκαστος. 500. δέ Ϝοι. 504. vulg. οὐδέ τε.

142.—485. ἢ τρίποδος περιδώμεθον. faciamus sponsionem pignore posito, tripode vel lebete. ut sup. X. 254. erat ἐπιδόσθαι, pro δόσθαι μάρτυρας ἐπί τινι χρήματι, sic nunc τρίποδος περιδώμεθα est δώμεθα ὅρκον περὶ τρίποδος, quem pœnæ loco daturus erit uter nostrum temere contenderit. Od. Ψ. 78. nutrix ad Penelopen oppignerat se: δώσομαι (ὅρκον) περὶ ἐμαυτῆς, ὥστε σε κτεῖναι ἐμὲ jurejurando obligabo me tibi, ut me interticias.—486. ἵστορα, *testem*, seu verius arbitrium qui, facta sponsione et pignore deposito, arbitrium fert, uter caussa exciderit.—496. ἐπειγόμενοι. περὶ νίκης τρέχοντες.

499—513. Finitur contentio inter Ajacem et Idomeneum adventu bigarum Diomedis primo loco, qui præmium aufert.—499. διώκων agens, sc. τοὺς ἵππους, ut supra. nam alius eum non anteibat. κατωμαδὸν O. 352.—505. rotarum vix levia vestigia in pulvere visebantur κατόπισθεν. a tergo, non nisi levis nec alte depressa in pulvere

τῶν Ἑλλήνων, σκαιὸς τὸν τρόπον ὑπάρχων. 485. Ἢ τρίποδος περιδώμεθον.] Περὶ τρίποδος συνθήκας ποιησώμεθα. 486. Ἵστορα.] Ἐπιστήμονα, καὶ μάρτυρα τῆς συνθήκης. 487. Ἀποτίνων.] Ἀποδούς. 500. Κατωμαδόν.] Κατὰ τὸν ὦμον. 503. Πεπυκασμένα.] Κεκοσμημένα. 504. Οὐ δέ τε πολλὴ Γίγνεται ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν.] Οὐδὲ βαθεῖα ἐγένετο ἡ τῶν τροχῶν ἐγ-

στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρὼς
ἵππων, ἔκ τε λοφων καὶ ἀπὸ στερνοιο χαμᾶζε.
αὐτὸς δ' ἐκ διφροιο χαμαὶ θορε παμφανοωντος,
κλῖνε δ' ἀρα μαστιγα ποτι ζυγον. οὐδε ματησεν
ἰφθιμος Σθενελος, ἀλλ' ἐσσυμενως λαβ' ἀεθλον·
δῶκε δ' ἀγειν ἑταροισιν ὑπερθυμοισι γυναικα,
καὶ τριποδ' ὠτώεντα φερειν· ὁ δ' ἔλυεν ὑφ' ἱππους.
τῷ δ' ἄρ' ἐπ' Ἀντιλοχος Νηλήϊος ἤλασεν ἱππους,
κερδεσιν, οὔτι ταχει γε, παραφθαμενος Μενέλαον·
ἀλλα καὶ ὣς Μενελαος ἔχ' ἐγγυθεν ὠκεας ἱππους.
ὅσσον δε τροχοῦ ἱππος ἀφισταται, ὅς ῥά τ' ἀνακτα
ἕλκῃτι πεδιοιο τιταινόμενος σὺν ὀχεσφι,
τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
οὐραῖαι, ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
χώρη μεσσηγὺς, πολεος πεδιοιο θεοντος·
τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο·
ἀλλά μιν αἶψα κιχανεν· ὀφέλλετο γὰρ μένος ἠΰ
ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης·
εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,
τῷ κέν μιν παρέλασσ', οὐδ' ἀμφήριστον ἔθηκεν.

517. ὅς ῥα Ϝάνακτα.

orbita relinquebatur post currum.—510. οὐδὲ μάτησεν (ut Π. 474. nil cunctatus) Sthenelus: suaviter, ex sensu et more sodalitii et amicitiæ: secundum Pindaricum Ol. IV. 7. ξείνων δ' εὖ πρασσόντων ἔσαναν αὐτίκ' ἀγγελίαν ποτὶ γλυκεῖαν ἐσλοί.

514. Secundo loco Antilochus victor: tum Menelaus proxime.—517—527. Tam prope inhærebat Menelaus Antilochi currui, ut si cursus longius fuisset protractus, haud dubie ille Antilochum anteversurus fuisset. Angustum illud spatium, quo aberat Menelaus ab Antilocho, significanter declaratur per spatium inter equum et rotam inter currendum: αὐτοῦ θέοντος διὰ πολλοῦ πεδίου, 521. Recordandum autem, quod e monumentis antiquis apparet, exiguum admodum spatium fuisse, quo equi juncti a curru distabant; ut vix assequi possis, quomodo cursus satis tutus fuerit.—518. τιταινόμενος. sup. 403. σφῶϊ τιταίνετον.—523. primo, postquam ab Antilocho se præteriri passus erat Menelaus sup. 434. aberat ab Antilocho fere disci jactum: δίσκου οὖρα, sup. 431. nunc una voce τὸ δίσκουρον, δίσκου ὅρμημα, et pro hoc plur. δίσκουρα. Sic ἐπίουρα ἡμιόνων, K. 351. ὅρμημα, incessus.—527. οὐδ' ἀμφήριστον ἔθηκεν. de quo contendi potest, ambiguum. Lectus jam vs. 382. de Diomede.

χάραξις ἐπὶ τῆς γῆς. 508. Λόφων.] Νῦν, [illegible] τραχήλων. 510. Ἐμάτησεν.] Ἀργὸς καὶ ἄπρακτος ἔμεινε. 513. Ὠτώεντα.] Καλὰς λαβὰς ἔχοντα. 515. Κέρδεσι.] Δόλοις, πανουργίαις. 517. Τροχοῦ.] Νῦν, τοῦ ἁρματίου.

520. Οὐραῖαι.] Αἱ τῆς οὐρᾶς τρίχες. 523. Ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο.] Καί τοι πρότερον δίσκου βολῆς διάστημα ἀπολελειμμένος. 526. Προτέρω.] Ἐξωτέρω, προσωτέρω. νῦν, ἐπίρρημα χρόνου δηλωτικόν.

αὐτὰρ Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος,
λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν.
βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι,
ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
ἕλκων ἅρματα καλὰ, ἐλαύνων πρόσσοθεν ἵππους.
τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς·
στὰς δ' ἄρ' ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευε·
Λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους·
ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικὲς,
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον, ὡς ἐκέλευε·
καί νύ κεν οἱ πόρεν ἵππον, ἐπῄνησαν γὰρ Ἀχαιοὶ,
εἰ μὴ ἄρ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς·
Ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴκε τελέσσῃς
τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω,
αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν
εὔχεσθαι· τό κεν οὔτι πανύστατος ἦλθε διώκων.

530. γάρ Ϝοι ἔσαν. 531. vulg. ἥκιστος. 534. δὲ Ϝιδών. 535. Ϝέπεα. 537. δή Ϝοι—ἐπιϜεικές. 540. καί νύ κέ Ϝοι. 544. τοῦτο Ϝέπος. 545. ὅτι Ϝοι.

528—531. Meriones tardioribus equis usus et ipse imperitior aurigationis, serius advenit: hastæ jactu δουρὸς ἐρωὴν, ὁρμὴν, O. 358. post Menelaum.—531. ἥκιστος. idem quod ἥκιστος. ἐλάχιστος, infimus arte et peritia. Et tamen Meriones erat auriga Idomenei. Unde patet, aurigationem in certaminibus majoris artis fuisse quam in pugna.

532.—575. Eumelus fracto curru incedens (sup. 391. sq.) miserationem movet Achilli et Achivis, ita ut Achilles ei vellet præmium loco secundo assignare. Quo facto, injusto modo se eo fraudari clamat Antilochus, eumque adducit, ut Eumelo aliud præmium extra ordinem arcessi jubeat.—533. ἕλκων. quia fractus erat currus, ἐλαύνων ἵππους, non ut plerumque, *agens cursu*, sed nunc *ante se agens vel ducens.* et 536. ἐλαύνει λοῖσθος, ultimo loco. idem quod λοίσθιος, voc. hoc uno loco occurrens et λοισθεὺς, λοισθήιος inf. 751. 785.—542. συν δίκῃ, δικαίως, ἀπεκρίθη.—545. τὰ φρονέων, ὅτι οἱ. *hoc reputando, quod.* pro, *hac de caussa, quod* et 546. αὐτός τ' ἐσθλὸς ἐὼν, pro αὐτοῦ ὄντος. absolute, *cum ipse vir præstantissimus sit;* nisi potius: cum ipse peritus sit aurigationis. ὤφελεν ἀθανάτοισιν εὔχεσθαι. Ex sensu istorum hominum Eumelus, casum adversum expertus, deos adversos et iratos habuit; hos sibi propitios reddere eum debuisse ait: (ait Pandarus sagittam emissurus precatur Δ. 101. Υ. 104. 5. inf. Ulysses 770. add. 873.) non autem sibi præmium eripi debere.—547. τό κεν

529. Ἀγακλῆος.] Ἄγαν ἐνδόξου. 530. Βάρδιστοι.] Βραδύτατοι. 531. Ἥκιστος.] Πάντων ἡττώμενος. ἀσθενὴς, ἢ ἄτεχνος. 532. Πανύστατος.] Πάντων τελευταῖος. 533. Πρόσσοθεν.] Ἔμπροσθεν. 536. Λοῖσθος.] Ἔσχατος, ὕστατος. 542. Δίκῃ ἠμείψατο.] Δικαίως ἀπεκρίθη. 552. Αἰνήσωσιν.] Ἐπ-

εἰ δέ μιν οἰκτείρεις, καί τοι φίλος ἔπλετο θυμῷ,
ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολὺς, ἔστι δὲ χαλκὸς,
καὶ πρόβατ', εἰσὶ δέ τοι δμωαὶ, καὶ μώνυχες ἵπποι·
τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
ἀνδρῶν, ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι.
Ὣς φάτο· μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς,
χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω·
δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται.
Ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ,
οἰσέμεναι κλισίηθεν· ὁ δ' ᾤχετο, καί οἱ ἔνεικεν·
Εὐμήλῳ δ' ἐν χερσὶ τίθει· ὁ δὲ δέξατο χαίρων.
Τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο, θυμὸν ἀχεύων,
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κῆρυξ
χειρὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τε κέλευσεν
Ἀργείους· ὁ δ' ἔπειτα μετηύδα ἰσόθεος φώς·
Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας;
ᾔσχυνας μὲν ἐμὴν ἀρετὴν, βλάψας δέ μοι ἵππους,

548. vulg. φίλον. 551. Fοι. 556. ὅτι Fοι. 557. Fέπεα. 558. Fοίκοθεν. 560. Fοι. 562. δέ Fοι. 564. καί Fοι. 565. vulg. ὁ δ' ἐδέξατο. 568. vulg. χερσὶ et τ' ἐκέλευσεν. 569. Fισόθεος.

οὔτι. διὸ, οὕτως ἂν—διώκων, *aurigando.*—553. τὴν δ' sc. τὴν ἵππον sup. 265, 266, 511.—560. *Asteropæum*, Pelegoni f. Axii fl. nepotem Achilles spoliaveret cæsum. Φ. 139. 170. 183.—561. ᾧ ἀμφιδεδίνηται πέρι χεῦμα κασσιτέρου. thoracis *ærei* extrema *ora circumducta erat cassitero fuso.* κασσίτερος περικεχυμένος ἐστὶ τῷ θώρακι. De plumbi candidi usu jam dicta v. ad Λ. 25.

566—613. Locus animi honestate et candore, et sensuum veritate ac probitate suavissimus. Menelaus iratus Antilochum in jus vocat, statim e consessu Achivorum ei judicium cogit et Antilochum jurare jubet, non dolo malo se ejus currum retardasse. Optimus juvenis, cum hac culpa omnino liberare se non posset, verbis honorificentissimis præmium suum concedit Menelao; qui generoso sensu permotus illud Antilocho remittit: amabo equidem talem adolescentem! 566. surgit Menelaus dicturus, scipione sumto ex more, ut Β. 186. et al. Σ. 505.—571. ᾔσχυνας μὲν ἐμὴν ἀρε-

ανέστατιν. 561. Περιχεῦμα.] Περίχυμα. 562. Ἀμφιδεδίνηται.] Ὧι κύκλῳ περικέχυται ὁ κασσίτερος. 567. Ἐν δ' ἄρα κῆρυξ Χερσὶ σκῆπτρον ἔθηκε.] Παρὰ τοῖς ἀρχαίοις οἱ δημηγοροῦντες σκῆπτρα ἐκράτουν. 571. Ἠι-

τοὺς σοὺς πρόσθε βαλὼν, οἵ τοι πολὺ χείρονες ἦσαν.
ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῇ·
μήποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων,
Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε, βίῃ τε.
εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔτινα φημὶ
ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται·
Ἀντίλοχ', αἰ δ' ἄγε, δεῦρο, Διοτρεφὲς, ἣ θέμις ἐστὶ,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος· αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχε ῥαδινὴν, ἧπερ τὸ πρόσθεν ἔλαυνες·
ἵππων ἁψάμενος, γαιήοχον Ἐννοσίγαιον
ὄμνυθι, μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.

575. Ϝείπῃσι. 577. ὅτι Ϝοι. 581. vulg. εἰ δ' ἄγε. 583. vulg. ἔχων. 585. μὲν Ϝεκών. τὸ ἐμόν. v. Obss.

τὴν, βλάψας δέ μοι ἵππους. utrumque ad laudis detractionem spectare debuit; tu meam aurigandi peritiam ludibrio tradidisti, et equos retardasti, ut pro deterioribus habeantur, laude sua priventur. ἀρετὴ h. l. in aurigando; hanc ille dehonestaverat, dedecore obscuraverat: eodem modo quo sup. Σ. 24. pulcram faciem suam Achilles. et sic γένος πατρώϊον αἰσχύνειν Σ. 209. βλάπτειν ἵππους, mox 585. ἅρμα πεδῆσαι impedire in cursu: ut jam vs. 387. et 782.—572. τοὺς σοὺς πρόσθε βαλών. ut προάγειν. προβάλλειν. iterum 639.—574. δικάσατε ἀμφοτέροις, εἰς μέσον. μέσως. ἐξ ἴσου. judicio animi in neutram partem inclinato; re petita a lancibus—μηδ' ἐπ' ἀρωγῇ. sine partium studio, μὴ κατὰ χάριν. Σ. 502. vidimus ἀρωγοὺς simili sensu de studio ac favore.—575. ne quis dicat: scil. si, quod peto, præmium secundo loco abstulero, Antilocho ereptum:—576. Menelaus abstulit præmium, Ἀντίλοχον ψεύδεσσι βιησάμενος. ἀπάτῃ, calumnia, doli mali eum temere arguens.—577. Junge βιησάμενος, ὅτι, superior fuit in judicio, quod, etsi haberet equos deteriores, auctoritate tamen et potentia prævalebat: junctura antiqua ὅτι (μὲν) αὐτὸς δὲ—pro κἂν—ὅμως. Hæc expeditissima ratio. —580. ἰθεῖα γὰρ ἔσται scil. ἡ δίκη, sententia. αὐτὸς δικάσω. ipse statim sententiam feram, litem dirimam. h. e. edicam id, quod ex justo et æquo sit; jurato Antilochus, se non consulto, et deliberato, fraude me circumvenire voluisse. Minatus hoc erat Menelaus jam supra, se Antilochum jurejurando adacturum esse, vs. 441—581. Memorabilis locus de more et ritu jurandi cum certis symbolis conjuncto: unde adjectum, ἣ θέμις ἐστὶν, uti fas est facere; per Neptunum, utpote in re equestri; tenens flagellum manu, ῥαδινὴν ornat, λεπτὴν, ἰσχνήν.—584. ἵππων ἁψάμενος, ut alias ara attingitur, aut sceptrum, aut alia res, de qua agitur. Observari potest et hoc, quod e certaminum lege licuit quidem sollerti invento uti ad prævertendos alios; non tamen dolo malo; quo an Antilochus usus esset erga Menelaum, et an ejus calliditas in antevertendo possit pro dolo malo haberi, in controversiam adducebatur. Antilochus parentis Nestoris præcepto 325. sqq. ad hoc ipsum adductus erat, ut prudenti,

σχυνας.] Ὕβρισας. 572. Πρόσθε βαλών.] Προδραμών. 574. Ἐς μέσον ἀμφοτέροισι δικάσσατε.] Οἱονεὶ μεσολαβήσατε τὴν δίκην, καὶ ἴσως δικάσατε. Μηδ' ἐπ' ἀρωγῇ.] Μηδ' ἑτέρῳ ἡμῶν βοηθεῖτε. 576. Ψεύδεσσι.] Ἀπάταις. 580. Ἰθεῖα γὰρ ἔσται.] Δικαία. ὀρθῶς γὰρ δικάσω. 583. Ῥαδινήν.] Εὐκίνητον. ἰσχνήν. 584. Γαιήοχον.] Γαιήοχος ὁ τοῖς ὀχήμασι γαίων, ὅ ἐστι γαυριῶν. ἱππικὸς γὰρ ὁ θεός. 585. Πεδῆσαι.] Ἀντὶ τοῦ ἐμπεποδικέναι. 587. Ἂν-

Τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
ἄνσχεο νῦν, πολλὸν γάρ ἔγωγε νεώτερός εἰμι
σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
οἶσθ', οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις·
τῶ τοι ἐπιτλήτω κραδίη. ἵππον δέ τοι αὐτὸς
δώσω, τὴν ἀρόμην· εἰ καί νύ κεν οἴκοθεν ἄλλο
μεῖζον ἀπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην, ἢ σοί γε, Διοτρεφὲς, ἤματα πάντα
ἐκ θυμοῦ πεσέειν, καὶ δαίμοσιν εἶναι ἀλιτρός.
Ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
ἐν χείρεσσι τίθει Μενελάου. τοῖο δὲ θυμὸς
ἰάνθη, ὡσεί τε περὶ σταχύεσσιν ἐέρση
ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·
ὣς ἄρα σοὶ, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀντίλοχε, νῦν μέν τοι ἐγὼ ὑποείξομαι αὐτὸς,
χωόμενος· ἐπεὶ οὔ τι παρήορος οὐδ' ἀεσίφρων
ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.

588. σεῖο, Ϝάναξ. 589. Ϝοῖσθ'. 592. κε Ϝοίκοθεν. 601. Ϝέπεα.

astuto, consilio uteretur.—587. ἄνσχεο simpl. ἴσχεο, A. 214. contine te, nec perge. quod 591. ἐπιτλήτω κραδίη.—589. Οἶσθ' οἷαι νέου ἀνδρός. conveniunt verba Γ. 108. sq. nec abhorrent K. 225. 6. de eo qui solus in rebus agendis versatur, ἀλλά τέ οἱ βράσσων τε νόος λεπτὴ δέ τε μῆτις.—591. ἐπιτλήτω κραδίη, iram comprime, αὐτὸς δώσω, sponte.—594. βουλοίμην ἂν μᾶλλον ἢ ἐκ θυμοῦ πεσέειν. ἐκπεσεῖν θυμοῦ, non, memoria, ut alibi, sed h. l. gratia et amicitia excidere, privari: Dictum ut ἀποθύμιον εἶναί τινι. et ἐκπεσεῖν φιλίας. δαίμοσιν ἀλιτρὸς, εἰς θεοὺς violando reverentiam majori natu debitam: ex antiqua morum severitate: de qua v. ad O. 204.

598. ἰάνθη, ὡσεί τε—comparatio animi placati cum segete ex rore revirescente, suavissima, ab aliis poetis inde frequentata: recreatus, exhilaratus est, ὡσεί τε ἐέρση περὶ σταχύεσσιν (οὖσα) ληΐου ἀλδήσκοντος, supple ἰαίνει αὐτὸ, τὸ λήϊον. ut ros, spicis adhærescens, recreat segetem jam adultam. Ita inversa est oratio, pro: ὡσεὶ λήϊον ἰαίνεται ἐέρσῃ. At veteres, et multo quidem melius, videntur accepisse: ὡσεὶ ἐέρση ἰαίνεται περὶ σταχύεσσιν, ut ros liquescit sole orto; pro τήκεται forte ex Od. M. 175. αἶψα δ' ἰαίνετο κηρός. ita illius animus est mollitus, eoque placatus.—603. οὔ τι παρήορος, οὐδ' ἀεσίφρων. nec excors, fatuus, nec levis. alterum hoc vidimus jam Υ. 183. prius de equo, qui jugali adjunctus, solutus vagatur, H. 156. et al. Hinc παρήορος mente soluta, levi, evagante ad vana, ut μετήορος. Nam φρένες ἠερέθονται, Γ. 108. Contra ἐχέφρονος, ὁ ἀραρὼς τὰς φρένας, dictus ἔμπεδος.—604. νῦν αὖτε contra, nunc, ἡ νεοίη scil.

σχεο.] Ἀνάσχου. 590. Κραιπνότερος.] Ὀξύτερος. Λεπτή.] Ἀσθενής. 593. Ἐπαιτήσειας.] Εἰ ἐπαιτήσεις ἐπὶ τῷ ἵππῳ. 595. Ἐκ θυμοῦ πεσέειν.] Ἀποπεσεῖν τῆς ψυχῆς, ὅ ἐστι μισηθῆναι. Ἀλιτρός.] Ἁμαρτωλὸς εἰς θεούς. 598. Ἰάνθη.] Διεχύθη. ἐχάρη. Ἐέρση.] Δρόσος. 599. Ἀλδήσκοντος.] Αὐξομένου. Ὅτε φρίσσουσιν ἄρουραι.] Ὅτε πεπύκνωνται διανεστηκότες ταῖς χώραις οἱ στάχυες. 603. Ἐπεὶ οὔτι παρήορος.] Οὐ κεχαλασμένος τὸν λογισμόν. παράφρων. Ἀεσίφρων.] Κοῦφος ταῖς φρεσὶν ἄνθρωπος. 604. Νεοίη.] Νεότης. ὁ δὲ

δεύτερον αὖτ᾽ ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ᾽ ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν.
ἀλλὰ σὺ γὰρ δὴ πόλλ᾽ ἔπαθες, καὶ πόλλ᾽ ἐμόγησας,
σός τε πατὴρ ἀγαθὸς, καὶ ἀδελφεὸς, εἵνεκ᾽ ἐμεῖο·
τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
δώσω, ἐμήν περ ἐοῦσαν· ἵνα γνώωσι καὶ οἵδε,
ὡς ἐμὸς οὔποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
Ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
ἵππον ἄγειν· ὁ δ᾽ ἔπειτα λέβηθ᾽ ἕλε παμφανόωντα.
Μηριόνης δ᾽ ἀνάειρε δύο χρυσοῖο τάλαντα
τέτρατος, ὡς ἔλασε· πέμπτον δ᾽ ὑπελείπετ᾽ ἄεθλον,
ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς,
Ἀργείων ἀν᾽ ἀγῶνα φέρων· καὶ ἔειπε παραστάς·
Τῆ νῦν, καί σοι τοῦτο, γέρον, κειμήλιον ἔστω,
Πατρόκλοιο τάφου μνῆμ᾽ ἔμμεναι· οὐ γὰρ ἔτ᾽ αὐτὸν
ὄψει ἐν Ἀργείοισι. δίδωμι δέ τοι τόδ᾽ ἄεθλον
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
οὐδέ τ᾽ ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσι
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δὲ δέξατο χαίρων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδέ τι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.

605. vulg. βέλτερον αὖτ᾽. 617. ἔϝειπε. 622. vulg. ἐνδύσεαι. 624. ϝειπών. vulg. ὁ δ᾽ ἐδέξατο. 625. ϝέπεα. 626. ἔϝειπες. 627. vulg. οὐδέ τε.

ἡλικία, νεότης, h. e. juvenilis animi impetus, præcipitem te egit; νίκησε νόον, mentem, prudentiam, præcurrit.—605. δεύτερον αὖτε, in posterum vero ἀλέασθαι (μέμνησο) pro fuge, noli.—608. ἀδελφεὸς, Thrasymedes.—611. ὑπερφίαλος. superbus, et h. l. e superbia implacabilis.

614—652. Cum Meriones quarto loco, Menelaus tertio præmia tulissent, Eumelo autem præmium extra ordinem datum esset: restabat quintum, ἀμφίθετος phiala, quod Nestori Achilles pro munere honorario assignat. Ille lætabundus funebrium ludorum Amaryncei recordatur, in quibus ipse juvenis certaverat. De phiala v. sup. vs. 270.—622. οὐδέ τ᾽ ἀκοντιστυν ἐσδύσεαι. ut alias δυμεναι πολεμον, μάχην, sic nunc ἐσδύεσθαι dictum puta ἀγῶνα, certamen jaculandi. Malim ἀκοντιστὺν de ipso numero certantium accipere; ita dictum ut καταδύεσθαι ὅμιλον. v. c. Δ. 86.—627, 8. οὐδέ τι

λόγος· νῦν δὲ τὸν νοῦν σου ἐξενίκησεν ἡ νεότης. 618. Κειμήλιον.] Ἀπόθετον κτῆμα. 619. Τάφου.] Εἰς ἐπιτάφιον ἀγῶνα. 622. Οὐ δέ τ᾽ ἀκοντιστὺν ἐνδύσεαι.] Οὐδ᾽ εἰς ἀκοντίου ἀγῶνα κατελεύσῃ. 623. Θεύσεαι.] Δράμῃς.

εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίῳ, παῖδες δὲ θέσαν βασιλῆος ἄεθλα·
ἔνθ' οὔτις μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν,
οὔτ' αὐτῶν Πυλίων, οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν·
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον, ἐσθλὸν ἐόντα·
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε, καὶ Πολύδωρον.
οἴοισί μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόφι λείπετ' ἄεθλα.
οἱ δ' ἄρ' ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,

631. vulg. παῖδες δ' ἔθεσαν. 634. Κλυτομήδεα, Ϝήνοπος. 636. Ϝίφικλον.

[illegible]—[illegible], movent se ad res agendas, gestiunt. [illegible].—629. sq. Εἴθ' ὣς ἡβώοιμι. more suo ut Λ. 669. sq. Η. 132. sq. 157. sq. add. Δ. 319. sq. Nestor pristinæ suæ virtutis in simili re ac tempore meminit. *Amaryncei* nomen in Elide fuit clarum; pater Pyttius, e Thessalia oriundus, in Elidem immigraverat. Amarynceus cum Molionidis inter socios erat Augeæ in bello cum Hercule: Pausan. V. 1 extr. Ei mortuo funebres ludos edixere filii, quibus Nestor interfuit. Ludi hi antiqua fama, forte etiam carmine, celebrati esse debuere; habiti *Buprasio*, urbe vel tractu et agro Elidis memorato sup. Β. 615. Λ. 759. Inter filios Amaryncei fuit *Diores*, inter duces copiarum ex Elide memoratus Β. 622. Alius filius erat *Hippostratus*, qui corruperat Peribœam Hipponoi filiam, postea Œneo nuptam: Apollod. I. 8, 5. cum Hesiodo, cujus fragm. v. Obss. ad e. l. Hi igitur videntur esse filii vs. 631. qui ludos fecerant.—633. οὔτ' Αἰτωλῶν μεγαθύμων, fuit antiqua cognatio inter Ætolos et Eleos, quandoquidem Ætolus ex Elide in Ætoliam fugerat ibique cum iis quos secum duxit, stirpem gentis Ætolorum condiderat: Apollod. I. 7, 6. 7. Pausan. V. 1. p. 376. *Clytomedes*, Enopis f. et *Ancæus* e Pleurone Ætoliæ, eoque diversus ab Ancæo Arcade, qui venationi apri Calydonii, et Argonautis interfuit. Obscura nomina. Ancæum tamen iterum a Nestore victum in ludis funebribus Peliæ narrat Quintus IV. 307. 311. sqq. At *Iphiclus* v. 636. est Phylaci filius, celebratus ille pedum velocitate: v. ad Apollodor. I. 9, 12. Obss.—637. *Phyleus* probabiliter censendus est Augeæ filius esse; de quo v. Apollodor. II. 5, 5. *Polydorus* unus est Epigonorum apud Pausan. II. 20.—638. Ἀκτορίωνε. *Cteatus* et *Eurytus*, ex *Actore* et *Molione*, a qua etiam Molionidæ dicti: qui cum duo essent viribus conjunctis plerumque utentes, bicorpores appellati sunt, διφυεῖς, more antiqui sermonis mythici. De iis v. dicta sup. ad Λ. 708. 749. et Β. 620. Locum habuere fabulæ inprimis in Heracliis, h. e. in carminibus de rebus Herculis; nam is in pugna cum Augea ab iis fugatus, mox ex insidiis eos interemit. Apollod. II. 7, 2. et Obss. Iidem h. l. Nestorem vicerunt certamine curuli, πλήθει πρόσθε βαλόντες vs. 639. *prævertendo* Nestorem, et quidem πλήθει, h. l. de duobus, quod duo erant aurigantes eodem in curru, cum alias in cursu curuli unus tantum currui insisteret. Novitas rei mythico ornatui locum fecit. ἀγασσάμενοι περὶ νίκης invidentes, ne ego victor essem, seu cupidi victoriæ obtinendæ. παρελείπετ' ἄεθλα quod sup. 615. ὑπελείπετο præmia certaminis po-

639. Πλήθει πρόσθε βαλόντες.] Ἤτοι τῶν χειρῶν, ἢ τῶν ἁρμάτων, ἢ τῶν συναιρομένων αὐτοῖς θεατῶν τῷ πλήθει ἐμὲ νικήσαντες. διφυεῖς γὰρ καὶ ἀνὰ τέσσαρας χεῖρας ἔχοντες ἱστοροῦνται. Νίκης ἀγασσάμενοι.] Φθονήσαντές μου τῇ νίκῃ. 640. Παρ' αὐτόφι λείπετ' ἄεθλα.] Παρ' αὐτοῖς τοῖς ἵπποις ἔκειντο τὰ ἆθλα. 641. Δίδυμοι.] Δύο.

ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν·
ὥς ποτ' ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων
ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν.
ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω,
τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς.
σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν.
Ὣς φάτο· Πηλείδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
ᾤχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλείδαο.
αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα.
ἡμίονον ταλαεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι
ἑξέτε', ἀδμήτην, ἥτ' ἀλγίστη δαμάσασθαι.
τῷ δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρείδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω
πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν· ᾧ δέ κ' Ἀπόλλων
δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοὶ,

644. Fέργων. 649. ἧς τέ μ' ἔFοικε vel ἧς με FέFοικε. utrumque bene. 650. μενοFεικέα. 654. ταλαFεργόν. 655. ἑξFέτε'. 657. ἔFειπε. 658. vulg. Ἀτρεΐδαι.

tiora.—644. γήραϊ πείθεται victus, infirmus. v. ad H. 282.—646. ἀλλ' ἴθι καὶ—κτερέϊζε. scil. τούτῳ τῷ ἀγῶνι. perge in hoc honore funebri persolvendo. Nam τὰ κτέρεα proprie dicta dudum erant peracta.—648. ἀεὶ μέμνησαι ἐμεῦ ἐνηέος, προσφιλοῦς σοι. (Interponuntur verba: οὐδέ σε λήθω. neque a te prætereor, quoties de honore agitur.)—649. τιμῆς scil. ἕνεκα, δι' ἧς, ἢ τιμῇ, ἔοικεν, ἔοικός ἐστιν, ἐμὲ τετιμῆσθαι, τιμᾶσθαι, μετ' Ἀχαιοῖς. Supra I. 601. οὐκέθ' ὁμῶς τιμῆς ἔσεαι. pro διὰ τιμῆς, ἐν τιμῇ. add. Υ. 181.

653—699. Proponitur nunc II. *certamen pugilatus.* Epeus prodit, et Euryalum contra se progressum prosternit.

654. Mulæ tam magnum pretium fuisse, notabile est. Quod ταλαεργὸς est, spectat ad naturam jumenti. quod tamen ἀδμήτη est, cum jam sexennis sit, mirationem facere potest, nisi meminerimus, tanto robustiora esse jumenta, quo serius gravi labore vires franguntur.—660. πὺξ πεπληγέμεν, πλήσσειν, μάλα εὖ, ἀλλήλους, ἀνασχομένω, ἀνατείναντας, sc. τὰς χεῖρας. cf. ad 686.—661. δώῃ καμμονίην. victoriam: sed,

646. Κτερέϊζε.] Τίμα, θάπτε. 648. Ἐνηέος.] Ἐπιεικοῦς, προσηνοῦς. 649. Τιμῆς.] Τῆς συνήθους ἐν τοῖς Ἕλλησι. 652. Πάντ' αἶνον.] Ὅλον τὸν ἐπαίνου λόγον. 660. Ὧι δέ κ' Ἀπόλλων Δώῃ καμμονίην.] Φόρβας ἀνδρειότατος τῶν καθ' αὑτοῦ γενόμενος πυγμῇ ἐνίκα. καὶ τοὺς μὲν παριόντας ἀναγκάζων ἀγωνίζεσθαι ἀνῄρει. ὑπὸ δὲ τῆς πολλῆς ὑπερηφανείας ἐβούλετο καὶ πρὸς τοὺς θεοὺς τὸ τοιοῦτον φρόνημα ἔχειν. διὸ Ἀπόλλων παραγενόμενος, καὶ συστὰς αὐτῷ, ἀπέκτεινεν αὐτόν. ὅθεν ἐξ ἐκείνου τῆς πυκτικῆς ἔφορος ἐνομίσθη ὁ θεός. ἡ ἱστορία παρὰ τοῖς Κυκλικοῖς. 661. Καμμονίην.] Τὴν ἐκ καταμονῆς νίκην.

ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε φερέσθω·
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠΰς τε μέγας τε,
εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος Ἐπειός·
ἅψατο δ' ἡμιόνου ταλαεργοῦ, φώνησέν τε·
Ἆσσον ἴτω, ὅστις δέπας οἴσεται ἀμφικύπελλον,
ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν,
πυγμῇ νικήσαντ'· ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
ἦ οὐχ ἅλις, ὅττι μάχης ἐπιδεύομαι; οὐδ' ἄρα πως ἦν
ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
ἀντικρὺ χρόα τε ῥήξω, σύν τ' ὀστέ' ἀράξω,
κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
οἵ κέ μιν ἐξοίσουσιν, ἐμῆς ὑπὸ χερσὶ δαμέντα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Εὐρύαλος δέ οἱ οἶος ἀνίστατο, ἰσόθεος φώς,
Μηκιστέος υἱός, Ταλαϊονίδαο ἄνακτος,
ὅς ποτε Θήβασδ' ἦλθε δεδουπότος Οἰδιπόδαο
ἐς τάφον, ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
τὸν μὲν Τυδείδης δουρικλυτὸς ἀμφεπονεῖτο,

662. ταλαϝεργόν. vulg. κλισίηνδε νεέσθω. 665. Ϝειδὼς aut verius Ϝεῖδος vel Ϝίδος. 666. ταλαϝεργοῦ. 671. ἐν πᾶσι Ϝέργοισι. 674. δέ Ϝοι. 677. δέ Ϝοι—ἀνίστατο, Ϝισόθεος. 678. vulg. Μηκιστέως. Ταλαϊονίδαο Ϝάνακτος. 679. vulg. Θήβας ἦλθε.

quod jam X. 257. vidimus, cum notione ærumnæ in ea consequenda; νίκην, quam quis consequitur τῷ διακαρτερῆσαι.—665. *Epeus*, Panopei, qui Amphitryonis expeditioni in Teleboas interfuit: Apollod. II. 4, 7. §. 3. filius, nobilis fabricator equi duratei Od. Θ. 493. ceterum nulla virtute animi insignis, ferox corporis robore: de quo multi poetarum fuere lusus, iterum productus in ludis funebribus Achillis ap. Quintum IV. 324.—670. ὅτι (κατὰ) μάχης ἐπιδεύομαι, inferior sum aliis. v. ad P. 142.—673. ἀντικρύ. seu coram, hic in conspectu omnium, constitutum mihi ex adverso, seu, quod cum συναράξω ὀστέα convenit, cutem mediam disrumpam, διαμπερές. penitus.—674. κηδεμόνες. simpl. οἱ κηδόμενοι. ut sup. 163. præsto sunto hic stantes, qui eum, tam male a me mulcatum, excipiant, ejusque curam habeant, ut eum absportent.—677. *Euryalus*, Mecistei f. Talai nepos, Argivus. Apollod. I. 9, 13. memoratus supra B. 565.—679. habemus hic ludos funebres in honerem Œdipi celebratos, qui olim fama celebrati esse debuere. ὅς ποτε, Mecisteus, qui et ipse a nonnullis inter duces Argivos fuit memoratus. δεδουπότος. δουπῆσαι. δεδουπηκέναι, ut πεσεῖν, videtur mortem violentam declarare; imitatione vocem hanc adhibet Apollon. I. 1304. IV. 557. quale tamen mortis genus fuerit, poeta haud declarat.—681. Diomedes, quippe ipse inter duces Argivos, et quidem primo loco, (B. 563—565.) ei aderat ad ministerium præstandum, et παρακατέβαλεν vs. 683. αὐτῷ τὸ ζῶμα, attulit et coram

662. Ταλαεργόν.] Ὑπομονητικὸν περὶ τὰ ἔργα. 671. Δαήμονα.] Ἔμπειρον. 673. Ἀράξω.] Συντρίψω. 674. Κηδεμόνες.] Ἐπιμεληταί. ἢ προσήκοντες κατὰ γένος. 679. Δεδουπότος.] Ἐν πολέμῳ τεθνηκότος.

θαρσύνων ἔπεσι, μέγα δ' αὐτῷ βούλετο νίκην.
ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
δῶκεν ἱμάντας εὐτμήτους βοὸς ἀγραύλοιο.
τὼ δὲ, ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα.
ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν ἅμ' ἄμφω,
σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν.
δεινὸς δὲ χρόμαδος γενύων γένετ', ἔῤῥεε δ' ἱδρὼς
πάντοθεν ἐκ μελέων· ἐπὶ δ' ὤρνυτο θεῖος Ἐπειὸς
κόψε δὲ παπτήναντα παρήϊον, οὐδ' ἄρ' ἔτι δὴν
ἑστήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς
θῖν' ἐν φυκιόεντι, μέλαν δέ ἑ κῦμα κάλυψεν·
ὣς πληγεὶς ἀνεπᾶλτ'· αὐτὰρ μεγάθυμος Ἐπειὸς
χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ' ἀμφέσταν ἑταῖροι,
οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν,
αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε·
κὰδ δ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντες·
αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.
Πηλείδης δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα,

682. Ϝέπεσι. 683. δέ Ϝοι. 691. Alii εἱστήκειν. 693. δέ Ϝε. vulg. θῖν' ἐπὶ φ. 694. vulg. ἀνέπαλτ'.

posuit, ut ille cingeret se. ζῶμα, τὸ περίζωμα περὶ τὰ αἰδοῖα.—686. ἀνασχομένω χερσὶ, supra 660. absolute ἀνασχομένω, ubi supplebam τὰς χεῖρας. ut alibi est ἀνασχέσθαι τὸ δόρυ. ut Φ. 67. nunc est, insurgentes, erigentes se, arrecti, σὺν χερσὶ, manibus scil. et ipsis erectis.—688. χρόμαδος sive malarum ex ictibus strepitus; sive dentium stridor.—692. gravi ictu percussus exilit. ἀνεφάλλεται v. Θ. 65. Comparatio novitate et veritate se commendans eademque εὐφαντασιώδης. ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω. Debet nunc φρὶξ Βορέω esse horror maris a borea moti, superficies horrens fluctibus. fere ut Φ. 126, 127.—693. μέλαν δέ ἑ κῦμα κάλυψεν pro καλύπτει. ut sit: mox vero iterum nigricans fluctus eum occulit. *In littore* autem apponitur, quia fluctus versus littora volvuntur a ventis.—698. ἀλλοφρονέοντα, turbata mente, καθεῖσαν, ἐκάθιζον.

700—739. III. *Tertium certamen* indicit Achilles *luctæ.* Surgunt Ulysses et Ajax Telamonius. Æquo certamine eos discedere jubet Achilles, et præmiis pari-

683. Ζῶμα δέ οἱ.] Νῦν περίζωμα. πρῶτον ἔθος ἦν τοῖς παλαιοῖς περιζώματα φορεῖν περὶ τὰ αἰδοῖα, καὶ οὕτως ἀγωνίζεσθαι. κατὰ δὲ τὴν λ. καὶ δευτέραν ὀλυμπιάδα, Ὀρίππου τοῦ Λακεδαιμονίου λυθὲν ἀγωνιζομένου τὸ περίζωμα, αἴτιον αὐτῷ ἥττης ἐγένετο, ἐξ οὗ νόμος ἐτέθη γυμνοὺς τρέχειν. Παρακάββαλε.] Παρεκατέθηκεν. 684. Ἀγραύλοιο.] Ἐν ἀγρῷ αὐλιζομένου. 688. Χρόμαδος.] Ποιὸς ἦχος τοῦ χρωτὸς τῶν σιαγόνων. 689. Ἐπὶ δ' ὤρνυτο.] Ἐφώρμα δέ. 691. Ὑπήριπε.] Κατηνέχθη. Φαίδιμα.] Λαμπρά. 692. Φρικός.] Φρὶξ, ἡ ἐπιπόλαιος τοῦ κύματος κίνησις. ἢ λεπτοκυμία. Ἀναπάλλεται.] Ἀναπηδᾷ. 693. Ἐν φυκιόεντι.] Φυκία ἔχοντι. φύκος δέ ἐστιν ἤτοι ἡ ἄχνη τῆς θαλάσσης, ἢ πόα παραθαλασσία οὕτω καλουμένη. 697. Ἑτέρωσε.] Εἰς τὸ ἕτερον μέρος. 698. Ἀλλοφρονέοντα.] Οὐκ ἐν αὐτῷ ὄντα,

δεικνύμενος Δαναοῖσι, παλαισμοσύνης ἀλεγεινῆς·
τῷ μὲν νικήσαντι μέγαν τρίποδ' ἐμπυριβήτην·
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐν μέσσον ἔθηκε,
πολλὰ δ' ἐπίστατο ἔργα, τίον δέ ἑ τεσσαράβοιον·
στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον.
ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
ἂν δ' Ὀδυσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς·
ζωσαμένω δ' ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα,
ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν·
ὡς δ' ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων,
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων.
τετρίγει δ' ἄρα νῶτα θρασειάων ἀπὸ χειρῶν,
ἑλκόμενα στερεῶς, κατὰ δὲ νότιος ῥέεν ἱδρώς.
πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
αἵματι φοινικόεσσαι ἀνέδραμον. οἱ δὲ μάλ' αἰεὶ
νίκης ἱέσθην, τρίποδος πέρι ποιητοῖο.
οὔτ' Ὀδυσεὺς δύνατο σφῆλαι, οὔδει τε πελάσσαι,
οὔτ' Αἴας δύνατο, κρατερὴ δ' ἔχεν ἲς Ὀδυσῆος.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐϋκνήμιδας Ἀχαιοὺς,

705. ἐπίστατο Ϝέργα,—δέ Ϝε. 706. ἔϜειπε. 709. κέρδεα Ϝειδώς. 718. Ϝιέσθην. 720. ἔχε Ϝίς. 721. vulg. ἀνίαζον ἐϋκνήμιδες Ἀχαιοί.

bus. Exhibet in Achillis ludis funebribus luctam quoque Ulyssis et Ajacis Quintus IV. 215. sq. variatam quidem, unde tamen illustrari possunt nonnulla.

701. δεικνύμενος Δαναοῖσι. exhibens, in conspectu collocans.—702. τρίποδα ἐμπυριβήτην, qui igni admoveri posset, cujus esse posset usus, ut igni imponeretur; non ut soli ostentationi esset inter domus ornamenta, aut ἀναθήματα.—703. eum æstimarunt inter se Achivi pretio XII. boum.—705. πολλὰ δ' ἐπίστατο ἔργα, pro ἐπισταμένην ἔργα πολλὰ, καὶ ἣν ἔτιον, ἐτιμῶντο, τεσσάρων βοῶν ἀξίαν, de pretiis cf. dicta ad vs. 262.—707. Duo tantum surgunt, quia luctatorum tantum paria certare possunt.—711. Exordium pugnæ fit eo modo, ut amplexi se mutuis nexibus, et obnixi, alter alterum de statu dejicere nitantur: cf. 719.—712. ut trabes tecti ἀμείβοντες (scil. στύλοι), δοκοὶ ἀντερειδουσαι, sibi obversæ, et se mutuo fulcientes, (scilicet se mutuo amplectuntur, λαβέτην, λαμβάνουσιν, ἀλλήλων) *Strebebalken*.—714. τετρίγει (sup. 101.) δ' ἄρα νῶτα. stridebant terga nexibus brachiorum comprehensa, dum luctantes obnitendo labefactare se mutuo et prosternere conantur.—721. ἀλλ' ὅτε δὴ ἀνίαζον Ἀχαιοὺς tædio afficiebant, cum neuter alteri cederet, sed in eodem statu uterque maneret.—

ἀλλ' ἐξιστάμενον τῇ διανοίᾳ. 703. Δυωδεκάβοιον.] Δώδεκα βοῶν ἄξιον. 705. Τεσσαράβοιον.] Τὸ τεσσάρων βοῶν. 712. Ἀμείβοντες.] Δοκοὶ μεγάλαι ἀλλήλαις προσπίπτουσαι, ὥστε βαστάζειν τὴν ὀροφήν. αἵτινες καὶ συστάται καλοῦνται. 714. Τετρίγει.] Ἔτριζεν. 717. Φοινικόεσσαι.] Πελειώδεις. ἐρυθραί. 719. Σφῆλαι.] Καταβαλεῖν, νικῆσαι. 720. Ἔχε.] Κατ-

δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤ μ' ἀνάειρ', ἢ ἐγὼ σέ. τὰ δ' αὖ Διῒ πάντα μελήσει.
Ὣς εἰπὼν, ἀνάειρε· δόλου δ' οὐ λήθετ' Ὀδυσσεύς·
κόψ' ὄπιθεν κώληπα τυχὼν, ὑπέλυσε δὲ γυῖα·
κὰδ δ' ἔβαλ' ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε, θάμβησάν τε.
δεύτερος αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς,
κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονὸς, οὐδέ τ' ἄειρεν,
ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίῃ.
καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντε πάλαιον,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ κατέρυκε·
Μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσι·
νίκη δ' ἀμφοτέροισιν, ἀέθλια δ' ἶσ' ἀνελόντες
ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδὲ πίθοντο,
καί ῥ' ἀπομορξαμένω κονίην, δύσαντο χιτῶνας.
Πηλειδης δ' αἶψ' ἄλλα τιθει ταχυτῆτος ἄεθλα,
ἀργύρεον κρητῆρα τετυγμένον· ἓξ δ' ἄρα μέτρα

722. προσέϜειπε. 725. Ϝειπών. 733. vulg. ἀναΐξαντ' ἐπάλαιον. 736. ἄεθλα δὲ Ϝῖσ'.

724. ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ. sc. ἀναείρω, ἀναβαστάζω. Fuit roboris experimentum in attollendo altero de humo et sic prosternendo.—725. præbuit Ulysses dorsum; ut Ajax eum amplecteretur et ut tolleret; quod cum ille faceret, eumque elevatum humo teneret, Ulysses retro circumacta calce poplitem Ajacis percutit; ita ille inclinato genu supinus cadit, inque ejus pectus supinus ipse Ulysses. Ita bene jam rem proposuit ex Eustathio Ernesti ad vs. 724. 727. a tergo autem amplexum factum, docent verba: κὰδ δ' ἔβαλ' ἐξοπίσω Ajacem Ulysses, ἐπὶ δὲ στήθεσσιν Ajacis Ὀδυσσεὺς κάππεσεν dorso suo. κόψ' ὄπιθεν κώληπα, ἰγνὺν, τυχὼν scil. αὐτοῦ, τοῦ κώληπος.—730. Ulysses Ajacem, aversum puta, et ipse de terra tollere nititur; ægre tamen, et parum labefactat a terra motum; ἐν δὲ γόνυ κάμψεν, putes Ulyssem, onere et pondere Ajacis victum poplitibus labasse, sicque lapsum una cum altero; At veteres ita accepere: Ulyssem, Ajacis tergo innixum, suo genu ejus poplitem inflexisse, ita ut Ajax, quem firmis talis solo inniti putare licet, labefactatus obliquo motu caderet, altero genu impulso et flexo, utque Ulysses, qui eum arto tenebat amplexu, una juxta eum procideret.—735. μηκέτ' ἐρείδεσθον. vox propria in lucta, quæ fit τῷ ἀντερείδεσθαι ἀλλήλοις; est ergo pro, μὴ παλαίετε πόῤῥω. μηδὲ τρίβεσθε κακοῖσι. τούτῳ τῷ πόνῳ τῆς πάλης. μὴ πονεῖσθε. μὴ κακοπαθεῖτε.

740—797. *Quarto* loco proponitur IV. *certamen cursus:* certant Ulysses, Ajax Oilei f. et Ant lochus; vincit Ulysses.

741. κρητῆρα τετυγμένον. εὖ τετυγμένον, εὔτυχον, fabrefactum. ut alibi ποιητόν.—

εἶχε. 726. Κόψ' ὄπιθεν κώληπα τυχών.] Ἔκρουσεν αὐτοῦ, φησιν, ἐπιτυχὼν τὴν ἰγνύαν ὄπισθεν, ἥτις καὶ ἀγκύλη καλεῖται. ὡς τῶν μέσων ἐῤῥωμένων περιπλέκεται. 729. Ἀνάειρεν.] Ἦρεν. ἐβάστασεν.

χανδάνεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν
πολλόν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν,
Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροειδέα πόντον,
στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
υἷος δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε
Πατρόκλῳ ἥρωϊ Ἰησονίδης Εὔνηος.
καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο,
ὅστις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο.
δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ·
ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήϊ' ἔθηκε.
στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
ὣς ἔφατ'· ὦρτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
ἂν δ' Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱὸς
Ἀντίλοχος· ὁ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα.
σταῖ δὲ μεταστοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεύς.
τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ' ἔπειτα

744. ἠεροϜειδέα. 748. ἄεθλον Ϝοῦ. 751. vulg. λοισθῆϊ ἔθηκε.

745. Craterem a Phœnicibus venum expositum apud Lemnios emerat Thoas rex; memoratus Ξ. 230. pater Hypsipyles, cujus filius ex Jasone Euneus eum craterem dedit pro pretio redimendi Lycaonis a Patroclo, ὦνον. 747. a quo Lycaon, Priami filius, captus et venditus fuerat; pro Patroclo Achilles memoratus erat sup. Φ. 39—41. ubi adjectum narrationi etiam hoc: redemtum postea fuisse Lycaonem et patri Priamo redditum ab Eetione Imbrio et Arisben deductum. Mercabantur autem Achivi victum in insula Lemno sup. H. 467. sq. Craterem hunc nunc aufert Ulysses. Alterum craterem, simul cum isto pro pretio redemti Lycaonis datum, ex imitatione manifesta adjungit et pro præmio ponit Thetis in ludis funebribus Achillis ap. Quint. IV. 381.—745. στῆσαν sc. τὴν νῆα, ut Od. Δ. 581, 2. προσώρμισαν.—751. λοισθήϊα sc. ἆθλα pro singulari: donum ejus qui extremo loco victor est. ut inf. 785.—754. 5, 6. tres ætatis gradu dispari; in cursu non modo agilitas et mobilitas pedum verum et virium firmitas et genuum vigor requiritur; quæ major erat in Ulysse.—757. μεταστοιχεὶ, eadem linea ac serie.—758. ἀπὸ νύσσης. Difficultas in adumbratione hujus cursus objicitur in spatio constituendo. Decurritur in stadio a linea usque ad metam: ita finitur cursus. In cursu curuli νύσσα sup. 332. erat meta circa quam currus flectuntur, ut ii iterum ad carceres perveniant: sic et apud alios, ut Apollon. III. 1271. Si νύσσα etiam in stadio est τὸ τέρμα, ad eam finiri debuit cursus. At h. l. cursus intenditur inde ἀπὸ νύσσης. putes sic νύσσαν esse ipsam lineam, unde curritur: eandem, quæ in curuli cursu declaratur per voc. *carceres*; ut sit: τέτατο δρόμος, concitatus, intentus cursus erat statim ab initio. Atque ita dictam νύσσαν videas apud Quintum IV. 195. οἱ δ' ἀπὸ νύσσης καρπαλίμως ὄρουσαν. Sequitur: ἀλλ' ὅτε τέρματ' ἔμελλον ἱκανέμεναι. Enimvero docent reliqua vere de meta esse cogitandum

742. Κάλλει.] Τέχνῃ. 743. Σιδόνες.] Οἱ Φοίνικες, Σιδὼν γὰρ πόλις Φοινίκης. 744. Ἠεροειδέα.] Σκοτεινόν. μέγαν, ἢ ἀναπεπταμένον. ἐν ᾧ ἀὴρ μόνος ὁρᾶται. 745. Θόαντι.] Τῷ τῆς Λήμνου βασιλεῖ. 751. Λοισθῆϊ.] Τῷ ἐσχάτῳ. ἀπὸ εὐθείας ὁ λοισθεύς. 757. Μεταστοιχεί.] Ἐπὶ στοῖχον. ἐπὶ τάξιν. 758. Τέτατο.] Μετὰ προθυμίας ἐξετείνετο αὐτοῖς ὁ δρόμος.

ἔκφερ' Ὀϊλιάδης· ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεὺς
ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς εὐζώνοιο
στήθεός ἐστι κανὼν, ὅντ' εὖ μάλα χερσὶ τανύσσῃ,
πηνίον ἐξέλκουσα, παρὲκ μιτον, ἀγχόθι δ' ἴσχει
στήθεος· ὡς Ὀδυσεὺς θέεν ἐγγύθεν· αὐτὰρ ὄπισθεν
ἴχνια τύπτε πόδεσσι, πάρος κόνιν ἀμφιχυθῆναι·
καδ δ' ἄρα οἱ κεφαλῆς χέ' αὔτμενα δῖος Ὀδυσσεὺς,
αἰεὶ ῥίμφα θέων· ἴαχον δ' ἐπὶ πάντες Ἀχαιοὶ
νίκης ἱεμένῳ, μάλα δὲ σπεύδοντι κέλευον.
ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεὺς
εὔχετ' Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·
κλῦθι, θεὰ, ἀγαθή μοι ἐπίῤῥοθος ἐλθὲ ποδοῖϊν.
ὡς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
γυῖα δὲ θῆκεν ἐλαφρὰ, πόδας, καὶ χεῖρας ὕπερθεν.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξεσθαι ἄεθλον,

765. ἄρα Ϝοι. 766. ϜίϜαχον. 767. Ϝιεμένῳ. 769. γλαυκώπιδι Ϝόν.

et de cursu a meta retro ad lineam facto.—759. ἔκφερ' Ὀϊλιάδης, ἐξέφερεν ἑαυτόν. ut jam sup. 376. προεξεφέρετο, προφερέστερος τῶν ἄλλων ἦν ἐν δρόμῳ. Supra sic προβάλλειν.—760. Comparatio Ulyssis inhærentis Ajacis tergo fit cum muliere textrice tenente radium, quo discriminat stamina ad inserendum subtemen; putes fuisse bacillum, lignum rectum, licio involutum, et transmittente eum per stamina. E more veterum stantes texunt, in tela ad parietem desuper pendula, ergo ea pectore prope admoto opus facit. Non longius ergo ab Ajace aberat Ulysses, nec majus intervallum erat, quam radii a pectore mulieris texentis. Vertitur autem ille et transmittitur per stamina continuo, eodem spatio inter pectus et radium perpetuo relicto.—ὡς ὅτε τίς τε κανὼν sc. μάλα ἄγχι ἐστὶ στήθεος. Fuit autem κανὼν, radius, loco naviculæ nostræ, forte, ut modo dixi, lignum rectum, circumvolutum subtemine seu filo inter stamina inserendo: hoc, quod τῷ κανόνι, ligno recto, radio, circumvolutum est, appellatum est πηνίον, licium, cujus fila singula, quæ extrahuntur texendo, sunt μίτοι, e quibus trama fit.—761. ὄντε χερσὶ τανύσσῃ quem illa manu tenet, tractat, inter stamina trajiciendo licium. τανύειν de re in longum porrecta; ita κανὼν, radius, qualem diximus, in longum spatium trajectus τανύεται, ut quis cursu τανύεται, cujus cursus τείνεται, extenditur; Nisi dicas κανόνα, radium, cui licia involuta sunt, nunc licia ipsa declarare: tum sane licium extenditur. Præfero tamen prius propter cetera.—762. ἐξέλκουσα μίτον, παρὲκ πηνίον, extrahens filum licio, quod radio circumvolutum est, interea, dum ille inter stamina transmittitur.—768. πύματον τέλεον δρόμον. accipiendum de extremis cursus jam absolvendi temporibus: ut supra quoque 372. quod Virgil. Æn. V. 327. *jamque fere spatio extremo fessique sub ipsum finem adventabant.*—773. Cum jam in eo essent, *ut præmium apprehenderent*:—tum Ajax prolapsus est: Ulysses autem abstulit, præripuit, craterem. Si νύσσα esset meta, et decursu per stadium ad metam finito victoria parta fuit: non conveniunt hæc. Victimæ quoque non erant cæsæ in loco remoto: sed in curriculi principio. Statuendum itaque est, νύσσαν h. l. esse ipsam lineam, unde cursus est factus, et, cum per-

761. Κανών.] Ὁ κάλαμος, περὶ ὃν εἱλεῖται ὁ μῖτος ὁ ἱστουργικός. Τανύσσῃ.] Ἐπιτείνῃ. 762. Πηνίον.] Εἴλημα κρόκης. πάντα τὰ ἔργα ἐν παραβολαῖς εἰπὼν, νῦν καὶ περὶ γυναικωνίτιδος ἔφη. 764. Ἴχνια τύπτε πόδεσσι, πάρος κόνιν ἀμφιχυθῆναι.] Ἐπέβαινε αὐτοῦ τοῖς ἴχνεσι πρὶν ἢ κονιορτωθῆναι. 765. Ἀϋτμένα.] Ἀναπνοήν. ἆσθμα.

ἔνθ' Αἴας μὲν ὄλισθε θέων, (βλάψε γὰρ Ἀθήνη)
τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων,
οὓς ἐπὶ Πατρόκλῳ πέφνε πόδας ὠκὺς Ἀχιλλεύς·
ἐν δ' ὄνθου βοέου πλῆτο στόμα τε, ῥῖνάς τε.
κρητῆρ' αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς,
ὡς ἦλθε φθάμενος· ὁ δὲ βοῦν ἕλε φαίδιμος Αἴας·
στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο,
ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔειπεν·
  Ὢ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἡ τοπάρος περ,
μήτηρ ὡς, Ὀδυσῆϊ παρίσταται, ἠδ' ἐπαρήγει.
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Ἀντίλοχος δ' ἄρα δὴ λοισθήϊον ἔκφερ' ἄεθλον,
μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
  Εἰδόσιν ὔμμ' ἐρέω πᾶσι, φίλοι, ὡς ἔτι καὶ νῦν
ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους·
Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστιν·
οὗτος δὲ προτέρης γενεῆς, προτέρων τ' ἀνθρώπων·
ὠμογέροντα δέ μιν φάσ' ἔμμεναι. ἀργαλέον δὲ
ποσσὶν ἐριδδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ.
  Ὣς φάτο· κύδηνεν δὲ ποδώκεα Πηλείωνα.
τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·
  Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,

781. ἔϝειπε. 783. μήτηρ ϝώς. Bentl. 784. ϝηδύ.
786. ἔϝειπε. 787. ϝειδόσι. forte ὔμμι ϝερέω. v. Exc. III. ad lib. xix.
795. forte μέλεος ϝειρήσεται.

ventum esset ad τὸ τέρμα stadii, decursum inde retro factum esse ad caput stadii, ad locum, in quo præmia stabant ita, ut ea manibus arripere possent et auferrent, victores.

782. ἔβλαψε πόδας ut sup. 571.—785. Antilochi ingenium mite his quoque verbis se commendat. Etsi præmiis potioribus exciderat, tantum abest, ut ira incensus convicietur iis, a quibus victus erat, ut potius verborum humanitate demereatur victores: videri deos senioribus plus studere quam junioribus.—790. οὗτος δὲ—Ulysses Ajace provectior ætate; attamen vegeto corpore erat. Sic de Charonte Virgilius *cruda deo viridisque senectus*.—792. ἀργαλέον δὲ (τοῖς ἄλλοις) Ἀχαιοῖς, εἰ μὴ μόνῳ τῷ Ἀχιλλεῖ, excepto uno Achille, ποσσὶν ἐριδδήσασθαι, ἐρίσαι περὶ δρόμου, τῷ Ὀδυσσεῖ. tam validum, simulque agile corpus ille, etsi jam adultiore ætate, habebat.—795. μέλεος αἶνος *vana laus*: nunc pro adverbio dicta: οὐκ εἰρήσεταί σοι μελέως, non in

774. Ὄλισθεν.] Ἔπεσεν. 775. Ὄνθος.] Ἡ τῶν βοῶν κόπρος. Ἐριμύκων.] Μεγαλοφώνων. μυκηθμὸς γὰρ, ἡ τῶν βοῶν φωνή. 791. Ὠμογέροντα.] Οὕτω λέγουσιν ἤτοι τοὺς ἔτι συνεστῶτας, καὶ μήπω πάνυ γέροντας, ἀλλὰ πλησίον τοῦ γήρως· ἢ τοὺς πρὸ ὥρας καὶ παρ' ἡλικίαν γεγηρακότας. 792. Ἐριδδήσασθαι.] Ἐξισωθῆναι. ἀμιλληθῆναι. 793. Κύδηνεν.] Ἐδόξασεν. 795. Αἶνος.] Νῦν

ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.
ὡς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δὲ δέξατο χαίρων.
Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος
θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα, καὶ τρυφάλειαν,
τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα·
στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω,
τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι·
ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα καλὸν,
ψαύσῃ δ' ἐνδίνων, διά τ' ἔντεα, καὶ μέλαν αἷμα,
τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
καλὸν, Θρηΐκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
τεύχεα δ' ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων·
καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομεν ἐν κλισίῃσιν.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
ἂν δ' ἄρα Τυδείδης ὦρτο κρατερὸς Διομήδης.
οἱ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι,
δεινὸν δερκομένω. θάμβος δ' ἔχε πάντας Ἀχαιούς.
ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες·
τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν·

797. Ϝειπών. vulg. ὁ δ' ἐδέξατο. 801. ἔϜειπε. 803. τεύχεα Ϝεσσαμένω. 810. vulg. παραθήσομαι. 813. an Ϝεκάτερθεν. v. Exc. III. ad lib. xix.

vanum, perperam; sed cum fructu, cum et ipsi præmium extra ordinem assignatur.

798—825. *Quinto* loco V. *pugnam* duorum *armatorum*, μονομαχίαν, edicit Achilles: præmio proposito armaturæ Sarpedoni detractæ a Patroclo. Pugnæ fortuna æqua discedunt Ajax et Diomedes. Sarpedoni detracta spolia supra Π. 663. sqq.

805. φθῇσιν ὀρεξάμενος χρόα dura ellipsis φθῇ ὀρεξάμενος (σὺν ἔγχει κατ' αὐτοῦ ἐπὶ τὸν) χρόα. ut jam aliquoties monitum, primo loco ad Δ. 307. tum petere aliquem hasta, est h. l. pro attingere; est enim idem ac: ὁπότερος φθάνῃ ταμὼν, qui prior vulneraverit.—806. ψαύσῃ δ' ἐνδίνων. Ad verbum hæc essent, si quis per clipeum et thoracem et per sanguinem penetraverit in viscera: Nimis truculente pro lusu pugnæ. Voluere occurrere veteres nova vi voci ἐνδίνων assignata, ut sint τὰ ἐντὸς τῶν ἐντέων, pro cute, corporis superficie: ut sit: uter attigerit cutem, corpus intra thoracem; etsi τὸ μέλαν αἷμα nec sic convenit. Verum versus haud dubie est rhapsodi foetus truculenti hominis.—808. Asteropæum spoliatum vidimus Φ. 163. 183. Erat is ex Pæonibus. ibid. 141.—In 809, 810. mirari licet arma unius ejusdemque viri disper-

λόγος. 805. Ὀρεξάμενος χρόα.] Ἐφαψάμενος τοῦ χρωτός. 806. Ἐνδίνων.] Τῶν ἐντὸς ὅπλων μελῶν. ἀπὸ τοῦ ἐντείνεσθαι θώρακι καὶ τοῖς λοιποῖς ὅπλοις. οἱ δὲ ἀποδιδόντες ἐντέρων ἀγνοοῦσιν, οὐ γὰρ μέχρι θανάτου μονομαχοῦσιν.

ἔνθ' Αἴας μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσ' ἐΐσην
νύξ', οὐδὲ χρό' ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ.
Τυδείδης δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο
αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ.
καὶ τότε δή ῥ', Αἴαντι περιδδείσαντες, Ἀχαιοὶ
παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ' ἀνελέσθαι.
αὐτὰρ Τυδείδῃ δῶκε μέγα φάσγανον ἥρως,
σὺν κολεῷ τε φέρων, καὶ ἐϋτμήτῳ τελαμῶνι.
Αὐτὰρ Πηλείδης θῆκε σόλον αὐτοχόωνον,
ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος,
ἀλλ' ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
τὸν δ' ἄγετ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.
στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε·
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροὶ,

818. ἐϝίσην. 823. ἀέθλια ϝῖσ'. 830. ἔϝειπε. 832. εἴ ϝοι.

tita inter duo.—819. ἔρυτο γὰρ ἔνδοθι θώρηξ. si thorax corpus tuebatur, ne hasta immissa in corpus penetraret, necesse est, ut illa clipeum perforaverit; satis serio pro certamine ludicro! At Diomedes multo etiam invenustius v. 821. hasta Ajacis jugulum petit, αἰὲν ἐπέκυρε αὐχένι αὐτοῦ (σὺν) δουρὸς ἀκωκῇ, imminebat ei semper hasta: ita vero eum vita privasset, ut Achilles Hectorem X. 321. sq.

826—849. VI. *sexto* loco *discus* proponitur, qui et a certantibus jaceretur et victori pro præmio cederet. Certant *Polypœtes*, Pirithoi, qui Centauros perdomuit, filius, et *Leonteus*, Coroni f. Cænei nepos, uterque e Lapithis: v. Il. B. 740—747. eosdem vidimus conjunctam operam præstantes in valli aditu tuendo M. 127. sq. tum *Ajax* et *Epeus*. Aufert præmium Polypœtes.

826. σόλον αὐτοχόωνον, massam ferri non arte elaborati, sed, ut ex stricturis ferri excoctum provenerat, rude et impolitum. κεχωνευμένον. totum fusum, ut aratrum αὐτόγυον ap. Hesiod. Ἔργ. 433.—827. Potitus erat hac massa ferri, cujus metalli adhuc illa ætate magnum inter Achivos pretium habitum esse ejusque usum maxime in agro colendo ad instrumenta rustica optatum fuisse, vel ex hoc loco patet, Achilles in præda Theba abacta, Eetione, Andromaches patre, cæso: de quo modo ante X. 472. sqq. memoratum est.—829. τὸν δ' ἄγετ' ἐν νήεσσι. τὸν δὲ τὸν σόλον ἤγετο in prædæ parte abduxit navibus juxta littus a Thebe ad castra ante Trojam.—832. Omissa

821. Κῦρε.] Ἤγγιζεν, ἐπετύγχανεν. Αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ.] Ἱστόρηται ὅτι κατεκεῖνο καιροῦ ἔτυχεν Ἡρακλῆς τῇ νήσῳ Σαλαμῖνι κατά τινα χρείαν προσπλεύσας, Τελαμῶνι δὲ ἄρτι γενέσθαι τὸν παῖδα Αἴαντα. ἐπιστὰς οὖν ὁ Ἡρακλῆς, καὶ ἀναλαβὼν τὸν παῖδα, περιέβαλε τῇ λεοντῇ. ἐφ' ᾧ εὔξατο αὐτὸν γενέσθαι ἄτρωτον. ὁ δὲ ηὐξήθη, καὶ τὸ πᾶν τοῦ σώματος ἐγένετο ἄτρωτον, πλὴν τοῦ αὐχένος, τοῦτο γὰρ ἐδόκει τότε κατὰ τύχην τὸ μέρος μὴ περιβεβλῆσθαι τῇ λεοντῇ. 826. Σόλον.] Δίσκον. διαφέρει δὲ σόλος καὶ δίσκος· ὅτι ὁ μὲν δίσκος, πλατύς ἐστι καὶ κοιλότερος· ὁ δὲ σόλος, στρογγύλος καὶ σφαιροειδής. Αὐτοχόωνον.] Ἐκ χεομένης ὕλης εἰκῇ κεχωνευμένον. αὐτοχώνευτον, οἷον μὴ ἔχοντα κατασκευὴν τερπνὴν, ἤγουν τεχνικὴν, ἀλλ' ἐκ μόνης χωνείας ἀναληφθέντα. 827. Ῥίπτασκεν.] Ἔῤῥιπτε μακράν. 829. Ἄγετ' ἐν νήεσσιν.] Ἀντὶ τοῦ ἐκόμισε. 832. Πίονες ἀγροί.] Νῦν, εὐδαίμονες.

ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
χρεώμενος· οὐ μὲν γάρ οἱ, ἀτεμβόμενός γε σιδήρου,
ποιμὴν, οὐδ' ἀροτὴρ, εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
ἂν δ' Αἴας Τελαμωνιάδης, καὶ δῖος Ἐπειός,
ἑξείης δ' ἵσταντο. σόλον δ' ἕλε δῖος Ἐπειός,
ἧκε δὲ δινήσας· γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί.
δεύτερος αὖτ' ἀφέηκε Λεοντεὺς, ὄζος Ἄρηος·
τὸ τρίτον αὖτ' ἔῤῥιψε μέγας Τελαμώνιος Αἴας
χειρὸς ἀπὸ στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντων·
ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης·
ὅσσον τίς τ' ἔῤῥιψε καλαύροπα βουκόλος ἀνὴρ,
ἥδε θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας·
τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε. τοὶ δ' ἐβόησαν.
ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο
νῆας ἐπὶ γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
Αὐτὰρ ὁ τοξευτῆσι τίθει ἰόεντα σίδηρον,

834. γάρ Ϝοι. 843. vulg. πάντα. 846. ἥδε Ϝελισσομένη. 850. Ϝιόεντα.

sunt verba: hoc ferrum esto pro præmio victori. εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί. non; agri, qui longe absint, sed, *qui longe extentos fines habeant, agri latis finibus*, ut ad eos colendos multum ferri usus postulet; tum is, qui præmium acceperit, habebit ad usus suos per plures annos, neque ejus ἐρίθοις, operis in agro, pastori vel aratori, si ferro se opus habere significaverit, eundum erit in urbem ad ferrum mercandum, sed herus ei ex ea massa præbiturus erit: εἶσι ἐς πόλιν, εἴσεται. Debuit jam tum forum rerum venalium esse in oppidis, quo ex agris commeabatur. At illud quæras: quomodo hæc massa adhiberi potuerit, si ferri portio peteretur ad usus domesticos vel rusticos, v. c. ad instrumenta rustica; non enim securi pars recidi potuit. Scilicet vix aliter res expediri potest, quam nunc quoque id curares; necesse fuit discum rudis ferri candefacere, et ex eo, flamma mollito, quantum opus esset, malleo disjungere. Dicas forte simplicius hæc exponi de diuturnitate usus ferri, antequam attritu extenuetur. Ita vero jejuna fieret oratio; et rotunda massa, integra relicta, quibus usibus ea inservire potuisset? Ceterum mirari licet, quomodo tanta ferri massa, quanta esse ista debuit, manu projici potuerit.

836, 7. *Polypœtes* et *Leonteus*. Vide modo ad 826. De *Epeo* v. vs. 665.—844. ἀλλ' ὅτε δὴ σόλον εἷλε—tum ille παντὸς ἀγῶνος ὑπέρβαλε τὸν δίσκον ἐπὶ τόσον, ἐφ' ὅσον βουκόλος ἔῤῥιψε τὸν καλαύροπα. Erit ἀγὼν nunc spatium intra quod disci jactus fit; et ille vel ἔβαλε τὸν δίσκον ὑπὲρ παντὸς ἀγῶνος, ultra spatium; vel ἔβαλεν ὑπὲρ τοὺς ἄλλους διὰ παντὸς ἀγῶνος.

850—883. *Septimo* loco VII. *sagittandi* certamen, columba in malo navis suspensa: Procedunt Teucer arte sagittandi nobilis, ut sæpe vidimus, et alter, Cretensis, Meriones; ille filum, quo illa religata fuerat, rumpit sagitta, Meriones co-

834. Χρεώμενος.] Χρώμενος, ἢ χρήζων. Ἀτεμβόμενος.] Στερόμενος. 843. Ὑπέρβαλεν.] Ὑπερέβαλε. 845. Καλαύροπα.] Τὴν βουκολικὴν ῥάβδον. ἔστι δὲ ξύλον κατὰ τὸ ἕτερον μέρος ῥοπὴν ἔχον, ὅ ἐστι βάρος. 846. Ἑλισσομένη.] Συστρεφομένη. Διὰ βοῦς ἀγελαίας.] Ἀντὶ τοῦ δι' ἀγελαίων βοῶν. 850. Τοξευτῆ-

κὰδ δὲ τίθει δέκα μὲν πελέκεας, δέκα δ' ἡμιπέλεκκα·
ἱστὸν δὲ στῆσε νηὸς κυανοπρώροιο
τηλοῦ ἐπὶ ψαμάθοις· ἐκ δὲ τρήρωνα πέλειαν
λεπτῇ μηρίνθῳ δῆσε ποδὸς, ἧς ἄρ' ἀνώγει
τοξεύειν. ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν,
πάντας ἀειράμενος πελέκεας, κλισίηνδε φερέσθω·
ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτὼν,
ἥσσων γὰρ δὴ κεῖνος, ὃ δ' οἴσεται ἡμιπέλεκκα.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος,
ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐὺς Ἰδομενῆος·
κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες.
Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν. αὐτίκα δ' ἰὸν
ἧκεν ἐπικρατέως. οὐ δ' ἠπείλησεν ἄνακτι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὄρνιθος μὲν ἅμαρτε, μέγηρε γάρ οἱ τόγ' Ἀπόλλων,
αὐτὰρ ὁ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ' ὄρνις·
ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός.

851. vulg. κὰδ δ' ἐτίθει. 852. vulg. ἱστὸν δ' ἔστησε. 853. vulg. ἐπὶ ψαμάθου. 859. Τεύκροιο Fάνακτος. 863. ἠπείλησε Fάνακτι. 864. Fαρνῶν. 865. debuit esse δέ Fοι.

lumbam volantem trajicit. In hoc certamine redhibendo inprimis laboravit Maro Æn. V. 485. sq.

850. ἰόεντα σίδηρον, *nigrum* ferrum: apponit σίδηρον πελέκεας pro vulgari ἐκ σιδήρου. πελέκεις σιδηροῦς *ferreas secures.* Antea σόλος rudis ferri massa, nunc instrumenta e ferro procusa proponuntur pro præmio.—851. secures alias utrinque, alias uno tantum ore aciem habentes. Alius securium usus fuit in sagittando in Odyss. Φ. 75. sq.—858. ἥσσων γὰρ δὴ κεῖνος, inferior arte, adeoque certamine. Difficilius adeo visum columbam ferire, quam filum e quo illa nexa erat?—863. Non propitium habuit Apollinem, quandoquidem aberravit; redditur hoc per caussam, quod eum non exoravit votis factis. ἀπειλεῖν h. l. de voto facto. ut ἀπειλαὶ sunt promissa Υ. 83. Sollennes has preces in sagittando vidimus in Pandaro Δ. 101. cf. sup. ad Χ. 546.—865. μέγηρεν, ἐφθόνησε. antiquo more, quatenus non favit ei, non effecit, ut voti compos fieret. Ut alibi μεγαίρειν, φθονεῖν, erat, vetare. impedire.—867. ἀντικρὺ medium tra-

σι.] Τοξόταις. Ἰόεντα.] Ἤτοι ἰὸν γεννῶντα, ἢ μέλανα. ἄμεινον δὲ τὸν πρὸς ἰῶν κατασκευὴν ἐπιτήδειον, ὅ ἐστι βελῶν. 854. Μηρίνθῳ,] Σπάρτῳ. σχοινίῳ. 856. Πελέκεας.] Ἀξίνας διστόμους. ἔστι δὲ καὶ σταθμὸς σιδήρου ἔχων μνᾶς δέκα. τὸ δὲ ἡμιπέλεκον, τὸ ἥμισυ τοῦ πελέκεως. τὸ ἐκ τοῦ ἑνὸς μόνου μέρους ἔχον ἀκμὴν, ὃ καὶ διστράλιον καλοῦσιν. οὕς τινας ἐφεξῆς ἱστῶντες ἐπί τινα βαθμὸν ἐγυμνάζοντο οἱ τοξόται, πέμποντες διὰ τῶν τρητῶν αὐτῶν τὸ βέλος, δι' οὗ ἐμβάλλεται αὐτοῖς ὁ στειλειός. Πάντας πελέκεας.] Τοὺς ὅλους πελέκεας. Ἀειράμενος.] Ἐπάρας. 857. Μηρίνθοιο τύχῃ.] Καὶ μὴν τοῦτο ἐμπείρου. ἀλλὰ προὔκειτο ἡ τοῦ ζώου τύχη· τύχης δὲ προσεδεῖτο πτοουμένης τῆς ὄρνιθος, καὶ οὐκ ἐν αὐτῷ μενούσης. 863. Οὐδ' ἠπείλησεν.] Οὐ δὲ ηὔξατο. 865. Ἅμαρτεν.] Ἀπέτυχεν. Μέγηρεν.] Ἐφθόνησεν.

ἡ μὲν ἔπειτ' ἤϊξε πρὸς οὐρανὸν, ἡ δὲ παρείθη
μήρινθος προτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.
σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρὸς
τόξον· ἀτὰρ δὴ ὀϊστὸν ἔχε πάλαι, ὡς ἴθυνεν.
αὐτίκα δ' ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὕψι δ' ὑπὸ νεφέων εἶδε τρήρωνα πέλειαν,
τῇ ῥ' ὅγε δινεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην·
ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίῃ
πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἡ ὄρνις,
ἱστῷ ἐφεζομένη νηὸς κυανοπρώροιο,
αὐχέν' ἀπεκρέμασε, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν.
ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε, θάμβησάν τε.
ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε,
Τεῦκρος δ' ἡμιπέλεκκα φέρε κοίλας ἐπὶ νῆας.

870. Bentl. ἐκϜείρυσε. 872. ἠπείλησε Ϝεκηβόλῳ. 873. Ϝαρνῶν. 874. Ϝεῖδε. 875. vulg. τήν ῥ' ὅγε.

jectum et abruptum funiculum.—870, 1. σπερχόμενος δ' ἄρα Μηριόνης. Ex vulgata lectione sic res se habet. Cum uno utrique arcu esset utendum, Meriones propere eripit arcum manu Teucri: sagittam quidem dudum manu tenebat, interea dum Teucer arcum intendebat in scopum. Nunc poeta non apponit ea, quæ per se intelligi possunt: Merionen arcum tetendisse, sagittam nervo applicuisse, in columbam direxisse; sed tantum id narrat, deo favente, piis precibus factis, Merionen sagitta columbam trajecisse. Atqui hæc portentosa sunt, si in arcu tendendo tanta celeritate usus esse dicatur, ut columbam evolantem prævenire potuerit: igitur de alia lectione est dispiciendum. Fertur enim Massiliensis lectio fuisse: Σπερχόμενος δ' ἄρα Μηριόνης ἐπεθήκατ' ὀϊστὸν Τόξῳ· ἐν γὰρ χερσὶν ἔχε πάλαι, ὡς ἴθυνε. ita uterque suum habuit arcum, et Meriones eum habuit ita expeditum, ut confestim sagittam nervo impositam emitteret. Sunt tamen in hac quoque lectione, quæ molestiam faciant: ἐν γὰρ χερσὶν ἔχε πάλαι, ὡς ἴθυνε: *tenebat enim manu jamdudum, dum collineabat;* quidnam? seu ὀϊστὸν, seu τόξον. Atqui, si collineabat, ἴθυνε, sagittam non tenebat manu; si arcum dudum tenebat, collineans, non nunc demum ἐπεθήκατ' ὀϊστὸν, *sagittam imposuit.* Ut ratio loci constet, damnandus est versus alter: sive τόξον· ἀτὰρ δὴ ὀϊστὸν etc. sive τόξῳ· ἐν γὰρ χερσὶν etc. retinendus solus versus Massiliensis lectionis prior: σπερχόμενος δ' ἄρα Μηριόνης ἐπεθήκατ' ὀϊστόν· αὐτίκα δ' ἠπείλησεν etc. Interpolatio nata ex interpretamento verborum: ἐπεθήκατ' ὀϊστὸν, addito τόξῳ· Interpolatus locus alio modo ab aliis. Virgilius portentum sagittæ emissæ tractavit diverso modo Æn. V. 522. sq.—877. Putandum, columbam e vulnere confestim in malum se demisisse in eoque hæsisse insidentem.—879. et simul alæ disjunctæ sunt. λίασθεν. cf. sup. ad O. 520.—881. θηεῦντο admirantes spectarunt, admirati sunt: ut sæpe.

870. Ἐξείρυσε χειρός.] Δηλονότι τοῦ Τεύκρου, τῷ γὰρ αὐτῷ τόξῳ ἐχρῶντο. 875. Δινεύουσαν.] Συστρεφομένην. σοβαρῶς ἱπταμένην. 879. Σὺν δὲ πτερὰ πυκνὰ λίασθεν.] Συνεκρότησε δὲ τὰ πτερά. Λίασθεν.] Διεχωρίσθησαν. 880. Πτάτο.] Ἐπετάσθη.

Αὐτὰρ Πηλεΐδης κατὰ μὲν δολιχόσκιον ἔγχος,
κὰδ δὲ λέβητ' ἄπυρον βοὸς ἄξιον ἀνθεμόεντα
θῆκ' ἐς ἀγῶνα φέρων. καὶ ῥ' ἥμονες ἄνδρες ἀνέσταν·
ἂν μὲν ἄρ' Ἀτρεΐδης εὐρυκρείων Ἀγαμέμνων,
ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος.
τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρεΐδη, ἴδμεν γὰρ, ὅσον προβέβηκας ἁπάντων,
ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχευ· ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,
εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον. αὐτὰρ ὅγ' ἥρως
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.

889. μετέϝειπε. 890. ϝίδμεν. 895. ἀπίθησε ϝάναξ.

884. ad f. *Octavo* loco VIII. certandum erat *jaculis:* Cum autem Agamemnon surrexisset ad certamen, eleganti sensu et judicio, ne regis dignitas minueretur, ut non improbabili ratione colligitur, Achilles certamen non admittit, sed sine certamine Agamemnoni præmium tribuit.

884. *δολιχόσκιον ἔγχος* debuit h. l. non *ὀρεκτὸν* esse, sed *παλτὸν*, *missile*.—885. lebetem *ἀνθεμόεντα*, fulgidum, *ἀνθοῦντα*, *ἀνθηρὸν*, quia *ἄπυρος* erat, non igni admovendus, sed inter cimelia habendus.—886. *ἥμονες ἄνδρες*, *ἔμπειροι τοῦ ἱέναι τὰ ἀκόντια. τῆς ἡμοσύνης, τοῦ ἀκοντισμοῦ*.—890. Jungenda sunt: *ὅσον προβέβηκας ἁπάντων, προέχεις, ἠδὲ ὅσον ἔπλευ ἄριστος, δυνάμει τε καὶ ἥμασιν*, h. e. *τῷ ἀκοντισμῷ*, aut *τῇ δυνάμει τοῦ ἀκοντίζειν*. haud dubie enim corporis robur spectabatur in emittendo jaculo.—892. *σὺ μὲν τόδ' ἄεθλον*, lebetem, *ἔχων ἔρχευ* pro *ἔχε*.—894. *κέλομαι γὰρ ἔγωγε. ἐγὼ γὰρ θέλω πορεῖν, προθυμοῦμαι δοῦναι.*

895. sq. *ὣς ἔφατο, δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον* Achilles: in medio interposita sunt, *οὐδ' ἀπίθησε ἄναξ ἀνδρῶν Ἀγαμέμνων*, annuente illo Achillis dictis *αὐτὰρ ὅγ' ἥρως*, Agamemnon dedit lebetem præconi, scilicet ad tentorium absportandum.

885. Ἀνθεμόεντα.] Ἤτοι οὐκ εἰς πῦρ χρήσιμον, ἀλλ' ἀναθεματικόν. ἢ ἀνθεμώδη. 886. Ἥμονες.] Ἀκοντισταί. 890. Προβέβηκας.] Ὑπερβέβηκας. προελήλυθας. 891. Ἥμασιν.] Ἀκοντίσμασιν. ἀπὸ τοῦ ἱέναι. Ἔπλευ.] Ἐγένου.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Ω.

ARGUMENTUM.

CERTAMINE finito cum ad sua quisque se recepisset, Achilles per noctem luctui indulget,—12. die orto Hectoris corpus circa Patrocli tumulum ter raptat currui alligatum: quod tamen Apollo tuetur ne fœdatum sit—21. dii miserantes constituerant Mercurio mandare, ut illud clam eriperet; at repugnant Juno, Neptunus et Minerva—30. Tandem die inde duodecimo Apollo objurgat deos, quod tantam Achillis sævitiam patienter ferunt,—54. Junone quidem aliter statuente.—63. Jupiter aliud consilium init, ut majore cum Achillis gloria corpus magno pretio redimatur a Priamo—76. Itaque Thetidem ab Iride in Olympum advocatam jubet Achilli persuadere, ut corpus redimentibus remittat; mandatum illa exsequitur.—142. Iris a Jove missa, Priamo similiter persuadet, ut munera paret, quibus Achillem placet et corpus redimat—188. Id quod Priamus exsequitur, etsi Hecuba repugnante, dum ejus vitæ metuit,—237. Trojanos, qui accurrerant, stomachabundus abigit,—248. filios currum adornare jubet—282. libatione facta, et bono augurio oblato, cum præcone Idæo iter ingreditur—331. (jam die inclinato v. ad 349.) Jovis jussu, Mercurius, juvenis specie assumta ei obvius factus, se unum e Myrmidonibus esse simulans comitem ei esse velle pollicitus—439. ducit senem intra Achillis tentorium, cui Priamus supplex factus—507. miserationem movet;—551. Cum paullo ardentius instaret, ut sine mora corpore ad absportandum tradito dimittatur, exardescens Achilles moram patienter ferre jubet,—570. ipse tentorio egressus munera de curru tolli, corpus Hectoris lavari et linteo tegi præcipit—595; tum Priamum hospitali cœna excipit, somnoque se dare ut possit, dimittit, XII dierum inducias paciscitur—676. Priamus e somno excitatus a Mercurio et ut reditum maturet monitus, die orto in urbem regressus, magna cum omnium lamentatione excipitur—717. Luctus inde et lamenta sollennia instituuntur, quæ primo Andromache,—746. tum Hecuba—760. inde Helena—776. exordiuntur. Priamus inducias pactas nuntiat, ligna ad rogum parare jubet; corpus crematur, celebratur epulum funebre. Ita justa persoluta sunt—ad f. 804.

Deorum ministerio pleraque hoc libro geruntur, ut efficiatur id, quod libri argumentum est, ut reddatur Hectoris corpus patri, et ut id fiat summo cum Achillis honore. Posterius hoc debetur Jovis consiliis in Thetidis gratiam id machinantis. Singula jam ante vidimus; Miserantur dii contumeliam Hectoris corpori ab Achille illatam, infestis in Trojanos animis pertinaciter sævientibus Junone, Neptuno et Minerva 23—30. Apollo die XII cum indignatione in deos invectus, Junone qui-

dem obloquente, obtinet tamen, ut Jupiter mitiora consulat, utque Thetidem arcessere, et arcessitam ab Iride Achillis animum mollire jubeat, ne munera pro redimendo Hectoris corpore offerenda renuat—31—119. quod illa exsequitur, dum interea Iris Priamo mandata Jovis perfert—188. Priamo iter ingresso, sequitur ministerium Mercurii in sene deducendo ad castra Achivorum 331—469. et iterum educendo e castris 677—694.

Œconomia carminis per se est præclara. Cum res per se paucis verbis expediri posset, Priamum senem ipsum ad redimendum filii corpus supplicem Achilli factum, et, quod rogaverat consequutum cum corpore redemto rediisse idque humasse: dignitas facto et augusta species acquiritur ex voluntate deorum; tum vero illud ingeniose est inventum quod Jupiter hoc ipsum in Thetidis honorem machinatur, ut filius pretio magno redemtionis accepto superbiat: quo ipso quodammodo res revocata videri potest ad optata et promissa in principio carminis ut Achilli pro injuria satisfiat, utque ὁ ἀτιμηθεὶς τιμὴν καὶ κῦδος omni ex parte consequatur. Mercurii persona aptissima ei officio, ut ducem se seni præbeat, juvenilem speciem facile artificum ingeniis suggerere potuit; cum alias ille, tanquam præco deorum, senili forma et facie indutus esse debuisset.

Nota fuit inter veteres hæc rhapsodia nomine τῶν λύτρων. τὰ λύτρα Ἕκτορος.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ω. ΌΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

ΖΕΥΣ κηδόμενος Ἕκτορος Θέτιν πρὸς Ἀχιλλέα πέμπει, ὅπως ἀποδῷ τοῦ ἥρωος τὸ σῶμα· Ἶριν δὲ πρὸς Πρίαμον, ὅπως λύτρα κομίσας Ἀχιλλεῖ, τὸν νεκρὸν τοῦ παιδὸς ἀπολάβοι. ὁ δὲ, προπεμφθεὶς ὑπὸ Ἑρμοῦ, κοιμίσαντος τοὺς Ἑλληνικοὺς φύλακας, παραγίγνεται πρὸς τὸν Ἀχιλλέα, καὶ ἱκετεύσας αὐτὸν ἀπολαμβάνει τὸν υἱόν· καὶ ἀνακομίσας εἰς τὴν πόλιν, θάπτει, καὶ ἐπ' αὐτῷ δεῖπνον ἄγει.

Ω, Πρίαμος νέκυν υἷα λαβὼν, γέρα δῶκεν Ἀχιλλεῖ.

ΛΥΤΟ δ' ἀγὼν, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
ἐσκίδναντ' ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
κλαῖε, φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος
ᾕρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα,
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ·

1. νῆας Ϝέκαστοι. v. Obss.

1—22. Ludis funebribus finitis redeunt ad sua quisque, epulantur, dormiunt; Achilles noctem insomnem luctu exigit; mane Hectoris corpus currui junctum ter circa Patrocli tumulum raptat; ne illud laniatum hoc modo fœdetur, Apollo curat.

1. λῦτο δ' ἀγὼν, τὸ ἄθροισμα spectantium; populus.—6. *desiderans ejus virtutem*

1. Λῦτο δ' ἀγών.] Νῦν, τὸ ἄθροισμα τῶν θεατῶν. 2. Δόρποιο μέδοντο.] Ἐπιμελοῦντο τροφῆς καὶ ὕπνου.

ἠδ', ὁπόσα τολύπευσε σὺν αὐτῷ, καὶ πάθεν ἄλγεα,
ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων,
τῶν μιμνησκόμενος, θαλερὸν κατὰ δάκρυον εἶβεν,
ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ' αὖτε
ὕπτιος, ἄλλοτε δὲ πρηνής. τότε δ' ὀρθὸς ἀναστὰς
δινεύεσκ' ἀλύων παρὰ θῖν' ἁλός· οὐδέ μιν Ἠὼς
φαινομένη λήθεσκεν ὑπεὶρ ἅλα τ' ἠϊόνας τε.
ἀλλ' ὅγ', ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν,
τρὶς δ' ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος,
αὖτις ἐνὶ κλισίῃ παυέσκετο, τὸνδὲ δ' ἔασκεν
ἐν κόνι ἐκτανύσας προπρηνέα. τοῖο δ' Ἀπόλλων
πᾶσαν ἀεικείην ἄπεχε χροῒ, φῶτ' ἐλεαίρων
καὶ τεθνειότα περ· περὶ δ' αἰγίδι πάντα κάλυπτε
χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
Ὣς ὁ μὲν Ἕκτορα δῖον ἀείκιζε μενεαίνων.
τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
κλέψαι δ' ὀτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.

16. τρὶς Fερύσας. 19. ἀFεικείην. 22. ἀFείκιζε. 24. vulg. ὠτρύνεσκον.

et fortitudinem; simpliciter, *Patrocli desiderio*, fortis et validi.—7. ἠδὲ μεμνημένος τῶν, ὁπόσα τολύπευσε, καὶ ὁπόσα ἔπαθεν ἄλγεα.—8. In sequentibus variavit: ἀνδρῶν πτολέμους possunt jungi cum ἔπαθεν ἄλγεα καὶ πολέμους, pro vulgari ἄλγεα ἐν πολέμοις. Debebat sequi καὶ ἄλγεα τοῦ θαλασσοπορεῖν, pro hoc est: πείρων, διαπερῶν κύματα ἀλεγεινά. *et in animum revocando quot labores et discrimina cum eo socio obierat, pugnas et navigationes*, expeditiones inprimis in expugnandis insulis et urbibus oræ maritimæ Troadis: sup. I. 328, 329.—12. δινεύεσκ' ἀλύων *discurrebat mœrens*, h. e. ἀδημονῶν. ut E. 352. quod de Bellerophonte Z. 201. οἶος ἀλᾶτο, ὃν θυμὸν κατέδων—οὐδέ μιν Ἠὼς φαινομένη λήθεσκεν. nec sub diei ortum obdormiit, sed diem illucescere vidit.—14—17. ἀλλ' ὅγε—αὖτις ἐνὶ κλισίῃ παυέσκετο.—19. πᾶσαν ἀεικείην ἄπεχε χροΐ, ne corpus fœdaretur nec ulceribus et livoribus, nec putresceret: cf. sup. Ψ. 184. sqq.—20. περιεκάλυπτε δὲ πάντα αἰγίδι. recte nubes obducebatur ab Apolline ibid. v. 189: ut Solis vis cum putredine averteretur; at h. l. minus accommodate clipeo tegi fertur corpus, ne raptando laceraretur.

22—188. Paratur nunc id, quod libri summam constituit, ut Priamus corpus Hectoris redimeret. Ut augusta et epica rei species sit, efficitur ea per deos: quorum alii miserantur Hectorem, alii ejus casu lætantur. Primo suasio fit, ut subducatur corpus Hectoris a Mercurio; melius mox consilium suggerit Jupiter, ut redimatur corpus ab Achille. Mittitur Thetis ad hunc flectendum, et Iris ad Priamum, ut consilium hoc ejus animo subjiciat. Ad œconomiam epicam spectant hæc in eo quoque, quod efficitur, ut Achillis ira non vulgari modo, sed deorum interventu, placetur. Jam primum 22—76. diversa deorum consilia narrantur. Primo loco subducendum a Mercurio corpus esse statuunt.

8. Πείρων.] Διαπερῶν. 11. Τότε δέ.] Ὅτε δέ. 12. Δινεύεσκεν.] Ἀνεστρέφετο. Ἀλύων.] Καταστένων. ἀλώμενος, καὶ λύσιν μὴ εὑρίσκων τῶν κακῶν. 22. Μενεαίνων.] Μηνιῶν, ὀργιζόμενος. 24. Κλέψαι δ' ὠτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.] Ζεὺς ἐρασθεὶς Μαίας τῆς Ἀτλαντίδος, λαθὼν Ἥραν ἐμίγη. ἡ δὲ ἐγ-

ἔνθ' ἄλλοις μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρῃ,
οὐδὲ Ποσειδάων', οὐδὲ γλαυκώπιδι κούρῃ·
ἀλλ' ἔχον, ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ,
καὶ Πρίαμος καὶ λαὸς, Ἀλεξάνδρου ἕνεκ' ἄτης·
ὃς νείκεσσε θεὰς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
τὴν δ' ᾔνησ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠὼς,
καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
Σχέτλιοί ἐστε, θεοὶ, δηλήμονες. οὔ νύ ποθ' ὑμῖν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
τὸν νῦν οὐκ ἔτλητε, νέκυν περ ἐόντα, σαῶσαι
ᾗ τ' ἀλόχῳ ἰδέειν, καὶ μητέρι, καὶ τέκεϊ ᾧ,
καὶ πατέρι Πριάμῳ, λαοῖσί τε· τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν, καὶ ἐπὶ κτέρεα κτερίσαιεν.
ἀλλ' ὀλοῷ Ἀχιλῆϊ, θεοὶ, βούλεσθ' ἐπαρήγειν,
ᾧ οὔτ' ἂρ φρένες εἰσὶν ἐναίσιμοι, οὔτε νόημα

25. ἐϝάνδανεν. 27. ἀπήχθετο ϝίλιος. 29. ὅτε ϝοι. 30. ᾗ ϝοι.
36. ϝῇ—ϝιδέειν—τέκεϊ ϝῷ. 38. vulg. κτερίσειαν. 39. ὀλοϝῷ.

27. ἀλλ' ἔχον, ὡς τὸ πρῶτον. perstiterunt in odio Trojæ et Trojanorum.—28. Ἀλεξάνδρου ἕνεκ' ἄτης. (de voc. ad T. 91.) memoratam hanc vecordiam et ex ea contractam noxam, vidimus sup. Z. 356. ubi ad raptum Helenæ spectabat; at h. l. nova caussa subjicitur vs. 29. ὃς νείκεσσε θεάς. judicavit deas; sedit judex inter deas, ut vulgo acceptum est; νεικεῖν, proprie et vulgari usu, ut sup. Σ. 498. de litigantibus dictum, nunc erit de judice accipiendum, ut sit δικάζειν, κρίνειν. nisi malis esse, qui deas, duas utique, contumeliose habuit, reprobando eas sententia adversus eas lata. quandoquidem νεικεῖν est quoque objurgare, λοιδορεῖν, Φ. 480. ὀνειδίζειν, ergo nunc ὑβρίσειν. Opponitur vs. 30. τὴν δ' ᾔνησ', probavit, prætulit. Secundum hos versus Paris fuit in agro educatus. Narrarunt alii alia, quomodo inde ad ludos Ilii habitos venerit et a parentibus suis agnitus sit.—ἥ οἱ πόρε μαχλοσύνην, quæ ejus animo injecit libidinem, animum incendendo amore Helenæ, eoque eum induxit in exitiosam libidinem, amorem.

31. Dies XII inde ab Hectoris morte. iterum inf. 413. altero ab ea die ligna congesserant ad rogum, quo Patrocli corpus nocte sequenti est crematum, tertio certamina sunt habita. Inde novem dies effluxerant inter contentiones deorum mutuas: inf. 107.—35. non, quod grata utique memoria suadere vobis potuit, in animum induxistis viri pii saltem corpus servare incolume suis, ἰδεῖν, *adspiciendum*, ut illi justa persolvere possint.—39. βούλεσθ' ἐπαρήγειν, decretum habetis, favere, studere, probare ejus consilia et juvare.—40. φρένες ἐναίσιμοι, mens æqua, humanitatis sensu imbuta,

κυος γενομένη ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας, Ἑρμῆν ἐγέννησεν. ὅς τις ἐπιθυμίαν ἔσχε τοῦ κλέπτειν· ὅτι καὶ Ζεὺς κλέψας τὴν Ἥραν, ἐμίγη Μαίᾳ, καὶ δήποτε τῆς μητρὸς μετὰ τῶν ἀδελφῶν αὐτῆς λουομένης λαθὼν ὑφείλετο τὰς ἐσθῆτας. γυμναὶ δὲ ἐκεῖναι, ἠπόρουν τί πράξωσι. γέλωτα δὲ διὰ τοῦτο Ἑρμῆς κινήσας, ἀπέδωκε αὐταῖς τὰς ἐσθῆτας. ἔκλεψε δὲ καὶ τὰς Ἀπόλλωνος βοῦς. ἡ ἱστορία παρ' Ἐρατοσθένει. 29. Νείκεσσε θεάς.] Νῦν, ἔκρινε. Μέσσαυλον.] Ἔπαυλιν. 30. Ἤινησεν.] Ἐπῄνεσε. Μαχλοσύνην.] Τὴν πρὸς συνουσίαν κατωφέρειαν. 33. Δηλήμονες.] Βλαπτικοί. 40. Ἐναίσιμοι φρένες.] Καθήκουσαι. δίκαιαι.

γναμπτὸν ἐνὶ στήθεσσι· λέων δ' ὣς, ἄγρια οἶδεν,
ὅστ', ἐπεὶ ἂρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
εἴξας, εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσιν·
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
γίγνεται, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν·
ἀλλ' ἦτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκε.
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
αὐτὰρ ὅγ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων, περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει. οὐ μήν οἱ τό γε κάλλιον, οὐδέ τ' ἄμεινον.
μὴ, ἀγαθῷ περ ἐόντι, νεμεσσηθῶμέν οἱ ἡμεῖς.
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
Τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη·
εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, Ἀργυρότοξε,
εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητός τε, γυναῖκά τε θήσατο μαζόν·

41. ἄγρια Fοῖδε. Bentl. λέων δ' Fώς. 44. οὐδέ Fοι. 46. vulg. μέλλει γάρ που. 48. vulg. ὀδυρόμενος. 52. Fοι. 53. νεμεσσηθῶμέν Fοι. v. Obss. 54. ἀFεικίζει. 56. τεὸν Fέπος.

mitis.—41. ἄγρια οἶδε, ἄγριός ἐστιν. ut sæpe vidimus.—42. θυμῷ εἴξας nunc leo instigatus, excitus animi ferocia.—44. αἰδὼς, respectus ac reverentia aliorum, qui ejus facta, h. l. immanem animum, improbant. At vs. 45. alienus a loco et petitus ex alio poeta; (f. ex Hesiodo, in quo occurrit Ἔργ. 316.)—46. φίλτερον ἄλλον simpliciter φίλον vel φιλώτατον.—48. μεθέηκε. postquam eum luxit, cessat a luctu, finem luctui facit et animum componit. μεθίησι scil. τοῦ κλαῦσαι καὶ ὀδύρεσθαι.—49. τλητὸν θυμὸν, active pro τλήμονα. animum ad tolerandos vitæ casus a natura, quam per Μοίρας declarat, factum, h. e. natura sua ita comparati sunt homines, ut ipso temporis progressu ac decursu luctus minuatur, dumque dolori adsuescimus, sensus levetur. At Achilles luctum non deponit, sed ingenita animi immanitate præ dolore in Hectoris corpus sævit.—52. οὐ μήν οἱ. nec vero hoc ipsi decorum, aut probandum.—53. εἶτα οὐ δέδοικε, μή. annon saltem vereri debuit, ne nos ei irasceremur ob tam indignum facinus! Aut, si hoc paullo subtilius, supple ex solito usu: δέδοικα, μή. *vereor*, ne nos dii ei irascamur.—54. κωφὴν γὰρ δὴ γαῖαν. sensu carentem glebam. ἀναίσθητον σῶμα ὑβρίζει. Videtur proverbiale dictum fuisse. Non enim de corpore in pulverem mutando est cogitandum.

55—63. Juno ægre fert, Achillem et Hectorem eodem loco haberi ab Apolline. εἴη κεν καὶ τοῦτο τεὸν ἔπος. locum habeant forte hæc a te dicta, si eodem honore vos dii habendos putabitis Achillem et Hectorem. ut Od. O. 434. εἴη κεν καὶ τοῦτ' εἴ μοι ἐθέλοιτέ γε, ναῦται ὅρκῳ πιστωθῆναι pro ἔστω οὕτως. Tum supple: enimvero res longe

41. Γναμπτόν.] Εὔκαμπτον. εὔπιστον. 45. Σίνεται.] Βλάπτει. 46. Ὀλέσσαι.] Ἀντὶ τοῦ ὀλωλέναι. ἀόριστον ἀντὶ ὑπερσυντελικοῦ. 47. Ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν.] Φαίνεται Ὅμηρος προτιμῶν τὴν μητρὸς ἀδελφότητα. 48. Μεθέηκεν.] Ἀπέλιπε. 54. Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει.] Ἀντὶ τοῦ ἀναίσθητον σῶμα ὑβρίζει. 57. Ὁμήν.] Ὁμοίαν.

αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτὴ
θρέψα τε, καὶ ἀτίτηλα, καὶ ἀνδρὶ πόρον παρακοίτιν
Πηλεῖ, ὃς πέρι κῆρι φίλος γένετ' ἀθανάτοισι·
πάντες δ' ἀντιάασθε, θεοὶ, γάμου· ἐν δὲ σὺ τοῖσι
δαίνυ', ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν.
οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται. ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἔσκε θεοῖσι βροτῶν, οἳ ἐν Ἰλίῳ εἰσίν.
ὣς γὰρ ἔμοιγ'· ἐπεὶ οὔτι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
λοιβῆς τε, κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν, (οὐδέ πη ἔστὶ
λάθρῃ Ἀχιλλῆος) θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ.
ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,
ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεὺς
δώρων ἐκ Πριάμοιο λάχῃ, ἀπό θ' Ἕκτορα λύσῃ.
Ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα·
μεσσηγὺς δὲ Σάμου τε, καὶ Ἴμβρου παιπαλοέσσης,

67. οἳ ἐν Fιλίῳ. 69. ἐFίσης. 72. ἦ γάρ Fοι. v. Obss.
75. ὄφρα τί Fοι Fείπω πυκινὸν Fέπος. 77. ὦρτο δὲ FΊρις.

aliter se habet.—62. πάντες δ' ἀντιάασθε γάμου. ut μάχης, πολέμου ἀντιᾶν, ἀντιάζειν, non modo adire, sed et, interesse, κατὰ γάμον.—63. σὺ δαίνυσο pro ἐδαίνυσο, κακῶν ἕταρε: improborum omnium sodalis et fautor, cui ideo nihil fidere licet in bonis consiliis: αἰὲν ἄπιστε.

64—76. Jupiter componit litem, suadendo, ut pretio ab Achille redimatur corpus Hectoris.—66. ἀλλὰ καί, verum tamen, altera ex parte, etiam, Hector φίλτατος erat, ὣς γὰρ ἔμοιγε. ita mihi saltem ille carus fuit.—68. οὔ γάρ τι φίλων ἡμάρτανε δώρων, nunquam intermisit mihi sacra facere, quæ sunt munera, δῶρα, usu sollenni. Alias is qui dona non *accipit*, dicitur ἁμαρτάνειν, ἀποτυγχάνειν, at nunc is, qui non dat.—69. δαιτὸς ἐΐσης. manifeste epulæ sacræ pro ipso sacro, victima cæsa. versus jam lecti Δ. 48, 49.—71. ἐάσομεν (τὸ) κλέψαι. ἐᾶν, omittere, a consilio desistere.—72. ἦ γάρ οἱ αἰεὶ μήτηρ παρμέμβλωκε, assidet, et curam habet eique advigilat. quæritur οἱ sitne referendum ad Ἕκτορα, an ad Achillem. Utrumque alienum est a re et sententia. Utrumque absurdum. Versus concinnatus ex Δ. 10, 11.—74. ἀλλ' εἴ τις. εἴθε τις θεῶν.—75. πυκινὸν ἔπος. συμβουλὴν, ut consilium ei communicem.

77—92. Arcessitur Thetis ab Iride.—78. Thetidis in mari sedem inter Samothracen et Imbrum constituisse videtur poeta, ut in vicinia Troadis illa habitaret: ita ut audiret filium lamentantem, Α. 357. Σ. 35. Et sup. 14. Thetis Achivis lugentibus

60. Ἀτίτηλα.] Νήπιον ὄντα ἔθρεψα. 65. Ἀποσκύδμαινε.] Ὀργίζου. 68. Ἐπεὶ οὔτι φίλων ἡμάρτανε δώρων.] Ἐπεὶ οὐχ' ἁμαρτάνων ἐγιγνώσκετο παρὰ τοῖς θεοῖς. 71. Κλέψαι μὲν ἐάσομεν.] Κλέψαι συγχωρήσωμεν. 73. Μήτηρ παρμέμβλωκεν.] Ἔξωθεν ἡ μήτηρ παραμένει φυλάττουσα. 75. Πυκινὸν ἔπος.] Ὅτι συμφέρει αὐτῷ δοῦναι, ἵνα μὴ κλαίῃ.

ἔνθορε μείλανι πόντῳ, ἐπεστενάχησε δὲ λίμνη.
ἡ δὲ, μολυβδαίνῃ ἰκέλη, ἐς βυσσὸν ὄρουσεν,
ἥτε, κατ' ἀγραύλοιο βοὸς κέρας, ἐμβεβαυῖα
ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα·
εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι
εἵαθ' ὁμηγερέες ἅλιαι θεαί· ἡ δ' ἐνὶ μέσσῃς
κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε
φθίσεσθ' ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
Ὄρσο, Θέτι, καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Τίπτε με κεῖνος ἄνωγε μέγας θεὸς, αἰδέομαι δὲ,
μίσγεσθ' ἀθανάτοισιν; ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.
εἶμι μέν· οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅ ττι κεν εἴπῃ.
Ὣς ἄρα φωνήσασα, κάλυμμ' ἕλε δῖα θεάων
κυάνεον, τοῦ δ' οὔτι μελάντερον ἔπλετο ἔσθος.
βῆ δ' ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις
ἡγεῖτ'· ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα θαλάσσης.
ἀκτὴν δ' εἰσαναβᾶσαι, ἐς οὐρανὸν ἀϊχθήτην.
εὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντες
εἵαθ' ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες.

79. vulg. ἐπεστονάχησεν. 80. Fικέλη. 85. μόρον Fοῦ—ὅς Fοι. 87. ὠκέα Fῖρις. 88. μήδεα Fειδώς. 92. ἅλιον Fέπος—ὅτι κε Fείπῃ. vulg. εἴποι. 94. ἔπλετο Fέσθος. 95. ὠκέα Fῖρις.

intererat.—79. *μείλανι πόντῳ.* insolens epitheton: cum alibi sit *οἴνοψ πόντος.* At haud longe inde abest Μέλας κόλπος inter Thraciam continentem et Chersonnesum Thracicam: (v. Apollon. Arg. I. 922. sq. Oppian. Halieut. IV. 514. sq.) de quo veteres ad h. l. cogitarunt.—80. *ἡ δὲ μολυβδαίνῃ ἰκέλη.* Similis plumbo, plumbeæ massæ, appensæ in extrema funiculi ora, ut hamus tanto celerius et altius in mare descendat; ne arrodatur funiculus a piscibus, ille in inferiore parte munitur *cornu bovino*, quo tanquam canaliculo seu siphone funiculus includitur; igitur illa massa plumbea *κατ' ἀγραύλοιο βοὸς κέρας* scil. *οὖσα*, funiculo enim illa innexa vel adstricta esse debet, forte intra ipsum tubum corneum, *ἐμβεβαυῖα ἔρχεται*, (*ἐμβαίνει*, paullo ante *εἰς βυσσὸν ὄρουσε*) *ἐπιφέρουσα ἰχθύσι κῆρα*, escam hamo (*ἀγκίστρῳ*) appensam, ut cum illa hunc deglutiant et enecentur pisces.—88. *Ζεὺς ἄφθιτα μήδεα εἰδώς.* quia ipse est *ἄφθιτος.* Sic Virgilius Æn. I. 230. *æterna imperia* dixit.—91. *ἄχεα ἄκριτα*, simpl. *πολλά.*—92. *ἔπος*, jussum. faciam quod jussit.

93—119. Thetis a Jove mandata accipit, quo Achilli persuadeat, ut corpus Hecto-

79. Μείλανι.] Μέλανι. τῷ καὶ ἔτι νῦν καλουμένῳ μέλανι πόντῳ. ἔστι δὲ τὸ σχῆμα παρένθεσις. 80. Μολυβδαίνῃ.] Μολυβδίνῃ. ὁρμιᾷ· μόλυβδος δὲ ἐπίκειται τῷ ἀγκίστρῳ εἰς τὸ καθέλκειν αὐτὸ τῷ βάρει κάτω. 81. Βοὸς κέρας.] Οἱ μὲν κυρίως, οἱ δὲ τὴν τρίχα. ἄμεινον δὲ νοεῖν κεράτιόν τι προκεῖσθαι τῷ ἀγκίστρῳ, ἵνα μὴ οἱ ἰχθύες ἀποβιβρώσκωσι τὴν ὁρμιάν. 91. Ἄκριτα.] Ἀδιαχώριστα, ἢ πολλά. 96. Λιάζετο κῦμα.] Ἀντὶ τοῦ διΐστατο.

ἡ δ' ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη.
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκε,
καί ῥ' εὔφρην' ἐπέεσσι· Θέτις δ' ὤρεξε πιοῦσα.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός·
ἀλλὰ καὶ ὣς ἐρέω, τοῦ σ' εἵνεκα δεῦρο κάλεσσα.
ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυι, καὶ Ἀχιλλῆϊ πτολιπόρθῳ·
κλέψαι δ' ὀτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην·
αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω,
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ, καὶ υἱεῖ σῷ ἐπίτειλον·
σκύζεσθαι οἱ εἰπὲ θεοὺς, ἐμὲ δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν, οὐδ' ἀπέλυσεν·
αἴ κέν πως ἐμέ τε δείσῃ, ἀπό θ' Ἕκτορα λύσῃ.
αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω,
λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα·
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
ἶξεν δ' ἐς κλισίην οὗ υἱέος, ἐν δ' ἄρα τόν γε

102. εὔφραινε Fέπεσσι. 105. φρεσί· Fοῖδα. 109. vulg. ὠτρύνεσκον.
113. Fοι Fειπέ. 117. μεγαλήτορι Fῖριν. 122. Fοῦ.

ris reddat.—100. εἶξε δ' Ἀθήνη. honoris caussa de suo loco cessit; erat autem Thetis, quippe Nerei filia, ex antiquioribus deabus.—106. ἀλλὰ καὶ ὥς. etsi te luctu teneri sciam, ita ut nulli alii rei animum attendas, exponam tamen tibi, quid illud sit, cujus caussa te arcessi jusserim: ἐρέω τοῦ εἵνεκα l. τίνος l. ἐκείνο. οὗ.—107. ἐννῆμαρ. v. sup. ad v. 31.—109. ὀτρύνεσκον οἱ ἀθάνατοι. vs. 107.—110. τόδε κῦδος προσάπτω, περιβάλλω. hunc honorem ei paro, tribuo: scil. ut ille redemtionis pretio accepto corpus reddat.—111. Servando reverentiam tui et amicitiam in perpetuum. φυλάσσων αἰδῶ καὶ φιλότητα τεὴν (σοῦ, εἰς σὲ) μετόπισθε, (εἰς τὸ μετόπισθε, h. e. ἀεί.) Ait se Thetidis caussa Achilli studere, ideoque intercessisse, ne Hectoris corpus clam auferretur, sed providisse, ad illustrandum Achillis nomen, ut corpus pretio redimeretur; id scilicet gloriæ ipsi cedere debuit.—116. αἴ κέν πως, ut me veritus reddat Hectorem.—117. Ἶριν ἐφήσω Πριάμῳ h. e. πέμψω, ὥστε αὐτὴν κελεύειν Πρίαμον λύσασθαι υἱόν. ut præcipiat Priamo, ut eat ad redimendum filium muneribus apportatis.—118. θυμὸν ἰήνῃ v. ad ψ. 597, 598.

120—142. Thetis ad filium mandata Jovis perfert, quibus se pariturum esse, Achilles spondet.

102. Ὤρεξεν.] Ἐνεχείρησεν. 105. Ἄλαστον.] Ἀνεπίληστον, χαλεπόν.

εὗρ' ἀδινὰ στενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
ἐσσυμένως ἐπένοντο, καὶ ἐντύνοντο ἄριστον·
τοῖσι δ' ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
ἡ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,
χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τέκνον ἐμὸν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην, μεμνημένος οὐδέ τι σίτου
οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκε Θάνατος καὶ Μοῖρα κραταιή.
ἀλλ' ἐμέθεν ξύνες ὦκα, Διός δέ τοι ἄγγελός εἰμι·
σκύζεσθαί σοι φησὶ θεοὺς, ἓε δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχεις παρὰ νηυσὶ κορωνίσιν, οὐδ' ἀπέλυσας.
ἀλλ' ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
τῆδ' εἴη, ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει.
Ὣς οἵγ' ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς
πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον.
Ἶριν δ' ὤτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
Βάσκ' ἴθι, Ἶρι ταχεῖα, λιποῦσ' ἕδος Οὐλύμποιο,

124. Inde a Clarkio: ἐντύνοντ' ἄριστον. v. Obss. 125. ὄϝις.
127. κατέρεξε, ϝέπος. 134. ϝέϝε. 142. ϝέπεα.
143. ϝῖριν—ἐς ϝίλιον. 144. ἴθι, ϝῖρι.

123. ἀδινὰ στενάχοντα. jam Σ. 124.—124. ἐντύνοντο ἄριστον. Sequentia sunt acta unius diei, duodecimi post Hectoris cædem: inde a die orto vs. 13, 31. In vita heroum, antequam ad vitæ negotia se accingant homines, cibus sumitur, et iterum vitæ negotiis peractis sumitur cibus, paratur cœna. Prior ille cibi sumendi apparatus nunc est ἄριστον, alibi δόρπος generali vocabulo. Nec in his erat argutandum.—125. ὄϊς ἱέρευτο simpliciter, mactabatur. quod nunc est inter res notas.—129. omnia fugis quæ animum levare et luctum fugare possint: hoc ad sensus rudiorum ætatum declaratum est.—131. οὐ γάρ μοι δηρὸν βέῃ. pro futuro βήσῃ, incedes, vives. v. ad O. 194.—139. τῆδ' εἴη, ὅς, adsit huc, veniat, qui ferat pretium.—140. πρόφρονι θυμῷ, voluntate in hoc propensa, προπετεῖ, ut Θ. 39, 40.

143—158. Mittitur altera ex parte Iris ad Priamum, ut is filii corpus pretio redi-

124. Ἐντύνοντο ἄριστον.] Παρεσκευάζοντο. εὐτρεπίζοντο. ἄριστον δὲ λέγει νῦν τὸ πρωϊνὸν, ὃ ἡμεῖς λέγομεν ἀκράτισμα· ὥσπερ αὖ πάλιν τὸ παρ' ἡμῖν ἄριστον, ὃ Ποιητής φησι δεῖπνον, μεθ' ὃ δεῖ πονεῖν· τὸ δὲ δεῖπνον, δόρπον. 125. Λάσιος.] Δασὺς, τετριχωμένος. σημαίνει δὲ καὶ τὸ συνετός. Ἱέρευτο.] Ἱερουργεῖτο. ἔσφακτο. 129. Ἔδεαι.] Ἀναλώσῃς, φάγῃς. 137. Νεκροῖο δὲ δέξαι.] Ὑπὲρ τοῦ νεκροῦ δέξαι. 139. Τῇ δ' εἴη ὃς ἄποινα φέροι.] Ἐνταῦθα ἔστω. ἐνθάδε ἡκέτω ὁ κομίζων τὰ λύτρα. 141. Νηῶν ἀγύρει.] Ὅμοιον τῷ, Νεῶν ἐν ἀγῶνι. ὅ ἐστιν ἀθροίσματι.

ἄγγειλον Πριάμῳ μεγαλήτορι, Ἴλιον εἴσω,
λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρυξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
ἡμιόνους καὶ ἅμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τι οἱ θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος·
τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
ὃς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων·
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
Ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα·
ἷξεν δ' ἐς Πριάμοιο. κίχε δ' ἐνοπήν τε γόον τε.
παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς,
δάκρυσιν εἵματ' ἔφυρον· ὁ δ' ἐν μέσσοισι γεραιὸς
ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος, ἀμφὶ δὲ πολλὴ
κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος,

145. μεγαλήτορι, Ϝίλιον. 149. τίς Ϝοι. 151. προτὶ Ϝάστυ. 152. τί Ϝοι. 153. γάρ Ϝοι. 159. δὲ Ϝῖρις. 162. δάκρυσι Ϝείματ'.

mere apud se constituat.—148. οἶον ἰόντα junge.—152. μηδέ τί οἱ θάνατος μελέτω φρεσί. μέλειν etiam de rebus metuendis; quod K. 383. μηδέ τί οἱ θάνατος καταθύμιος ἔστω. Priamus autem ἱκέτης aditurus est Achillem; ideoque tutus sanctitate ἱκεσίας.—157. ἄσκοπος. ἄστοχος τῇ γνώμῃ. ἀνόητος. tum ἄφρων, insaniens, et ἀλιτήμων, scelestus. impius. μηδέ τι τάρβος sc. ἔστω.

159—188. Iris Jovis mandata ad Priamum perfert. Ita poeta administravit id quod Priamus suo ipse consilio initurus erat.

161. ἔνδοθεν αὐλῆς. non intra ædes: sed ἐν προθύρῳ. ante ædes enim magnum ἕρκος, cujus interiora αὐλὴ sunt, per quam ad domum acceditur. κόπρος memoratur, quia aulam pecudes e stabulis eductæ perambulant.—163. ἐντυπὰς ἐγκεκαλυμμένος χλαίνῃ involutus veste ita adstricta, ut tota corporis forma per eam appareret; quod secus est in toga et pallio aut stola, ut bene Ern. Mutuatus hinc est vocem Apollon. I. 264.

147. Ἰήνῃ.] Διαχέῃ, ὅ ἐστι χαρῆναι ποιήσῃ τοῦ Ἀχιλλέως τὴν ψυχήν. 151. Ἄγοι.] Ἀπάγοι. 153. Πομπόν.] Σύνοδον. ὁδηγόν. Ὀπάσσομεν.] Παράσχωμεν. 157. Ἄσκοπος.] Ἄστοχος τῇ γνώμῃ, καὶ ἀπτόητος τοῦ μέλλοντος, ἐξ οὗ ἀνόητος. Ἀλιτήμων.] Ἁμαρτωλός. 158. Ἐνδυκέως.] Ἐπιμελῶς. Ἱκέτεω.] Ἱκέτου. Πεφιδήσεται.] Φείσεται. ἀπὸ μέσου παρακειμένου. 162. Ἔφυρον.] Ἔδευον, ἔβρεχον. 163. Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος.] Οὕτως φησὶν αὐτὸν κεκαλύφθαι τῇ χλανίδι ἐν τετυπωμένοις ἱματίοις ὅλον τὸ σῶμα, ὥστε μόνον τὸν τῶν μελῶν τύπον φαίνεσθαι. 164. Κόπρος.] Κοινῶς μὲν τὰ κόπρια. νῦν δὲ ἡ κόνις.

τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.
θυγατέρες δ' ἀνὰ δώματ', ἰδὲ νυοὶ, ὠδύροντο,
τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα,
τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμος ἔλλαβε γυῖα·
Θάρσει, Δαρδανίδη Πρίαμε, φρεσὶ, μηδέ τι τάρβει·
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,
ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὅς σευ, ἄνευθεν ἐὼν, μέγα κήδεται, ἠδ' ἐλεαίρει·
λύσασθαί σε κέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρυξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
ἡμιόνους καὶ ἅμαξαν εὔτροχον, ἠδὲ καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί τοι θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος.
τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται Ἀργειφόντης,
ὅς σ' ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων·
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις.
αὐτὰρ ὅγ' υἷας ἅμαξαν εὔτροχον ἡμιονείην
ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς·
αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα,

165. χερσὶ ϜεϜῇσι. 175. vulg. σ' ἐκέλευσεν. 180. προτὶ Ϝάστυ.
188. Ϝειποῦσ'—ὠκέα Ϝῖρις.

II. 863, 864. Quintus V. 528.—In seqq. 164, 165. vides impatientiam doloris hominum in priscis aetatibus. *καταμήσατο κόπρον* collegit. *ἀμᾶν* de messe; de floribus legendis Σ. 551. nunc de pulvere.—172. *κακὸν ὀσσομένη.* malum quid l. animo agitans l. annuntians: hoc verius puto: fere ut erat A. 105. *κάκ' ὀσσόμενος.*

189—321. Priamus se accingit ad iter refragante Hecuba; munera Achilli pro redimendo Hectore depromit; filios currum instruere jubet; libatione facta cum precibus currum conscendit.—190. *πείρινθα,* cratem currus e viminibus textam, capacem rerum imponendarum.—191. *θάλαμον κηώεντα.* bene odorum. v. ad Z. 288.—192.

165. Κατεμήσατο.] Κατεχέατο. κατεπάσατο. 168. Κέατο.] Ἔκειντο. 185. Ἐρύξει.] Ἐφέξει, κωλύσει. 189. Ἡμιονείην.] Πρὸς ἡμιόνων ζεῦξιν ἐπιτηδείαν. 190. Ὁπλίσσαι.] Κατασκευάσαι, ἑτοιμάσαι. Πείρινθα.] Τὸ ἐπικείμενον τῇ ἁμάξῃ πλινθίον, ἐφ' οὗ φέρουσι τὰ φορτία. ὃ καὶ ὑπερτερίαν καλοῦσιν. 191.

κέδρινον, ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει·
ἐς δ' ἄλοχον Ἑκάβην ἐκαλέσσατο, φώνησέν τε·
Δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε,
λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, τί τοι φρεσὶν εἴδεται εἶναι;
αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἀνώγει,
κεῖσ' ἰέναι, ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.
Ὣς φάτο· κώκυσε δὲ γυνὴ, καὶ ἀμείβετο μύθῳ·
ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ', ᾗς τὸ πάρος περ
ἔκλε' ἐπ' ἀνθρώπους ξείνους, ἠδ' οἷσιν ἀνάσσεις;
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξε; σιδήρειόν νύ τοι ἦτορ.
εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅδε, οὔ σ' ἐλεήσει,
οὐδέ τί σ' αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρῳ. τῷ δ' ὥς ποθι Μοῖρα κραταιὴ
γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτὴ,
ἀργίποδας κύνας ἆσαι, ἑῶν ἀπάνευθε τοκήων,
ἀνδρὶ πάρα κρατερῷ· τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι

197. τόδε Fειπὲ—φρεσὶ Fείδεται. 202. οἷσι Fανάσσεις.
211. ἆσαι, ἑFῶν.

γλήνεα res pretiosas, quarum recensum videbis inf. 229. sqq. Ex h. l. voc. habet Apollon. IV. 429. et alii.

193—216. Priamus Hecubam ad se vocat, et de profectione in castra Achivorum cum ea agit. dissuadet Hecuba profectionem, metu periculi Priamo imminentis a sævitia Achillis, qui nec ἱκετείας reverentiam habiturus sit; unde 208. οὐδέ τί σ' αἰδέσεται.—194. *δαιμονίη, o bona:* ut jam A. 561.—202. prudentia qua clarus eras inter Trojanos et exteros.—205. σιδήρειον δέ τοι ἦτορ non h. l. ad duritiem spectat, quæ opponitur miserationi, vel humanitati, sed ad fortitudinem; si quis terroris et metus est expers, periculi nullum sensum habens seu respectum ac curam.—206. εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται, si te potitus fuerit, in potestate sua habuerit, et ubi te conspexerit.—209. τῷ δ' ὥς ποθι *ita*, ut apparet, ὥς που, at ipsi Hectore fuit hoc fato constitu-

Κηώεντα.] Τεθυμιωμένον. εὐώδη. 192. Κέδρινον ὑψόροφον.] Ἐκ κεδρίνων ξύλων ἔχοντα τὴν ὀροφὴν ὑψηλήν. Γλήνεα.] Πολλῆς θέας ἄξια, κόσμια. ἢ χρήματα, κατὰ Ἠλείους. οἱ δὲ ἀξιοθέατα. γλήνη δὲ παρὰ τὸ γλαμυρὸν ἤτοι δίυγρον. ὅθεν Ἀρχέδημος ὁ Γλάμων, καὶ παροιμία· Ἐν τυφλῶν πόλει Γλάμυρος βασιλεύει. ἢ ἀπὸ μέρους εἴρηκε. γλήνας γὰρ κυρίως τὰ ἀκροκόσμια λέγουσι. 194. Διόθεν.] Παρὰ τοῦ Διός. 198. Αἰνῶς.] Λίαν, πάνυ. 202. Ἔκλεε.] Ἐνδόξως ἐφημίζου. 205. Σιδήρειον ἦτορ.] Ἰσχυρὰ ψυχὴ, ἐξ οὗ ἀπηνὴς καὶ σκληρά. 206. Αἱρήσει.] Λήψεται. 207. Ὠμηστής.] Ὠμὸς τὸν τρόπον. οἷα τὰ ὠμοφάγα θηρία. 211. Ἀργίποδας.] Ταχύποδας.

ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ· ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων
ἑσταότ', οὔτε φόβου μεμνημένον, οὔτ' ἀλεωρῆς.
Τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ
ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
ἢ, οἳ μάντιές εἰσι, θυοσκόοι, ἢ ἱερῆες,
ψεῦδός κεν φαῖμεν, καὶ νοσφιζοίμεθα μᾶλλον·
νῦν δ', αὐτὸς γὰρ ἄκουσα θεοῦ, καὶ ἐσέδρακον ἄντην,
εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται· εἰ δέ μοι αἶσα
τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς
ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην.
Ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν·
ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,

213. ἄντιτα Fέργα. 214. οὗ Fε. 217. προσέFειπε—θεοFειδής.
219. f. ὄρνις ἐν μ. 221. vulg. μάντεες. 224. Fάλιον Fέπος.

tum sic, ut sepulturæ honore privaretur: ὡς ἆσαι.—213. τότ' ἄντιτα ἔργα γένοιτο, *tum*, ita, *par pari referretur;* quæ summa ultionis est. ἀντίτισις γένοιτο. τίσις, ἀμοιβὴ, ἀντί. si modo ἄντιτος est pro ἀντίτιτος, nec pro ἀνάτιτος, pari sensu. Iterum Od. Γ. 60.—214. ἐπεί. latet omissa propositio: nam immanitas Achillis in corpus insepultum atrocissima: quandoquidem virum fortem pro patria pugnantem tam indignis modis habet, cujus virtutem revereri debebat. Græcismus porro est in structura verborum ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα, pro ἐπεὶ ἐκεῖνος, ὃν κατέκτα, οὐκ ἦν κακιζόμενος, ignavus, κακός.

217—227. Priamus, more multorum hominum, qui consulunt alios de iis, quæ jam animo decreverant, in proposito suo persistit.—221. μάντιες primo universe memorantur, tum duo genera, θυοσκόοι, qui ex omni sacrorum apparatu omina captant, ἱερῆες, extispices. cf. A. 62.—222. ψεῦδός κεν φαῖμεν, dicerem esse commentitium et μᾶλλον, μάλα, valde diffiderem, fidem abnegarem. Versus lectus B. 81.—224. οὐχ ἅλιον ἔπος, dei jussum exsequar.—226. vel illico interficito me Achilles, dum modo amplexus filii corpus flendo me satiaverim. ἐξείην ἔρον. v. A. 469.

228—238. Munera ad redimendum filium cistis depromit Priamus: erant autem eæ in thalamo, quo τὰ κειμήλια recondita erant: sup. 191.—230. ἁπλοΐδας χλαίνας. Videtur declarandum esse ex altero: διπλοῖς, διπλῆ, δίπλαξ. quod varie accipi potest. Mihi probatum erat Γ. 125, 126. esse amictum, vestem ampliorem, duplicatam,

213. Προσφῦσα.] Προσελθοῦσα. Ἄντιτα.] Ἀντιτιμώρητα. ἐν μέρει τινὶ τιμωρίαν λαμβάνοντα. 214. Οὔ ἑ κακιζόμενον.] Οὐ δειλιῶντα αὐτόν. 219. Ὄρνις κακός.] Κακὸς οἰωνὸς, καὶ μάντις. 221. Θυοσκόοι.] Οἱ τὰς θυσίας ἐπιτελοῦντες, καὶ δι' αὐτῶν μαντευόμενοι. ἢ οἱ λιβανομάντεις. Ἱερῆες.] Θῦται. 222. Νοσφιζοίμεθα.] Ἀποτρεποίμεθα. 227. Ἐξ ἔρον εἵην.] Τὴν ἐπιθυμίαν πληρώσαιμι. 228. Φωριαμῶν.] Κιβωτίων. Ἐπιθήματα.] Πώματα. Ἀνέῳγεν.] Ἤνοιξεν. ἀνῴγνυεν. 230. Ἁπλοϊάδας.] Ἁπλάς.

τόσσα δὲ φάρεα καλά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.
χρυσοῦ δὲ στήσας ἔφερε δέκα πάντα τάλαντα·
ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
ἐκ δὲ δέπας περικαλλὲς, ὅ οἱ Θρῆκες πόρον ἄνδρες
ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
φείσατ' ἐνὶ μεγάροις ὁ γέρων· περὶ δ' ἤθελε θυμῷ
λύσασθαι φίλον υἱόν· ὁ δὲ Τρῶας μὲν ἅπαντας
αἰθούσης ἀπέεργεν, ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων·
Ἔῤῥετε, λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
ἦ οὔνεσθ', ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,
παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσι δὴ ἔσεσθε,
κείνου τεθνειῶτος, ἐναιρέμεν. αὐτὰρ ἔγωγε,
πρὶν ἀλαπαζομένην τε πόλιν, κεραϊζομένην τε,
ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴσω.
Ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας. οἱ δ' ἴσαν ἔξω,
σπερχομένοιο γέροντος· ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα,

234. ὅ Ϝοι. 236. fuit ἐνὶ μεγάροισι γέρων.
238. ἀπέϜεργε Ϝέπεσσ'. 239. Ϝέῤῥετε. 240. Ϝοίκοι.
246. ὀφθαλμοῖσι Ϝιδεῖν,—ἄϜιδος. 248. υἱάσι Ϝοῖσι.

duplo corpori circumjectam. Contrario modo dicta erit vestis simplex.—232. στήσας postquam ad lancem appenderat. v. ad N. 745.—235. (κατ') ἐξεσίην, πρεσβείαν, (iterum Od. Φ. 20.) ἐλθόντι legatione, legatus missus ad Thraces: forte juvenis a parente. Non enim ipse rex legatus mitti solet.

237—282. Priamus thalamo egressus, currum paraturus, videt turbam ante ædium fores et in porticu circa ædes stantem; rei novitate, audita regis profectione, excitatam ut accurreret; stomachabundus, utpote senex mœrore confectus, nunc autem etiam thesauros suos alio translaturus, eos abigit, seu lamentis suis molestos, seu in negotio curando se morantes; mox filios increpat cessantes currum instruere; faciunt illi jussa, efferunt thalamo munera et currui imponunt.

238. αἰθούσης. quæ sit v. ad Z. 242, 243.—239. ἔῤῥετε, λωβητῆρες. φθείρεσθε, ὑβρισταί. ut B. 275. Λ. 385. ἐλεγχέες ἐπονείδιστοι. probrosi, Δ. 242.—240. κηδήσοντες, nunc λυποῦντες. ἀνιῶντες. molesti.—241. ἦ οὔνεσθε, an volupe vobis est? an gratum vobis spectaculum est? ὄνω. unde ὀνίω. ὄνημι. juvo. ὄνομαι, quod ὄνημαι. ἀπολαύω fructum habeo ex re, delector. ut ἀπόνημαι. ὄνησιν ἔχω. Sic ὀνέομαι Z. 260. H. 173. et al. at alii e veteribus voluere esse h. l. μέμφεσθε.—243. ῥηΐτεροι γάρ. Hectore interemto, μᾶλλα ῥηΐτερον ἔσται τοῖς Ἀχαιοῖς, ἐναίρειν ὑμᾶς.—247. σκηπανίῳ δίεπ' ἀνέρας, turbam σκήπτρῳ ἐδίωκε. insequebatur, abigebat, baculo.—248. σπερχομένοιο γέροντος, concitato sene sc.

232. Τάλαντα.] Νῦν, χρυσοῦ. 235. Ἐξεσίην.] Κατὰ δημοσίας ἔξοδον πρεσβείας. 238. Αἰσχροῖσιν.] Χαλεποῖς. 239. Ἔῤῥετε.] Φθείρεσθε. Λωβητῆρες.] Ὑβρισταί. Ἐλεγχέες.] Ἐπονείδιστοι. 240. Κηδήσοντες.] Πενθήσοντες. 241. Ἦ οὔνεσθε.] Ἦ ἐφήδεσθέ μοι, καὶ ἐπὶ ταῖς συμφοραῖς εὐφραίνεσθε. ἀπὸ τοῦ ὄνασθαι. ἢ ἐκφαυλίζετε καὶ μικρὸν ἡγεῖσθε. 245. Κεραϊζομένην.] Πορθουμένην. 247. Δίεπε.] Διώκει, ἢ διεξήει. 248. Σπερχομένοιο.] Ἐπειγομένου. Ὁμόκλα.]

νεικείων Ἕλενόν τε, Πάριν τ', Ἀγάθωνά τε δῖον,
Πάμμονά τ', Ἀντίφονόν τε, βοὴν ἀγαθόν τε Πολίτην,
Δηΐφοβόν τε, καὶ Ἱππόθοον, καὶ Δῖον ἀγαυόν.
ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευε·
Σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες. αἴθ' ἅμα πάντες
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῆς ἐπὶ νηυσὶ πεφάσθαι.
ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔτινα φημὶ λελεῖφθαι·
Μήστορά τ' ἀντίθεον, καὶ Τρωΐλον ἱππιοχάρμην,
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐῴκει
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο·
τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
ψεῦσταί τ', ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι,
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίσσαιτε τάχιστα,
ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλὴν
ἐκ μὲν ἄμαξαν ἄειραν ἐΰτροχον ἡμιονείην,
καλὴν, πρωτοπαγέα· πείρινθα δὲ δῆσαν ἐπ' αὐτῇ·

258. ϝεϝῴκει. 262. ϝαρνῶν. 264. ἐπιθεῖτε, ἵνα. v. Obss.

πρὸς τὸ διέπειν. σπέρχεσθαι proprie concitare se et sic vel festinare, ut Λ. 110. et al. vel irasci.—253. κατηφόνες, κατηφεῖς, κατηφείας (Γ. 51. Π. 498.) ἄξια πράττοντες, probra pudenda patrantes, καταίσχυντοι.—257. *Troili* memoria fuit clara in Anteiliacis. v. Excurs. XVII. ad Virgil. Æn. II.—260. τὰ δ' ἐλέγχεα πάντα λέλειπται. probra hæc, probrosi hi nequam B. 235. omnes superstites sunt.—261. ὀρχησταὶ, non quasi saltatio per se probro fuisset, sed quia ei indulgent in vita desidiosa; ideoque χοροιτυπίῃσιν ἄριστοι. excellentes choreis, non in armis; (puta τὸν χορὸν, terram, τυπῆναι pulsari pedibus. Od. Θ. 264. πέπληγόν τε χορὸν θεῖον ποσίν.) ita quoque—262. ἐπιδήμιοι ἁρπακτῆρες, prædatores popularium, qui prædas agunt non ex hoste sed ex popularium agris et bonis. Vides nec patriarcharum vitam malis et injuriis promiscuis caruisse.

267. Parant filii Priami currum recipiendis muneribus; imponunt axi πείρινθα, (vs. 190.) textum vimineum, 268. deripiunt (suspensum in pariete) de clavo jugum, (ita aptatum ut ei colla inserant juncti duo muli,) 269. buxeum, media sui parte eminentiore in umbilici speciem, circum quam religari possint funes, instructum

Διεκελεύετο μετὰ ὀνείδους. 250. Πολίτην.] Νῦν, ὄνομα κύριον. 251. Δηΐφοβόν τε καὶ Ἱππόθοον.] Ἀλεξάνδρου τοξευθέντος ὑπὸ Φιλοκτήτου, Πρίαμος τὸν Ἑλένης γάμον ἔπαθλον ἔθηκε τῷ ἀριστεύσαντι κατὰ τὴν μάχην. Δηΐφοβος δὲ γενναίως ἀγωνισάμενος ἔγημεν αὐτήν. ἡ ἱστορία παρὰ Λυκόφρωνι. 253. Κατηφόνες.] Ἄξιοι καταφονευθῆναι. 254. Πεφάσθαι.] Ἀναιρεῖσθαι. 255. Πανάποτμος.] Παντελῶς δυστυχής. 257. Ἱππιοχάρμην.] Ἤτοι ἀφ' ἵππων μαχόμενον, ἢ ἵπποις χαίροντα. 261. Χοροιτυπίῃσιν ἄριστοι.] Εἰς χοροὺς ἐπιτήδειοι. 262. Ἐπιδήμιοι ἁρπακτῆρες.] Τὰ τῶν πολιτῶν ἁρπάζοντες, καὶ οὐ τὰ τῶν πολεμίων. 267. Πρωτοπαγῆ.] Πρώτως παγεῖσαν. ὅ ἐστιν ἐξόχως πρῶτον πεπη-

κὰδ δ' ἀπὸ πασσαλόφι ζυγὸν ᾕρεον ἡμιόνειον,
πύξινον, ὀμφαλόεν, εὖ οἰήκεσσιν ἀρηρός.
ἐκ δὲ φέρον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ·
καὶ τὸ μὲν εὖ κατέθηκαν εὐξέστῳ ἐπὶ ῥυμῷ,
πέζῃ ἐπὶ πρώτῃ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον·
τρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν· αὐτὰρ ἔπειτα
ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν·
ἐκ θαλάμου δὲ φέροντες, εὐξέστης ἐπ' ἀπήνης
νῆεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας, ἐντεσιεργούς,
τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγὸν, οὓς ὁ γεραιὸς
αὐτὸς ἔχων ἀτίταλλεν εὐξέστῃ ἐπὶ φάτνῃ·

270. vulg. ἐκ δ' ἔφερον. 273. τρὶς Ϝεκάτερθεν. 274. vulg. ἔγναμψαν.
275. vulg. ἐϋξέστου. 277. ἐντεσιϜεργούς. 280. vulg. ἐϋξέστῳ.

annulis; tum v. 270. affertur una cum jugo lorum jugale, novem cubitorum; idque lorum, v. 271. applicant et innectunt temoni, 272. in summa temonis parte, et admovent annulum paxillo (v. inf. ad h. v.) tumque 273. ter religant utrinque (funes) circa prominentem umbilicum in medio jugo; postea vero 274. deinceps colligant, (nodo) et oram (oras funium) subdunt (nodo) ne dependeant (oræ). Jam de singulis.—269. τὸ ζυγὸν ὀμφαλόεν, quod umbilicum, h. e. partem in medio eminentiorem habet, cui, ut paxillo et clavo, circumligantur lora. εὖ ἀρηρὸς, aptatum, instructum οἰήκεσσιν, jugum, habens aptatos ei annulos, οἴακας, quibus lora implicantur jugalia, ad ipsos mulos illigandos.—270. τὸ ζυγόδεσμον, lorum jugale, quo jugum temoni innectitur; hoc aptant temoni, et quidem—272. πέζῃ ἐν πρώτῃ, in extima temonis parte, qua cum jugo temo committitur. (πέζαν, τὸ τὸ ἄκρον, ut ποῦς) ἐπέβαλον δὲ κρίκον ἕστορι. (ab ἕω, ἵημι, ἕσις, ἕστωρ, πάσσαλος ἐνιέμενος, ἐμβαλλόμενος τῷ ῥυμῷ.) clavo, ut judico, qui in temonis anteriore ora est, immittunt annulum, cui lora jugalia altera ora illigata sunt; quæ eadem nunc vs. 273. altera sui parte ter religata erant circa umbilicum jugi, in vs. 269. memoratum, ἑκάτερθεν, in utroque mulo jugali; nisi præstat, *utrinque*, ab utraque parte, dextra et sinistra.—273, 4. αὐτὰρ ἔπειτα ἑξείης κατέδησαν. quidnam? censeo omnia ad τὸ ζυγόδεσμον esse referenda; ἑξείης κατέδησαν ordine, ceteris diversis locis ac partibus, καὶ γλωχῖνα ὑπέκαμψαν, oram lori jugalis, γωνίαν. τὸ τέλος τοῦ ἱμάντος. subtus inflexam implicuerunt. Nunc vs. 227. sqq. jungunt curribus jumenta: primo 277. mulos ἐντεσιεργοὺς, τοὺς ἐν ἔντεσι τοῦ ἅρματος, h. e. ἐν ἅρματι ἐργαζομένους, in plaustro trahendo laborantes.—279. ἵππους ὕπαγον ζυγὸν, ἦγον ὑπὸ ζυγὸν, sistendo eos loco suo, ut jungi jugo possent, mox 281. Priamus et præco eos jungunt loris jugalibus religando. ἐν δώμασιν, inf. 323. πρόθυρον et αἴθουσα. Potest tamen latius quoque dictum accipi de ipsa aula, quam circumdabat ἕρκος et αἴθουσα. v. ad vs. 323.

γυῖαν. ὅ ἐστι καινήν. ἔστι γὰρ τὸ μὲν τάξεως, τὸ δὲ ποιότητος. 269. Ὀμφαλόεντα.] Νῦν, κεκοσμημένον. 272. Ἕστορι.] Τῷ ἀνιεμένῳ πασσάλῳ κατὰ τοῦ ῥυμοῦ τοῦ ζυγοῦ. τινὲς δὲ γράφουσιν ἕκτορι, οἷον ἐχέτορι. Ἐπὶ δὲ κρίκον ἕστορι βάλλον.] Ἀντὶ τοῦ, τῷ δὲ ὀκκάβῳ τὸν ἕστορα ἔβαλον. 273. Ἐπ' ὀμφαλόν.] Ἐπὶ τὸ μέσον τοῦ ζυγοῦ. 274. Γλωχῖνα.] Τὴν γωνίαν. λέγει δὲ τὸ τέλος τοῦ ἱμάντος. Ἔγναμψαν.] Ἔδησαν. καθῆψαν. 275. Ἐπ' ἀπήνης.] Ἐπὶ τῆς ἁμάξης. 277. Ἐντεσιουργούς.] Τοὺς ὑποζυγίους, μὴ ψιλῶς νωτοφόρους, ἀλλὰ τήν τε ἅμαξαν, καὶ τὴν πείρινθον ἕλκοντας. ἅπερ καὶ ἔντεα φησί. 278. Μυσοί.] Ἔθνος βάρβαρον. 279. Ὕπαγον ζυγόν.] Ὑπὸ τὸν ζυγὸν ἦγον.

τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες.
ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ,
οἶνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,
χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
στῆ δ' ἵππων προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
  Τῆ, σπεῖσον Διῒ πατρὶ, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι
ἂψ ἐκ δυσμενέων ἀνδρῶν· ἐπεὶ ἄρ σέ γε θυμὸς
ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
ἀλλ' εὔχευ σύγ' ἔπειτα κελαινεφεῖ Κρονίωνι
Ἰδαίῳ, ὅστε Τροίην κατὰ πᾶσαν ὁρᾶται·
αἴτει δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅστε οἱ αὐτῷ
φίλτατος οἰωνῶν, καὶ εὗ κράτος ἐστὶ μέγιστον,
δεξιόν· ὄφρα μιν αὐτὸς, ἐν ὀφθαλμοῖσι νοήσας,
τῷ πίσυνος ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων.
εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρυόπα Ζεὺς,
οὐκ ἂν ἔγωγέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην
νῆας ἐπ' Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα.
  Τὴν δ' ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής·
ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήσω·
ἐσθλὸν γὰρ, Διῒ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσῃ.
  Ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸς
χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον. ἡ δὲ παρέστη,

284. Ϝοῖνον. 286. προπάροιθε, Ϝέπος. 287. εὔχεο Ϝοίκαδ'.
292. ὅστε Ϝοι. 293. καὶ Ϝεῦ. 296. Ϝεόν. 299. θεοϜειδής.

283—321. Religiosa mulier, Hecuba, apportat vinum ad libandum et preces faciendas—316. quibus exauditis, augurium mittitur—231.

283. *τετιηότι θυμῷ* vexato animo curis. v. Α. 555.—291. Jovi, qui ex Ida omnem Troadem prospicit, *καθορᾶται*.—292. *αἴτει δ' οἰωνόν.* vides veterem superstitionem, cum signum, omen, prodigium, a numine expeterent precantes; ad eam devenire homines proclive erat, ex quo ii omina rerum futurarum edi sibi persuaserant; optare enim necesse erat, ut non modo bonum eventum cœpta haberent, verum ut quoque læti eventus maturius pignus aliquod daretur.—293. *καὶ εὗ* (pro *αὐτοῦ*) *κράτος ἐστὶ μέγιστον*, et est *ejus* alitis robur maximum; antiqua phrasi, pro, et *cujus:* gratissimi Jovi alitis et alitum omnium validissimi. *οἰωνὸν δεξιὸν* junge.—296. sin augurium nullum obtigerit. *ἑὸν ἄγγελον* suum nuntium: vel, si omnino non miserit; ut aquila omnino non visa fuerit; sive, quod tamen vix Homericum est, ut *sua* sit h. l. propitia; ut latine, *deus non suus*, in Tibullo *deus non meus*, aversus.—300. *σοὶ*

283. Ἀγχίμολον.] Νῦν, μετ' ὀλίγον. 287. Τῆ.] Δέξαι, λάβε. 292. Οἰωνόν.] Ὄρνιν. 293. Καὶ εὗ κράτος ἐστὶ μέγιστον.] Ὃς ἰσχυρότατός ἐστι τῶν λοιπῶν ὀρνίθων. 296. Ἑὸν ἄγγελον.] Ἀγαθόν. ἴδιον. 300. Ἐφιεμένῃ.] Ἐντελλομένῃ, ἢ ὑποτιθεμένῃ. 302. Ταμίην.] Προστάτιν. 303. Ἀκήρατον.]

χέρνιβον ἀμφίπολος, πρόχοόν θ' ἅμα, χερσὶν ἔχουσα.
νιψάμενος δέ, κύπελλον ἐδέξατο ἧς ἀλόχοιο·
εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον,
οὐρανὸν εἰσανιδών· καὶ φωνήσας ἔπος ηὔδα·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
δός μ' ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν, ἠδ' ἐλεεινόν·
πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅστε σοὶ αὐτῷ
φίλτατος οἰωνῶν, καὶ εὖ κράτος ἐστὶ μέγιστον,
δεξιόν· ὄφρα, μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας,
τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
μόρφνον, θηρητῆρ', ὃν καὶ περκνὸν καλέουσιν.
ὅσση δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
ἀνέρος ἀφνειοῖο εὐκλήϊς ἀραρυῖα·
τόσσ' ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφι
δεξιὸς ἀΐξας διὰ ἄστεος· οἱ δὲ ἰδόντες
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
Σπερχόμενος δ' ὁ γέρων ξεστοῦ ἐπεβήσετο δίφρου·
ἐκ δ' ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.

305. ἐδέξατο Ϝῆς. 306. δὲ Ϝοῖνον. 307. Ϝέπος. 311. καὶ Ϝεῦ. 319. Ϝεκάτερθεν ἔσαν πτερά· Ϝείσατο. 320. διὰ Ϝάστεος. vulg. ὑπὲρ ἄστεος. οἱ δὲ Ϝιδόντες.

ἐφιεῖσα. monenti. suadenti.—304. χέρνιβον. de vase latiore ore accipitur, in quod ex προχόου aqua, ἐκ προχοῆς, defunditur.—308. Ἴδηθεν μεδέων. pro explicatione sunt versus 290, 291. Vidimus jam Γ. 276.—309. δός με ἐλθεῖν φίλον scil. αὐτῷ, non invisum ipsi, sed gratum, quem benevolo animo adspiciat, et miseretur, ἠδ' ἐλεεινόν.—315. τελειότατον πετεηνῶν, cujus augurium est inter omnium alitum auguria lætissimum et certissimum. Versus jam lectus Θ. 287.—316. Quale hoc aquilarum genus sit, ex his quidem notis et characteribus parum dijudicari potest; Locus classicus est Aristot. H. A. IX. 32. μόρφνος, niger, idem περκνός. μέλας θηρητὴρ erat Φ. 252.

322—338. Ingreditur iter Priamus cum Idæo præcone, mittit Jupiter Mercurium ad eum ducendum.—323. αἴθουσα, porticus, ambit partem domus anteriorem; qua

Ἀδιάφθορον. 304. Χέρνιβον.] Νῦν τὸ ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ ταῖς χερσὶν ἐπιβαλλόμενον ὕδωρ, ὃ καὶ λέβητά φησι. Πρόχοον.] Τὸν παρ' ἡμῖν καλούμενον ξέστην. 306. Ἕρκεϊ.] Νῦν, περιβολαίῳ. περιφράγματι. 309. Ἐλεεινόν.] Ἐλέου ἄξιον. 315. Τελειότατον.] Νῦν, ἐπιτελεστικώτατον. 316. Μόρφνον.] Ἤτοι περὶ φόνους μεμορηκότα, τὸν φόνιον. ἢ μέλανα· ἢ ἅρπαγα. οἱ δὲ ἀετοῦ εἶδος. Περκνόν.] Τὸν αὐτὸν τῷ προειρημένῳ. μέλανα, ἀφ' οὗ καὶ τὸν μελαινόμενον καρπὸν περκάζειν λέγομεν. 317. Ὑψορόφοιο.] Ὑψηλοστέγου. ὑψηλοῦ. 318. Εὐκλήϊς ἀραρυῖα.] Εὖ ταῖς κλεισὶν ἡρμοσμένη. ἀσφαλής. δύναται καὶ ἐφ' ἕν, ἵν' ᾖ εὔκλειστος. 319. Εἴσατο.] Ἐφάνη. ὥρμησε. 322. Σπερχόμενος.] Σπεύδων. 323. Ἐριδούπου.] Μεγαλοήχου.

3 N 2

πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευε
καρπαλίμως κατὰ ἄστυ· φίλοι δ' ἅμα πάντες ἕποντο,
πόλλ' ὀλοφυρόμενοι, ὡσεὶ θάνατόνδε κιόντα.
οἱ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
οἱ μὲν ἄρ' ἄψοῤῥοι προτὶ Ἴλιον ἀπονέοντο,
παῖδες καὶ γαμβροί. τὼ δ' οὐ λάθον εὐρυόπα Ζῆν',
ἐς πεδίον προφανέντε· ἰδὼν δ' ἐλέησε γέροντα,
αἶψα δ' ἄρ' Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες, ᾧ κ' ἐθέλησθα,
βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ, μήτ' ἄρ τε νοήσῃ
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλείωνάδ' ἱκέσθαι.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργειφόντης.
αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
ἀμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο.

327. κατὰ Ϝάστυ. 330. προτὶ Ϝίλιον. 332. προφανέντε· Ϝιδών. 337. τις Ϝίδῃ. v. Obss.

ejus parte porta domus est, fit πρόθυρον; ergo junguntur h. l. Hoc erat, quod vs. 281. equi currui juncti erant ἐν δώμασιν ὑψηλοῖσι. Nec tamen repugno, si latius de aula dictum acceperis.—329. οἱ δ' ἐπεὶ οὖν sunt Priamus et Idæus, at 330. οἱ μὲν turba Trojanorum.—335. ἀνδρὶ ἑταιρίσσαι. ἑταῖρος γίγνεσθαι, sodalem se adjungere, pro amico ac comite se gerere; ut habent verba in ιζω similem vim: sic βαρβαρίζειν. ἑλληνίζειν. Sup. N. 456. erat ἑταρίζεσθαι. ἤ τινά που Τρώων ἑταρίσσαιτο. καί τ' ἔκλυες pro κλύεις, audis, ἐκείνῳ ᾧ ἐθέλῃς κε κλύειν, *in cujus gratiam* vis audire. h. e. quem exaudire libet, in quem sis prona et benevola voluntate, ita ut ei accedas et *subvenias*.

339—468. Paret Mercurius Jovis jussis et, assumta adolescentis ingenui persona, Priamo occurrit, terrefactum eum confirmat, sese ducem in castra præbet, tandemque se prodit Mercurium esse.

341. τὰ μὲν φέρον quibus, ut viator, indutus, ille incedit, iter facere solet mari terraque, summa celeritate. φέρεσθαι, omnino de motu, ergo et de incessu, de volatu; additur interdum ποσὶ, πτεροῖς, ἅμα πνοιῇς et sic porro. Ergo et πόδες φέρουσί τινα, si ille *incedit*. Nec aliter de diis: sic de Thetide Σ. 148. sq. τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον. Si tamen iter longinquum faciunt, habent dii, *viatorum more*, calceamenta, ὑποδήματα, soleas, πέδιλα, quibus incedunt, iter faciunt: ut Juno Ξ. 186. Minerva Od. A. 96. ergo et nuntius deorum Mercurius, ut petaso et virga instructus, ita soleis, quoties ab Olympo missus iter facit, h. l. et Od. E. 44. Alias de modo motus vel incessus Mercurii aliorumque deorum nihil additur, ut modo de Iride 77. 95. Alibi memorantur nubes, venti, alæ, equi, currus. Cf. dicta ad Apollod. II. 4, 2. p. 119.—342. ἅμα πνοιῇς v. ad M. 207.—343. ὄμματα θέλγει debilitat, (ut ad M. 255.)

324. Τετράκυκλον.] Τετράτροχον. Ἀπήνην.] Ἅμαξαν. 326. Ἐφέπων.] Ἐπακολουθῶν, ἐπιδιώκων. 335. Ἑταιρίσσαι.] Ἑταίρῳ βοηθῆσαι. 342. Ἀπείρονα.] Μεγάλην, ἢ κυκλοτερῆ.

εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
ὧν ἐθέλῃ, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης.
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανε·
βῆ δ' ἰέναι, κούρῳ αἰσυμνητῆρι ἐοικὼς,
πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη.
οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
στῆσαν ἄρ' ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν,
ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν·
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
Ἑρμείαν, προτὶ δὲ Πρίαμον φάτο, φώνησέν τε·
Φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται·

344. vulg. ἐθέλει. 347. vulg. αἰσυητῆρι. ϜεϜοικώς. 349. πάρεκ Ϝίλοιο ἔλασσαν. de hiatu v. Obss. 352. ἀγχιμόλοιο Ϝιδών. 354. νόου Ϝέργα. v. Obss.

somno opprimit. Versus repetiti Od. E. 47, 48. et Od. Ω. 2, 3, 4. Notus locus Æn. IV. 242. sq. hinc expressus.—347. *κούρῳ αἰσυμνητῆρι.* adolescenti nobili genere nato. ut *αἰσυμνῆται* viri principes Od. Θ. 258. repetiti versus Od. K. 278, 279.—349. *οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν.* Via ab Ilio ad castra ducere potuit aut per campum medium inter duo amnes, aut dextra ad Simoentem incedendo, aut læva secundum Scamandrum; Potuit quoque iter fieri inde ab urbe versus castra ab altera Scamandri ripa, australi, ita ut in inferiore aliquo loco amne trajecto ad castra perveniretur. Postremum hunc profectionis modum vulgo animo circumferebamus propter versum, quo Scamander dictus est cum Simoente *συμβάλλειν ῥοὰς* E. 774. *ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος.* Neque, si morose agas, verba aliter videntur intelligi posse, quam amnes duo in unum alveum confluxisse; sic quoque Δ. 452, 3. *ὡς δ' ὅτε χείμαρροι ποταμοὶ, κατ' ὄρεσφι ῥέοντες, ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ.* Itaque, etiam h. l. Priamum putabamus ab australi parte profectum, trajecisse Scamandrum, quia et infra in reditu v. 692. *πόρος Ξάνθου* memoratur: quod tamen necesse non est statuere. Intra campum, secundum Scamandrum, et ad ejus ripam, incedere potuit Priamus, quia ad Achillem tendebat, castra tenentem ad Sigeum; qua parte etiam minus periculum erat, ne incideret in hostem palantem. Jam tumulus Ili in planitie situs, Λ. 166. ipsi erat in prospectu. Subsistunt equi ad amnem et aquam hauriunt v. 350, 1. potuit eo loco vadum Scamandri esse, quod inf. 692. diserte memoratur *πόρος Ξάνθου*, nec tamen necesse est, ut Priamus illud trajecerit; ita nec, ut jam tum alveus Scamandri præter castra ductus fuerit et immissus in Simoentem. Tam difficile est ex consutis pluribus Homericis locis aliquid conficere, quod liquido constet. Conf. ea quæ de chorographia Troadis sunt disputata. Porro 351. *δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν. jam advesperascebat:* nam die jam vertente urbe exierant, haud dubie consulto, ne obvii fierent Achivi.

352—378. Mercurii conspectu exhorrescunt præco et Priamus, incidisse se rati in Achivum aliquem palantem et prædantem. At Mercurius propius accedens et senem comiter appellans metu eos liberat.—354. *Φραδέος νόου ἔργα τέτυκται, res est*

343. Θέλγει.] Πρὸς ὃ θέλει ἀμαυροῖ. 347. Αἰσυητῆρι.] Βασιλικῷ νέῳ. οἱ δὲ ἀντί τοῦ ἐντίμῳ τηροῦντι τὰ αἴσια, ὅ ἐστι τὰ δίκαια. 348. Πρῶτον ὑπηνήτῃ.] Ἀρχομένῳ γενειάζειν· ὑπῆναι δὲ καλοῦνται αἱ τρίχες, αἱ περὶ τὰ χείλη, ὁ μύσταξ ἄρτι φυόμενος. οἱ δὲ κοινῶς εἶπον τὸ γένειον. Χαριεστάτη ἥβη.] Ὡραία ἀκμή. 349. Μέγα σῆμα πάρεξ Ἴλοιο ἔλασσαν.] Παρήλασαν τὸν Ἴλου τόπον, ἢ τάφον. 352. Ἐξ ἀγχιμόλοιο.] Ἐκ τοῦ σύνεγγυς. 354. Φραδέος νόου ἔργα τέτυκται.] Συνετοῦ νοῦ καὶ ἄριστα βουλεύεσθαι δυναμένου ὁ παρὼν καιρὸς δεῖται.

ἄνδρ᾽ ὁρόω, τάχα δ᾽ ἄμμε διαῤῥαίσεσθαι οἴω·
ἀλλ᾽ ἄγε δὴ φεύγωμεν ἐφ᾽ ἵππων· ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ᾽ ἐλεήσῃ.
Ὣς φάτο· σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ᾽ αἰνῶς·
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι·
στῆ δὲ ταφών. αὐτὸς δ᾽ Ἐριούνιος ἐγγύθεν ἐλθὼν,
χεῖρα γέροντος ἑλὼν, ἐξείρετο καὶ προσέειπε·
Πῆ, πάτερ, ὧδ᾽ ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
νύκτα δι᾽ ἀμβροσίην, ὅτε θ᾽ εὕδουσι βροτοὶ ἄλλοι;
οὐδὲ σύ γ᾽ ἔδδεισας μένεα πνείοντας Ἀχαιοὺς,
οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
τῶν εἴτις σε ἴδοιτο, θοὴν διὰ νύκτα μέλαιναν,
τοσσάδ᾽ ὀνείατ᾽ ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
οὔτ᾽ αὐτὸς νέος ἐσσὶ, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
ἄνδρ᾽ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
ἀλλ᾽ ἐγὼ οὐδέν σε ῥέξω κακὸν, ἠδέ κεν ἄλλον
σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐΐσκω.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·
οὕτω πη τάδε γ᾽ ἐστὶ, φίλον τέκος, ὡς ἀγορεύεις.
ἀλλ᾽ ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
ὅς μοι τοιόνδ᾽ ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι,
αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητὸς,
πέπνυσαί τε νόῳ, μακάρων δ᾽ ἔξ ἐσσὶ τοκήων.

361. προσέϜειπε. 366. σε Ϝίδοιτο. 370. vulg. ἀλλά κεν.
371. πατρὶ ϜεϜίσκω. 372. θεοϜειδής. 376. Ϝεῖδος. 377. vulg. νόον.

mentis prudentis: prudenti consilio nunc opus est.—356. ἐφ᾽ ἵππων, curru equis juncto; plaustro, mulabus juncto, relicto; aut subsistamus et supplices fiamus, ut vitæ parcat.—358. συνεκέχυτο θυμὸς, perturbatus est; ut sæpe; nil amplius.—365. ἀνάρσιοι, infesti ut hostes.—367. quid tibi tunc animi foret! ὀνείατα, nunc χρήματα. Supra erant βρώματα, I. 91.—368, 9. οὔτ᾽ αὐτὸς νέος ἐσσὶ, (ὡς) ἄνδρ᾽ ἀπαμύνασθαι, si quis aggrediatur te: χαλεπήνῃ injuria affecerit, πρότερος, etsi non lacessitus a te. Versus iterum obvius Od. Π. 72. Φ. 133.—371. φίλῳ δέ σε πατρὶ ἐΐσκω. meo patri te similem esse video. hoc suavi cum affectu est adjectum.

355. Διαῤῥαίσεσθαι.] Διαφθαρήσεσθαι. 358. Σὺν δὲ γέροντι νόος χύτο.] Τὸ ἑξῆς, συνεχύθη αὐτοῦ ὁ νοῦς. 359. Ὀρθαὶ δὲ τρίχες ἔσταν.] Ἀντὶ τοῦ ἔφριξαν. 360. Ταφών.] Ἐκπλαγείς. Ἐριούνιος.] Μεγαλωφελής. 362. Ἰθύνεις.] Ἐπ᾽ εὐθείας ἐλαύνεις. 365. Ἀνάρσιοι.] Ἄδικοι. ἐχθροί. 369. Ἀπαμύνασθαι.] Ἀποκωλῦσαι. ἀποδιῶξαι. Χαλεπήνῃ.] Κακώσει. ἢ ἀδικήσει. 370. Οὐδέν.] Νῦν, οὐδαμῶς. 371. Ἀπαλεξήσαιμι.] Ἀποστρέψαιμι. βοηθήσαιμι. 375. Ὁδοιπόρον.] Συνοδόν. 376. Αἴσιον.] Δεξιόν. δίκαιον. Ἀγητός.] Θαυμαστός. 377. Πέπνυσαι.] Συνετὸς εἶ. πεπαίδευσαι.

Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
καὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπας·
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον·
ἠέ πη ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
ἄνδρας ἐς ἀλλοδαποὺς, ἵνα περ τάδε τοι σόα μίμνῃ;
ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
δειδιότες; τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλε
σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπιδεύετ' Ἀχαιῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
τίς δὲ σὺ ἐσσὶ, φέριστε, τέων δ' ἐξ ἐσσὶ τοκήων,
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες;
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
πειρᾷ ἐμεῖο, γεραιὲ, καὶ εἴρεαι Ἕκτορα δῖον·
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέϊ χαλκῷ.
ἡμεῖς δ' ἑσταότες θαυμάζομεν. οὐ γὰρ Ἀχιλλεὺς
εἴα μάρνασθαι, κεχολωμένος Ἀτρείωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ' ἐξ εἰμι· πατὴρ δέ μοι ἐστὶ Πολύκτωρ·
ἀφνειὸς μὲν ὅδ' ἐστὶ, γέρων δὲ δὴ, ὡς σύ περ ὧδε·
ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·

378. προσέϝειπε. 379. ἔϝειπας. 380. τόδε ϝειπέ.
383. καταλείπετε ϝίλιον. 385. vulg. παῖς et ἐπεδεύετ'. 386. θεοϝειδής.
388. vulg. ὅς μοι. 389. προσέϝειπε. 396. εὔϝεργής. 399. δέ ϝοι.

380—439. Mercurius dissimulanter Priamum caussam profectionis rogat, de corpore Hectoris integro servato eum edocet, tandemque se viæ comitem ac ducem per castra offert, se unum e Myrmidonibus esse professus.

385. *οὐ μὲν γὰρ (κατά) τι ἐπιδεύετο Ἀχαιῶν (κατὰ τῆς) μάχης. nihil inferior erat Achivis virtute.* Sic E. 636. ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν. conf. ad P. 142. Non jungam μάχης Ἀχαιῶν.—388. ὡς καλὰ, καλῶς, ἔνισπές μοι τὸν οἶτον παιδός. quam præclare, honorifice mentionem fecisti de filio meo!—390. πειρᾷ ἐμεῖο. aliter quam inf. 433. et nunc simpliciter, rogas de filio; junctum cum εἴρεο Ἕκτορα, περὶ Ἕκτορος. Nec est locus tentandi vel explorandi; tanquam suspecta fide. Od. Ω. 237. Ulysses dubitat, ἢ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε πειρήσαιτο, et Δ. 119. μερμήριξε, ἢ—ἢ πρῶτ' ἐξερέοιτο ἕκαστά τε πειρήσαιτο, ubi vulg. μυθήσαιτο legitur.—399. Sunt patri meo septem

387. Τέων.] Τίνων. 388. Οἶτον.] Μόρον. Ἀπότμου παιδός.] Πολυπότμου. Διστιχοῦς. 390. Πειρᾷ ἐμεῖο γεραιέ.] Πειράζεις με, ὦ γέρον. 391. Κυδιανείρῃ.] Ἐν ᾗ δοξάζονται οἱ ἄνδρες.

396. Μία δ' ἤγαγε νηῦς εὐεργής.] Ἑταῖρον καὶ φίλον ἑαυτὸν βούλεται συστῆσαι Ἀχιλλεῖ ὁ Ἑρμῆς πρὸς πλείονα πίστιν. οἱ γὰρ τοιοῦτοι μιᾶς νεὼς ἐπιβαίνουσιν.

τῶν μέτα παλλόμενος, κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι.
νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.
ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος
εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεσσιν ἐμὸς πάϊς, ἦέ μιν ἤδη
ᾗσι κυσὶ μελεϊστὶ ταμὼν προὔθηκεν Ἀχιλλεύς;
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
ὦ γέρον, οὔπω τόνγε κύνες φάγον, οὐδ' οἰωνοί·
ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηὶ
αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠώς
κειμένῳ, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
ἔσθουσ', αἵ ῥά τε φῶτας Ἀρηϊφάτους κατέδουσιν.
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήῃ·
οὐ δέ μιν αἰσχύνει. θηοῖό κεν αὐτὸς ἐπελθὼν,

400. vulg. μεταπαλλόμενος. 402. περὶ Fάστυ—Fελίκωπες.
403. vulg. οἵ γε. 405. θεοFειδής. 409. Fῇσι. 410. προσέFειπε.
411. vulg. τόνδε. 413. δέ Fοι. 414. τί Fοι. 416. σῆμα FεFοῦ.
417. vulg. φανείη. 418. vulg. θειοῖο.

filii, ex his ego unus sum.—400. μετὰ τούτων παλλόμενος, sortitus, sortem expertus, quis ex septenis fratribus profectioni interesset. Videtur secundum hæc regibus jam tum jus fuisse cogendi ad militiam, atque, si plures essent filii, ut unus saltem arma sumeret et in numeros abscriberetur. Convenit, quod Ψ. 296. sq. narratur aliquis equo pro munere dato se a militia liberasse.—401. νῦν δ' ἦλθον πεδίονδ', an tanquam speculandi caussa? crastino enim die pugnam facient. τιθέναι μάχην, μάχεσθαι, περὶ ἄστυ, urbem oppugnare.—403. ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, ἑαυτοὺς καθῆσθαι. indignantur se otiose sedere; ut jam B. 297. οὐ νεμεσίζομ' Ἀχαιοὺς ἀσχαλάαν παρὰ νηυσὶ κορωνίσι. et paullo ante 292. καὶ γάρ τίς θ' ἕνα μῆνα μένων σὺν νηυσὶ, ἀπὸ ἧς ἀλόχοιο, ἀσχαλάα.—404. οὐδὲ βασιλῆες Ἀχαιῶν δύνανται ἴσχειν, ἐπίσχειν, αὐτοὺς πολέμου, ἐσσυμένους. eos retinere a pugnando, ardentes studio pugnandi. Potest tamen et ἐσσυμένους πολέμου ferri, ut N. 315.—409. προὔθηκεν. loco gravioris verbi παραβάλλειν, ut ἵπποις ἐδωδὴν Θ. 504. at παρατιθέναι. προτιθέναι τράπεζαν.—413. αὔτως, ut fuit, integer. δυωδεκάτη δέ οἱ ἠώς. sup. vs. 31.—417. ἕλκει ἀκηδέστως, ita Hector ἀκήδεστος, insepultus manet, τῆς κηδείας, justorum, expers. Ita sane accipi potest ὑβριστικῶς. Sic et X. 465.—418. οὐδέ μιν αἰσχύνει. nec tamen corpus fœdat

400. Μεταπαλλόμενος.] Μετ' αὐτῶν κληρούμενος. πάλοι γὰρ, οἱ κλῆροι. 403. Ἀσχαλόωσι.] Δισανασχετοῖσι, λυποῦνται. 404. Ἴσχειν.] Ἐπίσχειν. κωλῦσαι. 409. Μελεϊστί.] Κατὰ μέλος. 413. Αὔτως ἐν κλισίῃσι.] Ματαίως, ἀνεπιμελήτως ἐν τῇ σκηνῇ. 414. Εὐλαί.] Σκώληκες. 415. Ἀρηϊφάτους.] Τοὺς ἐν πολέμῳ ἀνῃρημένους, ἢ ὑπὸ ξίφους. Ἄρης γὰρ ὁ σίδηρος. 417. Ἀκηδέστως.] Ἀφροντίστως. οὐ κηδεμονικῶς, ἀλλ' ὑβριστικῶς. 418. Αἰσχύνει.] Αἰκίζει. Θειοῖό κεν.] Θαυμάσειας ἄν.

οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν,
ὅσσ' ἐτύπη· πολέες γὰρ ἐπ' αὐτῷ χαλκὸν ἔλασσαν·
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἐῆος,
καὶ νέκυός περ ἐόντος· ἐπεί σφι φίλος περὶ κῆρι.
Ὣς φάτο· γήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθῳ·
ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
ἀθανάτοις· ἐπεὶ οὔποτ' ἐμὸς πάϊς, εἴποτ' ἔην γε,
λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι.
τῶν οἱ ἐπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον·
αὐτόν τε ῥῦσαι· πέμψον δέ με, σύν γε θεοῖσιν,
ὄφρα κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι.
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
πειρᾷ ἐμεῖο, γεραιὲ, νεωτέρου· οὐδέ με πείσεις·
ὅς με κέλῃ σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.
τὸν μὲν ἐγὼ δείδοικα, καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην
ἐνδυκέως, ἐν νηὶ θοῇ, ἢ πεζὸς ὁμαρτέων·
οὐκ ἄν τίς τοι, πομπὸν ὀνοσσάμενος, μαχέσαιτο.

428. Fοι. vulg. τῷ οἱ ἀπεμνήσαντο. 432. προσέFειπε.

Achilles (h. οὐκ αἰσχυνεῖται τὸ σῶμα) hac raptatione. θηοῖό κεν αὐτὸς, si accesseris, videris ipse cum miratione, quam roscidus, recens, sit.—420. οὐδέ ποθι μιαρὸς, fœdatus cruore, ut aversandus sit adspectu. σὺν δ' ἕλκεα πάντα μέμυκε, vulnera coierunt, oris seu labiis clausis, nec hiant, ut naturali modo fieri necesse esset; quod ipsum prodigii speciem habet.—421. πολλοὶ γὰρ ἔγχεα ἐπέλασσαν αὐτῷ. sup. X. 371. οὐ τις ἀνουτητί γε παρέστη.—425. Ergo bona res est, bene agimus, munera justa, debita, h. e. sacra, diis reddere.—426. εἴποτ' ἔην γε, ὁπότε ἦν. ἕως γε ἦν. v. Γ. 180.—428. eorum sacrorum recordantur dii et gratiam referunt, h. e. remunerantur pietatem, cum mortem avertere non potuerint, saltem post mortem, corpus illæsum servando, ut sepulturæ honorem adhuc consequi possit.—430. αὐτόν τε ῥῦσαι, fac ut corpus mihi reddatur, nam ῥύεσθαι idem, quod λυτρώσασθαι et τὰ ῥύτρα sunt, λυτήρια, λύτρα. πέμψον δέ με, deduc me, σὺν θεοῖς, faventibus, propitiis diis.—434. παρὲξ Ἀχιλῆα, inscio Achille, nisi h. l. proprie dictum: præter Achillem, qui unus habet jus munera pro corpore redimendo accipiendi.—436. μή μοι. φυλασσόμενος, μή μοι.—439. Non aggres-

419. Ἐερσήεις.] Κάθυγρος. νεαρός. 420. Μιαρός.] Μεμιασμένος. Μέμυκε.] Συμμέμυκεν. 421. Ἐτύπη.] Ἐκ χειρὸς ἐτρώθη. 425. Ἐναίσιμα.] Καθήκοντα. Διδοῦναι.] Δοῦναι. 426. Εἴ ποτ' ἔην γε.] Ἕως περ ἦν. 428. Ἐπεμνήσαντο.] Ἐπεμνημόνευσαν. Αἴσῃ.] Εἱμαρμένῃ. 429. Ἄλεισσον.] Ποτήριον. κυρίως δὲ τὸ τετορνευμένον. 430. Σύν γε θεοῖσιν.] Εἰ οἱ θεοὶ μὴ ἀντιπράττοιεν, ἀλλὰ βοηθοῖεν. 433. Πειρᾷ.] Πειράζεις. 434. Κέλῃ.] Κελεύεις. 436. Συλεύειν.] Συλᾶν, γυμνοῦν. 438. Ὁμαρτέων.] Συντυχὼν. ἀκολουθῶν. 439. Οὐκ ἄν τις

Ἦ, καὶ ἀναΐξας Ἐριούνιος ἅρμα καὶ ἵππους,
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ.
Ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο,
τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης
πᾶσιν. ἄφαρ δ' ὤϊξε πύλας, καὶ ἀπῶσεν ὀχῆας,
ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.
ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδεω ἀφίκοντο
ὑψηλὴν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι
δοῦρ' ἐλάτης κέρσαντες, ἀτὰρ καθύπερθεν ἔρεψαν,
λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες·
ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
σταυροῖσι πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιῤῥήσσεσκον Ἀχαιοὶ,
τρεῖς δ' ἀναοίγεσκον μεγάλην κληῗδα θυράων,
τῶν ἄλλων· Ἀχιλεὺς δ' ἄρ' ἐπιῤῥήσσεσκε καὶ οἶος·
δή ῥα τόθ' Ἑρμείας ἐριούνιος ὦξε γέροντι,
ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλείωνι,
ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθονὶ, φώνησέν τε·

440. vulg. ἐπαΐξας. 449. ποίησαν Ϝάνακτι. v. Obss.
452. δέ Ϝοι—ποίησαν Ϝάνακτι.

surus est te aliquis, me duce contemto; h. e. nemo audebit tibi vim inferre habenti me ducem.

440—468. Mercurius Priamum in castra et ad tentorium Achillis deducit.—441. Adstitit ergo Priamo in bigis Mercurius, sumtisque habenis rexit equos, dum interea Idæus agebat suas mulas.—442. ἔμπνευσε μένος. quod flagris fit et hortatibus, h. l. videtur præsentiæ numinis tribui.—443. Clam nec quoquam animadvertente castra ingressus est, et quidem vesperi, Priamus.—444. οἱ δὲ νέον πονέοντο. sive de cœna paranda dictum est, sive de cibis jam sumtis: si conferas vs. 475. Videtur tamen alterum hoc magis consentaneum, ut somnus oppresserit cibis jam satiatos.—446. sunt hæc de castrorum porta accipienda. πύλας, fores utrasque, repagulis retro actis.—448. ἀλλ' ὅτε δὴ κλισίην ἀφίκοντο. apodosis sequitur versu 457. δή ῥα τόθ' Ἑρμείας. Ceterum habemus hic designationem accuratam tentorii Achillis, eoque omnino discimus, qualis adspectus castrorum ea ætate fuerit. Erat casa cum corte, seu aula; Intra aulam, seu septum hoc, palis adactis condensatum, fores ingenti vecte obductæ ducebant ad domum, casam seu tugurium, stipitibus abiegnis in solum depactis exstructum, densa serie inter se junctis et coarctatis; quales esse narrantur casæ septentrionalium populorum. De transversis stipitibus vel asseribus nihil memoratur. Tectum et ipsum e trabibus nexum, planum, viminibus et juncis constipatum. Erat tamen ædes, in fronte porticu, αἰθούσῃ, instructa, puta, trabibus ultra parietes prominentibus et pilis seu columnis innixis. In hac porticu inf. 644. paratur lectus Priamo; eadem appellatur πρόδομος vs. 673. et ante portam πρόθυρον Τ. 212. Intrantes

τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο.] Οὐκ ἂν μαχεσθῇ καταφρονήσας ἐμοῦ τοῦ παραπέμποντος. Ὀνοσσάμενος.] Καταφρονήσας. 444. Δόρπα.] Δεῖπνα. 446. Ἀπῶσεν.] Ἀπώσατο. Ὀχῆας.] Μοχλούς. 450. Δοῦρα.] Νῦν ξύλα.

Ὦ γερον, ἤτοι ἐγὼ θεος ἄμβροτος εἰληλουθα
Ἑρμειας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὀπασσεν·
ἀλλ᾽ ἤτοι μεν ἐγὼ παλιν εἰσομαι, οὐδ᾽ Ἀχιλῆος
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δε κεν εἰη,
ἀθανατον θεὸν ὧδε βροτοὺς ἀγαπαζεμεν ἀντην.
τύνη δ᾽ εἰσελθὼν λάβε γούνατα Πηλειωνος,
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
λίσσεο, καὶ τέκεος· ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.
Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμειας· Πριαμος δ᾽ ἐξ ἵππων ἆλτο χαμᾶζε,
Ἰδαῖον δε κατ᾽ αὖθι λιπεν. ὁ δε μιμνεν ἐρύκων
ἵππους ἡμιόνους τε. γέρων δ᾽ ἰθὺς κίεν οἴκου,
τῇ ῥ᾽ Ἀχιλεὺς ἵζεσκε, Διῒ φίλος. ἐν δέ μιν αὐτὸν
εὗρ᾽· ἕταροι δ᾽ ἀπάνευθε καθειατο. τὼ δὲ δύ᾽ οἰω,
ἥρως Αὐτομεδων τε, καὶ Ἄλκιμος ὄζος Ἄρηος,
ποιπνυον παρεοντε. νεον δ᾽ ἀπεληγεν ἐδωδῆς
ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.

467. ἵνα Fοι. 471. κίε Fοίκου.

domum excipiebat magnus œcus (*Saal*) quem poeta 647. μέγαρον appellat—450. δοῦρ᾽ ἐλάτης, δοῦρα ἐλάτινα, κέρσαντες. vel simpliciter, τέμνοντες, ταμόντες, vel decorticando, aut truncis securi accisis, ut opp. sit ξέειν, poliendo. ἔρεψαν, λαχνήεντ᾽ ὄροφον λειμωνόθεν ἀμήσαντες. demessis ac collectis in pratis juncis palustribus.—453. ἐπιβλής, μοχλὸς, obex, ὀχεὺς, (nunc *unus*, sup. M. 455. δοιοὶ ἔντοσθεν ὀχῆες) vectis transversus de pariete ad parietem, seu de poste ad postem ductus, foribus obductus. Obicem injicere, *obducere*, est ἐπιβάλλειν, h. l. ἐπιῤῥήσσειν, ἐπιῤῥήσσεσκεν, contra *removere*, ad fores aperiendas, ἀνοιγέσκειν τὸν ἐπιβλῆτα. Jam κληῒς in aliis locis est aduncum illud ferrum, quo per foramen forium immisso trabs seu una, seu duæ trabes obversæ, removentur retro, ut, in postes reductis illis, pateant fores: v. sup. ad Ξ. 167, 168. Ita vero haud convenit vox ἀνοιγέσκον. οἴγειν, ἀνοίγειν, et proprie removere, ut sup. 228. ἀνοίγειν τὸ ἐπίθημα et Π. 321. τὸ πῶμα, itaque ἀνοίγειν την κληῖδα esse necesse est removere trabem intus foribus obversam, ut sit adeo h. l. κληῒς idem quod ἐπιβλής.

462. Ex veterum opinione nefas est deum conspici ab aliis, quam ab eo, cujus caussa in medium processit. νεμεσσητὸν, h. l. simpl. non probandum. ἄντην in conspectu et cœtu hominum promiscuo.—467. συνορίνῃς ad miserationem.

468—485. Discesserat Mercurius, et, ex ejus jussu, Priamus relicto curru et præcone, intrat tentorium Achillis et ei fit supplex.

474. Automedon, et Alcimedon memorati jam Τ. 392. ubi v.

Κέρσαντες.] Περικόψαντες. σχίσαντες. Ἔρεψαν.] Ἐστέγασαν. 451. Λαχνήεντ᾽ ὄροφον.] Τὸν δασύν. λέγει δὲ τὴν ἀπὸ τῆς καλάμης ὕλην, καὶ τῆς τούτων κόμης. ὄροφος γὰρ εἶδος καλάμου πρὸς ὀροφὴν ἐπιτηδείου. Λειμωνόθεν ἀμήσαντες.] Ἐκ λειμῶνος θερίσαντες. 453. Σταυροῖσιν.] Ὀξέσι ξύλοις. σκόλοψι. Θύρην.] Αὐτὸ τὸ σῶμα φησὶν, ὃ ἐπεῖχεν ὁ ἐπιβλὴς μοχλός. τὴν δὲ θύραν μονόθυρον χρὴ νοεῖν. Ἐπιβλής.] Ὁ τῇ θύρᾳ ἐπιβαλλόμενος μοχλός. 454. Εἰλάτινος.] Ἐλάτη εἶδος δένδρου. 456. Ἐπιῤῥήσσεσκεν.] Ἐπέβαλλεν. ἐπέκρουεν, ἢ μετετίθετο. 460. Ἄμβροτος.] Ὁ μὴ βροτὸς, οἷον θεῖος. ἄφθαρτος. 463. Ὀφθαλμοὺς γὰρ εἴσειμι.] Εἰς τοὺς ὀφθαλμοὺς εἰσέρχομαι. 464. Ἀγαπαζέμεν.] Ἀγαπᾷν. 475. Ἐδωδῆς.] Τροφῆς. 476. Ἔτι καὶ παρέκειτο τρά-

τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ' ἄρα στὰς
χερσὶν Ἀχιλλῆος λάβε γούνατα, καὶ κύσε χεῖρας
δεινὰς, ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
ὡς δ' ὅταν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅστ' ἐνὶ πάτρῃ
φῶτα κατακτείνας, ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας·
ὣς Ἀχιλεὺς θάμβησεν, ἰδὼν Πρίαμον θεοειδέα·
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπε·
 Μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τηλίκου, ὥσπερ ἐγὼν, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
τείρουσ', οὐδέ τις ἐστὶν, ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
ἀλλ' ἤτοι κεῖνός γε, σέθεν ζώοντος ἀκούων,
χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
ὄψεσθαι φίλον υἱὸν, ἀπὸ Τροίηθε μολόντα.
αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶνδ' οὔτινα φημὶ λελεῖφθαι.
πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν.

479. Ϝοι. 483. θάμβησε, Ϝιδὼν—θεοϜειδέα. 484. δὲ Ϝίδοντο. 485. ἔϜειπε. 486. ἐπιϜείκελ'. 487. ὀλοϜῷ. 491. ἐπί τ' Ϝέλπεται. v. Obss. 492. vulg. ἀπὸ Τροίηθεν ἰόντα.

480. *ὡς δ' ὅταν ἄνδρ' ἄτη πυκινὴ λάβῃ.* Comparatio ita se habet: *ὡς θάμβος ἔχει εἰσορόωντας ἐν ἀνδρὸς ἀφνειοῦ (δόμῳ) ἄνδρα, ὃν ἄτη λάβῃ, καὶ ὃς ἐν πάτρῃ φῶτα κατακτείνας ἄλλων ἐξίκετο δῆμον.* Inversione dicta variavit poeta. *ἄτη πυκινὴ, τὸ ἄγος*, piaculum, facinus piaculare, ex cæde commissa; v. de Ate ad T. 90. *πυκινὴ*, grave, *δεινόν. ὃν ἄτη λάβε, κατέλαβε*, qui reatum suscepit, se illigavit pœnæ. sup. B. 111. *Ζεύς με ἄτῃ ἐνέδησε βαρείῃ.* Cæde perpetrata autem exulasse reos nota res est; illi in terris peregrinis adire solebant virum aliquem nobilem, gravem et sanctum, a quo ritu sollenni expiarentur. Ita venit ille *πρὸς τὸν ἁγίσοντα*: ut Hercules ad Neleum Apollod. II. 6, 2. sicque alii.

486—506. Sequitur Priami oratio per omnes ætates inter præstantissima eloquentiæ monumenta habita, quod sine arte et fuco ad naturæ ductum miseratio movetur per ea, quæ maximam ad animos humanos vim habent. Exorsus a parentis Pelei memoratione, fortunæque, quam is experitur, comparatione cum fortuna sua, progreditur ad profectionis consilium quod simplicissime exponit, seque supplicem Achillis profitetur.

488. *καὶ μέν που κεῖνον.* Peleum jam senem fuisse, vidimus T. 323. Inde Tragicis

πεζα.] Φασὶ γὰρ τοῖς παλαιοῖς μὴ ὅλως αἴρεσθαι τὴν τράπεζαν. χωρὶς εἰ μὴ διὰ τὴν τοῦ Πατρόκλου λύπην. 478. Κύσεν.] Ἐφίλησεν. 480. Ὡς δ' ὅταν ἄνδρα.] Καὶ τὰ ἑξῆς. Ἔθος ἦν παρὰ τοῖς παλαιοῖς τὸν ἀκούσιον φόνον ἐργασάμενον φεύγειν ἐκ τῆς πατρίδος καὶ παραγίγνεσθαι εἴς τινος οἰκίαν ἀνδρὸς πλουσίου, καὶ καθίζειν ἐπὶ τῆς οἰκίας συγκεκαλυμμένον καθαρσίων δεόμενον. 487. Τηλίκου.] Τοιαύτην ἡλικίαν ἔχοντος. 488. Ἀμφὶς ἐόντες.] Περὶ αὐτὸν οἰκοῦντες. 489. Ἀρήν.] Βλάβην, νῦν. 491. Ἐπί τ' ἔλπεται.] Ἐπεὶ ἐλπίζεται.

ἐννέα καὶ δέκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτοὺς,
τὸν σὺ πρώην κτεῖνας, ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα. τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
ἀλλ' αἰδεῖο θεοὺς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
μνησάμενος σοῦ πατρος· ἐγὼ δ' ἐλεεινοτερος περ,
ἔτλην δ', οἷ' οὔπω τις ἐπιχθονιος βροτὸς ἀλλος,
ἀνδρὸς παιδοφόνοιο ποτὶ στομα χεῖρ' ὀρεγεσθαι.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γοοιο,
ἁψαμενος δ' ἀρα χειρὸς, ἀπώσατο ἦκα γεροντα.
τὼ δὲ μνησαμένω, ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο,
κλαῖ' ἀδινὰ, προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθεὶς·
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πατροκλον· τῶν δὲ στοναχὴ κατα δώματ' ὀρώρει.
αὐτὰρ ἐπει ῥα γοοιο τετάρπετο δῖος Ἀχιλλεὺς,
και οἱ ἀπὸ πραπιδων ἦλθ' ἵμερος, ἠδ' ἀπὸ γυιων,
αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
οἰκτείρων πολιόν τε κάρη, πολιόν τε γένειον·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἆ δεῖλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,

496. vulg. ἐννεακαίδεκα. 499. εἴρυτο δὲ Fάστυ. 508. ἀπώσατο Fῆκα. 511. κλαῖε FεFόν. 514. Fοι. 517. Fέπεα.

argumentum fabularum ortum.—503. αἰδεῖο θεοὺς, propter jus ἱκετείας quod dii tuentur.—506. Dura est oratio, quamcunque viam tentaveris; fac ὀρέγεσθαι esse; præter Homericum morem, pro ὀρέγειν· ita erit aut ὀρέγεσθαι χεῖρα πρὸς στόμα ἀνδρὸς, ut tanquam ἱκέτης mentum Achillis attigerit, aut interpretaberis ex 478. χερσὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύσε χεῖρας. ut sit ὀρέγεσθαι χεῖρ' ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα (ἑαυτοῦ) *admovere manus Achillis ad os suum*. Homerico usu ὀρέγεσθαι est extendere se, χειρὶ πρός τι.

507—551. Achilles recordatione patris ad miserationem Priami adductus erigit supplicem, eumque consolatur.—514. et, postquam impetus flendi se remiserat: ἵμερος (γόου) ἀπῆλθε πραπίδων. sunt eadem quæ τετάρπετο γόου.—519. hi tres versus

496. Ἰῆς.] Μιᾶς. Νηδύος.] Γαστρός. 500. Ἀμυνόμενον.] Βοηθοῦντα. 503. Αἰδεῖο.] Αἰδοῦ. 506. Ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι.] Τοῦ φονέως μου τῶν παίδων τὰς χεῖρας προσάγειν τῷ στόματι καὶ φιλεῖν. 507. Ὑφ' ἵμερον ὦρσε γόοιο.] Ἐπιθυμίαν θρήνου ἐνέβαλεν. 510. Ἐλυσθείς.] Εἰλυθείς. 513. Τετάρπετο.] Ἐτέρφθη.

ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου· ἄλγεα δ' ἔμπης
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ.
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δέ τ' ἐάων·
ᾧ μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκε·
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·

528. vulg. ἕτερος δὲ ἐάων. 532. καί Fε.

lecti jam sup. 203, 4, 5.—523. ἄλγεα ἐν θυμῷ jungo. et per se dictum κατακεῖσθαι, accipio *quiescere.*—525. ἐπεκλώσαντο θεοὶ, hoc uno loco et in Odyssea, inde apud alios. ut et hoc: Parcas nere fila, et ἐπικλώθειν pro ἐπιμοιρᾷν..—526. ζώειν ἀχνυμένους, non tam *semper contristatos,* sed *obnoxios sollicitudinibus,* κήδεσι; ex opp. ἀκηδέες.—527. ἐν Διὸς οὔδει, ἐν οἴκῳ, ἐάων ab ἐὸς, bonus. ἐὴ scil. δόσις. μοῖρα *Duo* hæc *dolia bonorum* et *malorum* (ἕτερος μὲν) κακῶν, ἕτερος δὲ ἐάων satis decantata sunt. Ex dolio bonorum nemo meracius accipit; (hoc memorare omisit) sed mixta ex utroque dolio alius accipit 529, 530. ut Demodocus in Od. Θ, 63, 64. τὸν περὶ Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε. ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν. alius ex dolio malorum solo hausta aufert: 531, 532, 533. hic prorsus miser est.—alio modo Pindarus Pyth. III. 146. ἓν παρ' ἐσλὸν πήματα σὺν δύο δαίονται βροτοῖς ἀθάνατοι. *pro uno bono dispertiuntur hominibus dii mala duo.*—531. λωβητὸν ἔθηκε. ἄτιμον τίθησι καὶ τλήμονα, reddit ærumnosum et injuriis expositum. Explicatur per 532, 533. Errat ille omnium rerum egens, inops, ἀλήτης, nec a diis nec ab hominibus ullo honore habitus, οὐ θεοῖς τετιμένος, quatenus constans hominum præsertim veterum opinio opes et ὄλβον ad deorum favorem et studium refert: ut et reges sunt honorati a Jove. Ceterum hæc in medio sermone ab Achille interposita redhibent indolem et usum antiquiorum ho-

524. Κρυεροῖο.] Δεινοῦ. φρικτοῦ. 526. Ἀκηδέες.] Ἄλυποι. 527. Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει.] Εἰς παραμυθίαν Πριάμου ὁ ποιητὴς εἰσήγαγε τὸν Ἀχιλλέα λέγοντα ταῦτα. ἐπεί τοι μόνων ἀγαθῶν δωρητικοὺς ἐπίσταται Ὅμηρος τοὺς θεοὺς, λέγων· Θεοὶ δωτῆρες ἐάων. ἴδιον γὰρ θεῖον δῶρον τὸ ἀγαθόν. ζητοῦσι δέ τινες ἀπὸ τούτων τῶν ἐπῶν, πῶς ἐνταῦθα μέν φησιν ὁ ποιητὴς ἐκ θεῶν εἶναι τὰ κακὰ τοῖς ἀνθρώποις, ἐν δὲ τῇ ᾱ τῆς Ὀδυσσείας καὶ αὐτούς φησιν ἐπισπᾶσαι τὰ κακὰ τοὺς ἀνθρώπους. Ἐξ ἡμέων γάρ φασι κακ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ Σφῇσιν ἀτασθαλίῃσιν ὑπέρμορον ἄλγε' ἔχουσι. ῥητέον οὖν ὅτι ἐνταῦθα Ἀχιλλεύς ἐστιν ὁ λέγων ἐκ θεῶν εἶναι τὰ κακὰ, ἀγνοῶν τὴν ἀλήθειαν· ἐν δὲ τῇ Ὀδυσσείᾳ Ζεὺς, ὃς σαφῶς ἐπιστάμενος λέγει τὴν ἀλήθειαν. λύεται οὖν τὸ ζήτημα προσώπῳ. 528. Ἐάων.] Ἀγαθῶν. 529. Καμμίξας.] Συμμίξας. 530. Ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ.] Ἀντὶ τοῦ, ὁτὲ μὲν ἐν κακοῖς γίγνεται, ὁτὲ δὲ ἐν ἀγαθοῖς. Κύρεται.] Ἐντυγχάνει. κυριεύει. 531. Λυγρῶν.] Χαλεπῶν. φαύλων. Λωβητόν.] Ἐπονείδιστον. κακόν. 532. Βούβρωσις.] Κυρίως μὲν ὁ μέγας καὶ χαλεπὸς λιμός. νῦν δὲ ἀντὶ τοῦ μεγάλης ἀνίας

φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος, οὔτε βροτοῖσιν.
ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο
ὄλβῳ τε, πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι,
καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν·
ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακὸν, ὅττι οἱ οὔτι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
ἀλλ' ἕνα παῖδα τέκε παναώριον· οὐ δέ νυ τόν γε
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων, ἠδὲ σὰ τέκνα.
καί σε, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι.
ὅσσον Λέσβος ἄνω Μάκαρος ἕδος ἐντὸς ἐέργει,
καὶ Φρυγίη καθύπερθε, καὶ Ἑλλήσποντος ἀπείρων·
τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
αὐτὰρ, ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνες,
αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε.
ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.

536. πλούτῳ τε, Ϝάνασσε. 537. Ϝοι. 538. ὅτι Ϝοι. 544. ἐϜέργει. 548. περὶ Ϝάστυ.

minum efferendi animi cogitata et sensus per symbola, tropos et allegorias.—534. sq. Pelei varia fortuna poetarum memoratione celeberrima. v. c. Pindari Pyth. III. 154. sqq. Nem. IV. 188. sq. V. 46. sq. cum I. VIII. 83. sq.—540. παῖδα παναώριον. qui immatura morte erit obiturus ἄωρος.—543—546. Priami pristinæ opes: Ut verba constituta sunt, sententia esse debet: *Etiam te fama accipimus olim fuisse fortunatum. Quantum* (hominum) *intra se continet Lesbus, Phrygia et Hellespontus, inter hos aiunt te opibus et progenie eminuisse.* ὅσσον (ἀνδρῶν) ὅσους;—τῶν σε, γέρον. pro τούτων. At non ita habes, quorsum ἄνω referas; itaque ex grammatica ratione etsi duriore et asperiore, hæc est sententia, ut etiam veteres hæc acceperunt: quantum (terrarum) superne, (supra se, superius versus septentrionem positum) finit, ambit et includit Lesbus (ab austro sita), et ab altera, superiore, parte Phrygia et Hellespontus, adeoque omnis ditio Trojana interjacens, horum, harum terrarum h. e. eorum, qui eas incolunt, (τῶν σε pro τούτου σε. vel ὅσσον pro ὅσα, τῶν) opibus et filiis aiunt te maxime conspicuum floruisse.—551. πρὶν καὶ—antequam id fiat, potes

καὶ λύπης κεῖται ἡ λέξις. ἔνιοι δὲ βούβρωστιν τὸν οἶκτον ἐξεδέξαντο. 533. Φοιτᾷ.] Ἐπιπορεύεται, ἐπέρχεται. Τετιμένος.] Τετιμημένος. 535. Ἐκ γενετῆς.] Ἀπὸ γενεᾶς. 536. Ὄλβῳ.] Εὐδαιμονίᾳ. 539. Γονή.] Γέννησις. Κρειόντων.] Κρατίστων. 540. Παναώριον.] Παντελῶς ἄωρον. ἀποθανούμενον, καὶ νέον κομιδῆ δύσμορον. 541. Κομίζω.] Ἐπιμελείας ἀξιῶ. 542. Κήδων.] Λυπῶν. 544. Λέσβος ἄνω Μάκαρος ἕδος.] Ἀντὶ τοῦ οἰκητήριον. ἔκτισε γὰρ τὴν Λέσβον Μάκαρ ὁ Κρινάκου, καὶ ἐβασίλευσεν αὐτῆς. Ἐέργει.] Ἀποχωρίζει, διορίζει. 545. Ἀπείρων.] Μέγας. 546. Κεκάσθαι.] Κεκοσμῆσθαι. 551. Οὐδέ μιν ἀνστήσεις.] Οὐδαμῶς ἀναστήσεις, τοῦτο γὰρ ἀδύνατον. Πρὶν καὶ κα-

Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων, Πρίαμος θεοειδής·
μή με πω ἐς θρόνον ἵζε, Διοτρεφὲς, ὄφρα κεν Ἕκτωρ
κεῖται ἐν κλισίῃσιν ἀκηδής· ἀλλὰ τάχιστα
λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω. σὺ δὲ δέξαι ἄποινα
πολλὰ, τά τοι φέρομεν. σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
αὐτόν τε ζώειν καὶ ὁρᾷν φάος ἠελίοιο.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
μηκέτι νῦν μ' ἐρέθιζε, γέρον. νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι. Διόθεν δέ μοι ἄγγελος ἦλθε,
μήτηρ, ἥ μ' ἔτεκε, θυγάτηρ ἁλίοιο γέροντος.
καὶ δέ σε γιγνώσκω, Πρίαμε, φρεσὶν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
οὐ γάρ τε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι· οὐδέ κ' ὀχῆας
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.

552. θεοϝειδής. 555. ὀφθαλμοῖσι ϝίδω. 559. ὑπόδρα ϝιδών.

malum malo addere. quandoquidem nimio mœrore nova mala aliquis sibi arcessere potest: v. c. exacerbato in alios animo, incuria aliarum rerum, debilitato corpore ac mente. Non autem respectus fit ad ea quæ post sequuntur 559. sq.

552—570. Priami precibus iteratis, ut sine mora corpus filii reddatur, offenditur Achilles. Quæ Achillem exasperant, esse puta non modo senis impatientiam, sed et quod diffidere videtur voluntati Achillis, quod hospitalem mensam recusat, quod non spatium dat abluendi corporis Hectoris, cujus adspectu in nimia lamenta facile erumpere possit Priami dolor, iisque irritari ferox Achillis animus. (hoc quoque Sch. B. memorat.) Firmatur inf. 583. seqq.—560. *νοέω καὶ αὐτὸς*, eo sum animo, voluntate, propositum habeo, ut X. 235.—561. *Διόθεν δέ μοι—μήτηρ.* sup. vs. 122. sq.—566. Nec fores mei tentorii clausas (utpote vespere) aperiat: vectem qui foribus prætenditur, removendo. v. sup. 453. sq. 568. *μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς* simpl. *μᾶλλον* pro *μάλα*, ut sæpe: sic statim B. 81. *καὶ νοσφιζοίμεθα μᾶλλον.* nec licet argutari. *θυμὸν ἐν ἄλγεσιν ὄντα μὴ ὄρινε.*—569. ne te relinquam intactum, h. e. ne tu a me malum accipias. Notabilis usus *τοῦ ἐᾷν.* fere ut Latine, *mittere*. Iterum 684. *ἐπεί σ' εἴασεν Ἀχιλλεύς.* Expletum erat alio versu adjecto 557, 8.—570. *Διὸς δ' ἀλίτωμαι (εἰς) ἐφετμάς.*

571—595. Achilles munera accipit et ad se perferre jubet, et corpus Hectoris abluendum et velandum curat, ut Priamo reddi possit.

κὸν ἄλλο πάθησθα.] Πρὶν ἄλλο γένηταί σοι κακόν. οἷον, πολλὰ καὶ ἄλλα κακὰ πάθοις. 556. Ἀπόναιο.] Ἀπολαύσειας. 557. Ἔασας.] Εὔφρανας. 559. Τὸν δ' ἄρ' ὑπόδρα ἰδών.] Τοῦτον δὲ δεινῶς ὑποβλεψάμενος, ἐπεὶ δώρων ὑπέμνησε. 566. Φυλάκους.] Φύλακας. τῇ τάσει δὲ ἀναγνωστέον ὡς ἀγαθούς. 567. Μετοχλίσσειε.] Μετακινήσειε. 569. Μή σε γέρων οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω.]

Πηλεΐδης δ' οἴκοιο, λέων ὥς, ἆλτο θύραζε,
οὐκ οἶος· ἅμα τῷ γε δύω θεράποντες ἕποντο,
ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, οὕς ῥα μάλιστα
τῖ' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
οἳ τόθ' ὑπὸ ζυγόφι λύον ἵππους ἡμιόνους τε.
ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος,
κὰδ δ' ἐπὶ δίφρου εἷσαν. ἐϋσσώτρου δ' ἀπ' ἀπήνης
ἥρεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
κὰδ δ' ἔλιπον δύο φάρε', ἐΰννητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάσας δώῃ οἶκόνδε φέρεσθαι.
δμωὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ', ἀμφί τ' ἀλεῖψαι,
νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν·
μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο,
παῖδα ἰδών, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ,
καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς.
τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον, ἠδὲ χιτῶνα,
αὐτὸς τόνγ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
σὺν δ' ἕταροι ἤειραν ἐϋξέστην ἐπ' ἀπήνην.
ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴκε πύθηαι,
εἰν Ἄϊδός περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ φίλῳ· ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα·
σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν.

572. δ' Fοίκοιο. v. Obss. 578. vulg. ἐΰξέστου. 581. Fοῖκον. 583. Πρίαμος Fίδῃ. 584. οὐ Fερύσαιτο. 585. παῖδα Fιδών. 586. Fε. 594. ἀFεικέα. 595. ὅσσ' ἐπέFοικε. Bentl. ὅσσα Fέοικε. potius ὅσσα FέFοικε.

576. ὑπέλυον ἵππους ζυγοῖς vel ζυγῶν.—577. καλήτωρ. hoc uno loco idem quod κλήτωρ. calator. κήρυξ.—580. ἐΰννητόν τε χιτῶνα. ad involvendum corpus Hectoris; φάρεα autem, pallia, alterum substernendum, alterum superne injiciendum.—589, 590. Junge αὐτὸς ἀείρας (ἀπὸ) λεχέων ἐπέθηκεν (sc. ἀπήνῃ), ἕταροι δὲ συνήειραν, ἐπ' ἀπήνην. ut antea δμωαὶ erant ἀείρασαι νόσφιν τὸν νεκρόν.—595. Aliquam ei partem munerum videri potest assignare voluisse; quo modo id fieri posset, obscurum est; rogo incenso id fieri potuisset, aut inferendo in tumulum, aut ludis funebribus: quibus tamen, jam peractis, non amplius locus erat.

Λείπει τὸ ζῶντα. 572. Θύραζε.] Ἔξω. 577. Καλήτορα.] Ἐπιθετικῶς τὸν κήρυκα, ἀπὸ τοῦ βοᾶν καὶ συγκαλεῖν τὸν ὄχλον. 579. Ἥρεον.] Ἥρουν. ἐβάσταζον. 580. Εὔνηστον.] Καλῶς νενησμένον. 584. Χόλον οὐκ ἐρύσαιτο.] Οὐ κατάσχῃ ἐπὶ τῷ παιδὶ τὴν ὀργήν. 592. Σκυδμαινέμεν.] Σκύζεσθαι, ὀργίζεσθαι. 594. Ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.] Ἐπεὶ οὐκ εὐτελῆ μοι παρέσχε λύτρα, ἀλλὰ τοὐναντίον πολυτελῆ. 595. Ἀποδάσσομαι.] Ἀπομερίσω.

Ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤϊε δῖος Ἀχιλλεύς.
ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
τοίχου τοῦ ἑτέρου, προτὶ δὲ Πρίαμον φάτο μῦθον·
Υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
κεῖται δ' ἐν λεχέεσσ', ἅμα δ' ἠοῖ φαινομένηφιν
ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες·
τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρῄῳ.
φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦε
κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων·
τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες.

607. Ϝισάσκετο.

596—620. Achilles Priamum solatur et cibum sumere jubet.

598. Sedit Achilles Priamo ex adverso, ἀντίον. ut I. 218, 219.—602. Iterum antiquus mos observandus: quod familiari quoque sermone antiquis factis et eventis utebantur ad sensa animi efferenda. Fabulæ Niobes hic est antiquissimus fundus; multo ornatior illa apud seriores; hoc autem loco uni huic consilio inservit, ut doceat, etiam maxima calamitate oppressos tandem ad cibum sumendum adigi; pro generali sententia, ut poeta, ponit exemplum feninæ calamitosissimæ: quæ non una sobole, sed multis liberis et uno tempore amissis, iisque per plures dies insepultis jacentibus, tamen solatia admisit et cibum sumsit.—608. ἔφη, αὐτὴν, τὴν Λητὼ, τεκεῖν, τετοκέναι, δύω.—610. ἔκειντο ἐν φόνῳ s. pro loco, ut veteres, seu in sanguine, ut erant cæsi; similis disputatio erat K. 521. ἄνδρας τ' ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσι. sed primaria notio est, quod insepulti per IX dies erant; ut nunc Hector. Qua de caussa in saxa mutati fuerint homines, debuit in antiqua narratione, adeoque ante Homerum, disertius expositum esse; probabile fit propter duritiem animorum pœnam illatam esse, quia tam inhumani fuerant Phryges, ut corpora insepulta per tot dies relinquerent, ira exacerbati in Nioben, quæ sua impietate deorum vindictam et luem non modo in suam domum, sed in totam civitatem, derivaverat. οὔτε τις ἦν, ὡς

597. Κλισμῷ.] Θρόνῳ. 602. Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου.] Νιόβη θυγάτηρ μὲν ἦν Ταντάλου, γυνὴ δὲ Ἀμφίονος. συνοικοῦσα δὲ αὐτῷ, παῖδας ἔσχε δυοκαίδεκα, ἓξ μὲν θηλείας, ἓξ δὲ ἄῤῥενας. ἐπαρθεῖσά τε τῷ πλήθει τῶν παίδων καὶ τῇ καλλονῇ, ὠνείδιζε τῇ Λητοῖ, ὅτι δύο μόνους ἐγέννησεν, Ἀπόλλωνα καὶ Ἄρτεμιν, καὶ ὅτι εὐτεκνοτέρα αὐτῆς ἐστιν· ἀγανακτήσαντες δὲ οἱ θεοὶ, ἔπεμψαν τοῖς παισὶν αὐτοῖς θάνατον. Καὶ Ἀπόλλων μὲν τοὺς ἄῤῥενας ἀναιρεῖ κυνηγετοῦντας ἐν Κιθαιρῶνι. Ἄρτεμις δὲ τὰς θηλείας ἐπ' οἴκου οὔσας. Θρηνοῦσαν οὖν τὴν Νιόβην ἀφάτως τὸ τοιοῦτον δυστύχημα, Ζεὺς ἐλεήσας, εἰς λίθον μετέβαλεν, ὃς καὶ μέχρι νῦν ἐν Σιπύλῳ τῆς Φρυγίας ὁρᾶται παρὰ πάντων, πηγὰς δακρύων προϊέμενος. ἡ ἱστορία παρ' Εὐφορίωνι. 607. Ἰσάσκετο.] Ἐξισοῦτο. 611. Λαοὺς δὲ λίθους ποίησε Κρονίων.] Ἀντὶ τοῦ λιθίνους τὰς ψυχὰς, καὶ ἀσυμ-

ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο,
ἔνθα, λίθος περ ἐοῦσα θεῶν ἐκ, κήδεα πέσσει.
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιὲ,
σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα,
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.
Ἦ, καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
ἦτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει.
αὐτὰρ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς,
εἰσορόων ὄψιν τ' ἀγαθὴν, καὶ μῦθον ἀκούων.

620. Ϝίλιον. 621. ὄϜιν. 624. Ϝερύσαντο. 630. ἄντα ϜεϜῴκει.

καταθάψαι, nam in saxa mutati fuerant homines.—614—617. Niobe nunc, deorum voluntate, θεῶν ἐκ, in saxum mutata, alicubi in Sipylo, *indulget dolori*, dolet, κήδεα πέσσει. ut B. 237. γέρα πεσσέμεν. Mox 639. iterum καὶ κήδεα μυρία πέσσω. Porro: in Sipylo, *ad amnem Acheloum:* Hoc ita expressit; ubi Nymphæ (Naides) habitant, quæ ad Acheloum choreas agere solent. Nam his lusibus Nympharum vita declarari solet—615. ἔμμεναι εὐνάς. ut B. 783. εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.—616. αἵτ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο. nunc de saltatione et choreis, cum proprie sit, movere se cum impetu: v. A. 529. Etiam Hesiod. Theog. 8. Musæ ἐπεῤῥώσαντο δὲ ποσσίν. *Achelous* h. l. Phrygiæ fluvius: nomen mythicum antiquiorum poetarum, quoties amnis est commemorandus.

621—648. Achilles Priamum cœna excipit satis celeriter parata, eique lectum sterni jubet. vss. 625—8. jam lecti I. 216, 7. 91, 92. A. 469.—628. Suaviter, quod, recreati cibo potuque, nunc otiose ad alia mentem advertunt; et alter alterum intuendo

παθεῖς ἐποίησε, πρὸς τὸ μὴ θάψαι. 614. Οἰοπόλοισιν.] Ἐρήμοις. 615. Ἐν Σιπύλῳ.] Ἐν ὄρει τῆς Λυδίας, καὶ Μαγνησίας. 616. Νυμφάων.] Νῦν θεῶν. Αἵτ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο.] Αἵ τινες περὶ τὸ ὕδωρ χορεύουσιν, ἤτοι ἀπὸ τοῦ Ἀχελῴου ποταμοῦ, τοῦ ἐν Αἰτωλίᾳ, ὃς ὠνόμασται ἀπὸ τοῦ τὰ ἄχη λύειν· ἢ ὅτι Ἀχελῷος κοινῶς καλεῖται πᾶν ὕδωρ, ἢ διὰ τοῦ η Ἀχελήϊον. Ἀχέλης γὰρ ποταμὸς ἀπὸ Σιπύλου ῥέει εἰς τὴν Σμυρναίων γῆν. 617. Θεῶν ἐκ κήδεα πέσσει.] Τὰς ἐκ θεῶν αὐτῇ ἐπιφερομένας συμφορὰς ἐν ἑαυτῇ ἔχει. 618. Μεδώμεθα.] Φροντίσωμεν. 621. Ἄργυφον.] Λαμπρὸν, ἢ λευκόν. 622. Ἄμφεπον.] Περιεῖπον. περὶ αὐτὸν ἠσχολοῦντο. 625. Ἐπένειμεν.] Ἐπεμέρισεν. 630. Ὅσσος.] Ἡλίκος. 632. Ἀγαθήν.] Νῦν, ἐπὶ τοῦ εἴδους.

αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
Λέξον νῦν με τάχιστα, Διοτρεφὲς, ὄφρα κεν ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
ἐξ οὗ σῇς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν·
ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
νῦν δὴ καὶ σίτου πασάμην, καὶ αἴθοπα οἶνον
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔτι πεπάσμην.
Ἦ ῥ', Ἀχιλεὺς δ' ἑτάροισιν, ἰδὲ δμωῇσι κέλευσε,
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ
πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.
αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι·
αἶψα δ' ἄρα στόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε· μήτις Ἀχαιῶν
ἐνθάδ' ἐπέλθῃσι βουληφόρος, οἵ τέ μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί·

634. προσέϝειπε—θεοϝειδής. 641. αἴθοπα ϝοῖνον.
646. καθύπερθε ϝέσασθαι. 648. vulg. ἄρ' ἐστόρεσαν.

miratur.—637, 8. adeoque per XII noctes.—640. αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. *in septo aulæ humi projectus*, animo doleo; nihil amplius. res exposita sup. 163, 4, 5. tum αὐλῆς ἐν χόρτῳ, jam sup. Λ. 773.—641, 2. cf. sup. de Achille Τ. 209, 210. et λαυκανίην vidimus Χ. 325. de gutture, faucibus.—644, 5, 6. Hæc ad vitam heroicam notanda occurrunt aliquoties in Odyssea, et hi ipsi versus Od. Η. 336. ad 340. Sternitur lectus in porticu ante ædes; sunt δέμνια, *stratum inferius*, quibus imponuntur ῥήγεα, *vestes stragulæ*, colore tinctæ, purpureæ, et super his τάπητες, *molliores vestes stragulæ*. At χλαίνας induunt decubituri. οὔλας molles v. ad Π. 224.

649—676. Achilles Priamum decubitum mittit, caussam, cur in porticu lectum paraverit, exponit, inducias XII dierum ad funus Hectori celebrandum paciscitur.

648. ἐγκονέουσαι. ἐνεργοῦσαι καὶ πονοῦσαι. lectum uno hoc loco, et Od. Η. 340. et Ψ. 291. ubi hic versus.—649. ἐπικερτομέων. cum senem metus incessere posset, ex dicendis, *subridendo* et quasi leniter jocando, verba enuntiat.—650. Verendum scilicet erat, ne repentino casu etiam per noctem adiret Achillem aliquis principum, atque Priamum, etsi dimissum ab Achille, tamen pro hoste haberet: disertius exposita hæc inf. 683. sqq.—652. ἣ θέμις ἐστί. more et usu.—655. ἀνάβλησις, ἀναβολὴ, jam

633. Τάρπησαν.] Ἐκορέσθησαν. ἐτέρφθησαν. 635. Λέξον.] Νῦν, κοίμισον. 640. Αὐλῆς ἐν χόρτοισι.] Ἐν τοῖς περιφράγμασι τῆς αὐλῆς, ὅ ἐστιν ὑπαιθρίοις. 641. Πασάμην.] Ἐγευσάμην. 642. Λαυκανίης.] Λαιμοῦ. Οὔτι πεπάσμην.] Οὐκ ἐγευσάμην. 644. Δέμνια.] Τὰς κοίτας. Ῥήγεα.] Τὰ βαπτὰ στρώματα. 648. Ἐγκονέουσαι.] Ἐνεργοῦσαι. σπεύδουσαι.

τῶν εἴτις σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
οἶσθα γὰρ, ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν.
ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαινῦτό τε λαός·
ἑνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴπερ ἀνάγκη.
Τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις.
σχήσω γὰρ πόλεμον τόσσον χρόνον, ὅσσον ἄνωγας.
Ὣς ἄρα φωνήσας, ἐπὶ καρπῷ χεῖρα γέροντος
ἔλλαβε δεξιτερὴν, μήπως δείσῃ ἐνὶ θυμῷ.
οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο

653. σε Fίδοιτο. 656. τόδε Fειπέ. 659. θεοFειδής. 662. Fοῖσθα—κατὰ Fάστυ FεFέλμεθα—ὕλFη. 668. προσέFειπε. 670. vulg. τόσσον πόλεμον.

B. 380.—657. Notandum, quod Achilles sibi sumit jus induciarum paciscendarum, τῆς ἀνοχῆς, quod aut Agamemnoni, aut consessui principum conveniebat; forte confisus auctoritati suæ, et metui, ne, si ceteri non assensuri essent, copias suas a bellando iterum retineret.—662. τηλόθι δ' ἔστιν ὕλη, ὥστε ἄγειν αὐτὴν ἐξ ὄρεος.—664. Etiam numerus dierum in luctu est notandus.—665. δαινῦτο. δαινύοιτο.—671. ἐπὶ καρπῷ. debuit is mos esse, non volam alterius apprehendere, sed carpum: sic quoque Od. Σ. 257. δεξιτερὴν ἐπὶ καρπῷ ἑλών. cf. ib. Ω. 397. ubi Dolius etiam osculatur Ulyssis manum ἐπὶ καρπῷ.—673. ἐν προδόμῳ δόμου. supra 644. αἴθουσα erat; recte, nam porticus ante domum ducta erat; ejusque pars ante domus ingressum, quæ pro vestibulo erat, proprie dicta πρόδομος.

657. Ποσσῆμαρ.] Πόσαις ἡμέραις. Κτερεϊζέμεν.] Ἐνταφιάζειν. 661. Θείης.] Ποιήσεις. 665. Δαίνυτο λαός.] Τὸ περίδειπνον λέγει. 671. Ἐπὶ καρπῷ χεῖρα γέροντος Ἔλλαβε δεξιτερήν.] Ἐδεξιώσατο τὸν γέροντα. ἐζήτηται δὲ, πῶς Ἀχιλλεὺς χωρὶς τῶν βασιλέων ἐπαγγέλλεται τῷ Πριάμῳ ταῦτα, ἅπερ ἐπισχνεῖται. ῥητέον οὖν, ὅτι ὁ Ἀχιλλεὺς τὰ τῶν πολέμων ἐπετέτραπτο πάντα, καὶ αὐτὸς εἶχε τὴν ἐξουσίαν πάντων τῶν τοῦ πολέμου ἀνοχῶν τε καὶ συμβολῶν. 673. Προδόμῳ.] Τῷ πρὸ τοῦ θαλάμου οἴκῳ.

κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
τῷ δὲ Βρισηῒς παρελέξατο καλλιπάρῃος.
  Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
ὁρμαίνοντ' ἀνὰ θυμὸν, ὅπως Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε, λαθὼν ἱεροὺς πυλαωρούς.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
  Ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν· οἷον ἔθ' εὕδεις
ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴκ' Ἀγαμέμνων
γνοίῃ σ' Ἀτρείδης, γνώωσι δὲ πάντες Ἀχαιοί.
  Ὡς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε·
ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατὸν, οὐδέ τις ἔγνω.
  Ἀλλ' ὅτε δὴ πόρον ἷξον εὐῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεὺς,
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον.
Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν.
οἱ δ' εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε

676. vulg. τῷ δ' ἄρ Βρ. 679. vulg. Ἑρμείην. 682. ἔϝειπε.
690. vulg. τοῖσι δ' ἄρ. 696. ἐς ϝάστυδ' ἔλων.

677—694. Monitu Mercurii ante diluculum surgit de strato Priamus, et corpore Hectoris currui imposito clam omnibus castra relinquit. Providendum enim erat, ne alius ex Achivis eum animadverteret. vss. 677, 678. lecti Il. B. 1. K. 2.—681. λαθὼν ἱεροὺς πυλαωροὺς, φύλακας s. ἐκκρίτους s. omnino θείους *eximios*. ut K. 56. φυλάκων ἱερὸν τέλος.—682. στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς ut Somnium sup. B. 20. ubi v.—683. οἷον ἔθ' εὕδεις *pro eo quod; quandoquidem*. κατὰ τοῖον, καθ' οἷον. καθὼς, ὡς.—684. ἐπεί σ' εἴασεν Ἀ. te dimisit incolumem ut 569.—686. at si Agamemnon et ceteri Achivi te animadverterint, non nisi ingenti pretio tu ipse redimendus fores a filiis tuis.—692, 3. Scamandri πόρον, vadum, trajectum aliquem in iis locis fuisse, nemo dubitet; an vero ille necessario trajiciendus fuerit perventuris in urbem, non inde cogitur; patuit quoque aliud iter secundum amnis cursum a dextra ripa, intra campum. Vidimus jam de his ad vs. 349. sup. 350. 1. cf. ad Φ. 1, 2.

695—718. Mercurius discesserat, et Priamus urbi appropinquabat, cum a Cassandra prospiciente ex arce nuntiata re procedunt omnes obviam et lugent Hectorem. Iis cedere jussis domum suam inducit currum cum corpore Priamus.

696. Ἔλων] Ἤλαυνον. Οἰμωγῇ.] Ὀδυρμῷ.

ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν·
ἀλλ' ἄρα Κασσάνδρη, ἰκέλη χρυσέη Ἀφροδίτη,
Πέργαμον εἰσαναβᾶσα, φίλον πατέρ' εἰσενόησεν
ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·
τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι.
κώκυσέν τ' ἄρ' ἔπειτα, γέγωνέ τε πᾶν κατὰ ἄστυ·
Ὄψεσθε, Τρῶες καὶ Τρῳάδες, Ἕκτορ' ἰόντες,
εἴποτε καὶ ζώοντι μάχης ἐκ νοστήσαντι
χαίρετ'· ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν, παντί τε δήμῳ.
Ὣς ἔφατ'· οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ,
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος.
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
πρῶται τόν γ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
τιλλέσθην ἐπ' ἄμαξαν ἐΰτροχον ἀΐξασαι,
ἁπτόμεναι κεφαλῆς. κλαίων δ' ἀμφίσταθ' ὅμιλος.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δακρυχέοντες ὀδύροντο πρὸ πυλάων,
εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·
Εἴξατέ μοι, οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγοιμι δόμονδε.
Ὣς ἔφαθ'· οἱ δὲ διέστησαν, καὶ εἶξαν ἀπήνῃ.
οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα

699. Ϝικέλη. vulg. χρυσῇ. 701. κήρυκά τε Ϝαστυβοώτην.
702. Ϝίδε. 703. κατὰ Ϝάστυ.

698. ἀλλ' ἄρα. οὔ τις ἄλλος πρόσθε, ἢ Κασσάνδρη. præter quam Cassandra. ut toties οὐ πρὶν, ἀλλὰ pro οὐ πρὶν ἤ. v. c. Π. 62.—705. εἴποτε ἐχαίρετε, ὄψεσθε ἰόντες. *Si olim lætati estis reditu Hectoris e pugna, ite nunc et videte corpus Hectoris.* Forma et alibi obvia εἴποτε pro ἐπεὶ, ἐπειδάν. *quandoquidem.* et forte sic in formula εἴποτ' ἔην γε sup. 426. et futurum ὄψεσθε pro imperativo.—708. ἐφίκετο. omnes enim summo luctu ex Hectoris morte tenebantur.—710, 711. πρῶται—ἀΐξασαι ἐπὶ ἄμαξαν τιλλέσθην (διὰ) τόν γε *evellebant sibi comas* præ dolore, (ut κόπτεσθαί τινα. τύπτεσθαί τινα. *plangere bovem Memphitem* Tibull. I. 7, 28. omisso διὰ, *propter.*) amplexæ mortui caput.

719—776. Proposito nunc in lecto Hectoris corpore, lamenta sollennia initium habent, per novem dies, ut supra vidimus. Observandus mos hic veterum, et multorum adhuc populorum, cum lamenta fiunt, per plures dies plerumque et statis tem-

701. Ἀστυβοώτην.] Ἐπιθετικῶς τὸν κήρυκα ἀπὸ τοῦ ἐν τῷ ἄστει βοᾶν. 704. Ὄψεσθε.] Θεάσεσθε. 708. Ἀάσχετον.] Ἀνυπομόνητον. ἀκατάσχετον. 709. Ξύμβληντο.] Συνέτυχον, ἀπήντησαν. 716. Οὐρεῦσιν.] Ἡμιόνοις.

τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἷσαν ἀοιδοὺς,
θρήνων ἐξάρχους, οἵτε στονόεσσαν ἀοιδὴν
οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
Ἆνερ, ἀπ' αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην
λείπεις ἐν μεγάροισι. πάϊς δ' ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
ἥβην ἵξεσθαι. πρὶν γὰρ πόλις ἥδε κατ' ἄκρης
πέρσεται. ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅστε μιν αὐτὴν
ῥύσκευ, ἔχες δ' ἀλόχους κεδνὰς, καὶ νήπια τέκνα·
αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
καὶ μὲν ἐγὼ μετὰ τῇσι. σὺ δ' αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο,
ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν
ῥίψει, χειρὸς ἑλὼν, ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
χωόμενος, ᾧ δήπου ἀδελφεὸν ἔκτανεν Ἕκτωρ,

732. vulg. καὶ δὴ ἐγώ. 733. ἔνθα κε Fέργ' ἄρ' ἀFεικέα Fεργάζοιο.
734. πρὸ Fάνακτος. 736. vulg. χωόμενος, ᾧ τινι δήπου.

poribus, modo a proximis cognatione feminis, modo a conductis feminis, uti Romæ, et a viris ut h. l. ab ἀοιδοῖς; et quidem ad certas formulas, ut h. l. præeunte uno vel una, et ea desinente accinentibus ei ceteris, tanquam choro; nec putandum verba fuisse per turbam mulierum repetita; sed sub cantus finem ejulatus et lamenta promiscue edebantur: ἒ ἔ, ut in Tragicis. Nunc ita disposita est hæc carminis pars, ut, post ἀοιδῶν θρήνους, prima sint lamenta *Andromaches* 723. altera *Hecubæ* 747. tertia *Helenæ* 760.—Novum hoc vs. 720, quod apud Trojanos ἀοιδοὶ memorantur; iidem θρήνων ἔξαρχοι. ut mox feminæ: Andromache ἦρχε γόοιο et Hecuba ἐξῆρχε γόοιο. tandem Helena.

723—746. Andromaches lamenta affectus muliebris plena; deplorat solitudinem et fata quæ sibi et filio imminent. Dulcissimi sunt vss. 742. sqq.—725. ἀπ' αἰῶνος νέος ὤλεο juvenili ætate interiisti. forte, νέος ἀπ' αἰῶνος, pro νέος αἰῶνι, vel (κατ') αἰῶνα. ut ἀπὸ γένους Ἡρακλείδης ὢν pro, γένει.—730. ἔχες δ' ἀλόχους *servabas, tuebaris* muliebrem sexum.—734. ἀθλεύων serviles operas, præstans πρὸ ἄνακτος nunc πρὸ *in*

720. Τρητοῖς.] Καλῶς κατεσκευασμένοις. τετρημένοις. Ἀοιδούς.] Νῦν τοὺς θρηνῳδούς. ἦσαν δὲ οὗτοι Κλεῖτος καὶ Ἐπιμήδης. 725. Ἀπ' αἰῶνος.] Ἀπὸ τοῦ βίου. ἀπὸ τοῦ χρόνου τῆς τῶν ἀνθρώπων ζωῆς. 728. Ἥβην.] Νεότητος ἀκμήν. Ἵξεσθαι.] Ἀφικέσθαι. 729. Ἐπίσκοπος.] Φύλαξ. 730. Ῥύσκευ.] Συνεῖχες. ἔσωζες. ἐῤῥύου. Ἔχες.] Εἶχες. ἐφύλαττες. Κεδνάς.] Κηδεμονικὰς, σώφρονας. 731. Ὀχήσονται.] Ἐπιβήσονται. 733. Ἀεικέα.] Χαλεπά. 734. Ἀεθλεύων.] Κακοπαθῶν. πονῶν. Πρὸ ἄνακτος.] Ὑπὲρ δεσπότου. Ἀμειλίχου.] Ἀπηνοῦς. χαλεποῦ. Ἤ τις Ἀχαιῶν Ῥίψει χειρὸς ἑλών.] Ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ, ῥιπτόμενον κατὰ τοῦ τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγουσι τὸν Ἀστυάνακτα.

ἢ πατέρ', ἠὲ καὶ υἱόν. ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ.
τῷ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ.
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ. ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας·
οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ' αὖθ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
ἦ μέν μοι ζωός περ ἐὼν, φίλος ἦσθα θεοῖσιν·
οἱ δ' ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
πέρνασχ', ὅντιν' ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
ἐς Σάμον, ἔς τ' Ἴμβρον, καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷ,
πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο,
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησε δέ μιν οὐδ' ὥς.
νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
κεῖσαι, τῷ ἴκελος, ὅν τ' ἀργυρότοξος Ἀπόλλων

740. κατὰ Fάστυ. 744. Fεῖπες πυκινὸν Fέπος.
755. ῥυστάζεσκε FεFοῦ. 758. Fίκελος.

commodum. in gratiam heri. alias ὑπέρ.—741. ἀρητὸν δὲ γόον *detestabilem dolorem*, jam. P. 37.

747—759. Hecubæ matris lamenta. Solatur se commemorando τὸ θεοφιλὲς (commendatum jam supra vs. 425) filii, cum dii etiam post ejus mortem, quam gratus ille sibi fuerit, testati sint eo, quod corpus incolume servatum est.—751. ἄλλους μὲν γάρ. Cum Achilles in te crudelius sæviisset quam in ceteros meos filios, quos captivos peregre in servitutem abducendos vendidit: nunc mirabili eventu tuum corpus incolume servatum est.—753. Lemnum ἀμιχθαλόεσσαν. non adeundam, inhospitalem. Etymon et sensum varie constituerunt veteres.—756. ἀνέστησε *in vitam revocavit.*—757. ἑρσήεις roscidus, ut jam 419. et succi plenus, καὶ πρόσφατος recens; vox etiam ap. Pindar. IV. 533.—758. τῷ ἴκελος, ὅν τ' Ἀπόλλων—Manifeste h. l. apparet sensum

741. Ἀρητόν.] Ἐπάρατον. χαλεπόν. 747. Ἀδινοῦ.] Συνεχοῦς. οἰκτροῦ. 753. Ἀμιχθαλόεσσαν.] Ἤτοι ἀπρόσμικτον, ἢ ῥαδίως οὐ μίγνυται· ἢ ἄπο τῆς θαλάσσης οὖσαν καθ' ὃ ἀλίμενός ἐστιν· ἢ διὰ τοὺς ἐνοικοῦντας ἀγρίους καὶ θηριώδεις, καὶ ληστρικὸν βίον ἐπανῃρημένους. ἔνιοι δὲ οὐχ' οὕτως, ἀλλὰ τὴν ὁμιχλώδη ἀπέδωκαν. 754. Ταναηκεῖ.] Μακρῷ. ἀποξυμμένῳ. 755. Ῥυστάζεσκεν.] Εἷλκεν, ἔρυσεν. 757. Ἑρσήεις.] Ἀνθηρός. Πρόσφατος.] Νεωστὶ πεφονευμένος. 758.

οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.
Ὣς ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινε.
τῇσι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδὴς,
ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστὶν,
ἐξ οὗ κεῖθεν ἔβην, καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ' οὔπω σεῦ ἄκουσα κακὸν ἔπος, οὐδ' ἀσύφηλον·
ἀλλ' εἴτις με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρὴ, (ἑκυρὸς δὲ, πατὴρ ὣς, ἤπιος αἰεὶ,)
ἀλλὰ σὺ τόνγ' ἐπέεσσι παραιφάμενος, κατερυκες
σῇ τ' ἀγανοφροσύνῃ, καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
τῶ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον, ἀχνυμένη κῆρ.
οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
ἤπιος, οὐδὲ φίλος· πάντες δέ με πεφρίκασιν.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων.
λαοῖσι δὲ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
Ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδέ τι θυμῷ

759. Ϝοῖς. 763. θεοϜειδής. 765. τόδ' ἐϜεικοστὸν Ϝέτος. 767. κακὸν Ϝέπος. 770. Ϝεκυρὴ, Ϝεκυρός. πατὴρ Ϝώς. Bentl. 771. τόνγε Ϝέπεσσι. 772. ἀγανοῖς Ϝεπέεσσι. 777. ἔϜειπε. 778. ξύλα Ϝάστυδε.

mythicæ formulæ: Apollinis sagittis aliquem esse necatum; de repentina morte fuisse, acceptum, qua corpus non deformatur: hinc ἀγανὰ βέλη, *mitia.*

761—776. Helenæ lamenta, quæ memorat mite Hectoris ingenium et benevolentiam erga se.—765. τόδ' ἐεικοστὸν ἔτος. Locus memorabilis, aut illatus in Iliadem, aut constituta inde est tota res Iliaca cum temporibus.—767. οὐδ' ἀσύφηλον, probrosum, et omnino asperum. Vox lecta I. 643.—770. Mitem Priami animum vidimus sup. Γ. 161. sq.—771. παραιφάμενος κατέρυκες, monendo, castigando verbis. μητρὶ δ' ἐγὼ παράφημι A. 577.

777—787. Priamus ligna ad rogum advehi jubet; consumtis hac cura novem die-

Ὃν ἀργυρότοξος Ἀπόλλων Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος καταπέφνῃ.] Ἀντὶ τοῦ, ὃν συνέβη αἰφνιδίῳ καὶ ὀξεῖ θανάτῳ τελευτῆσαι. 759. Ἀγανοῖς βελέεσσι.] Πραέσιν, ἀνώδυνοι γὰρ οἱ ὀξεῖς θάνατοι. 765. Ἤδη γὰρ νῦν μοι τόδε εἰκοστὸν ἔτος ἐστὶν Ἐξ οὗ κεῖθεν ἔβην.] Δεκαετίᾳ γὰρ ἠθροίσθη ὁ στρατὸς τῶν Ἑλλήνων, δεκαετίᾳ δὲ ἄλλῃ ἐπορθήθη ἡ Ἴλιος. 767. Ἀσύφηλον.] Μετὰ ἀπάτης. βλαπτικόν. ὑβριστικόν. 768. Ἐνίπτοι.] Ἐπιπλήττοι. 770. Ἑκυρή.] Ἀνδρὸς μήτηρ, πενθερά. 771. Παραιφάμενος.] Παρειπών. παραμυθησάμενος. 772. Ἀγανοφροσύνῃ.] Πραότητι. φρενῶν προσηνείᾳ. 773. Ἄμμορον.] Κακόμοιρον. 775. Πάντες δέ με πεφρίκασι.] Νῦν βδελύττονται, ὅ ἐστι μισοῦσι. 776. Ἀπείρων.] Μέγας. πολύς.

δείσητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς.
Ὣς ἔφαθ'· οἱ δ' ὑπ' ἀμάξῃσι βόας ἡμιόνους τε
ζεύγνυσαν· αἶψα δ' ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος Ἠώς,
καὶ τότ' ἄρ' ἐξέφερον θρασὺν Ἕκτορα δακρυχέοντες,
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
τῆμος ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός.
αὐτὰρ ἐπεὶ ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα λευκὰ λέγοντο κασιγνητοί θ' ἕταροί τε,
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες,
πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν.
αἶψα δ' ἄρ' ἐς κοίλην κάπετον θέσαν· αὐτὰρ ὕπερθε
πυκνοῖσι λάεσσι κατεστόρεσαν μεγάλοισι.

783. πρὸ Ϝάστεος. 784. ἕλϜην. corrig. τοί γ' ἠγίνεον.
791. αἴθοπι Ϝοίνῳ. 793. vulgg. κασίγνητοι ἕταροί τε.

bus, decimo die corpus Hectoris effertur et comburitur.—780. πέμπων με ἀπὸ νηῶν, ἐπέτελλε ὧδέ με (sc. τῶν Ἀχαιῶν) τὴν πημανεῖν (ἡμᾶς) τὴν—dimittens me, ea dedit mandata: ne quis prius lacesseret Trojanos, quam.—786. ἐξέφερον s. ἐκ ἄστεος, s. extra urbem: hoc probabile fit.

788. ad f. Die postero, qui erat undecimus, et induciarum ultimus, fit ossilegium; ossa conduntur in arcula; ea conditur humo, terra effossa; super ea educitur tumulus. Tandem epulum funebre celebratur.—792. Copiosius hæc, quæ sequuntur, in Patrocli funere erant exposita: Ψ. 237. sq. 250. sq. et apparet ritus funebres utriusque populi fuisse fere communes.—795. χρυσείην ἐς λάρνακα, arca in qua ossa cum cinere condebantur: non in urna, quæ in arcam reponeretur, ut de Achille videbamus, Ψ. 91, 92. ubi tamen alter versus est suspectus.—796. quod eam purpurea veste tegunt, non factum est, nisi quamdiu in domo arca fuit posita, donec tumulo condi posset. Disces comparato Ψ. 254. ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν. Sequi debebat; inde confestim humo effossa τάφρον, fossam, fecerunt, in qua arcam reponerent: ad hanc obtegendam magna saxa imposuerunt, et super ea terra congesta tumulum, σῆμα, χῶμα, τύμβον, eduxerunt. Ita digerenda est tota sepultura.—798. κατεστόρεσαν sc.

781. Πημανέειν.] Βλάψειν, κακώσειν. 784. Ἀγίνεον.] Ἦγον. 785. Φαεσίμβροτος.] Ἡ φαίνουσα καὶ παρέχουσα τὸ φῶς τοῖς ἀνθρώποις. 787. Ὑπάτῃ.] Τῇ ἀνωτάτῳ. 793. Λέγοντο.] Συνέλεγον. 794. Κατείβετο.] Κατεφέρετο, κατέῤῥει. 795. Λάρνακα.] Κιβωτόν. 796. Μαλακοῖς.] Νῦν ἁπαλοῖς. 797. Κάπετον.] Τάφον. ὄρυγμα.

ῥίμφα δὲ σῆμ᾽ ἔχεαν, περὶ δὲ σκοποὶ εἵατο πάντῃ,
μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί.
χεύαντες δὲ τὸ σῆμα, πάλιν κίον· αὐτὰρ ἔπειτα
εὖ συναγειρόμενοι, δαίνυντ᾽ ἐρικυδέα δαῖτα,
δώμασιν ἐν Πριάμοιο Διοτρεφέος βασιλῆος.
  Ὣς οἵγ᾽ ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

802. vulg. συναγειράμενοι.

τὸν κάπετον.—800. μὴ πρὶν ἐφορμηθεῖεν. quæ induciæ XII dierum in exitu erant. Tum 802. mos notandus præbendi epuli funebris; est is ὁ τάφος de quo ad Ψ. 29. vidimus.

799. Σκοποί.] Κατάσκοποι. Εἵατο.] Ἐκάθηντο. 801. Χεύαντες.] Χώσαντες. 804. Ἀμφίεπον.] Περιεῖπον. ἠσχολοῦντο.

ΤΕΛΟΣ ΤΗΣ ΙΛΙΑΔΟΣ.

INDICES,

I. NOMINUM ET RERUM,

II. VOCUM GRÆCARUM.

INDEX NOMINUM ET RERUM[a].

A.

[a] Confecti sunt Indices ejusdem viri docti Frid. Chr. Bergmanni Hannov. e seminarii Regii philologici sodalibus, opera, qui industriam suam eruditis Apollodori Indicibus approbaverat. Ignobilia et poeticæ tantum copiæ in ornando inservientia nomina sunt omissa; nec in recensum sunt assumta ea, quæ in Excursibus leguntur.

D.

E.

I.

[b] K. 414. Λ. 166. X. 145. cf. Annot.

N.

O.

Q.

R.

S.

INDEX VOCUM GRÆCARUM MEMORABILIUM,

QUÆ IN ANNOTATIONIBUS NOTATÆ ET EXPLICATÆ SUNT.

[a]ʽΗΡΑΚΛΕΙΔΟΥ

ΑΛΛΗΓΟΡΙΑΙ ʽΟΜΗΡΙΚΑΙ.

1. ΜΕΓΑΣ *ἀπ' οὐρανοῦ καὶ χαλεπὸς ἀγὼν ʽΟμήρῳ καταγγέλλεται περὶ τῆς εἰς τὸ θεῖον* [b]*ὀλιγωρίας.* [1]*πάντῃ γὰρ ἠσέβησεν, εἰ μηδὲν ἠλληγόρησεν· ἱερόσυλοι δὲ μῦθοι, καὶ θεομάχου γέμοντες ἀπονοίας,* [c]*δι' ἀμφοτέρων τῶν σωματίων μεμήνασιν. ὥστε, εἴ τις ἄνευ* [d]*φιλοσόφου θεωρίας, μηδενὸς αὐτοῖς* [2]*ὑφεδρεύοντος ἀλληγορικοῦ τρόπου,* [e]*νομίζοι κατὰ ποιητικὴν παράδοσιν εἰρῆσθαι,* [f]*Σαλμωνεὺς ἂν Ὅμηρος εἴη, καὶ Τάνταλος, ἀκόλαστον γλῶσσαν ἔχων,* [g]*αἰσχίστην νόσον. ὥστε ἔμοι γε καὶ σφόδρα συμβέβηκε θαυμάζειν, πῶς ὁ δεισιδαίμων βίος, ὁ ναοῖς καὶ τεμένεσι καὶ ταῖς διὰ ἔτους ἐν ταῖς περὶ θεῶν* [3]*προτρεπόμενος ἑορταῖς, οὕτω τὴν ὁμηρικὴν ἀσέβειαν ἐνηγκάλισται φιλοστόργως, τοὺς ἐναγεῖς λόγους διὰ στόματος ᾄδων. εὐθὺς γὰρ ἐκ πρώτης ἡλικίας τὰ νήπια τῶν ἀρτιμαθῶν* [4]*παίδων διδασκαλίᾳ παρ' ἐκείνῳ τιτθεύεται, καὶ* [5]*μονονοὺκ ἐνεσπαργανωμένοι τοῖς ἔπεσιν αὐτοῦ, καθαπερεὶ ποτίμῳ γάλακτι, τὰς ψυχὰς ἐπάρδομεν· ἀρχομένῳ δ' ἑκάστῳ συμπαρέστηκε, καὶ κατ'* [h]*ὀλίγον* [6]*ἀπανδρουμένῳ συνηβᾷ, τελείοις δ'*

[a] *ʽΗρακλείτου* perperam habet inscriptio pro *ʽΗρακλείδου.* GESN. In ejusdem editione inscriptus est libellus præeunte Cod. MS. sic: *ʽΗρακλείδου τοῦ Ποντικοῦ ἀλληγορίαι σοφώταται καὶ εἰθικώταται εἰς τὰ τοῦ ʽΟμήρου περὶ θεῶν εἰρημένα, καὶ ἀντιῤῥήσεις τῶν κατ' αὐτοῦ βλασφημησάντων.* SCHOW. Pro *εἰθικώταται* Heynius scribit *ἠθικώταται.*

ib. *Προλεγόμενα τῶν ἀλληγοριῶν τῆς Ἰλιάδος* N. i. e. ms. Nov. Coll. n. 298.

[b] *ἀλληγορίας* N. qui mox *ἰσώσβησεν.*

[1] *πάντ* (τ supra) *πάν* Vat.

[c] *δι'* om. N. qui mox *σωμάτων.*

[d] *φιλοσοφίας* pr. N.

[2] Sic Vat. N. Vulgo *ἐφεδρεύοντος.* Supra *αὐτοῦ* pr. N.

[e] *νομίζει* N.

[f] *Σαλμονεὺς Ὅμηρος ἂν εἴη* N.

[g] Euripidis Orest. v. 10.

[3] *προστρεπόμενος* SCHOW.

[4] Heynius *παιδίων.*

[5] Sic Vat. ut partim conjecit Schow. Vulgo *μονονοὺ ἐσπαργανωμένοις.*

[h] Fuit in codice Galei ab *ἀνδρουμένῳ* ad *τελείοις* lacuna. Videtur tantummodo verbum aliquod deficere, quod *τοῖς συμπαρέστηκε* et *ἐνακμάζει* respondeat, verbi causa: *καὶ κατ' ὀλίγον ἀπανδρουμένῳ παραστατεῖ, et ad virilem ætatem paulatim progredienti illa adest tanquam comes perpetua.* SCHOW.

[6] *ἀπανδρουμένῳ.* Sic Vat. *συνηβᾷ* addit N. ms. *συνηβῶ* pr.

ἐνακμάζει, καὶ κόρος οὐδὲ εἷς ἄχρι γήρως, ἀλλὰ παυσάμενοι διψῶμεν αὐτοῦ πάλιν ἐνάρχεσθαι, [i]καὶ σχεδὸν ἓν πέρας Ὁμήρῳ παρ' ἀνθρώποις, ὃ καὶ τοῦ βίου.

2. Δι' ὧν σαφὲς, οἶμαι, καὶ πᾶσιν [k]εὔδηλον, ὅτι οὐδεμία κηλὶς [l]ἐναγῶν μύθων τοῖς ἔπεσιν [7]ἐνεσπείρηται. [m]καθαρὰ δὲ καὶ παντὸς ἁγνεύουσα μύσους Ἰλιὰς πρώτη, καὶ μετὰ ταύτην Ὀδύσσεια, σύμφωνον ἑκατέρα περὶ τῆς ἰδίας εὐσεβείας κέκραγε φωνήν·

[n]Οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.
[o]Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἰσοφαρίζειν.

[p]Οἷος μὲν ἐν οὐρανῷ διὰ τῶν ἐπῶν καθιέρωται Ζεὺς, ἀφανεῖ νεύματι σείων· ὡς δὲ Ποσειδῶνος [8]ὁρμήσαντος αἰφνιδίως,

[q]Τρέμε δ' οὔρεα μακρὰ, καὶ ὕλη.

τὰ αὐτὰ δ' ὑπὲρ Ἥρας ἄν τις [r]εἴποι·

[s]Σείσατο δ' εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον.

ὁμοίως δὲ Ἀθηνᾶν παρεστάναι·

[t]Θάμβησεν δ' Ἀχιλεὺς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην, δεινὼ δέ οἱ ὄσσε φάανθεν.
[u]Οἵη δ' Ἄρτεμις εἶσι κατ' [9]οὔρεος ἰοχέαιρα,
Ἢ κατὰ Τηΰγετον περιμήκετον, ἢ Ἐρύμανθον,
Τερπομένη κάπροισι καὶ [v]ὠκείῃς ἐλάφοισιν.

[i] Inter πάλιν et καὶ σχεδὸν lacuna in MS. Gale. ἐνάρχεσθαι addit N.

[k] Inter εὔδηλον et οὐδεμία aliquid deesse MS. notabat Gale. ὡς οὐδεμία N.

[l] ἀναγῶν Rs.

[7] ἐνεσπείρηται] Vox Heynio suspecta. ἔσπαρται N.

[m] καθαρὰν δὲ καὶ παντὸς ἁγνεύουσαν λύσιν] Locus hic corruptus est in voce λύσιν, quæ si prorsus abesset, reliqua satis convenirent: καθαρὰν —φωνὴν κέκραγεν ἑκατέρα περὶ τῆς et sic porro. Doctus hujus libelli interpres Gesnerus locum hunc ita vertit, ut videatur legisse: παντὸς ἁγνεύουσαν μύσους, *ab omni scelere et flagitio intactam,* qua lectione omnia sunt clara et expedita. Occurrit similis locus c. 34. ὥσθ' Ἡρακλέους χεῖρες ἁγνεύουσι παντὸς ὀλυμπίου μύσους. Schow. καθαρὰ δὲ καὶ παντὸς ἁγνεύουσα μύσους N.

[n] Il. Z. 129.

[o] Il. O. 104.

[p] Οἷος] οἱ N.

[8] Sic Vat. pro ὁρμίσαντος. Mox idem τρέμεν οὔρεα. Et N.

[q] Il. N. 18.

[r] εἴποι] ἐρεῖ N.

[s] Il. Θ. 199.

[t] Il. A. 199. Gesn. ed. θάμβησε et δεινά.

[u] Od. Z. 102. In edd. Homeri legitur: κατ' οὔρεος et ὠκείῃς. Hi versus, a versibus Homericis, proxime allatis, disjungi, nec continua oratione efferri, debebant; ideoque hiulcum locum Gesnerus vertendo ita supplevit: *Et de Diana, sic canit:* facile autem animadvertitur, nunquam ab ipso auctore citatos esse hos versus; sed a seriore demum Grammatico oræ codicis adnotatos, et deinde a librariis contextui insertos. Schow.

[9] Sic Vat. οὔρεα vulg.

[v] ὠκείαις] ὠκείῃς N.

Ἃ μὲν γὰρ ἐξ ἴσου καὶ κατὰ κοινὸν ὑπὲρ [x]ἁπάντων ἱεροπρεπῶς τεθεολόγηται, τί δεῖ καὶ λέγειν;

[y]Μάκαρες θεοὶ αἰὲν ἐόντες,

καὶ[z],

—ἄφθιτα μήδε' ἔχοντες·

ἢ νὴ Δία,

[a]Δωτῆρες ἐάων,

καὶ,

[b]Ῥεῖα ζώοντες.
[c]Οὐ γὰρ σῖτον ἔδουσ', [d]οὐ πίνουσ' αἴθοπα οἶνον,
Τοὔνεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται.

3. Τίς [10]οὖν ἐπὶ τούτοις Ὅμηρον ἀσεβῆ λέγειν τολμᾷ;

[e]Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων.
Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις,
Καὶ ποταμοὶ, καὶ γαῖα, καὶ οἱ ὑπένερθε καμόντας
Ἀνθρώπους [11]τίννυσθον, ὅ τις κ' ἐπίορκον ὀμόσσῃ·

[f]Ὑμεῖς μάρτυρές ἐστε τῆς Ὁμήρου θεοσεβοῦς προαιρέσεως, [12]ὅτι πάθεσιν ἐξαιρέτοις [g]ἐπὰν νεωκορῇ τὸ δαιμόνιον, ἐπεὶ κ' αὐτός ἐστι θεῖος. εἰ δ' [13]ἀμαθῶς τινες ἄνθρωποι τὴν ὁμηρικὴν ἀλληγορίαν ἀγνοοῦσιν, οὐδ' εἰς [h]τοὺς μυχοὺς τῆς ἐκείνου σοφίας καταβεβήκασιν, ἀλλ' ἀβασάνιστος αὐτοῖς ἡ τῆς ἀληθείας κρίσις ἔῤῥιπται, καὶ τὸ φιλοσόφως ῥηθὲν οὐκ εἰδότες, ὃ μυθικῶς δοκεῖ πλάσαι, [i]προσαρμόζουσιν, οὗτοι μὲν ἐῤῥέτωσαν· ἡμεῖς δ', οἱ τῶν ἀβεβήλων ἐντὸς περιῤῥαντη-

[x] πάντων N.

[y] Od. Θ. 306. M. 371. 377.

[z] Il. Ω. 88. Hom. hymn. in Venerem v. 43. Legitur autem in utroque loco: ἄφθιτα μήδεα εἰδώς. Quod de Jove ibi dicitur, auctor de omnibus diis intelligendum esse monere voluit, ut recte Gale. Schow.

[a] Od. Θ. 324.

[b] Od. Δ. 805. E. 122. et sæpe alibi.

[c] Il. E. 342.

[d] οὐδὲ πίνουσι Rs.

[10] Addidi οὖν ex Vat.

[e] Iidem versus iterum infra c. 23. repetuntur. Primus est ex Il. B. 412. reliqui ex Il. Γ. 276. unde eos emendavimus; nam in edd. legebatur: καὶ οἱ ὑπένερθε καμόντες ἀνθρώποις τίνυσθον. Schow.

[11] τίνυσθον Vat. Tum ὅστις οὐκ ἐπίορκον ὀμόσσει N.

[f] Alluditur ad Il. Γ. 280.

[12] ὅτι πάθεσιν ἐξαιρέτοις ἐπῶν νεωκορεῖ τ. δ. Schow.

[g] Nullus commodus sensus huic loco inest. Equidem ἐπὰν mutandum arbitror in ἐπῶν a τὰ ἔπη, et pro νεωκορῇ, quandoquidem cum ὅτι jungitur, scribendum est νεωκορεῖ, ut omnino locus ita refingatur: ὅτι πάθεσιν ἐξαιρέτοις ἐπῶν νεωκορεῖ τὸ δαιμόνιον, *poetam, ait, ea, quæ deos attinent, carminibus pie et religiose describere, et in eo quasi deorum ministri partes agere.* Schow. ἐπὰν ὠκορεῖ N.

[13] ἀμαθεῖς Heyne.

[h] τὰ μύχια] τοὺς μυχοὺς N.

[i] προσαρμόζουσιν] προσαρπάζουσιν N.

ρίων ἡγνίσμεθα, [k] σεμνὴν ὑπὸ νόμῳ τῶν ποιημάτων τὴν ἀλήθειαν ἰχνεύωμεν.

4. [l] Ἐρρίφθω δὲ καὶ Πλάτων ὁ κόλαξ, [m] Ὁμήρου συκοφάντης, ἔνδοξον [n] ἀπὸ τῆς ἰδίας πολιτείας τὸν φυγάδα προπέμπων, λευκοῖς ἐρίοις ἀνεστεμμένον, καὶ πολυτελεῖ μύρῳ τὴν κεφαλὴν διάβροχον. [o] οὐδ᾽ Ἐπικούρου φροντὶς [p] ἡμῖν, [q] ὃς τῆς ἀσέμνου περὶ τοὺς ἰδίους κήπους ἡδονῆς γεωργός ἐστιν, ἅπασαν ὁμοῦ ποιητικὴν, ὥσπερ ὀλέθριον μύθων δέλεαρ, ἀφοσιούμενος. πρὸς οὓς μέγα δή τι στενάξας, εἴποιμ᾽ ἂν εὐλόγως·

[r] Ὦ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται.

καὶ τὸ πικρότατον, ἀρχὴν ἑκάτεροι τῶν παρ᾽ [s] ἑαυτοῖς δογμάτων ἔχοντες Ὅμηρον, ἀφ᾽ οὗ τὰ πλεῖστα τῆς ἐπιστήμης ὠφέληνται, περὶ τοῦτον ἀχαρίστως εἰσὶν ἀσεβεῖς. ἀλλ᾽ ὑπὲρ μὲν Ἐπικούρου καὶ Πλάτωνος αὖθις [14] ἐξέσται λέγειν.

5. Νυνὶ δ᾽ ἀναγκαῖον ἴσως μικρὰ καὶ σύντομα περὶ τῆς ἀλληγορίας τεχνολογῆσαι. σχεδὸν γὰρ αὐτὸ τοὔνομα, καὶ λίαν ἐτύμως εἰρημένον, ἐλέγχει τὴν δύναμιν αὐτῆς. ὁ γὰρ ἄλλα μὲν ἀγορεύων τρόπος, ἕτερα δὲ, ὧν λέγει, σημαίνων, ἐπωνύμως ἀλληγορία καλεῖται. καθάπερ Ἀρχίλοχος μὲν ἐν τοῖς Θρᾳκικοῖς ἀπειλημμένος δεινοῖς, τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι, λέγων ὧδέ πως·

[t] Γλαῦχ᾽ ὅρα, βαθὺς γὰρ ἤδη κύμασιν ταράσσεται

[k] σοφὴν N. pr.

[l] Hæc in Platonem acerbitas respicit disputationem politicam, quam super lectione Homerica et poesi dramatica libris de republic. II. et III. p. 603. f. ad p. 614. deinde lib. X. p. 751. c. Plato instituit. Ad hæc etiam loca conferri potest Plutarch. de Audiendis Poetis p. 15. e. seqq. Schow.

[m] καὶ Ὁμήρου N.

[n] οὐ τῆς ἰδίας N. et mox νῦν τὸν φυγάδα.

[o] Quinam hi horti Epicuri fuerint, et quænam illa dogmata et præcepta, quæ in his hortis auditoribus suis tradidit, exposuit Diog. Laert. in vita Epicuri lib. X. p. 608. segm. 10. 136. 139. 140. edit. Menag. Pro τις ἀσέμνου, τῆς ἀσέμνου, e MS. Angl. reponere non dubitavi: hanc enim textus mutationem postulabant ratio et solitus scriptionis codicum error. ἅπασαν ὁμοῦ ποιητικὴν—ἀφοσιούμενος. talia ab Epicuro tradita fuisse, innuere videtur Plutarchus de Audiend. Poet. p. 15. D. edit. Francof. Πότερον οὖν τῶν νέων ὥσπερ τῶν Ἰθακησίων κηρῷ τινι τὰ ὦτα ἀτέγκτῳ καταπλάσσοντες ἀναγκάζωμεν αὐτοὺς, τὸ ἐπικουρεῖον ἀκάτιον ἀραμένους, ποιητικὴν φεύγειν καὶ παρεξελαύνειν; ἢ μᾶλλον ὀρθῷ τινι λογισμῷ περιστάντες καὶ καταδέοντες, τὴν κρίσιν, ὅπως μὴ παραφέρηται τῷ τέρποντι πρὸς τὸ βλάπτον, ἀπευθύνωμεν καὶ παραφυλάττωμεν; Schow.

[p] ἡμῖν om. N.

[q] Ex MS. Angl. (sic et Vat.) ὃς τῆς ἀσέμνου reposuimus. vulgo vitiose ὅς τις legebatur. Schow.

[r] Od. A. 32.

[s] αὐτοῖς N.

[14] ἐξέστω Vat.

[t] Occurrunt hi versus Archilochi etiam in Plutarch. de Superstitione

πόντος, ἀμφὶ δ' ἄκρα [u]γυρεὸν [15]ὄρπον ἵσταται νέφος,
σῆμα χειμῶνος, κιχάνει δ' ἐξ ἀελπτίης φόβος.

Ἐν ἱκανοῖς δὲ καὶ τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγοροῦντα. τὰς γὰρ τυραννικὰς [16]ταραχὰς ἐξίσου χειμερίῳ προσεικάζει [17]καταστήματι θαλάσσης, ἀσυνέτην νὴ τῶν ἀνέμων στάσιν·

[x]Τὸ μὲν γὰρ [y]ἔνθεν κῦμα κυλίνδεται,

p. 169. edit. Paris. sed pro γυρεὸν ὄρπον legitur ibi γυρεῦον ὀρθόν. Theod. Canterus Var. Lect. II. 15. ita excitat: ἀμφὶ δ' ἄκρᾳ γυρεὸν ὀρθὸν ἵσταται νέφος. At Brunckius V. C., nescio utrum ex sua an ex alterius emendatione, γυρεὸν ὀρφνὸν edidit in Analectis vet. Poet. Græc. tom. I. 42. XIII. ubi hi versus ad metrum trochaicum ita digesti sunt:

Γλαῦκ', ὅρα· βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται
Πόντος, ἀμφὶ δ' ἄκρᾳ γυρεὸν ὀρφνὸν ἵσταται νέφος,
Σῆμα χειμῶνος· κιχάνει δ' ἐξ ἀελπτίης φόβος.

Præiverat in his constituendis Piersonus Verisimil. lib. II. c. 10. p. 253. 4. Nihil melius scribitur κύμασιν ταράσσεται; at idem γυρεὸν ὄρπον retinet; ὄρπος quid sit ignoro. γυρεὸς idem esse videtur, quod γυρὸς, κυρτός. Sane ὀρφνὸν magis est poeticum, quam vulgata lectio ὀρθὸν, nam γυρεὸν ὀρφνὸν νέφος *cavæ et atræ nubes* ad speciem rei est magis terrificum, est etiam huic loco convenientius; quum atræ nubes tempestatum et procellarum indicia esse soleant. τὰ ἄκρα sunt haud dubie *cacumina montium ac promontoria, quibus adhærescunt atræ illæ nubes.* κιχάνει δ' ἐξ ἀελπτίης φόβος. hæc Plutarchus l. cit. non habet. ἐξ ἀελπτίης Hesych. ἐξ ἀνελπίστου i. e. ἀελπτῶς, *inopinanter.* Occurrit etiam ἀελπτίᾳ in Pindar. Pyth. XII. v. 55. οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλών. SCHOW.

[u] γυραὶ ὀρθ' ἵσταται N.

[15] ὄρπων Vat.

[16] Sic Vat. Vulgo om. ταραχάς. Pro ἐξίσου Galeus dedit ἐξουσίας.

[17] Sic Vat. plenius tamen post καταστήματι· (sic) interpungens. Vulgo, καταστήματι θαλάσσης, ἀσυνέτην καὶ τ. α. σ. Lectu difficilis est h. l. N. qui videtur tamen exhibere ἀσινε ἐτι τῶν ἀνέμων στῆσιν. (with τη written above)

[x] Exstant hi versus Alcæi, in quibus multa adhuc obscura aut corrupta sunt, etiam in Fulvii Ursini Carm. Poet. Lyric. p. 102. pro μεγάλῳ καλὰν legitur ibi μεγάλῳ κάλα. pro χολαῖσι, χαλᾶσι. Ad Heraclidis textum eos recensuit Henricus Stephanus in Fragm. Lyric. Poet. p. 17. pro ζάδηλον tamen habet ἄδηλον. Καὶ λακίδες μεγάλαι κατ' αὐτὸ (sc. τὸ λαῖφος) *scissuris magnis vela dilacerantur.* λακίδες apud Hesychium sunt: τὰ λεπτὰ τῶν ἀρμένων σχίσματα. At χολαῖσι est vitiosa lectio; habent Stephanus et Ursinus χαλᾶσι, quod Æolice dictum pro χαλῶσι. scilicet χαλῶσι δ' ἄγκυραι, *sese relaxant vel remittunt anchoræ e fundo maris, cui antea infixæ erant.* Tandem illa verba: καλὰν παρὰ μὲν γὰρ ἄντλος ἱστοπέδαν ἔχει, sunt admodum obscura. Pro καλὰν Ursinus, ut modo dixi, habet κάλα. Hesych. et Suid. κάλα· τὰ ξύλα. h. l. *trabes navis;* sed vocem hanc metrum respuit. Videri potest latere vox κάλως s. κάλος, *rudens.* At latet aliud vitium in παρὰ μὲν γὰρ vel πὰρ μὲν γὰρ, ut Ursinus metri causa legit, cui mederi nequeo. Τὸν ἄντλον interdum a poetis pro θάλασσα vel πόντος adhiberi, V. V. D. D. ad Hesychium in h. v. multis exemplis probarunt; sic in Euripidis

Τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσον
Ναΐ φορήμεθα σὺν μελαίνᾳ,
Χειμῶνι μοχθεῦντες μεγάλῳ [18] καλὰν
Πὰρ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
Λαῖφος δὲ πᾶν [19] ζάδηλον ἤδη
Καὶ λακίδες μεγάλαι κατ' αὐτό.
χολαῖσι δ' ἄγκυραι.

τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας, ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον; ἀλλ' οὐχ οὕτως ἔχει· Μύρσιλος [z] γὰρ ὁ δηλούμενός ἐστι, καὶ τυραννικὴ κατὰ Μιτυληναίων ἐγειρομένη σύστασις. ὁμοίως δὲ τὰ ὑπὸ τούτου αἰνιττόμενος ἑτέρωθί που λέγει·

[a] Τόδ' [20] εὖτε κῦμα τῷ προτέρῳ νέμῳ
στίχει, [b] παρέξει δ' ἄμμι πόνον πολὺν
[c] ἄντλην.

ἐπεὶ καὶ ναὸς [d] ἐμβαίνει. κατακόρως ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει, καὶ τὰ πλεῖστα τῶν διὰ τοὺς τυράννους ἐπεχόντων κακῶν [e] πελαγείοις χειμῶσιν εἰκάζει. Καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν [f] φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπερηφανίαν ὀνειδίζων, τὸν ἐν [g] αὐτῇ σκιρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν, οὕτω λέγων·

[h] Πῶλε [i] Θρηικίη, τί δή με

Hecuba v. 1025. ἄντλον ἀλίμενον scholiastes exposuit per τὸ πέλαγος ἀλίμενον. ἱστοπέδη a lexicographis secundum Eustathium ita constituitur: τόπος, ἐν ᾧ τίθεται ὁ ἱστὸς, ἢ ξύλον ὀρθὸν, ᾧ προσδέδεται ὁ ἱστός. Si hoc loco ἱστοπέδη poetica ratione adhibitum est pro ἱστὸς, *malus ipse*, ἄντλος ἱστοπέδαν ἔχει eo ducit, ut sensus sit: *in mare malum decidisse.* Aliam rationem iniisse video Virum Celeb. Valckenaer. ad Ammonium p. 114. ut legat: κοίλαν πὰρ μὲν γὰρ ἄντλος ἱστοπέδαν ἔχει. ut ita sit: ἄντλος παρέχει κοίλαν ἱστοπέδην. Ceterum fragmentum hoc Alcæi expressit Horat. Carm. lib. I. 14. Schow.

y ἔνθα N. et mox ἐνθ'.

18 μεγάλῳ, καλά περ ἄμεν γὰρ ἄντλος Vat. καλὰ περάμεν—ἰσοπέδαν N.

19 ζάδηλον] Sic Vat. et mox, μεγάλαι, κατ' αὐτὸ χολαῖσι δ' ἄ.

z γὰρ om. N. qui mox Μιτυληναῖον.

a Etiam hi versus Alcæi exstant in Stephani Fragm. Lyric. Poet. p. 18. Pro τὸ δὲ legitur ibi τὸ δὴ, et h. l. in ed. Gesn. τοδί. Fulvius Ursinus τόδ' εὖτε, et pro τῷ προτέρῳ νεομωστίχει, quæ est prorsus vitiosa lectio, habet τῷ προτέρ' ὠνέμῳ στίχει. latere in hoc suspicatur Ill. præceptor meus: τὸ δεύτερόν γε κῦμα τῷ προτέρῳ ὁμοστιχεῖ. *cum primo fluctu alter procedit.* Schow.

20 τόδ' εὖ τε—προτέρῳ νέμῳ στίχει—πόνον πολὶν ἄντλην Vat. τὸ δ' αὖτε—νόμῳ στείχει N. τὸ δὲ εὖ γε—νεομωστίχει—πόνων πολλὴν ἄ. Vulgo.

b παρέχει N.

c ἀντίον N.

d ἐμβαίνει κόρος N. qui mox ὁ νησιότης θαλαττεύει.

e πελαγίοις N.

f φώνημα N.

g αὐταῖς N.

h V. Anacr. Carm. LIX. vel LXI. ex h. l. servatum et editum. Sch.

i Θρηικία N.

λοξὸν ὄμμασι βλέπουσα
νηλεῶς φεύγεις, δοκέεις δὲ
μ' οὐδὲν εἰδέναι σοφόν.
Ἴσθι τοὶ, καλῶς μὲν ἄν τοι
τὸν χαλινὸν ἐμβάλοιμι,
ἡνίας δ' ἔχων, στρέφοιμι
ἀμφὶ τέρματα δρόμου.
Νῦν δὲ λειμῶνάς τε βόσκεαι,
κοῦφά τε [21]σκιρτῶσα παίζεις·
δεξιὸν γὰρ ἱπποπείρην
οὐκ [k]ἔχεις ἐπεμβάτην.

Καὶ καθόλου [l]μακρὸς ἂν εἴην ἐπεξιὼν ἕκαστα τῶν παρὰ ποιηταῖς τε καὶ [m]συγγραφεῦσιν ἠλληγορημένων· ἀπόχρη δ' ὀλίγαις εἰκόσι τὴν ὅλην τοῦ πράγματος τεκμηριώσασθαι φύσιν. [22]Ἀλλ' οὐδ' αὐτὸς Ὅμηρος ἀμφιβόλοις ἔσθ' ὅτε καὶ ζητουμέναις ἔτι ταῖς ἀλληγορίαις εὑρίσκεται χρώμενος, [n]ἐνεργῆ τὸν τρόπον ἡμῖν τῆς ἑρμηνείας παραδέδωκε τοῦτον, ἐν οἷς Ὀδυσσεὺς, τὰ πολέμου καὶ μάχης κακὰ διεξιὼν, φησίν·

[o]Ὡς ὅτε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν·
ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεύς.

Τὸ μὲν γὰρ λεγόμενόν ἐστι γεωργία, τὸ δὲ νοούμενον μάχη· πλὴν ὅμως δι' ἐναντίων ἀλλήλοις πραγμάτων τὸ δηλούμενον [23]ἐπείπομεν.

6. [p]Ὁπότ' οὖν συνήθης μὲν ἅπασι τοῖς ἄλλοις ὁ τῆς ἀλληγορίας τρόπος, ἠγνόηται δὲ οὐδὲ παρ' Ὁμήρῳ, τί παθόντες, ὅσα φαύλως ἔχειν δοκεῖ [q]περὶ θεῶν, οὐ διὰ τοιαύτης ἀπολογίας θεραπεύσομεν; τάξις δέ μοι γενήσεται τῶν λόγων ἡ τῶν ὁμηρικῶν ἐπῶν τάξις, ἐν ἑκάστῃ ῥαψῳδίᾳ διὰ λεπτῆς ἐπιστήμης [r]ἐπιδεικνύντι τὰ περὶ θεῶν ἠλληγορημένα. Ὁ τοίνυν μιαρὸς ἀεὶ καὶ βάσκανος φθόνος οὐδὲ τῆς πρώτης ἐν ἀρχῇ πέφεισται· πολὺς δ' αὐτῷ [s]θρυλλεῖται περὶ τῆς

21 σκιρτοῖσα Vat. et v. seq. ἕξεις.
k ἕξεις N.
l μακρὸν N. οἶ
m ζωγραφεῦσιν N. qui mox om. δ'.
22 ἀλλ' οὖν αὐτὸς Ὅμηρος, ὃς—εὑρίσκεται χρώμενος, ἐν ἀρχῇ—παραδέδωκε. HEYNE. Mens auctoris hæc est: quin etiam Homerus ipse, ambiguis allegoriis usus, allegoricam hanc interpretandi rationem nobis tradidit et commendavit. ἀλλ' οὐδὲ, quod huic loco haud convenit, mutandum puto in ἀλλ' ὅγε. ἔσθ' ὅτε καὶ ζητουμέναις ἔτι videntur aliena manu interposita. SCHOW.
n ἐν ἀρχῇ] ἐνεργῆ N.
o Il. T. 222. ubi legitur: Ἧς τε πλείστην. Vat. habet ἢ ὅτε πλ. et N.
23 ἐπεῖπεν HEYNE. εἴπομεν N.
p Ex MS. Angl. ὁπότ' οὖν recepi (sic et Vat.); vulgo πότ' οὖν. SCH. ὁπόταν N.
q MS. Angl. περὶ θεῶν. GALE. et sic Vat. Al. ἐπί.
r δεικνύοντι περὶ θεῶν om. ἠλληγορημένα N.
s θρυλλοῦται N.

Ἀπόλλωνος ὀργῆς λόγος, ὅτι τοὺς οὐδὲν αἰτίους Ἕλληνας οἱ μάτην [t]ἀφεθέντες οἰστοὶ παρανάλωσαν, καὶ οὕτως ἄδικός ἐστιν ἡ τούτου μῆνις, ὥσθ' ὁ μὲν ὑβρίσας Χρύσην Ἀγαμέμνων οὐδὲν ἐξαίρετον ἔπαθεν, ὀφείλων, εἴπερ [u]ἠδίκει, κολασθῆναι· [x]οἱ δ' ἐπιβοήσαντες,

Αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα,

τῆς ἀγνωμοσύνης τοῦ μὴ πεπεισμένου γεγόνασι παρανάλωμα. Πλὴν ἔγωγε τὴν [y]ὑπολελημμένην ἐν τοῖς ἔπεσιν ἀλήθειαν ἀκριβῶς διαθρήσας, οὐκ Ἀπόλλωνος ὀργὴν οἶμαι [24]ταῦτα, λοιμικῆς δὲ νόσου κακὸν, οὐ θεόπεμπτον, ἀλλ' αὐτόματον φθορὰν [25]συστᾶσαν τότε καὶ πολλαχῆ, ωστε καὶ μέχρι τῶν δεῦρο [z]χρόνων ἐκνέμεσθαι τὸν ἀνθρώπινον βίον. ὅτι μὲν τοίνυν ὁ αὐτὸς Ἀπόλλων ἡλίῳ, καὶ [a]θεὸς εἷς δυσὶν ὀνόμασι κοσμεῖται, σαφὲς ἡμῖν ἔκ τε τῶν μυστικῶν λόγων, οὓς αἱ ἀπόῤῥητοι τελεταὶ θεολογοῦσι, [b]καὶ τὸ δημῶδες ἄνω καὶ κάτω θρυλλούμενον· ἥλιος Ἀπόλλων, ὁ δέ γε Ἀπόλλων ἥλιος.

7. Ἠκρίβωται δ' ἡ περὶ τούτων ἀπόδειξις καὶ Ἀπολλοδώρῳ, περὶ πᾶσαν ἱστορίαν ἀνδρὶ δεινῷ· τοῦτ' ἔγωγε τὴν [c]ἐπὶ πλέον ἐξεργασίαν καὶ ἀκαίρου λόγου περιττὸν ὑπερθήσομαι μῆκος· ἐκεῖνο δὲ, ὃ ἐκ τῆς ἡμετέρας εἰκασίας ἀναγκαῖον εἰπεῖν, οὐ παρήσω, δεικνὺς, ὅτι καὶ καθ' Ὅμηρον [26]ὁ αὐτός ἐστιν Ἀπόλλων καὶ ἥλιος. τοῦτο δὲ, εἰ λεπτῶς ἐθέλει σκοπεῖν τις, ἐξ ἁπάντων εὑρήσει τῶν [d]ἐπιθέτων γνώριμον· [e]ἀμέλει Φοῖβον αὐτὸν εἴωθε συνεχῶς ὀνομάζειν, οὐ μὰ Δία οὐκ ἀπὸ Φοίβης, ἣν Λητοῦς [f]φασιν εἶναι μητέρα· σύνηθες γὰρ Ὁμήρῳ τοῖς πατρόθεν ἐπιθέτοις χρῆσθαι, [g]τὰ δ' ἐκ μητέρων οὐκ ἂν εὕροι τις ὅλως παρ' αὐτῷ. Φοῖβον οὖν, ἀπὸ τῶν ἀκτίνων λαμπρὸν, αὐτὸν ὀνομάζει, τὸ μόνον ἡλίῳ προσὸν ἐξ ἴσου κοινώσας Ἀπόλλωνι. [h]καὶ μὴν οὐδ' ἑκάεργον εἰκός ἐστιν Ἑκαέργης [i]ὁμώνυμον εἶναι, τῆς ἐξ Ὑπερβορέων ἀπαρχὰς ἐπὶ Δῆλον [27]ἐνεγκούσης, ἀλλ' ἔστιν ἐτύμως ἑκάεργος, ὁ τὰ ἕκαθεν ἐργαζόμενος, τουτέστιν ὁ ἥλιος, [28]ὁ πόῤῥωθεν ἀφεστὼς τῆς ἡ-

t ἀφέντες N.
u ἠδίκη N.
x Il. A. 23.
y ὑπολελειμένην τοῖς ἔπεσιν N.
24 Sic Vat. Olim ταύτην.
25 συστᾶντος] συστᾶσαν Schow. συστάντος τοῦ πάθους Heyne. φορὰν συστᾶσαν N.
z χρόνων om. N.
a θεῷ N. qui mox ἐν δυσίν.
b καὶ τὸ θρυλλούμενον ἄνω καὶ κάτω, ὁ ἥλιος Ἀπ. N.
c ἐπιπλέον ἐξεργασίαν MS. Angl. Gale. Et quod ad v. ult. Vat. Vulgo ἐπεργεσίαν.
26 Articulus inseritur ex em. Schowii.
d ἐπιθέντων N.
e Ut Il. A. 13. 64. 72. 182. 456. et sæpe alibi.
f εἶναι μητέρα φασί N.
g τοῖς mox εὕρητις om. ὅλως παρ' αὐτῷ N.
h Il. A. 147. et sæpe. Sic N.
i ὁμώνιμον εἶναι ἑκάεργον—Ὑπερβορείων τὰς N.
27 ἐνεγκούσας Vat.
28 πόῤῥωθεν ὁ ἀφ. Vat. πόρρωθεν ὑφεστὼς N.

μετέρας γῆς, ὡρῶν [k] ἐπιγείων γεωργὸς, εὐκαίρως ἐφίσταται τῇ γῇ, χειμῶσιν ἀντιμετρῶν, [29] καὶ πλωτοῦ ἀροτοῦ τε, καὶ σπορᾶς ἀμητοῦ τε, καὶ τῶν κατὰ [30] γεωμορίαν ἔργων αἴτιος [l] ἀνθρώποις γενόμενος. [m] Λυκηγενέτην δὲ προσηγόρευσεν αὐτὸν, οὐχ ὡς ἐν [n] Λυκίᾳ [31] γεγενημένον, ἔξω γὰρ [o] οὖν τῆς ὁμηρικῆς ἀναγνώσεως οὗτος νεώτερος μῦθος· ἀλλ' ὥσπερ, οἶμαι, [p] τὴν ἡμέραν ἠριγένειαν ὀνομάζει, τὴν τὸ ἦρ γεννῶσαν, ὅπερ ἐστὶν [q] ὄρθρον, οὕτω λυκηγενῆ προσηγόρευσε τὸν ἥλιον, ἐπειδὴ τοῦ κατὰ τὴν [r] ὄρθριον ὥραν λυκαυγοῦς αὐτός ἐστιν αἴτιος, ἢ ὅτι τὸν λυκάβαντα γεννᾷ, τουτέστι, [s] τὸν ἐνιαυτόν· ὅρος γὰρ ἐτησίου χρόνου, διαδραμὼν ἥλιος ἐν μέρει τὰ δώδεκα ζώδια. καὶ μὴν χρυσάορον αὐτὸν ὠνόμασεν, οὐχ ὡς [t] ἐπεζωσμένον χρυσοῦν ξίφος· [32] ἀνοίκειον γὰρ Ἀπόλλωνι τὸ ὅπλον, τοξότης γὰρ ὁ θεός· ἀλλ' [u] ἐπειδήπερ ἐξ ἀνατολῶν χρυσῷ μάλιστα τὸ [x] φέγγος ὁραθὲν ἔοικεν, εἰρέθη πρέπον ἐπίθετον [y] τῷ ἡλίῳ, διὰ τὰς ἀκτῖνας, [z] ὁ χρυσάωρ· [a] ὅθεν, οἶμαι, κἂν τῇ θεομαχίᾳ Ποσειδάωνι ἵσταται διαμιλλώμενος· αἰεὶ γὰρ [33] ἄσπειστος ἔχθρα πυρὶ καὶ ὕδατι, τῶν δύο στοιχείων ἐναντίαν πρὸς ἄλληλα φύσιν ἀποκεκληρωμένων· διὰ τοῦθ' ὁ Ποσειδῶν, ὑγρά τις [b] ὢν ὕλη, καὶ [c] παρὰ τὴν πόσιν οὕτως ὠνομασμένος, ἐξ ἀντιπάλου μάχεται [d] ταῖς διαπύροις ἀκτῖσι τοῦ ἡλίου. πρὸς γὰρ Ἀπόλλωνα [34] ποίαν ἔχει πρόφασιν ἐξαίρετον ἀπεχθείας;

8. Ταῦτα τοίνυν εἰρήσεται, ἀνθ' ὅτου ποτὲ τὸν [e] αὐτὸν ἀπεφηνάμην ἥλιον Ἀπόλλωνι. καὶ τί πειρώμενος κατασκευάζειν, αἱ λοιμικαὶ νόσοι τὴν μεγίστην ἔχουσι τῆς [f] φθορᾶς πρόφασιν τὸν ἥλιον· ὅταν μὲν

[k] ἐπιτηδείων. N.

[29] καὶ πρώτου τε καὶ σπορᾶς Vat. ποτοῦ τε καὶ σπορᾶς N.

[30] Sic Vat. Vulgo, γεωργίαν. Sic N.

[l] τοῖς ἀνθ. N.

[m] Λυκηγενὴς occurrit in Homero Il. Δ. 101. 119. alterum λυκηγενέτης apud alios poetas legitur. Schow.

[n] λυκείῳ N.

[31] γεγεννημένον. Vat. et mox οὗτος ὁ νεώτερος.

[o] οὖν om. N.

[p] Ut Il. A. 477. et sæpe.

[q] τὸν ὄρθρον N.

[r] αἴθριον N.

[s] ἤτοι τὸν N.

[t] ἐπεζωσμένον N.

[32] ἀνοίκιον Vat. omisso in proximis οὐ, quod et delevi. v. Schol. Ven. Il. E. 509.

[u] ἐπειδὴ N.

[x] φάσι N.

[y] τῷ om. N.

[z] τὸ χρυσάορον N.

[a] Il. Υ. 67.

[33] ἄσπειστος Pierson. ἄσπονδος Schol. Ven. ἄπιστος vulgo. ἄπειστος N.

[b] ὢν om. N.

[c] παρὰ legitur ex Gesneri emendatione pro περὶ, quod in MS. suo invenerat. Habet etiam περὶ MS. Angl. et omittit ὤν. Gale. Et sic Vat.

[d] τοῖς N.

[34] ποιὰν] ποίαν Vat. ποσειδῶν. Schol. Ven.

[e] Leg. τὸν αὐτὸν ἀπεφ. Gale. Sic Vat. Vulgo deest αὐτόν. Mox omisi πρὸς cum Vat. ante τὸν ἥ.

[f] φορᾶς.

γὰρ [g] ἡ θέρειος αὐγὴ, μαλακὴ καὶ πραεῖα, δι' εὐκράτου τῆς ἀλέας ἡσυχῇ [35] διαθάλπηται, σωτήριον ἀνθρώποις ἐπιμειδιᾷ φέγγος· αὐχμηρὰ δὲ καὶ διάπυρος [h] ἐκκαεῖσα, [36] νοσεροὺς ἀπὸ γῆς ἀτμοὺς ἐφέλκεται, κάμνοντα δὲ τὰ σώματα, καὶ διὰ τὴν ἀήθη τοῦ περιέχοντος τροπὴν νοσοῦντα λοιμικοῖς, πάθεσιν [i] ἀναλοῦται. τῶν δ' ὀξέων συμφορῶν αἴτιον Ὅμηρος ὑπεστήσατο τὸν Ἀπόλλωνα, διαῤῥήδην τοῖς αἰφνιδίοις θανάτοις ἐπιγράφων τὸν θεόν· φησὶ γάρ·

[k] Ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξὺν,
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.

Ἐπειδήπερ [l] οὖν [m] ἕνα μὲν καὶ τὸν αὐτὸν ὑφίσταται τῷ Ἀπόλλωνι τὸν ἥλιον, ἐκ δὲ τοῦ ἡλίου τὰ τοιαῦτα τῶν παθημάτων [n] συνίσταται, φυσικῶς ἐπέστησε τῷ λοιμῷ τὸν Ἀπόλλωνα. καὶ ὅτι, καθ' ὃν καιρὸν συνέβαινε τοὺς Ἕλληνας ἐν τῷ λοιμῷ νοσεῖν, θέρειος ἦν ὁ καιρὸς, ἤδη πειράσομαι [37] διδάσκειν· [o] ὥστε οὐκ ὀργὴν Ἀπόλλωνος, ἀλλ' [38] αὐτόματον φθορὰν ἀέρος εἶναι τὸ συμβεβηκός. αὐτίκα τῶν ἡμερῶν τὸ μῆκος, εἰς πλείστην ἀμετρίαν ἐκτεινόμενον, ἐλέγχει τὴν ἀκμὴν τοῦ θέρους,

[p] Ὅτε τ' ἤματα μακρὰ πέλονται.

μία γὰρ ἀπὸ τῆς Ἀγαμέμνονος ἀριστείας ἐπὶ τὴν Ἀχιλλέως [q] ἄνοπλον ἔξοδον [r] ἡμέρα παρατείνεται, καὶ τὸ μεῖζον, οὐδ' ὁλόκληρος·

[s] Ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
Πέμψεν ἐπ' ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι.

[39] χρεοκοπήσασα τῶν ὑπολειπομένων [t] ὡρῶν οὐκ ὀλίγον, οἶμαι, μέρος.

9. Αἱ δὲ μεταξὺ πράξεις [u] εἰς ὀκτὼ ῥαψῳδίας μερίζονται· [x] καὶ πρώτη μὲν ἡ [10] ἐν πεδιάδι μάχη, πολλὰς ἀνδραγαθίας ἑκατέρων [y] ἐμπεριέχουσα· μετ' αὐτὴν δὲ, [z] ἡ παρὰ τοῖς Ἑλληνικοῖς τείχεσι· [a] καὶ

[g] ὥρα θέρειος αὐτοῦ N.
[35] Sic Vat. Vulgo διαθάλπεται.
[h] καεῖσα N.
[36] νοσηροὺς—ἀφέλκεται Vat.
[i] ἀνιλοῦται N.
[k] Od. O. 409.
[l] οὖν om. N.
[m] Ita ex MS. Angl. emendavit Gale. (Sic et Vat.) In ed. Gesn. erat: ἓν μὲν καί. Schow.
[n] συνέστηκε N.
[37] δικάσειν Vat.
[o] ὅτ' N.
[38] αὐτομάτου Vat. N.
[p] Od. Σ. 366. X. 301.
[q] ἔνοπλον N.
[r] ἡμέρας προτείνεται N.
[s] Il. Σ. 239. hic male legebatur γὰρ pro δέ. Schow.
[39] Sic Vat. Vulgo, χρεωκ.
[t] ὅρων N.
[u] Ab Il. Λ. usque ad Il. T. Schow.
[x] Gesn. emendat: ἡ ἐπὶ Ἴλου σήματι μάχη. cf. Il. Λ. 166. Schow.
[10] ἐπὶ δυάδι] Vat. ἐπὶ διάδι, unde patet cum Heynio leg. ἡ ἐν πεδιάδι μ. Bast. Sic Valckenaerius in Herodot. V. 121. ἡ πεδιὰς μ. N.
[y] ἐμπεριέχει N.
[z] Il. M. N. Ξ.
[a] Il. O. Π. P. Σ.

τρίτην προστίθημι, τὴν ἐπὶ ναυσὶ μάχην [11]ἄχρι τῆς ἀναιρέσεως [b]τοῦ Πατρόκλου, καὶ τῆς δι' ἐκεῖνον Ἀχιλλέως ἐξόδου· πλὴν ὅμως τὸν ἀριθμὸν οὕτω πολὺν ὄντα τῶν ἔργων οὐκ [12]ἄπιστον ἡ θέρειος ὥρα πεποίηκεν, [c]αἵ τε νύκτες ἥκιστα χειμέριοι. [d]πῶς [13]γὰρ ἂν κοίου, ἐτόλμησεν Ἕκτωρ ταῖς ἀχαϊκαῖς[e] ἐπινυκτερεῦσαι ναυσίν; [f]Οὐδ' ἂν αὐλῶν συρίγγων τ' ἐνοπὴ διὰ τοῦ βαρβαρικοῦ στρατεύματος ἐπανηγυρίζετο· στιβὰς γὰρ [14]ἀλεεινὴ καὶ στρατόπεδα τοῖς πολεμοῦσι χειμῶνος εὐτρεπίζεται, τῶν δὲ ὑπαίθρων ἀγώνων ἐκτός εἰσιν[g]. ὥστ' οὐκ ἂν Ἕκτωρ, τὴν πόλιν ἐκλιπών, ἐν ᾗ μετ' ἀσφαλείας διέτριβεν, [h]ἐλθὼν ἂν[i] ἐπὶ τῇ θαλάττῃ γυμνὰ τὰ στρατεύματα καθίδρυσε. [k]πῶς δὲ τῶν κατὰ συμμαχίαν ἐληλυθότων ἕκαστος οὕτω ῥιψοκίνδυνος[l] ἦν, ὡς παρ' ὥραν ἐφεδρεύειν τοῖς πολεμίοις, καὶ μάλιστα τῆς Ἴδης [m]ὑπερκειμένης, ὄρους, [n]δυσχειμέρου, καὶ ῥεῖθρα ποταμῶν ἄπειρα πηγαζούσης. ἐκρήγνυνται γὰρ ἀπὸ τῶν [o]κατὰ μέρη λαγόνων

[p]Ῥῆσός θ', Ἑπτάπορός τε, Κάρησός τε, Ῥόδιός τε,
Γρήνικός τε, καὶ Αἴσηπος, [q]δῖός τε Σκάμανδρος,
Καὶ Σιμόεις.

οἳ δίχα τῶν ἀπ' οὐρανοῦ φερομένων ὑετῶν ἱκανοὶ τὸ πεδίον ἦσαν ἐκλιμνάσαι. [r]φέρε δ' οὖν ὑπ' ἀναισθησίας τοὺς βαρβάρους τὸ ἀσύμφορον ἑλέσθαι τί ποιεῖν ἀντὶ τινός· [s]οἱ πάντα φρονήσει διαφέροντες [t]Ἕλληνες, [u]ἐπιλεξάμενοι τοὺς ἀρίστους, ἐπὶ τὴν κατασκοπὴν νύκτωρ ἀποπέμπουσιν, ἵν' ἐκ τοῦ κατορθῶσαί τι τηλικοῦτον ὠφεληθῶσιν, ὁπόση βλάβη διαμαρτόντων ἀπήντα; νιφετὸς γὰρ εἷς, καὶ χειμερίων ὑδάτων ἐπομβρία ῥᾳδίως [x]ἂν ἀμφοτέρους κατέκλυσεν. ἐγὼ μὲν γὰρ αὐτὴν νομίζω τὴν ἀπὸ τῆς πόλεως ἔξοδον ἐπὶ τὴν μάχην, οὐκ ἄλλου τινὸς εἶναι καιροῦ σημεῖον, ἢ θέρους. ἅπας γὰρ ἀναπαύεται πόλεμος ἐν χειμῶνι, καὶ τὴν πρὸς ἀλλήλους ἐκεχειρίαν ἄγουσιν, οὔθ' ὅπλα δυνάμενοι βαστάζειν, οὔτε τὰς πολεμικὰς ὑπηρεσίας φέρειν. πῶς γὰρ ἡ

11 Omisi h. l. ταῖς cum Vat.
b τοῦ om. N.
12 Sic Vat. Vulgo ἄπιστος.
c αἵτινες νύκτες N.
d Respicit ad fin. Il. K. et Il. Σ. 298.
13 Deest γὰρ Vat.
e ἐπινυκτερεύεσθαι N.
f Il. K. 12.
14 ἐλεεινὴ Vat. N.
g ὡς τῆς N
h Cf. Il. K. 490.
i ἐπὶ om. N.
k Forte respicit Il. Θ. 497. Seu.
l ἦν om. N. Tum ὥστε ὥρον N.
m ἐπικειμένης N.
n χειμερίου N. et mox πηγάζοντος· ἐκρήγνυνται.
o μέρη λαγόνων] μέρος λεγομένων N.
p Il. M. 20.
q πλεῖστα Σκάμανδρός τε N.
r Cf. Il. Σ. 310. sqq. δ' om. N.
s ὁ πάντα N.
t Ἕλληνες ἐπιλεξ. om. N.
u V. Il. K. 205. sqq.
x ἂν om. N.

διῶξαι ῥᾴδιον, ἢ φυγεῖν; πῶς δ' ἂν αἱ χεῖρες [45]εὐστοχίᾳ βάλλοιεν, ὑπὸ τοῦ κρύους [y]δεδεμέναι; θέρει δὲ τῷ μεσαιτάτῳ τὰ πλήθη τέτραπται πρὸς τὴν μάχην, καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, [z]ἀπ' οὐδεμιᾶς εἰκασίας, ἀλλ' ἐναργῶς σκεπτέον.

10. [a]Μετὰ γὰρ τὴν [b]στρατηγικὴν Ἀγαμέμνονος διάπειραν, ἐξαναστάντες οἱ Ἕλληνες ἐπὶ τὰς ναῦς κατατρέχουσιν,

[c]Ὑπὸ δ' ᾕρεον [d]ἕρματα νηῶν.

οὐ δήπου, [46]ἢ κατὰ πρώραν ἐναντίων ἑστηκότων ἀνέμων, οὐδ' ἀπειλούσης τῆς θαλάσσης. τίς γὰρ ἂν ἦν κυβερνήτης ἐπὶ πρόδηλον οὕτω κίνδυνον ἐξιοῦσιν, ἄλλως τε [e]μήδ' ὀλίγην περαιοῦσθαι μέλλουσιν αὐτοῖς θάλασσαν; οὐ γὰρ εἰς Τένεδον ἀπῇρον, οὐδ' ἐπὶ [f]Λέσβον καὶ Χίον παρευτρεπίζοντο τὸν πλοῦν· [g]ἡ δ' Ἑλλὰς ἀπῴκιστο πόῤῥω, καὶ τὸ πέλαγος ἦν χαλεπὸν, ὃ καὶ θέρους ποτὲ πλέοντες ἐσφάλησαν. ἔτι τοίνυν φερομένων ἀπὸ τῆς ἐκκλησίας αὐτῶν ἐγείρεται δαψιλὴς κόνις·

[h]οἱ δ' ἀλαλητῷ
Νῆας ἐπεσσεύοντο, ποδῶν δ' ὑπένερθε κονίη
Ἵστατ' ἀειρομένη.

τίνι τρόπῳ τῆς γῆς ἔτι [i]διάβροχον ἐχούσης τοὔδαφος; ἔν τε ταῖς ἐφεξῆς παρατάξεσιν εἴωθε συνεχῶς λέγειν,

[k]Λευκοὶ ὕπερθε γένοντο κονισσάλῳ, ὅν ῥα δι' αὐτῶν
Οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων.

τί δ' ἐπὶ τοῦ τετρωμένου Σαρπηδόνος; [47]οὖ ῥιπὴ βόρειος

[l]Ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.

ἀναψύξεως δεομένου τοῦ σώματος ἐν ἀέρι διαπύρῳ· καὶ πάλιν ἑτέρωθί που,

[m]Δίψῃ καρχαλέοι κεκονιμένοι ἐκ πεδίοιο.

καὶ,

[n]Ἱδρῶ ἀπεψύχοντο, πίον τ', ἀκέοντό τε δίψαν.

[45] Ita Cod. F. εὔστοχα. Parthen. c. 15. p. 377. ed. Commel. αὐτὴν εὔστοχα βάλλειν ἐποίει ἡ Ἄρτεμις. Adde Heracl. c. 34. εὔστοχα βληθείς. Bast.

[y] δεδειγμέναι N.

[z] ἀπὸ μειᾶς οὐκοῦν εἰκασίας N.

[a] Alludit ad Il. B. 110. seqq.

[b] στρατιωτικὴν N.

[c] Il. B. 154.

[d] ἔργματα N.

[46] ἢ delet Schow. et mox ἐναντίων Pierson. Veris. p. 63. ἐναντίον N.

[e] Ex MS. Angl. reposui : μήδ' ὀλίγην (sic Vat.), quod jam Gale probavit, nec recepit. Antea legebatur : μὴ δὲ ὀλίγην. Schow. οὐδ' ὀλίγην N.

[f] Λέσβου ἢ Χίου N.

[g] οὐδ' N.

[h] Il. B. 149. ubi legitur, τοὶ δ'.

[i] ἄβροχον N.

[k] Il. E. 503.

[47] οὐ Vat.

[l] Il. E. 698.

[m] Il. Φ. 541.

[n] Il. X. 2.

ἅπερ ἐν χειμῶνι μὲν ἀμήχανα συμβῆναί τινι, θέρους [o] δὲ μαχομένοις, ἦν ἀλεξήματα. τί δεῖ τὰ πολλὰ μηκύνειν; σχεδὸν γὰρ ἀπόχρη, κἂν εἴ τι τῶν εἰρημένων [48] ἓν ἀπεδείξαμεν, ἐκφῆναι τοῦ ἔτους τὸν καιρόν.

[p] Καίοντο πτελέαι τε, καὶ ἰτέαι, [q] ἠδὲ μυρῖκαι,
Καίετο δὲ λωτός τε, [r] ἰδὲ θρύον, ἠδὲ κύπειρον.

11. Εἰ δὲ θέρος μὲν ὁμολογεῖται κατ' ἐκεῖνον εἶναι τὸν χρόνον, αἱ δὲ νόσοι περὶ τὴν [49] θέρειον ὥραν συνίστανται, τῶν δὲ λοιμικῶν παθημάτων προστάτης Ἀπόλλων, τί λοιπὸν, ἢ δοκεῖν τὸ συμβεβηκὸς οὐ θεοῦ μῆνιν, ἀλλὰ συντυχίαν ἀέρος γενέσθαι; σφόδρα γοῦν πιθανῶς [s] Ἡρόδικος ἀποφαίνεται, μὴδ' ὅλην τὴν [t] δεκαετίαν ἐν Ἰλίῳ μεμενηκέναι τοὺς Ἕλληνας, ἀλλ' ἐπὶ τέλει τοῦ καθειμαρμένου χρόνου τῆς ἁλώσεως ἐληλυθέναι. καὶ γὰρ ἦν ἄλογον εἰδότας [u] ἐξ ὧν προεῖπεν ὁ Κάλχας, ὅτι τῷ δεκάτῳ πόλιν αἱρήσουσιν εὐρυάγυιαν, ἐπ' οὐδενὶ χρησίμῳ τοσούτων ἐτῶν ἀργίαν ἀναλίσκειν. ἀλλ' εἰκὸς ἐν τοῖς μεταξὺ καιροῖς περιπλέοντας ἄνω καὶ κάτω τὴν Ἀσίαν, ἅμα τάς τε [x] πολεμιστηρίους ἀσκήσεις ὑπογυμνάζειν, καὶ λαφύρων τὸ στρατόπεδον ἐμπιπλάναι, τοῦ δεκάτου δ' ἐνστάντος ἔτους, ἐν ᾧ πεπρωμένον [y] ἦν τὸ τῆς ἁλώσεως τέλος, [z] ἀθρόους καταχυθῆναι. κοῖλα δ' αὐτοὺς τενάγη καὶ τόπος ἑλώδης ἐξεδέχετο. καὶ διὰ τοῦτο [a] θέρους ἐνστάντος ἡ λοιμικὴ νόσος ἐγκατέσκηψε.

12. [b] Νῦν τοίνυν καὶ τὰ κατὰ μέρος εἰρημένα περὶ τῆς νόσου [c] διασκεψώμεθα. σχεδὸν γὰρ ἅπαντα [d] συνᾴδει τοῖς ὑφ' ἡμῶν λεγομένοις. καὶ [e] πρῶτόν γε φυσικὴν ὑπεστήσατο τὴν φερομένην ἀπὸ τῶν οἰστῶν φωνήν. οὐ μὰ Δί', οὐ μυθικῶς βέλη [f] φθεγγόμενα τερατευόμενος, ἀλλ' ἔστιν ἐν τῷ στίχῳ θεωρία φιλόσοφος·

[g] Ἔκλαγξαν δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο
Αὐτοῦ κινηθέντος.

[o] δεχομένοις N.

[48] ἑναπεδ. Vat.

[p] Il. Φ. 350. ubi in vulgg. legitur: λωτός τ' ἠδέ.

[q] ἡ μυρίνους N.

[r] ἠδὲ N.

[49] Vocem supplet Vat.

[s] Existimat Vossius de Historic. Græc. lib. I. 98. hunc Herodicum esse Herodicum Crateteum, ita dictum a doctore Cratete, qui Aristarchi grammatici æqualis fuit. Quæ Heraclides ipsi tribuit, ad ejus σύμμικτα ὑπομνήματα referenda esse putat. Pro μὴ δ' ὅλην, quod vulgo legitur, malim: μὴ δι' ὅλην τὴν δεκαετίαν. *Non per totum decennium ad Ilium mansisse Græcos.* Sch.

[t] δεκάτην N.

[u] Respicit Il. B. 322.

[x] πολεμίους ὑπογυμνάζειν N.

[y] ἦν et τῆς om. N.

[z] ἀθρέον N.

[a] θέρους om. N.

[b] Νῦν om. N.

[c] διασκεψόμεθα N.

[d] συνᾴδει ex MS. Angl. Gale emendavit. In ed. Gesn. erat συναδέει. Schow. συνάψει Vat.

[e] πρώτην N.

[f] φθεγγόμεθα N.

[g] Il. A. 46. Desunt in N. ab h. l. usque ad ἕξετ' ἔπειτ' p. 14.

εἰσὶ γὰρ, εἰσί τινες οὐράνιοι μεθ' ἁρμονίας [50]ἐμμελοῦς ἦχοι, κατὰ τὴν ἀΐδιον φορὰν ἀποψαλλόμενοι, μάλιστα δὲ τῆς ἡλιακῆς περιόδου συντόνως φερομένης. οὐ γὰρ δήπου ῥάβδῳ μὲν ὑγρᾷ πλήξας τις εἰκῇ τὸν ἀέρα, καὶ λίθον ἀπὸ σφενδόνης ἀφεὶς, ῥοίζους ἀποτελεῖ καὶ συριγμὸν οὕτω βαρύφθογγον· τηλικούτων δὲ σωμάτων ἡ [51]κυκλοφόρος βία δρόμοις ἀπ' ἀνατολῶν εἰς δύσιν ἁρματηλατουμένη μεθ' ἡσυχίας τὸν σφοδρὸν ὁδοιπορεῖ [52]νόμον. τούτους δὲ τοὺς διηνεκῶς [53]ἐν τῷ οὐρανῷ τελουμένους φθόγγους ἀγνοοῦμεν, ἢ διὰ τὴν ἀπὸ πρώτης γονῆς συνήθειαν [54]ἐνδελεχῶς ἐνοικοῦσαν ἡμῖν, ἢ διὰ τὴν ἄμετρον ὑπερβολὴν τοῦ διαστήματος, ἐκλυομένου τοῦ ψόφου τῷ διείργοντι [55]ἀμέτρῳ. καὶ τοῦθ' ὅτι τοιοῦτόν ἐστιν, ὁ φυγαδεύων Ὅμηρον ἐκ τῆς ἰδίας πολιτείας συγκαταινεῖ Πλάτων, οὕτω λέγων· [h]ἐπὶ δὲ τῶν κύκλων αὐτοῦ ἄνωθεν ἐφ' ἑκάστου βεβηκέναι Σειρῆνα συμπεριφερομένην, φωνὴν [56]ἱεῖσαν ἕνατον. ἁπασῶν δ' ὀκτὼ οὐσῶν, μίαν ἁρμονίαν συμφωνεῖν. ὁμοίως δὲ καὶ ὁ Ἐφέσιος *Ἀλέξανδρος, ἐπεξελθὼν, ὅπως κατὰ τάξιν οἱ [i]πλάνητες ἀστέρες ὁδεύουσιν, ἐπάγει περὶ τῶν ἑκάστου φθόγγων·

50 ἐμμελεῖς vulgo. ἐμμελοῦς Schol. Ven. ubi mox om. κατά.

51 κυκλοπόρος Vat. Schol. Ven.

52 δρόμον Schol. Ven.

53 ἐν τῷ add. Schol. Ven.

54 ἐνδεχῶς Vat.

55 μέτρῳ Vat. Schol. Ven.

h Pro ἔτι δὲ τῶν κύκλῳ lego: ἐπὶ δὲ τῶν κύκλων. Est sententia loci admodum concise expressa, et ita expedienda: ἐπὶ δὲ τῶν κύκλων αὐτοῦ (τοῦ οὐρανοῦ) ἄνωθεν ἐφ' ἑκάστου (τούτων τῶν κύκλων) βεβηκέναι Σειρῆνα συμπεριφερομένην, φωνὴν ἱεῖσαν ἕνατον· ἁπασῶν δὲ (Σειρήνων) ὀκτὼ οὐσῶν, μίαν ἁρμονίαν συμφωνεῖν (αὐτὰς τὰς Σειρῆνας). Est dogma Platonicum de septem totius universi circulis eorumque vi et harmonico motu expositum a Diog. Laert. in vita Platonis lib. III. segm. 68. In Platonis Timæo p. 1050. D. ed. Francof. cujus verba apponam: Τὸν μὲν ἔξω, τὸν δ' ἐντὸς ἐποιεῖτο τῶν κύκλων. Τὴν μὲν οὖν ἔξω φορὰν ἐπεφήμισεν εἶναι τῆς ταυτοῦ φύσεως· τὴν δὲ ἐντὸς, τῆς θατέρου. Τὴν μὲν δὴ ταυτοῦ κατὰ πλευρὰν ἐπὶ δεξιὰ περιήγαγε· τὴν δὲ θατέρου κατὰ διάμετρον ἐπ' ἀριστερά. Κράτος δ' ἔδωκε τῇ ταυτοῦ καὶ ὁμοίου περιφορᾷ· μίαν γὰρ αὐτὴν ἄσχιστον εἴασεν. Τὴν δ' ἐντὸς σχίσας ἑξαχῇ, ἑπτὰ κύκλους ἀνίσους κατὰ τὴν τοῦ διπλασίου καὶ τριπλασίου διάστασιν ἑκάστην, οὐσῶν ἑκατέρων τριῶν, κατὰ τἀναντία μὲν ἀλλήλους προσέταξεν ἰέναι τοὺς κύκλους. Ad hæc conferendum est argumentum Marsilii Ficini ad Ionem Platonis p. 361. ubi mira illa Platonis opinio satis accurate exponitur. Vitiosam lectionem ἔτι τῶν κύκλῳ etiam habet editio Gesneri, etsi interpretando eam emendaverit. Sch. κύκλων præbet Vat.

56 μίαν inserit Vat.

i ἀστέρες ex emend. Gesneri legitur. In cod. erat: ἀστερῶς. Sch. ἀστέρες Vat.

* Alexandri hujus ætatem ad tempora Ciceronis retulit Vossius de Poet. Græc. p. 219. Vocatur ille etiam Lychnus, vid. Strabo l. XIV. p. 642. Hinc errasse videtur Meursius, qui Biblioth. Græc. tom. III. lib. I. p. 1083. Alexandrum Ephesium et Lychnum tanquam quo diversos auctores sejunxit. cf. Vossius de Historic. Græc. lib. III. p. 159. Schow.

Πάντες δ' ἑπτατόνοιο λύρης φθόγγοισι συνῳδὸν
Ἁρμονίην [57]προχέουσι, διαστὰς ἄλλος ἀπ' ἄλλου.

δι' ὧν ἂν εἴη γνώριμον, ὡς οὐ κωφὸς οὐδ' ἄφθογγός ἐστιν ὁ κόσμος.

13. Ἀρχὴ δὲ ταύτης τῆς δόξης Ὅμηρος, εἰπὼν τὰς ἡλιακὰς ἀκτῖνας ἀλληγορικῶς βέλη, προσθεὶς δ', ὅτι φερόμεναι διὰ τοῦ ἀέρος ἔκλαγξαν ἰδίαν ἔνθεόν τινα φωνήν. τὰ κοινὰ δὲ τῶν φθόγγων παραστήσας, ἐπὶ τὸ ἴδιον εὐθὺς τοῦ λόγου μετέβη, προσθεὶς

[k]Ὁ δ' ἤϊε νυκτὶ ἐοικώς.

Οὐ γὰρ ἀκήρατον φῶς, οὐδ' ἀμιγὲς ἀχλύος μελαίνης ὑφίσταται τὸ τοῦ ἡλίου, νυκτὶ δ' αὐτὸν ἐθόλωσεν, ὁποία σχεδὸν εἴωθεν ἐν τοῖς λοιμικοῖς πάθεσιν ἐπιπροσθεῖν τῷ [58]δι' ἡμέρας φέγγει. πῶς γε μὴν τοξάζειν ἐσπουδακὼς Ἀπόλλων

[l]Ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν, μετὰ δ' ἰὸν ἕηκε,
Δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο;

εἰ [m]γὰρ οὖν δι' ὀργὴν ἐτόξευεν, ἐγγὺς ἔδει τοῖς τιτρωσκομένοις ἑστάναι τὸν βάλλοντα. νῦν δ' ἀλληγορῶν τὸν ἥλιον, εἰκότως [n]ἄπωθεν αὐτοῦ τὴν φορὰν τῆς λοιμικῆς ἀκτῖνος ὑπεστήσατο.

14. Καὶ μὴν [o]ἐναργέστατον ἐπιφέρει μετὰ τοῦτο σημεῖον εἰπών·

[p]Οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς.

οὐ γὰρ οὕτως ἄκριτον ἦν παρανάλωμα τῆς Ἀπόλλωνος ὀργῆς τὰ ἄλογα τῶν ζώων· οὐδ' ἂν ὁ θυμὸς [q]ἀφρόνως ἡμιόνοις ἐνήκμαζε καὶ κυσὶν, ὡς τὸ θρακικὸν ἀνδράποδον Ὁμήρου κατεξανίσταται· λέγω δὲ, τὸν [r]ἀμφιπολίτην Ζώϊλον, ἄνω καὶ κάτω τοιούτους τινὰς λήρους φληναφοῦντα. Ὅμηρος δὲ καὶ σφόδρα φυσικῶς τὴν περὶ τὰ λοιμικὰ τῶν παθημάτων συντυχίαν διὰ [59]τούτων παρίστησιν· [s]οἱ γὰρ ἐμπειρίαν ἰατρικῆς τε καὶ φιλοσοφίας ἔχοντες, δι' ἀκριβοῦς παρατηρήσεως ἔγνωσαν, ἐν ταῖς λοιμικαῖς νόσοις τὸ δεινὸν ἀπὸ τῶν τετραπόδων ζώων [t]ἀρχόμενον. κατ' ἄμφω δ' ἡ πρόφασίς ἐστιν εὔλογος, ὥστ' εὐάλωτα πρὸς τὸ δεινὸν εἶναι· τῆς τε γὰρ διαίτης τὸ ἀκριβὲς [u]οὐ θηρᾶται, δι' ἣν ἀταμιεύτως σιτίων [x]τε καὶ ποτῶν πιμπλάμενα διαφθείρεται, μηδενὸς λογισμοῦ τὴν ἐπὶ τὸ [y]πλεῖον ὁρμὴν χαλινοῦντος. ἐπειθ', ὃ καὶ μᾶλλον

57 Sic recte Bredow. pro προσέχουσι.
k Il. A. 47.
58 Sic Vat. Vulgo δ' ἡμέρας.
l Il. A. 48. Male legebatur ἀπάνευθεν ἐών. Schow.
m γὰρ om. N.
n ἄπωθεν N.
o ἀργέστερον φέρει N.
p Il. A. 50. ξ
q ἡμιόνοισιν ἀφρόνως ἐνήκμαζεν N.
r ἀμφιπολίτου φληναφοῦντας N.
59 τούτου Vat. N.
s αἱ γὰρ ἐμπειρίαι ἰατρικῆς τε καὶ φιλοσοφίας ἔχουσαι] οἱ γὰρ ἐμπειρίαν ι. τ. κ. φ. ἔχοντες N.
t ἐρχόμενον N.
u Negativam οὐ Gesnerus addidit, deerat quoque in MS. Angl. Sch. Vat. item deest. τηρεῖται Bredow. τὸ ἀκριβὲς μὴ ἔχοντες ἀταμιεύτως N.
x τε om. N. qui mox φθείρονται.
y πλεῖστον N.

ἀληθές ἐστιν, οἱ μὲν ἄνθρωποι μεταρσίοις ταῖς [z]ἀναπνοαῖς τὸν καθαρώτατον ἕλκοντες ἀέρα, βραδύτερον ἁλίσκονται [a]τῷ πάθει· τὰ δ' ἐπὶ γῆς [b]ἐῤῥιμμένα ζῶα τοὺς νοσώδεις [c]ἐκεῖθεν ἀτμοὺς εὐμαρέστερον ἕλκει. πάνυ γε [d]μὴν ἀληθῶς οὐκ ἐν [60]ἀρτίαις ἡμέραις τὴν ἀπαλλαγὴν τῆς νόσου δεδήλωκεν, ἀλλ' ἐν περιτταῖς·

[e]Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο.

μάλιστα γὰρ ἐν τῇ παρ' [f]ἕκαστα πείρᾳ γνώριμόν ἐστι τοῦθ', ὅτι [g]κρίσιμοι τῶν σωματικῶν παθημάτων αἱ περιτταὶ γίγνονται τῶν ἡμερῶν.

15. Λυτὴρ δ' Ἀχιλλεὺς τῆς νόσου· [h]Χείρων γὰρ αὐτὸν ἐδίδαξε——

[i]δικαιότατος Κενταύρων,

ὃς πάσῃ μὲν ἐκέκαστο σοφίᾳ· [k]περιττὸς δὲ ἦν τὴν ἰατρικὴν, ὅπου γνώριμον [l]αὐτῷ φασὶν εἶναι καὶ Ἀσκληπιόν. προσέθηκε δ' Ἀχιλλεῖ θεραπεύοντι, [m]φυσικῶς ἀλληγορήσας, θεὰν Ἥραν.

[n]Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη.

δύο γὰρ ὄντων κατὰ τοὺς φυσικοὺς τῶν πνευματικῶν στοιχείων, αἰθέρος τε καὶ ἀέρος, τὸν μὲν Δία, τὴν πυρώδη φαμὲν οὐσίαν· ἡ δὲ Ἥρα μετ' [o]αὐτόν ἐστιν ἀὴρ, μαλακώτερον στοιχεῖον, διὰ τοῦτο καὶ θῆλυ. τὰ δ' ἀκριβῆ περὶ τούτου διαλεξόμεθα μικρὸν ὕστερον. νῦν δ' ἀπόχρη τοσοῦτον εἰπεῖν, ὅτι, τοῦ πάλαι [p]θολεροῦ διαχυθέντος ἀέρος, αἰφνιδίως διεκρίθη τὸ [61]συμβάν. οὐδὲ γὰρ [q]ἀλόγως λευκώλενον εἶπε τὴν Ἥραν, ἀλλ' ἀπὸ τοῦ συμβεβηκότος, ὅτι [62]τῇ νυκτὶ προσεοικυῖαν ἀχλὺν ὁ λευκὸς [r]ἀὴρ ἐπὶ τὸ καθαρώτερον ἐλάμπρυνεν. εἶτ' [s]ἀνεθὲν τῆς νόσου τὸ ἑλληνικὸν πλῆθος ἐπὶ τὴν συνήθη τοῖς ἀπηλλαγμένοις ὁδὸν[t] ἐτράπη· λέγω [u]δὲ τοὺς ὀνομαζομένους ἀποτροπιασμούς τε καὶ καθαρμούς.

[x]Οἱ δ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

16. Δοκεῖ δέ μοι καὶ Ὀδυσσεὺς [y]οὐδὲν ἄλλο, ἢ τὸν ἥλιον ἱλάσκεσθαι, δι' ἧς προσηνέγκατο θυσίας. ἀμέλει

z ἐμπνοαῖς N.
a τῶν πάθων N.
b ἕρποντα N.
c ἐκείνους N.
d μὲν N.
60 ἀρτίοις Vat.
e Il. A. 53.
f ἑκάστω N.
g χρήσιμον N.
h Respicit Il. Λ. 831.
i δικαιότερος N.
k περιττῶς δὲ τῇ ἰατρικῇ N.
l αὐτὸν N.
m κατὰ φυσικοὺς N.
n Il. A. 55.
o Ita MS. Angl. Antea excudebatur: ἡ δὲ Ἥρα, μετ' αὐτὸν δὲ ἀήρ. Schow. ἔστιν item Vat. ἀὴρ μετ' αὐτὸν N.
p διαχυθέντος θολεροῦ N.
61 f. σύμπαν Heyne.
q ἄλλως N.
62 τὴν Vat. N. et νύκτα pr.
r ἀκρὸν N. in textu.
s ἄνελθεν N.
t ἐτράπησαν N.
u δὴ N.
x Il. A. 314.
y οὐδένα ἄλλον MS. Angl. Schow. et sic Vat. N.

——πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο.
[b]Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός.

πέρας γάρ ἐστι τῆς εὐσεβείας ἡ δύσις, [c]ἕως ἀκούοντα καὶ βλέποντα τὸν θεὸν ἐτίμων· μηκέτι δ' [d]αὐτοῦ τοῖς τελουμένοις παρεῖναι τὸ λοιπὸν δυναμένου, τὸ τῆς ἑορτῆς πέπαυται. [e]πρός γε μὴν βαθὺν τὸν ὄρθρον ἀναχθέντων, φησὶν ὁ ποιητής·

[f]Τοῖσι δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων.

τὸ περὶ τὸν ἥλιον ἐσπουδακὼς ἰδίωμα [g]δηλοῦν· ἄχρι [h]γὰρ οὐδέπω φλογώδης, οὐδ' ἔμπυρος ἐπὶ μεσημβρίαν ὁ δρόμος αὐτοῦ νένευκεν, ἡ δροσώδης ἰκμὰς, ὑγρὸν τὸ περιέχον ἀφεῖσα, ἀμυδρὰ καὶ [i]νωθῆ παραπέμπεται τὰ πρὸς ἕω πνεύματα. διὰ τοῦτο [k]τὸ ὄρθριον ὁ ἥλιος αὐτοὺς ἐναυστόλησεν, [63]ἱκανὸν ἀποστείλας ἄνεμον, τὸν ἐκ τῆς ἰκμάδος πνέοντα. τὴν μὲν οὖν πρώτην ἀλληγορίαν ἐπεδείξαμεν, οὐ θυμὸν Ἀπόλλωνος ὀργισαμένου μάτην, ἀλλὰ φυσικῆς θεωρίας φιλοσοφοῦσαν ἔννοιαν.

17. Ἐφεξῆς δ' ἡμῖν σκεπτέον ὑπὲρ τῆς ἐφισταμένης Ἀθηνᾶς Ἀχιλλεῖ.

[l]Ἕλκε γὰρ ἐκ κολεοῖο μέγα ξίφος· ἦλθε δ' Ἀθήνη
Οὐρανόθεν, πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,
Ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε, κηδομένη τε.
Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα,
Οἴῳ φαινομένη· τῶν δ' ἄλλων οὔ τις [m]ὁρᾶτο.
Θάμβησεν δ' Ἀχιλεὺς, μετὰ δὲ τράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην· δεινὼ δέ οἱ ὄσσε φάανθεν.

Τὸ μὲν [n]γὰρ πρόχειρον ἐκ τῶν λεγομένων ἔστιν εἰπεῖν, ὅτι μεταξὺ τοῦ σπωμένου σιδήρου, [o]ἡ θεὰ, παντὸς ὀξυτέρα τάχους τὴν οὐράνιον ἐκλιποῦσα διατριβὴν, ἐμποδὼν [p]ἔστη τῇ μιαιφονίᾳ, πάνυ γραφικῷ σχήματι τῆς κόμης ἀπρὶξ [q]ὄπισθεν Ἀχιλλέως λαβομένη. λαμπρά [r]γε μὴν καὶ λίαν [64]φιλόσοφος ὑφεδρεύει τοῖς νοουμένοις κατ' ἀλληγορίαν

[b] Il. A. 475.
[c] Alluditur ad Il. Γ. 277.
[d] αὐτῷ N.
[e] πρόσθεν μὲν βαρὺν N.
[f] Il. A. 479. unde leg. τοῖσιν δ' ἴ. Schow.
[g] διελεῖν N.
[h] γὰρ om. N.
[i] νοθῆ N.
[k] τὸ om. N.
[63] ἴκμενον Pierson. Veris. I. 19.
[l] Il. A. 194. Sed legitur in edd. ἕλκετο δ' ἐκ. et v. 199. μετὰ δ' ἐτράπετ'. Cf. Homeri vita in Galei Opusc. Mytholog. p. 345. Schow. ἕλκετο γὰρ ἐκ. Vat. N.
[m] ὁρᾶτο καὶ τὰ ἑξῆς N.
[n] γὰρ om. N. qui mox τὸ μεταξύ.
[o] ἡ θεὰ om. N.
[p] ἔστι τῷ μιαιφόνῳ N.
[q] Ἀχιλλέως ὄπισθεν N.
[r] τε N.
[64] φιλοσόφου Vat.

[s]ἐπιστήμη. πάλιν [t]οὖν ὁ πρὸς Ὅμηρον ἀχάριστος ἐν τῇ πολιτείᾳ Πλάτων ἐλέγχεται διὰ τούτων τῶν ἐπῶν τὸ περὶ τῆς ψυχῆς δόγμα νοσφισάμενος ἀπ' αὐτοῦ· [u]τὴν γὰρ ὅλην ψυχὴν διῄρηκεν εἰς γένη δύο, τό τε [65]λογικὸν, καὶ τὸ ἄλογον ὑπ' αὐτοῦ προσαγορευόμενον· τοῦ δὲ ἀλόγου μέρους [66]ἰδικωτέραν [x]ὑφίσταται διαίρεσιν, εἰς δύο μερίζων· καὶ τὸ μὲν ἐπιθυμητικὸν ὀνομάζει, τὸ δ' ἕτερον θυμοειδές. [y]καθάπερ δὲ οἴκους τινὰς ἑκάστῳ μερίζει, καὶ διατριβὰς ἐν τῷ σώματι διένειμεν· τὸ μὲν οὖν λογικὸν τῆς ψυχῆς, [67]ὡς ἀκρόπολίν [z]τινα, τὴν ἀνωτάτω τῆς κεφαλῆς μοῖραν [a]εἰληχέναι νομίζει, πᾶσι τοῖς αἰσθητηρίοις ἐν κύκλῳ δορυφορούμενον· [b]τοῦ δ' ἀλόγου μέρους ὁ μὲν θυμὸς οἰκεῖ περὶ τὴν καρδίαν, αἱ δὲ τῶν ἐπιθυμιῶν ὀρέξεις ἐν ἥπατι. [c]ταῦτα δὲ ἀλληγορικῶς ἐν τῷ [d]Φαίδρῳ προσωμοίωσεν ἵπποις τε καὶ ἡνιόχῳ, διαῤῥήδην λέγων· ὁ μὲν τοίνυν αὐτῶν ἐν τῇ καλλίονι στάσει ὢν, τό τ' εἶδος ὀρθὸς, καὶ διηρθρωμένος, ὑψαύχην, ἐπίγρυπος, [e]λευκὸς ἰδεῖν, μελανόμματος, τιμῆς ἐραστὴς, μετὰ σωφροσύνης τε καὶ αἰδοῦς, καὶ [f]ἀληθινῆς δόξης ἑταῖρος, ἄπληκτος, κελεύσματι καὶ λόγῳ μόνῳ ἡνιοχεῖται. Ταῦτα μὲν περὶ θατέρου μέρους τῆς ψυχῆς· περὶ δὲ τοῦ λοιποῦ φησιν· ὁ δ' αὖ σκολιὸς, πολὺς, εἰκῇ συμπεφορημένος, [g]κρατεραύχην, πολυτράχηλος, σιμοπρόσωπος, μελανόχρως, γλαυκόμματος, ὕφαιμος, ὕβρεως καὶ ἀλαζονείας ἑταῖρος, [h]περιωτάλσιος, ὑπόκωφος, μάστιγι μετὰ κέντρου [i]μόλις ὑπείκων. τὸ μέντοι λογικὸν μέρος τῆς ψυχῆς, [k]ὃ ἐν τῇ κεφαλῇ καθίδρυτο, τῶν ὅλων πεποίηκεν ἡνίοχον,

[s] ἐπιστήμην N.

[t] γοῦν πρὸς N.

[u] Hanc animæ humanæ partitionem Platonicam exposuit Diog. Laert. in vita Platonis lib. III. p. 205. segm. 67. Schow.

[65] λογιστικὸν Vat.

[66] ἰδικωτέραν Vat. et sic conj. Heynius pro vulg. ἰδιοτικωτέραν.

[x] ὑφίστησιν αἵρεσιν N.

[y] καὶ καθάπερ δέ. MS. Angl. Vat. N.

[67] ὡς om. Vat. N.

[z] τινα om. N. qui mox ἀνωτέραν.

[a] εἰληφέναι N.

[b] τοῦ δύο μέρους λόγου N.

[c] τὰ N.

[d] Locus est ex Platonis Phædro, p. 1226. c. Variam lectionem textus Platonici, quæ in adnotatione Galei non observata est, hic indicabo: pro κελεύσματι καὶ λόγῳ μόνῳ legitur in textu Platonis, κελεύσματι μόνον καὶ λόγῳ. pro μελανόχρως, μελάγχρως, quæ est vera lectio. Hujus imaginis, qua animæ humanæ vim et naturam effinxit Plato, singulis partes accuratius constituit p. 1221. d. l. cit. Schow.

[e] λευκὸν N.

[f] Vocem ἀληθινῆς, quæ in utroque codice defuit, e Platonis Phædro p. 1226. C. ed. Francof. restituit Gesnerus. Idem pro πολυτράχηλος legendum monet βραχυτράχηλος, antecedenti ὑψαύχην oppositum. Schow. Καὶ ἀληθινῆς om. Vat. N.

[g] καρτεραύχην N.

[h] Emendata lectio habet: περὶ ὦτα λάσιος. Apud Platonem quoque l. cit. mox κωφὸς legitur. Gesn. περιῶτ N.

[i] μόγις N.

[k] ὅπερ N.

οὑτωσὶ λέγων· [l]περὶ δὲ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, [m]ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ [68]δέδωκε [n]τοῦτο, ὃ δὴ φαμὲν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν, ὡς [o]ὄντας φυτὸν οὐκ ἐπίγειον, ἀλλ' οὐράνιον.

18. Ταῦτα τοίνυν ὥσπερ ἐκ πηγῆς τῶν ὁμηρικῶν ἐπῶν εἰς τοὺς ἰδίους διαλόγους ὁ Πλάτων μετήρδευσεν. καὶ πρῶτόν γε περὶ τῶν ἀλόγων μερῶν τῆς ψυχῆς σκεπτέον· ὅτι μὲν γὰρ ὁ θυμὸς [p]εἴληχε [q]τὸν ὑποκάρδιον [r]χῶρον, ὁ Ὀδυσσεὺς τοῦτο ποιήσει [s]σαφὲς ἐν τῇ κατὰ μνηστήρων ὀργῇ, καθάπερ οἰκόν τινα τῆς μισοπονηρίας θυροκρουστῶν τὴν καρδίαν.

[t]Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ·
Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

Ἀφ' ἧς γὰρ αἱ [69]θυμικαὶ ῥέουσι πηγαὶ, πρὸς ταύτην ὁ λόγος ἀποκλίνων. τόν γε μὴν Τιτυὸν ἐρασθέντα τῶν Διὸς γάμων, ἀφ' οὗ μέρους ἤρξατο νοεῖν, [u]εἰς τοῦτο ὑφίσταται κολαζόμενον.

[x]Γῦπε δέ μιν ἑκάτερθε παρημένω ἧπαρ ἔκειρον.

Ἀντὶ τίνος, Ὅμηρε;

[y]Λητὼ γὰρ εἵλκυσε Διὸς κυδρὴν παράκοιτιν.

Ὥσπερ δὲ οἱ νομοθέται τοὺς [z]πατροτύπτας χειροκοποῦσι, τὸ δυσσεβῆσαν αὐτῶν μέρος ἐξαιρέτως ἀποτέμνοντες, οὕτως Ὅμηρος ἐν ἥπατι κολάζει τὸν δι' ἧπαρ ἀσεβήσαντα. Περὶ μὲν δὴ τῶν ἀλόγων τῆς ψυχῆς μερῶν [a]οὑτωσὶ πεφιλοσόφηκεν.

19. Λοιπὸν οὖν [b]καταλείπεται ζητεῖν, ἐν ᾧ τόπῳ τὸ λογικὸν ἵδρυται μέρος. ἔστι τοίνυν ἡ κεφαλὴ καθ' Ὅμηρον [c]ἐν τῷ σώματι τὴν κυριωτάτην εἰληχυῖα τάξιν. ὅλον [d]οὖν εἴωθεν ὀνομάζειν τὸν ἄνθρωπον, ἐξαιρέτως ἀφ' ἑνὸς τοῦ κρατίστου τὰ λοιπὰ δηλῶν,

l ἐπὶ δὲ τοῦ κυριωτάτου] Locus in Plat. Timæo p. 1087. C. ita legitur: τὸ δὲ δὴ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε· ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε τοῦτο. Pro ἐπίγειον in Plat. l. cit. ἔγγειον scriptum reperitur. Gesn. περὶ δὲ κ. N. qui mox τῆς ψυχῆς.

m ὡς ἂν αὐτὸ δαίμοσι N.

68 δέδωκε præbet Vat.

n τοῦτο ἡμᾶς αἴρειν om N.

o ὄντος φυσικὸν N.

p εἴληφε N.

q Potius περικάρδιον, voce magis usitata, et sententia magis Platonica, legere vult Gesn. De re cf. Vita Homeri l. c. Schow.

r κόρον Ὀδυσσεὺς N.

s σαφὲς om. N.

t Od. Υ. 17.

69 μυθικαὶ Vat. N.

u εἰς om. N. qui mox κολαζόμενος.

x Od. Λ. 577.

y Ibid. 579. Ubi editur ἥλκησε. Schow.

z πατροτύπτους N.

a οὕτω N.

b λείπεται N. et mox τρόπῳ.

c ἐν τῷ σώματι om. N.

d γοῦν N.

[e] Τοίην γὰρ κεφαλὴν ἕνεκ' αὐτῶν γαῖα [70] κατέσχεν,
Αἴανθ'.

καὶ σαφέστερον ἐπὶ τοῦ Νέστορος ἵππου, [f] κυριώτατον ἀποφαίνεται τοῦτο τὸ μέρος·

[g] Ὅθι ταὶ πρῶται τρίχες ἵππων
Κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστι.

ταύτην δὲ τὴν δόξαν ἀλληγορικῶς βεβαιῶν, τὰ κατὰ τὴν Ἀθηνᾶν ἡμῖν [h] παραδέδωκεν. ἐπειδὴ γὰρ ὁ Ἀχιλλεὺς, ὑπόπλεως ὀργῆς γενόμενος, ὥρμησεν ἐπὶ τὸν σίδηρον, ἐπισκοτουμένου τοῦ κατὰ τὴν κεφαλὴν [i] λογισμοῦ τοῖς περὶ τὰ στέρνα θυμοῖς, κατ' ὀλίγον ἐκ τῆς ἀγανακτούσης μέθης ὁ νοῦς ἐπὶ τὸ βέλτιον ἀνένηψεν. ἡ δὲ σὺν φρονήσει μετάνοια δικαίως ἐν τοῖς ποιήμασιν Ἀθηνᾶ νομίζεται· σχεδὸν γὰρ ἡ θεὸς οὐκ ἄλλου τινὸς ἢ συνέσεως [k] ἐπώνυμός ἐστιν, ἀθρηνᾶ τις οὖσα, καὶ πάντα τοῖς λεπτοτάτοις ὄμμασι τῶν λογισμῶν διαθροῦσα, [l] διὸ δὴ καὶ παρθένον αὐτὴν ἐτήρησαν· ἄφθορον γὰρ ἀεὶ τὸ φρόνημα, οὐδεμιᾷ κηλῖδι μιανθῆναι δυνάμενον, [m] ἔκ τε τῆς τοῦ Διὸς κεφαλῆς [n] γεγενῆσθαι δοκεῖ. τοῦτον γὰρ ἀπεφηνάμεθα τὸν χῶρον ἰδίως λογισμῶν εἶναι μητέρα.

20. Καὶ τί δεῖ τὰ πολλὰ μηκύνειν; οὐδὲν, ἢ [o] τελέως φρόνησις αὕτη. τοιγαροῦν ἀπὸ τῶν διαφλεξάντων Ἀχιλλέα θυμῶν, ὥσπερ τι σβεστήριον κακοῦ φάρμακον ἐπέστη,

[p] ——ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.

παρ' ὃν μὲν γὰρ [q] ὀργίσεται καιρὸν, ἐν τοῖς στέρνοις ὁ θυμὸς ἕστηκεν· ἕλκων γὰρ τὸ ξίφος,

[r] Στήθεσσι λασίοισι διάνδιχα μερμήριξεν.

Ἡνίκα δ' ἡ ὀργὴ [s] πέπειρα γίνεται, [t] μετειλήχασι δ' αὐτὸν, οἷα μετανοοῦντα ἤδη, [u] λογισμοὶ, τῆς κεφαλῆς ἀπρὶξ ἡ φρόνησις εἴληπται.

[x] Θάμβησεν δ' Ἀχιλλεὺς,

[y] τὸ πρὸς πάντα κίνδυνον ἀτρεμὲς αὐτοῦ καὶ ἀκατάπληκτον ὁρῶν,

e Od. Λ. 548. et alibi ut Od. Λ. 343. Schow.

70 κατέσχε τὸν Αἴαντα Vat.

f καιριώτατον N.

g Il. Θ. 83. ubi edd. ὅθι τε.

h παρέδωκεν N. qui mox ὀργῆς ἔμπλεον.

i λογισμοῦ om. N.

k ἐπώνυμός τις ἔνεστιν N.

l Hymn. in Venerem v. 7. seqq.

m Hymn. in Palladem v. 4. seqq. et Hymn. in Apollinem v. 323.

n γεγενῆσθαι om. N.

o τέλεια N.

p Il. A. 197.

q ὀργίζετο N.

r Ibid. 189.

s πέπειρος N.

t Ita Gale e MS. Angl. Editum erat male αὐτό. Schow. Sic et Vat. ηλλάγησαν μετειλήχασι δι' αὐτὸν N.

u λογισμὸς δὲ τῆς κεφαλῆς ἅπαξ ἡ φρόνησις λέγεται N.

x Il. A. 199.

y Ἄνοιαν Gesnerus mutare voluit

ἐφοβήθη τὴν ἐκ [z]λογισμῶν [71]μετάνοιαν. ἐπιγνοὺς δ' εἰς οἷον κακὸν [a]προκυλισθῆναι παρὰ μικρὸν ἔμελλεν, ὡς ἡνίοχον εὐλαβήθη τὸν ἐφεστῶτα νοῦν· ὅθεν οὐδὲ παντελῶς ἀπήλλακται τῆς ὀργῆς. ἐπιφέρει γοῦν·

[b]Ἀλλ' ἤτοι ἔπεσι μὲν ὀνείδισον, ὡς ἔσεταί περ.

θεὰ μὲν οὖν βοηθοῦσα πάντως ἂν ὁλόκληρον [c]εἰρήνην τοῦ πάθους κατεσκεύασεν· [d]ἐπειδὴ δὲ λογισμὸς ἀνθρώπινος ἦν, τὸ [e]ξίφος ἀνεῖρξεν ἀναγκαίως, καὶ τὸ μὲν ἄχρι τῶν ἔργων [f]τολμηρὸν ἐκκέκοπται· ὑπομένει δὲ ἔτι [g]λείψανα τῆς ὀργῆς, [h]οὐ γὰρ ἀθρόως ὑφ' ἕνα καιρὸν οἱ μεγάλοι θυμοὶ τῶν παθῶν ἀποκόπτονται. καὶ τὰ μὲν [i]περὶ Ἀθηνᾶς, ἣν μεσῖτιν [k]ὑπεστήσατο τοῦ πρὸς Ἀγαμέμνονα θυμοῦ, [72]αὐτῆς ἀλληγορίας ἀξιούσθω.

21. Βαρύτατον δ' ἔγκλημα κατὰ Ὁμήρου, καὶ πάσης καταδίκης ἄξιον, εἴπερ [l]ἄρα μεμύθευκεν, ὡς ἐν τοῖς ἐφεξῆς ἔνεστιν εὑρεῖν· [m]ὅτε [n]τὸν ἁπάντων ἡγεμόνα

—ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη·

in διάνοιαν, et ὁρῶν neutro genere in fine sententiæ collocare. MS. Angl. habet μετάνοιαν. Utraque autem lectio sententiæ adversatur. Deinde lectio MS. Angl. est tantum emendatio cujusdam librarii, qui auctoris mentem non percepit. Vitium in præpos. ἐκ latere puto, eamque aut in ἔξω vel ἐκτὸς esse mutandam, aut ἐκ eo sensu accipiendum; est itaque ἐφοβήθη τὴν ἔξω λογισμῶν (οὖσαν) ἄνοιαν. *expavit dementiam extra mentis sanitatem constitutam.* Locum ergo ita constituo: Θάμβησεν δ' Ἀχιλεύς. sunt ipsa Homeri verba, et ea, quæ sequuntur: τὸ πρὸς πάντα κίνδυνον ἀτρεμὲς αὐτοῦ καὶ ἀκατάπληκτον, ὁρῶν ἐφοβήθη τὴν ἔξω λογισμῶν ἄνοιαν, allegoricam eorundem verborum interpretationem continent. τὸ ἀτρεμὲς καὶ ἀκατάπληκτον αὐτοῦ pro ipso Achille imperterrito dictum est, et ad illud referendum ὁρῶν. Totius autem loci sensus erit hic: *Ista Homeri verba: Θάμβησεν δὲ Ἀχιλλεὺς, sunt per allegoriam ita accipienda: vis, quæ in eo erat, animi, ad quævis pericula subeunda intrepida et imperterrita, expavescebat tamen dementiam, extra mentis sanitatem constitutam, cum se animadvertisset.* Malim sane ὁρῶν prorsus abesse, impeditiorem enim facit orationis structuram, et videtur insertum ab aliquo, qui reliqua non assequabatur. SCHOW.

[z] λογισμοῦ N. qui mox ἐπιγένους.

[71] Sic Vat. Vulgo ἄνοιαν.

[a] προκλυσθῆναι μικρὸν N.

[b] Il. A. 211. ubi ἔπεσιν editur.

[c] τὴν εἰρήνην N.

[d] ἐπεὶ N.

[e] νεῖκος N.

[f] τολμηρῶν N.

[g] λείψανον N.

[h] οὐ γὰρ ἀθρόως MS. Angl. Gale. Et sic Vat. Vulgo ἄθροον.

[i] τῆς N.

[k] ἑστήσατο N.

[72] ταύτης τῆς SCHOW. et N.

[l] αὖ N. qui mox om. ὡς.

[m] Il. A. 399. ὁππότε μιν ξυνδῆσαι &c.

[n] ὅτι τῶν ἁπάντων MS. Angl. Gale. Ad eandem lectionem vertit interpres. SCHOW. Sic et Vat. N.

Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν,
Ὦχ' ἑκατόγχειρον καλέσασ' εἰς μακρὸν Ὄλυμπον,
Ὃν Βριάρεων καλέουσι θεοὶ, ἄνδρες δέ τε πάντες
Αἰγαίων', ὁ γὰρ αὖτε βίῃ οὗ πατρὸς ἀμείνων.

Ἐν τούτοις τοῖς στίχοις ἄξιός ἐστιν Ὅμηρος οὐκ ἐκ μιᾶς τῆς Πλάτωνος ἐλαύνεσθαι πολιτείας, ἀλλ' ὑπὲρ [o] Ἡρακλέους, φασὶν, ἐσχάτας στήλας, [p] καὶ τὴν ἄβατον ὠκεανοῦ θάλασσαν. Ζεὺς γὰρ ὀλίγου δεσμῶν πεπείραται, καὶ τὴν ἐπιβουλὴν αὐτῷ συνιστᾶσιν οὐχ οἱ Τιτᾶνες, οὐδὲ τὸ κατὰ Παλλήνην θράσος Γιγάντων, [q] ἀλλ' Ἥρα, διπλοῦν ὄνομα, φύσεως καὶ συμβιώσεως, [r] ὅ τ' ἀδελφὸς Ποσειδῶν, ἐξ ἴσου νεμηθεὶς ἅπαντα, καὶ οὐχὶ [s] τοῦ διαμαρτεῖν, ἧς ὤφειλε τιμῆς [73] ἀξιοῦσθαι, κατὰ [t] τοῦ πλεονεκτήσαντος ἠγανακτηκώς· τρίτη δ' Ἀθηνᾶ, διὰ μιᾶς ἐπιβουλῆς εἰς πατέρα καὶ μητέρα δυσσεβοῦσα. νομίζω δὲ ἔγωγε τῆς ἐπιβουλῆς Διὶ τὴν σωτηρίαν ἀπρεπεστέραν· Θέτις γὰρ αὐτὸν ἀπήλλαξε τῶν δεσμῶν, καὶ Βριάρεως. ἀπρεπεῖς δ' αἱ τοιαῦται ἐλπίδες, ὡς τοιούτων δεηθῆναι συμμάχων.

22. Ταύτης τοίνυν τῆς ἀσεβείας ἕν ἐστιν ἀντιφάρμακον, ἐὰν ἐπιδείξωμεν ἠλληγορημένον τὸν μῦθον· ἡ γὰρ ἀρχέγονος ἁπάντων καὶ πρεσβυτέρα φύσις ἐν τούτοις τοῖς ἔπεσι [u] θεολογεῖται, καὶ τῶν φυσικῶν κατὰ τὰ [74] στοιχεῖα δογμάτων εἷς ἀρχηγὸς Ὅμηρος, ἑκάστῳ τινὶ τῶν μετ' αὐτὸν, ἧς ἔδοξεν εὑρεῖν, ἐπινοίας γεγονὼς διδάσκαλος. [x] Θάλητα μέν γε τὸν μιλήσιον ὁμολογοῦσι πρῶτον ὑποστήσασθαι τῶν [y] ὅλων κοσμογόνον στοιχεῖον τὸ ὕδωρ· [z] ἡ γὰρ ὑγρὰ φύσις εὐμαρῶς εἰς ἕκαστα μεταπλαττομένη, πρὸς τὸ ποικίλον εἴωθε [a] μορφοῦσθαι· τό τε γὰρ ἐξατμιζόμενον αὐτῆς ἀεροῦται, καὶ τὸ λεπτότατον ἀπὸ ἀέρος αἰθὴρ ἀνάπτεται, συνιζάνον τε τὸ ὕδωρ καὶ μεταβαλλόμενον εἰς ἰλὺν ἀπογαιοῦται· διὸ δὴ τῆς τετράδος τῶν στοιχείων ὥσπερ αἰτιώτατον ὁ Θάλης ἀπεφήνατο στοιχεῖον εἶναι τὸ ὕδωρ. τίς οὖν ἐγέννησε ταύτην τὴν δόξαν; οὐχ Ὅμηρος; εἰπὼν,

o Ἡρακλείας N.
p καὶ om. N. et mox om. γάρ.
q Alludit ad Il. Δ. 60.
r Respicit Il. O. 187.
s τὸ διαμαρτεῖν N. et mox. ὤφελε.
73 ἠξιῶσθαι Vat. N.
t τοῦ om. N.
u θεολογικῶς κατὰ τὰ στοιχεῖα N.
74 τὰ addidimus ex Vat. Ex eodem mox τινι pro vulg. τοίνυν.
x Hæc Thaletis de primo omnium rerum principio opinio etiam exponitur in Stobæi Eclogis Physicis lib. I. 26. Diog. Laert. in vita Thalet. lib. I. p. 18. edit. Steph. ἀρχὴν δὲ τῶν πάντων ὕδωρ ὑπεστήσατο. et p. 35. B. refert eum dixisse: ζῶα γενέσθαι ἐξ ὑγροῦ, καὶ θερμοῦ, καὶ γεώδους. Hujus Thaletis philosophematis rationem habuit Pindarus in primo Olymp. vers. 1. Ἄριστον μὲν ὕδωρ. SCHOW. θάλαττα N. pr.
y ἄλλων N.
z Vocem ὑγρὰ ex MS. Angl. reposuit Gale. SCHOW. Et sic Vat.
a μεταμορφοῦσθαι N.

[b] Ὠκεανὸς, ὅσπερ γένεσις πάντεσσι τέτυκται.

φερωνύμως μὲν ὠκεανὸν εἰπὼν τὴν ὑγρὰν φύσιν, παρὰ τὸ ὠκέως νάειν, τοῦτον δ' ὑποστησάμενος ἁπάντων [c]γενεάρχην. ἀλλ' ὁ κλαζομένιος Ἀναξαγόρας, κατὰ διαδοχὴν γνώριμος ὢν Θάλητος, συνέζευξε τῷ ὕδατι δεύτερον στοιχεῖον τὴν γῆν, ἵνα ξηρῷ μιχθὲν ὑγρὸν ἐξ ἀντιπάλου φύσεως εἰς μίαν ὁμόνοιαν [d]ἀνακραθῇ. καὶ ταύτην δὲ τὴν ἀπόφασιν πρῶτος Ὅμηρος ἐγεώργησεν, Ἀναξαγόρᾳ σπέρματα τῆς ἐπινοίας χαρισάμενος, ἐν οἷς φησί·

[e] Ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

πᾶν γὰρ τὸ φυόμενον ἔκ τινων, εἰς ταῦτα ἀναλύεται διαφθειρόμενον, ὡσπερεὶ τῆς φύσεως, [f]ἃ δεδάνεικεν ἐν ἀρχῇ, χρέα κομιζομένης ἐπὶ τέλει. διὸ δὴ τοῖς [g]Κλαζομενίοις δόγμασιν ἑπόμενος Εὐριπίδης φησί·

[h] Χωρεῖ δ' ὀπίσω, τὰ μὲν ἐκ γαίας
φύντ' εἰς γαῖαν, τὰ δ' ἀπ' αἰθρίου
βλαστόντα γονῆς εἰς αἰθέρα.

καταρώμενος οὖν ὁ ποιητὴς τοῖς Ἕλλησι, μίαν εὗρεν ἀρχὴν φιλόσοφον, εἰ πάλιν ὕδωρ καὶ γῆ γένοιντο διαλυθέντες εἰς ταῦτα, ἀφ' ὧν ἐπήχθησαν, ὅτε ἐγεννῶντο. ἐσχάτη τοίνυν ὑπὸ τῶν μεγίστων φιλοσόφων ἡ τελεία τετρὰς ἐν τοῖς στοιχείοις συνεπληρώθη· δύο μὲν γὰρ ὑλικά φασιν εἶναι, γῆν τε καὶ ὕδωρ, δύο δὲ πνευματικὰ, αἰθέρα [i]τε καὶ ἀέρα, τούτων δὲ τὰς φύσεις, [k]ἀλλήλαις ἐναντία φρονούσας, ὅταν εἰς τὸ αὐτὸ [75]κραθῶσιν, ὁμονοεῖν.

23. Ἆρ' οὖν, εἴ τις [l]θέλοι τἀληθὲς ἐξετάζειν, οὐχὶ καὶ ταῦτα τὰ στοιχεῖα παρ' Ὁμήρῳ φιλοσοφεῖται[m]; καὶ περὶ μὲν τῶν Ἥρας δεσμῶν, ἐν οἷς ἡ τάξις ἠλληγόρηται τῶν τεττάρων στοιχείων, εὐκαιρότερον αὖθις ἐροῦμεν· νῦν δ' ἀποχρῶσιν οἱ κατὰ τὴν τρίτην ῥαψῳδίαν ὅρκοι, τὸ λεγόμενον [n]ὑφ' ἡμῶν βεβαιῶσαι.

[o] Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις,

[b] Il. Ξ. 246. ubi legitur Ὠκεανοῦ.
[c] γενάρκην N.
[d] ἀνακριθῇ N.
[e] Il. H. 99.
[f] ἃ δεδάνεικεν] δεδενακυίας N.
[g] Κλαζομενίου N.
[h] Exstat hoc fragmentum Euripidis inter incertas ejus Tragœdias edit. Barnes. p. 504. plenius adhuc et accuratius in Valkenarii V. C. Diatribe cap. IV. in Euripidis Anaxagorea p. 38. Est autem fragmentum dramatis Chrysippi. Schow.
[i] τε om. N.
[75] κερασθῶσιν Vat. N.
[k] ἀλλήλας N.
[l] τὸ ἀληθὲς θέλοι N.
[m] Respicit Il. O. 18. cf. Vita Homeri Plutarcho tributa. Schow.
[n] ἀφ' N.
[o] Il. B. 412. reliqua ex Il. Γ. 277. Eosdem versus jam supra laudarat. Schow.

καὶ ποταμοὶ καὶ γαῖα, καὶ οἳ [p] ὑπένερθε καμόντας
ἀνθρώπους τίνυσθον, [q] ὅ τις κ' ἐπίορκον ὀμόσσῃ.

πρῶτον ἐπικαλεῖται τὸν ὀξύτατον αἰθέρα, τὴν [r] ἀνωτάτω τάξιν εἰληχότα. [s] πυρὸς δὲ εἰλικρινοῦς φύσις, ἅτ' οἶμαι κουφοτάτη, τὸν ὑψηλότατον ἀποκεκλήρωται χῶρον· εἴη δ' ἄν, οἶμαι, τοῦτο Ζεὺς ἐπώνυμος, ἤτοι τὸ ζῆν παρεχόμενος ἀνθρώποις, ἢ παρὰ τὴν ἔμπυρον ζέσιν [t] οὕτως ὠνομασμένος. ἀμέλει [u] δὲ καὶ ὁ [x] Εὐριπίδης τὸν ὑπερτεταμένον αἰθέρα φησίν·

Ὁρᾷς [y] τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα,
καὶ γῆν πέριξ ἔχοντ' ὑγραῖς ἐν [z] ἀγκάλαις;
τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν.

Ὁ μὲν οὖν πρῶτος αἰθὴρ καλεῖται μεσίτης τῶν ὁρκίων· ποταμοὶ δὲ καὶ γῆ, [a] τὰ ὑλικὰ στοιχεῖα, μετὰ τὴν πρώτην φύσιν αἰθέρος. [b] τὸν δ' ὑπένερθεν ἀΐδην [c] ἀλληγορικῶς ἀέρα προσαγορεύει· μέλαν γὰρ τουτὶ [76] τὸ στοιχεῖον, ὡς ἂν οἶμαι, παχυτέρας καὶ διύγρου [d] λαχὸν μοίρας. δίχα γοῦν τῶν καταφωτίζειν δυναμένων ἀλαμπής ἐστιν· ὅθεν εὐλόγως αὐτὸν ἀΐδην προσηγόρευσε. τί οὖν τὸ πέμπτον, [e] ὁ ἥλιος; ἵνα τι καὶ περιπατητικοῖς φιλοσόφοις χαρίσηται Ὅμηρος, ἐπεκαλέσατο· καὶ τοῦτο γὰρ ἀξιοῦσιν, ἑτέραν τοῦ πυρὸς εἶναι ταύτην τὴν φύσιν, ἣν [f] κυκλοφορητικὴν ὀνομάζουσι, πέμπτον εἶναι τοῦτο [g] τὸ στοιχεῖον ὁμολογοῦντες. ὁ μὲν γὰρ αἰθὴρ διὰ τὴν κουφότητα πρὸς τοὺς ἀνωτάτω χωρεῖ τόπους· ἥλιος δὲ καὶ σελήνη καὶ τῶν ὁμοδρόμων αὐτοῖς ἕκαστον ἄστρων, τὴν ἐκ κύκλῳ φορὰν δινούμενα διατελεῖ, τῆς πυρώδους οὐσίας ἄλλην τινὰ δύναμιν [h] ἔχοντα. διὰ τούτων ἁπάντων ὑπεσήμηνεν ἡμῖν τὰ πρωτοπαγῆ στοιχεῖα τῆς φύσεως.

24. Καὶ περὶ αὐτοῦ μηδεὶς λεγέτω, πῶς μὲν ὁ αἰθὴρ προσαγορεύεται Ζεὺς, ἀΐδην δ' ὀνομάζει τὸν ἀέρα, καὶ συμβολικοῖς ὀνόμασι τὴν φιλοσοφίαν ἀμαυροῖ· παράδοξον [i] γὰρ οὐδὲν, εἰ, ποιητής τε ὤν, ἀλληγορεῖ, καὶ τῶν [77] προηγουμένως φιλοσοφούντων τούτῳ τῷ τρόπῳ χρωμένων. [k] ὁ γοῦν σκοτεινὸς Ἡράκλειτος ἀσαφῆ, καὶ διὰ συμβόλων εἰ-

p ἐπένερθε N.
q ὃς καὶ ἐπίορκον N.
r ἀνωτάτην N.
s πυρὸς γὰρ MS. Angl. Gale. πυρὸς γὰρ εἰλικρινὴς Vat. N. mox οὔτ' οἶσαι κουφῶ N.
t οὗτος N.
u δὲ om. N.
x Cum fragmentis Pacuvii et Ennii contulit hoc fragmentum Valkenarius in Diatribe in Eurip. Fragm. cap. VI. de duobus rerum creatarum principiis p. 47. Scho.
y τὸν ὑψοῦ om. N.
z ἀγκύλαις N.
a καὶ τὰ ὑλικὰ N.
b τίς δ' ὁ ὑπάνερθεν N. pr.
c ἀέρα προσαγορεύειν ἀλληγορικῶς N.
76 Articulum addit Vat.
d λάχοι N.
e ὁ om. N.
f κυκλωφορικὴν N.
g τὸ om. N.
h ἐχούσης N. qui mox ἐσήμανεν.
i δ' N. qui mox om. τε ὤν.
77 προηγουμένων Vat. N.
k Humana omnia continua quadam mobilitate fluere, moveri, sin-

κάζεσθαι [l] δυνάμενα, [79] θεολογεῖ τὰ φυσικὰ, δι' ὧν φησί· θεοὶ θνητοί τ' ἄνθρωποι ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν. καὶ πάλιν· ποταμοῖς τοῖς [m] αὐτοῖς, ἐμβαίνομέν τε, καὶ οὐκ ἐμβαίνομεν, [n] εἶμέν τε, καὶ οὐκ εἶμεν. ὅλον τε τὸ περὶ φύσεως αἰνιγματώδης

gulisque momentis mutari, nobilissimum hujus Heracliti dogma fuit. Vid. Platonis Cratylus p. 276. D. Diog. Laert. in vita Heracliti lib. IX. p. 551. segm. 7. Ab hac Heracliti opinione profecta esse videntur mira ista et obscura dicta, quæ hic ab auctore afferuntur: ποταμοῖς τοῖς αὐτοῖς ἐμβαίνομέν τε καὶ οὐκ ἐμβαίνομεν. εἶμέν τε καὶ οὐκ εἶμεν. Sensus adeo horum verborum erit hic: *Undantes fluminis aquæ urgentur aliæ ab aliis, ita ut quovis motu suo varientur; quando igitur flumen iterata vice ingredimur, dicimur quidem ex vulgari hominum opinione idem flumen ingredi, propter varias tamen illas, quas singulis momentis vices flumen subit, revera idem flumen non est. Nos ipsi etiam in singulas horas mutamur, ita ut, etsi nobis videamur iidem esse, qui antea fuimus, revera tamen iidem non simus.* Eadem etiam afferuntur a Platone l. cit. λέγει (Ἡράκλειτος) ὡς δὶς εἰς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης. Etiam in Plutarch. Quæstion. Natural. Quæst. Secund. p. 912. A. ποταμοῖς γὰρ δὶς τοῖς αὐτοῖς οὐκ ἂν ἐμβαίης, ὥς φησιν Ἡράκλειτος· ἕτερα γὰρ ἐπιῤῥεῖ ὕδατα. Docuit etiam iste Heraclitus, per totum universum diffusas esse animas, easque naturam deorum constituere: πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη. Diog. Laert. in vita Heracliti lib. IX. p. 551. Ab hoc Heracliti dogmate petenda est interpretatio obscuri illius dicti: θεοὶ θνητοί τ' ἄνθρωποι ἀθάνατοι, ita enim interpunctio instituenda est. Verba illa, quibus eadem diis et hominibus natura communis esse traditur, plenius sic se habent: θεοὶ ἄνθρωποι ἀθάνατοι, ἄνθρωποι θεοὶ θνητοί. *Sunt nempe ex Heracliti opinione dii homines, quatenus animæ, quæ corporibus humanis includuntur, divinæ etiam naturæ particulæ sunt; et vice versa, homines sunt dii, quatenus ipsorum animæ ad deorum naturam pertinent, eamque constituunt.* Tradidit porro idem Heraclitus, animas, quum in corpora humana detruderentur, æthercam ac divinam suam vim perdere; a corporum vero mole liberatas pristina sua divina vita iterum beari. Sextus Empiricus Pyrrh. Hypot. lib. III. p. 157. C. edit. Colon. hanc Heracliti opinionem ita exposuit: Ὁ δὲ Ἡράκλειτος φησὶν, ὅτι καὶ τὸ ζῆν ἔστι τὸ ἀποθανεῖν, καὶ ἐν τῷ ζῆν ἡμᾶς ἔστι καὶ τεθνάναι· ὅτε μὲν γὰρ ἡμεῖς ζῶμεν, τὰς ψυχὰς ἡμῶν τεθνάναι, καὶ ἐν ἡμῖν τεθάφθαι· ὅτε δὲ ἡμεῖς ἀποθνήσκομεν, τὰς ψυχὰς ἀναβιοῦν καὶ ζῆν. Ex his jam illustranda sunt ista Heracliti verba: ζῶντες τὸν ἐκείνων θάνατον, θνήσκοντες τὴν ἐκείνων ζωήν. *Homines nempe, animis morte a corporibus solutis, veræ ac perennis vitæ compotes fiunt; quousque autem in hisce terris versantur, animarum divina vi per corporum crassitiem oppressa ac debilitata, vita hominum morti simillima est.* Has Heracliti sententias illustravit Brucker. in Histor. Crit. Philos. pars II. lib. II. cap. XII. p. 1222. VI. Gesnerus in Comment. Soc. Reg. Scient. Goetting. tom. I. p. 83. IV.

[l] δύναμιν θεολογικὴν φυσικῇ N. omissis δι' ὧν φησί.

[79] θεολογεῖται φυσικὰ Vat.

[m] αὐτοῦ N. omissis τε καὶ οὐκ ἐμβαίνομεν.

[n] ἦμεν N. et sic mox.

ἀλληγορεῖ. τί δ' ὁ ἀκραγαντῖνος Ἐμπεδοκλῆς: οὐχὶ, τὰ τέτταρα στοιχεῖα βουλόμενος ἡμῖν ὑποσημῆναι, τὴν ὁμηρικὴν ἀλληγορίαν μεμίμηται;

[o] Ζεὺς Ῥαργὴς, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς,
Νῆστις θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

Ζῆνα μὲν εἶπε τὸν αἰθέρα, γῆν δὲ τὴν Ἥραν, Ἀϊδωνέα δὲ τὸν ἀέρα, τὸ

[o] Ζεὺς ἀργὴς, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς,
Νῆστις θ', ἣ δακρύοις τέγγει κρούνωμα βροτεῖον.

Hujus fragmenti Empedoclei, in quo quatuor elementa expressa esse videntur, (et sane στοιχεῖα εἶναι τέτταρα, πῦρ, qui hic Ζεὺς et αἰθὴρ est, ὕδωρ, γῆν, ἀέρα, Laertius in ej. vita testatur) verba eadem sunt apud Henric. Stephan. in Poesi Philos. Fragm. Empedocl. p. 21. et apud Sextum Empiric. advers. Mathemat. p. 433. B. nisi quod sequens versus in utroque ab initio additur:

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε.

Exstat idem fragmentum etiam in Stobæi Eclog. Physic. lib. I. p. 25. sed ibi pro Νῆστις θ', ἣ legitur Νῆστις θ', ἣν: ita hoc κρούνωμα βροτεῖον, *fons humanus*, dictum videri potest de oculo, lacrimis irriguo, qui flendo irrigat Nestin, quicquid tandem illa sit, terra forte cum Aidoneo seu Hade juncta. Etiam apud Stobæum l. cit. Νῆστις et κρούνωμα βροτεῖον tanquam res duæ diversæ accipiuntur, et allegorice explicantur per τὸ σπέρμα et τὸ ὕδωρ. In Diog. Laert. lib. VIII. segm. 76. idem Empedoclis fragmentum multum variat a textu Heraclidis; legitur enim: Νῆστις θ', ἣ δακρύοις ἐπιπικροῖ ὄμμα βροτεῖον. At enim ὄμμα est sine dubio glossema vocis κρούνωμα, et tum, ut metri causa τέγγει in ἐπιπικροῖ converteretur, omnino necesse erat. Ceterum in eliciendis ex his versibus quatuor elementis Νῆστιν etiam per τὸ ὕδωρ exponit Diog. Laert. l. cit. Idem hujus fragmenti versus apud Suidam in v. Νῆστις ita expressus legitur: Νῆστις θ', ἣ δακρύοις γε πικροῖς νωμᾷ βροτεῖον γένος. in quo manifesta interpolationis sunt vestigia. Idem Suidas Νῆστιν per τὸ ὕδωρ interpretatur. Alioqui lexicographi vulgo in eo consentiunt, ut iis Νῆστις sit τὸ ἔντερον vel ὁ ἄσιτος, quasi νήσιτις, παρὰ τὸ νὴ στερητικὸν καὶ τὸ σίτιον. Vid. Etymolog. M. et Suid. in h. v. Menagius in Observat. ad Laert. lib. VIII. segm. 76. deducit Νῆστις a νέω nato; sed nihil hac ratione efficitur. Nunquam ut puto, ad liquidum perduci vel constitui potest ratio et origo significatus, quem Empedocles priscæ huic voci tribuerit; quum nullo alio loco ea vel ab antiquioribus vel serioribus poetis sit adhibita. Miror tamen, quum alia Empedoclis fragmenta habeamus, in quibus eadem quatuor elementa expressa sunt, (v. Henr. Steph. Poes. Philos. Fragm. Emped. p. 19. 21. 24.) in iis non eandem vocem Νῆστιν occurrere, sed elementum aquæ, partim per τὸ ὕδωρ, partim per τὸν πόντον, exprimi. Unde suspicetur quis Νῆστιν in hoc fragmento esse vitiosam vocem, forte ex γῇ ortam; esset tum a poeta hoc suaviter dictum, quod terram miseri homines lacrimis suis humectant. Quod si vero in hoc loco vitium latet, antiquiori jam ætate ista corruptio facta ut sit, necesse est. Schow.

[p] ἀρ' N.

δὲ δακρύοις τεγγόμενον κρούνωμα βρότειον τὸ ὕδωρ. οὐ δὴ παράδοξον, εἰ, τῶν προηγουμένως ὁμολογούντων φιλοσοφεῖν ἀλληγορικοῖς ὀνόμασι χρησαμένων, ὁ ποιητικὴν [q]ἐπαγγελλόμενος ἐξίσου τοῖς φιλοσόφοις ἠλληγόρησε.

25. Λοιπὸν οὖν σκοπῶμεν, εἰ ἡ κατὰ Διὸς ἐπιβουλὴ τῶν στοιχείων ἐστὶν ἀπαρίθμησις, καὶ φυσικωτέρας ἅπτεται θεωρίας. φασὶ τοίνυν οἱ δοκιμώτατοι φιλόσοφοι ταῦτα περὶ τῆς [r]διαμονῆς τῶν ὅλων· ἕως μὲν [80]ἂν ἀφιλόνεικος ἡ ἁρμονία τὰ τέτταρα στοιχεῖα διακρατῇ, μηδενὸς ἐξαιρέτως ὑπερδυναστεύοντος, ἀλλ' ἑκάστου κατ' ἐμμέλειαν, ἣν εἴληχε, τάξιν οἰκονομοῦντος, ἀκινήτως ἕκαστα μένειν· [s]εἰ δ' ἐπικρατῆσαί τι τῶν ἐν αὐτοῖς, καὶ τυραννῆσαν εἰς πλείω φορὰν [t]παρέλθοι, τὰ λοιπὰ συγχυθέντα τῇ τοῦ κρατοῦντος ἰσχύϊ μετ' ἀνάγκης ὑπείξειν. πυρὸς μὲν αἰφνιδίως ἐκζέσαντος, ἁπάντων [u]ἔσεσθαι κοινὴν ἐκπύρωσιν· εἰ δ' [81]ἀθρόον ὕδωρ ἐκραγείη, κατακλυσμῷ τὸν κόσμον ἀπολεῖσθαι. διὰ τούτων τοίνυν τῶν ἐπῶν μέλλουσάν τινα ταραχὴν ἐν τοῖς ὅλοις Ὅμηρος ὑποσημαίνει· [x]Ζεὺς γάρ, ἡ [y]δυνατωτάτη φύσις, ὑπὸ τῶν ἄλλων ἐπιβουλεύεται στοιχείων, Ἥρας μέν, τοῦ ἀέρος, Ποσειδῶνος δέ, τῆς ὑγρᾶς φύσεως, Ἀθηνᾶς δέ, τῆς γῆς [z]ἐπεὶ δημιουργός ἐστιν ἁπάντων, καὶ θεὸς ἐργάνη. ταῦτα [82]δὲ τὰ στοιχεῖα πρῶτον μὲν συγγενῆ διὰ τὴν ἐν ἀλλήλοις ἀνάκρασιν· εἶτα, συγχύσεως παρὰ μικρὸν [83]αὐτοῖς γενομένης, εὑρέθη βοηθὸς ἡ πρόνοια. Θέτιν δ' αὐτὴν εὐλόγως ὠνόμασεν· αὕτη γὰρ [84]ὑπέστη τῶν ὅλων [a]εὔκαιρον [85]ἀπόθεσιν, ἐν τοῖς ἰδίοις νόμοις ἱδρύσασα τὰ στοιχεῖα. σύμμαχος δ' [b]αὐτῇ γέγονεν ἡ βριαρὰ καὶ [86]πολύχειρος δύναμις· τὰ γὰρ τηλικαῦτα τῶν πραγμάτων νοσήσαντα πῶς ἄλλως [c]δύναιτο, πλὴν μετὰ μεγάλης βίας, ἀναρρωσθῆναι; καὶ τὸ μὲν ἄφυκτον ἔγκλημα περὶ τῶν Διὸς ἀσεβῶν δεσμῶν οὕτω φυσικὴν ἀλληγορίας ἔχει θεωρίαν.

26. Ἐγκαλοῦσι [d]δ' Ὁμήρῳ [e]περὶ τῆς Ἡφαίστου ῥίψεως· τὸ μὲν

q ἀπαγγελλόμενος N.

r δυνάμεως N.

80 ἂν deest Vat. ἕως μὲν ἐφιλονείκει ἁρμονία τὰ τέσσαρα N.

s εἰ δὲ κρατῆσαν τί τῶν N.

t διέλθοι N.

u Κοινὴν ex MS. Angl. restituit Gale. male editum κοινή. Schow. κοινὴν item Vat. κοινῇ veram putat Heyne.

81 ἄθρουν Vat. Tum ὕδωρ om. N.

x Cf. Il. Θ. 17. et alibi.

y δυνατωτέρα N.

z ἐπειδή N. om. mox ἁπάντων et ἐργάνη.

82 δὴ Vat. καὶ ταῦτα δὴ N.

83 αὐτοῦ Vat. αὐτὸν N.

84 ὑπεστήσατο Schow.

a εὔκαιρον om. N.

85 ὑπόθεσιν vel τὴν θέσιν Heyne.

b αὕτη N.

86 πολύχειρ Vat. N.

c δύναιντο N.

d δ' ὁμοίως N.

e Respicit Il. A. 590, 591.

πρῶτον, [f]ὅτι χωλὸν αὐτὸν [g]ὑφίσταται, τὴν θείαν ἀκρωτηριάζων φύσιν· εἶθ', ὅτι [h]παρὰ μικρὸν ἧκε κινδύνου.

[i] [87]Πᾶν (γάρ φησι) δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
Κάππεσον ἐν Λήμνῳ. ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.

[k]καὶ τούτοις δ' ὑποκρύπτεταί τις Ὁμήρῳ φιλόσοφος νοῦς, οὐ [l]πλάσμασι ποιητικοῖς τοὺς ἀκούοντας τέρπων· [m]αὐτίκα χωλὸν ἡμῖν παραδέδωκεν Ἥφαιστον, οὐ τὸν ἐξ Ἥρας καὶ Διὸς [n]μυθολογούμενον παῖδα· τοῦτο γὰρ ἀπρεπὲς ὄντως ἱστορεῖν περὶ [o]θεῶν· ἀλλ', ἐπεὶ ἡ πυρὸς οὐσία διπλῆ, καὶ τὸ μὲν αἰθέριον (ὡς ἔναγχος εἰρήκαμεν) ἐπὶ τῆς ἀνωτάτω τοῦ παντὸς αἰώρας οὐδὲν ὑστεροῦν ἔχει πρὸς τελειότητα, τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη, [p]πρόσγειος οὖσα, φθαρτὴ, καὶ διὰ τῆς [88]ὑποτρεφούσης παρ' ἕκαστα ζωπυρουμένη, διὰ τοῦτο τὴν ὀξυτάτην φλόγα συνεχῶς ἥλιόν τε καὶ Δία προσαγορεύει, τὸ δ' ἐπὶ γῆς πῦρ, Ἥφαιστον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον. ὅθεν εἰκότως, κατὰ σύγκρισιν ἐκείνου τοῦ ὁλοκλήρου, τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ. ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις ἀεὶ τοῦ διαστηρίζοντος ἐπιδεῖται βάκτρου· τὸ δὲ παρ' ἡμῖν πῦρ, ἄνευ τῆς τῶν ξύλων παραθέσεως οὐ [q]δυνηθὲν ἂν ἐπιπλεῖον παραμεῖναι, συμβολικῶς χωλὸν εἴρηται. τὸν γοῦν Ἥφαιστον, οὐκ ἀλληγορικῶς ἐν ἑτέροις, ἀλλὰ [r]διαῤῥήδην, πῦρ φησὶν Ὅμηρος εἶναι·

[s]Σπλάγχνα δ' ἄρ ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο.

Μεταληπτικῶς ὑπὸ τοῦ Ἡφαίστου τὰ σπλάγχνα φησὶν ὀπτᾶσθαι. καὶ μὴν ἀπ' οὐρανοῦ [89]ῥιπτούμενον αὐτὸν [t]ὑφίσταται. φυσικῶς γὰρ κατ' ἀρχὰς, οὐδέπω τῆς τοῦ πυρὸς χρήσεως ἐπιπολαζούσης, ἄνθρωποι χρονικῶς χαλκοῖς τισιν ὀργάνοις κατεσκευασμένοις ἐφειλκύσαντο τοὺς, ἀπὸ τῶν μετεώρων φερομένους, σπινθῆρας, κατὰ τὰς μεσημβρίας [u]ἐναντία τῷ ἡλίῳ τὰ ὄργανα τιθέντες. ὅθεν [90]οἶμαι δοκεῖ καὶ

[f] V. Il. A. 607. Il. Σ. sæpius.
[g] ὑφίστησιν—ἀκροτηρίαζον N.
[h] καὶ παρὰ N.
[i] Il. A. 592. ubi legitur: Πᾶν δ' ἦμαρ.
[87] Sic Vat. Vulgo φησὶ γάρ· Πανῆμαρ φ.
[k] καὶ om. N. et mox Ὁμήρῳ.
[l] πλᾶσμα ποιητικὸν N. pr. et mox τέρπον.
[m] ἀντιχωλὸν N.
[n] μυθούμενον MS. Angl. N. Vat.
[o] τῶν θεῶν N.
[p] πρός τι οὖσα N. pr.
[88] Sic Heyne pro ὑποστρεφούσης. ὑποτρεφούσης παρ' ἑκάστῳ N. qui mox τὴν μὲν ὀξυτάτην.
[q] δυνηθῇ N. et mox ἐπιπλεὸν παραβῆναι· συμβολικῶς ἂν εἴρηται χωλόν.
[r] διαῤῥήδην φησὶν ὅμοιον τὸ πῦρ εἶναι N.
[s] Il. B. 426. ubi vulgo minus bene legitur ἐμπείραντες. Schow. δ' ἄρα πείραντες ὑπέρεσχον N.
[89] Sic Vat. Vulgo cum N. ῥιπτόμενον.
[t] ὑφίστησιν N.
[u] ἐναντίως N.
[90] Supplevimus οἶμαι δοκεῖ ex Vat. Vulgo habetur λέγεται post πῦρ, cu-

[x] ὁ Προμηθεὺς ἀπ' οὐρανοῦ διακλέψαι τὸ πῦρ· ἐπειδήπερ τέχνης [y] προμήθεια τῶν ἀνθρώπων ἐπενόησε τὴν ἐκεῖθεν ἀπόρροιαν αὐτοῦ. Λῆμνον δὲ πρῶτον οὐκ ἀλόγως ἐμύθευσε, τὴν ὑποδεξαμένην τὸ [z] θεόβλητον πῦρ· ἐνταῦθα γὰρ ἀνίενται [a] ἐγγηγενοῦς πυρὸς αὐτόματοι φλόγες. δηλοῖ δὲ σαφῶς, ὅτι [b] τοῦτο [c] θεωρητόν ἐστι τὸ πῦρ, ἐξ ὧν ἐπήνεγκεν·

ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν.

ἀπόλλυται γὰρ εὐθέως μαρανθὲν, εἰ μὴ λάβοιτο τῆς, διαφυλάττειν αὐτὸ δυναμένης, προνοίας.

27. Καὶ ταῦτα μὲν περὶ Ἡφαίστου [d] φιλοσοφητέον. ἐῶ γὰρ ἐπὶ τοῦ παρόντος, ὡς τερατείαν τινὰ, τὴν Κράτητος φιλοσοφίαν, ὅτι Ζεὺς, ἀναμέτρησιν τοῦ παντὸς ἐσπουδακὼς [e] γενέσθαι, δύο πυρσοῖς ἰσοδρομοῦσιν, Ἡφαίστῳ τε καὶ ἡλίῳ, διετεκμήρατο τοῦ κόσμου τὰ διαστήματα· τὸν μὲν ἄνωθεν ἀπὸ τοῦ βηλοῦ καλουμένου ῥίψας, τὸν δ' ἀπ' ἀνατολῆς εἰς δύσιν ἀφεὶς φέρεσθαι. διὰ τοῦτ' [f] ἀμφότερα καὶ συνεχρόνισαν· ἅμα γὰρ [91] ἡλίῳ καταδύντι κάππεσεν Ἥφαιστος ἐν Λήμνῳ. τοῦτο τοίνυν, εἴτε κοσμική τις ἀναμέτρησις, εἴθ', ὃ μᾶλλον ἀληθές ἐστιν, ἀλληγορικὴ τοῦ καθ' ἡμᾶς [g] πυρὸς ἀνθρώποις παράδοσις, οὐδὲν ἀσεβὲς ὑπὲρ Ἡφαίστου παρ' Ὁμήρῳ λέλεκται.

28. Καὶ μὴν ἐπὶ τῆς δευτέρας ῥαψῳδίας [h] ἀνακομιζομένων τῶν Ἑλλήνων, [i] Ὀδυσσεῖ [k] διαπορoῦντι παρέστηκεν, οὐκ ἄλλη τις [92] ἀλλ' ἡ θεία φρόνησις, ἣν Ἀθηνᾶν ὀνομάζει. καὶ τὴν ἀποστελλομένην Ἶριν, ἄγγελον τοῦ Διὸς, τὸν εἴροντα λόγον [l] ὑφίσταται, ὥσπερ Ἑρμῆν, τὸν ἑρμηνεύοντα· δύο γὰρ ἄγγελοι θεῶν, οὐδενὸς ἄλλου, πλὴν [m] ἐπώνυμοι τῆς κατὰ [n] τὸν λόγον ἑρμηνείας. [o] Ἀλλ' ἀπρεπῶς Ἀφροδίτη μαστροπεύει πρὸς Ἀλέξανδρον [p] Ἑλένην. ἀγνοοῦσι γὰρ, ὅτι νῦν λέγει τὴν ἐν

jus loco Gesnerus scribendum putabat μεμύθευται.

x ὁ om. N.

y προμίθια τῶν ἐκεῖθεν ἀπενόησεν τὴν ἐκεῖθεν ἀπόρροιαν αὐτῶν N.

z θεοπρόβλητον N.

a Ita a Gesnero emendata codicis lectio ἐγγυγηγενοῦς. Schow. ἐγγύγηγενοῦς et mox θεωρητὸν Vat. γηγενοῦς N. Schol. Odyss. Θ. 284.

b ὁ τοῦτο—ὑπήνεγκεν N.

c Pro θεωρητὸν Gale legendum conjicit αἰθέριον vel θεόβλητον. nam supra dixerat, duplicem esse ignem, alterum æthereum, alterum terrestrem. Schow.

d φιλοσοφείσθω N.

e ποιῆσαι N. textu.

f ἀμφότεροι MS. Angl. et Vat. γὰρ ἀμφότερα N.

91 ἠελίῳ Vat. N.

g πυρὸς om. N. qui mox παράδωσις.

h Il. B. 149. ἀναγκαζομένων N.

i Ibid. 170, 171, 172.

k ἀποροῦντι N. qui om. παρέστηκεν.

92 Sic Vat. Vulgo, ἀληθείᾳ, ἤ. Infra c. 31. οὐ κατ' ἄλλο τι μέρος, ἀλλά.

l ὑφίστησι N.

m ἐπώνυμον N.

n τὸν om. N.

o Il. Γ. 390. seqq.

p Ἑλένη mox om. τὴν ἐν N.

τοῖς ἐρωτικοῖς πάθεσιν ἀφροσύνην, ἡ μεσῖτίς ἐστι, καὶ [q] διάκονος ἀεὶ μειρακιώδους ἐπιθυμίας· αὕτη καὶ [r] τόπον εὗρεν ἐπιτήδειον, ὅπου τὸν Ἑλένης δίφρον [s] ἀφιδρύσει, καὶ ποικίλοις μαγγάνοις [t] ἑκατέρων κινεῖ τὸν πόθον, Ἀλεξάνδρου μὲν ἐρωτικῶς ἔτι διακειμένου, τῆς δὲ Ἑλένης μετανοεῖν ἀρχομένης. [u] διὸ δὴ κατ' ἀρχὰς ἀντειποῦσα, τοὔσχατον ὑπείκει, μεταξὺ δυοῖν φερομένη παθῶν, ἔρωτός τε τοῦ πρὸς Ἀλέξανδρον, καὶ αἰδοῦς τῆς πρὸς Μενέλαον.

29. [x] Ἥ γε μὴν εὐωχουμένοις ὑποδιακονουμένη κατ' ἀρχὰς Ἥβη, τίς ἂν εἴη, πλὴν ἡ διηνεκῶς ἐν ταῖς εὐφροσύναις νεότης· [y] οὐδὲν γὰρ ἐν οὐρανῷ γῆρας, οὐδ' ὕπεστί τι τῆς θείας φύσεως ἔσχατον βίου νόσημα. πάσης δ' ἐξαιρέτως θυμηδίας, ὡσπερεὶ [93] συνεκτικὸν ὄργανόν ἐστιν ἡ τῶν συνεληλυθότων ἐπὶ τὴν εὐφροσύνην ἀκμή. Περὶ μέν γε τῆς Ἔριδος οὐδ' ὑπεσταλμένως ἠλληγόρησεν, οὐδ', ὥστε δεῖσθαι λεπτῆς τινος εἰκασίας· ἀλλ' ἐκ τοῦ φανεροῦ τὰ κατ' αὐτὴν πεπόμπευκεν.

[z] Ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.

διὰ γὰρ τούτων τῶν ἐπῶν οὐ θεά τις οὕτω παντάπασιν τερατώδης ὑφ' Ὁμήρου μεμόρφωται, τὰς πρὸς [94] ἑκάτερον μεταβολὰς τοῦ σώματος ἀπίστους ἔχουσα, καὶ ποτὲ μὲν ἐπὶ γῆς ἐρριμμένη ταπεινὴ, ποτὲ δ' εἰς ἄπειρον [95] αἴθερος ἐκτεινομένη μέγεθος· ἀλλ', ὃ συμβέβηκεν ἀεὶ τοῖς φιλονεικοῦσι, πάθος ἐκ ταύτης τῆς ἀλληγορίας [96] διετύπωσεν. ἀρξαμένη γὰρ ἀπὸ λιτῆς αἰτίας ἡ ἔρις, ἐπειδὰν ὑποκινηθῇ, πρὸς μέγα δή τι [97] κακοῦ διογκοῦται. καὶ ταυτὶ μὲν ἴσως μετριώτερα.

30. Πολλὴ [98] δὲ καθ' Ὁμήρου τραγῳδία σκηνοβατεῖται παρὰ τοῖς ἀγνωμόνως αὐτὸν ἐθέλουσι συκοφαντεῖν, ὅτι παρεισάγει κατὰ τὴν πέμπτην ῥαψῳδίαν τιτρωσκομένους θεούς· [a] Ἀφροδίτην τὸ πρῶτον ὑπὸ Διομήδους, [b] εἶτ' Ἄρην. προστιθέασι δὲ τούτοις, [c] ὅσα κατὰ παρηγορίαν ἡ Διώνη περὶ τῶν ἔτι πρότερον ἠτυχηκότων ἀπαγγέλλει θεῶν. ἐν μέρει δ' ὑπὲρ ἑκάστου τὸν λόγον ἀποδώσομεν ἡμεῖς, οὐδεμιᾶς ἐκτὸς [99] ὄντα φιλοσοφίας. Διομήδης γὰρ, Ἀθηνᾶν ἔχων σύμμαχον, τουτ-

[q] διάκοσμος N.
[r] τρόπον N.
[s] ἐφιδρύσει N.
[t] ἑκάτεροι κινέτην N.
[u] Il. Γ. 299. seqq. Omnia quæ sequuntur desunt N.
[x] Il. Δ. 2.
[y] οὐδὲ γὰρ MS. Angl.
[93] συνεκτικοῦ Vat.
[z] Il. Δ. 442.
[94] Sic Vat. Schol. Ven. Vulgo ἑκατέρου.
[95] αἴθερος supplent Vat. Schol. Ven.
[96] ἐδήλωσεν Schol. Ven.
[97] κακὸν—ταῦτα Schol.
[98] δὴ Vat. πολλάκις ἡ Schol. Ven.
[a] V. Il. E. 336.
[b] Ibid. 855. seqq.
[c] Ibid. 382.
[99] Sic Vat. Schol. Ven. Vulgo ὄντος.

ἐστι τὴν φρόνησιν, ἔτρωσεν Ἀφροδίτην, [100] ἤτοι τὴν ἀφροσύνην· οὐ μὰ Δία, οὐ θεάν τινα, τὴν δὲ τῶν μαχομένων βαρβάρων ἀλογιστίαν. αὐτὸς μὲν γὰρ, ἅτε διὰ πάσης ἐληλυθὼς πολεμικῆς μαθήσεως, καὶ τοῦτο μὲν ἐν Θήβαις, τοῦτο δὲ ἐν Ἰλίῳ, δεκαετῆ χρόνον ἐμφρόνως τοῦ μάχεσθαι προϊστάμενος, ἐξ εὐμαροῦς διώκει τοὺς βαρβάρους, οἱ δ', ἀναίσθητοι καὶ λογισμῶν ὀλίγα κοινωνοῦντες, ὑπ' αὐτοῦ διώκονται, καθάπερ

[d] οἴες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ.

πολλῶν οὖν φονευομένων, ἀλληγορικῶς Ὅμηρος τὴν βαρβαρικὴν ἀφροσύνην ὑπὸ Διομήδους τετρῶσθαι παρεισήγαγεν.

31. Ὁμοίως δὲ ὁ Ἄρης οὐδέν ἐστιν ἄλλο, πλὴν ὁ πόλεμος, παρὰ τὴν ἀρὴν ὠνομασμένος, ἥπερ ἐστὶ βλάβη. γένοιτο δ' ἂν ἡμῖν τοῦτο σαφὲς ἐκ τοῦ λέγειν αὐτὸν μαινόμενον, τυκτὸν κακὸν, ἀλλοπρόσαλλον. [1] ἐπιθέτοις γὰρ ἁρμόζουσι πολέμῳ κέχρηται μᾶλλον ἢ θεῷ· μανίας γάρ εἰσι πλήρεις ἅπαντες οἱ μαχόμενοι, πρὸς τὸν κατ' ἀλλήλων φόνον ἐνθουσιαστικῶς ζέσαντες. καὶ τὸ ἀλλοπρόσαλλον ἑτέρωθί που διὰ πλειόνων ἐξηγεῖται, λέγων·

[e] Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.

νεμεσηταὶ γὰρ αἱ πολέμων ἐπ' ἀμφότερα ῥοπαί. καὶ τὸ νικηθὲν οὐδὲ προσαντῆσαν [2] αἰφνίδιον πολλάκις ἐκράτησεν. ὥστε, τῆς ἐν ταῖς μάχαις ἀμφιβολίας ἄλλοτε πρὸς ἄλλους μεταφοιτώσης, [f] ἐτύμως κακὸν ἀλλοπρόσαλλον εἴρηκε [3] πρὸς τὸν πόλεμον. ἐτρώθη δὲ ὑπὸ Διομήδους Ἄρης, οὐ κατ' ἄλλό τι μέρος, ἀλλὰ

[g] Νείατον ἐς κενεῶνα.

σφόδρα πιθανῶς· ἐπὶ γὰρ τὰ κενὰ τῆς μὴ πάνυ φρουρουμένης [5] τῶν ἀντιπάλων τάξεως παρεισελθὼν, εὐμαρῶς ἐτρέψατο τοὺς βαρβάρους. καὶ μὴν χάλκεον λέγει τὸν Ἄρην, τὰς τῶν μαχομένων πανοπλίας ὑποσημαίνων. σπάνιος γὰρ ἦν ὁ σίδηρος [6] ἐν τῷ τότε πάλαι χρόνῳ· τὸ δὲ σύμπαν [7] ἐσκέποντο χαλκῷ. διὰ τοῦτό φησιν·

100 Sic Schol. Ven. Vulgo om. ν.

d Il. Δ. 433.

1 Hinc usque ad ἀλλοπρόσαλλον vulgo omissa inseruimus ex Vat. et Schol. Ven.

e Il. Σ. 309. unde rescripsi ξυνός. male edebatur ξεῖνος. Schow.

2 αἰφνιδίως Vat. Schol. Ven.

f Il. E. 831.

3 πρὸς delet Heyne.

4 Sic Vat. Schol. Ven. Vulgo οὐκ.

g Il. E. 857.

5 τῶν ἀντιπάλων Vat. Schol. Ven. Vulgo om. articulus.

6 ἐν τῷ πάλιν χρόνῳ Schol. Ven. πάλαι delet Heyne.

7 ἐσκέπτοντο Vat.

[h] Ὅσσε δ' ἄμερδεν
Αὐγὴ χαλκείη κορύθων ἀπολαμπομενάων,
Θωρήκων τε νεοσμήκτων.

ἀναβοᾷ δὲ τρωθεὶς,

[i] Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι.

καὶ τοῦτο δὲ τεκμήριον πολλῶν διωκομένων πολεμίων· οὐ γὰρ ἂν εἷς θεὸς ἀνεβόησε τοσοῦτον, ἀλλ' ἡ φεύγουσα μυρίανδρος, οἶμαι, τῶν βαρβάρων φάλαγξ. ὥστ' ἐναργέσι τεκμηρίοις καὶ διὰ τῶν κατὰ μέρος ἐδείξαμεν, οὐκ Ἄρην τὸν τετρωμένον ὑπὸ Διομήδους, ἀλλὰ τὸν πόλεμον.

32. Λῦται [8] δ' ἐν παρεκβάσει τῶν προτέρων ἀλληγοριῶν, δι' ὧν [9] καὶ τεχνικωτέραν ἔχουσιν ἐμπειρίαν, ἐν οἷς φησι·

[k] Τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' [10] Ἐφιάλτης,
Παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ.

[11] γενικοὶ γὰρ οὗτοι οἱ κατ' ἀλκὴν νεανίαι ταραχῆς καὶ πολέμου μεστὸν ᾔδεσαν τὸν βίον, οὐδεμιᾶς δ' εἰρηνικῆς ἀναπαύσεως μέσης τοὺς παρ' ἕκαστα κάμνοντας [l] ἀνιείσης, ἰδίοις ὅπλοις ἐκστρατευσάμενοι, τὴν ἐπιπολάζουσαν [m] ἀηδίαν ἀνέστειλαν. ἄχρι μὲν οὖν τρισκαίδεκα μηνῶν, ἀκλινὴς καὶ ἀστασίαστος αὐτῶν ὁ οἶκος, ἐν ὁμονοίᾳ [12] τε τὴν εἰρήνην διεστρατήγει· μητρυιὰ δὲ παρεισπεσοῦσα καὶ φιλόνεικος οἰκίας νόσος ἀνέτρεψε τὴν προτέραν εὐστάθειαν· ἐκ δευτέρου δὲ πάλιν, ὁμοίας ταραχῆς ἀναφθείσης, ἔδοξεν ὁ Ἄρης ἀπὸ τοῦ δεσμωτηρίου λελύσθαι, τουτέστιν, ὁ πόλεμος.

33. Ἡρακλέα δὲ νομιστέον, οὐκ ἀπὸ σωματικῆς δυνάμεως αναχθέντα, τοσοῦτον ἰσχύσαι [13] τοῖς τότε χρόνοις. ἀλλ' ἀνὴρ ἔμφρων, καὶ σοφίας οὐρανίου μύστης, ὡσπερεὶ κατὰ βαθείας ἀχλύος [14] ἐπιδεδυκυῖαν, ἐφώτισε τὴν φιλοσοφίαν, καθάπερ ὁμολογοῦσι καὶ στωικῶν οἱ δοκιμώτατοι. περὶ μὲν οὖν τῶν ἄλλων ἄθλων, ὁπόσοι τῆς παρ' Ὁμήρῳ μνήμης ὑστεροῦσι, τί δεῖ παρὰ καιρὸν ἐκμηκύνειν φιλοτεχνοῦντας; ὅτι κάπρον μὲν εἷλε, τὴν ἐπιπολάζουσαν ἀνθρώποις ἀκολασίαν. λέοντα δὲ, τὴν ἀκρίτως ὁρμῶσαν ἐφ' ἃ μὴ δεῖ φοράν. κατ'

[h] Il. N. 340. unde ἄμερδεν reposui. male legebatur ἄμειδεν. Schow.
[i] Il. E. 860.
[8] δ' αἱ παρεμβάσεις Schol. Ven.
[9] καὶ addidimus cum Vat. Schol. Ven.
[k] Il. E. 285.
[10] Ἐπιάλτης Vat.
[11] γεννικοὶ Vat. Schol. Ven.
[l] ἀνείης MS. Angl. f. ἀνείσης. Sch. ἀνείης—ἀνιδίαν ἀνέστειλαν Vat. ἀνιείσης—ἀκηδίαν ἀνέστειλαν Schol. Ven.
[m] ἀηδίαν ἀνέστηλαν e MS. Angl. reposui. vulgo: ἀηδίαν ἔστηλαν. Schow.
[12] καὶ εἰρήνῃ Schol. Ven.
[13] Sic Vat. Schol. Ven. Vulgo τοῖσδε.
[14] ὑποδεδυκυῖαν Heyne.

αὐτὸ δὲ θυμοὺς ἀλογίστους πεδήσας, τὸν ὑβριστὴν ταῦρον ἐνομίσθη δεδεκέναι. δειλίαν γε μὴν ἐφυγάδευσεν ἐκ τοῦ βίου, τὴν [15] κεραυνίαν ἔλαφον. καί τις ἀπρεπῶς ὀνομαζόμενος ἆθλος ἐκμεμόχθηται, διακαθήραντος αὐτοῦ τὴν ἐπιτρέχουσαν [16] ἀνθρώποις ἀηδίαν. ὄρνεις δὲ, τὰς [17] συννηνέμους ἐλπίδας, αἳ βόσκουσι τὸν βίον ἡμῶν. ἀπεσκέδασε δὲ καὶ τὴν πολύχουν κόπρον, καὶ πολυκέφαλον ὕδραν, ἥτις, ὅταν ἐκκοπῇ, πάλιν ἄρχεται βλαστάνειν, ὥσπερ [[n] ὕδραν τινὰ] διὰ πυρὸς τῆς παραινέσεως ἐξέκοψεν. [o] αὐτός γε μὴν ὁ τρικέφαλος, δειχθεὶς ἡλίῳ, κέρβερος εἰκότως ἂν τὴν τριμερῆ φιλοσοφίαν [18] ὑπαινίττοιτο. τὸ μὲν γὰρ αὐτῆς λογικὸν, τὸ δὲ φυσικὸν, τὸ δὲ ἠθικὸν ὀνομάζεται. ταῦτα δὲ, ὥσπερ [p] ἀφ' ἑνὸς αὐχένος ἐκπεφυκότα, τριχῆ κατὰ [19] τὴν κεφαλὴν μερίζεται.

34. Περὶ μὲν δὴ τῶν ἄλλων, ὥσπερ εἶπον, ἄθλων ἐν συντόμῳ δεδήλωται. [q] τετρωμένην δ' Ὅμηρος ὑπεστήσατο τὴν Ἥραν, τοῦτο ἀκριβῶς παραστῆσαι βουλόμενος, ὅτι τὸν θολερὸν ἀέρα, καὶ πρὸ τῆς ἑκάστου διανοίας ἐπαχλύοντα, πρῶτος Ἡρακλῆς, θείῳ χρησάμενος λόγῳ, [20] διήρθρωσε, τὴν ἑκάστου τῶν ἀνθρώπων ἀμαθίαν, πολλαῖς νουθεσίαις κατατρώσας. ὅθεν ἀπὸ γῆς εἰς οὐρανὸν ἀφίησι τὰ τόξα· πᾶς γὰρ ἀνὴρ φιλόσοφος ἐν θνητῷ καὶ ἐπιγείῳ τῷ σώματι πτηνὸν ὥσπέρ τι βέλος, τὸν νοῦν, εἰς τὰ μετάρσια διαπέμπεται. τεχνικῶς δὲ προσέθηκεν, εἰπών· [r] ἰῷ τριγλώχινι βαλών. ἵνα διὰ συντόμου τὴν τριμερῆ φιλοσοφίαν ὑπὸ τοῦ τριγλώχινος ὑποσημήνῃ βέλους. [s] [21] μεθ' Ἥραν δὲ τετόξευκε καὶ τὸν Ἀδην. οὐδεὶς γὰρ ἄβατος φιλοσοφίᾳ χῶρος. ἀλλὰ μετ' οὐρανὸν ἐζήτησε τὴν κατωτάτω φύσιν, ἵνα μηδὲ τῶν νέρθεν ἀμύητος ᾖ. τὸν οὖν ἀλαμπῆ καὶ πᾶσιν ἀνθρώποις ἄβατον ᾅδην ὁ τῆς σοφίας οἰστὸς, εὔστοχα βληθεὶς, διευκρίνησεν. ὥσθ' [22] αἱ Ἡρακλέους χεῖρες ἁγνεύουσι παντὸς ὀλυμπίου μύσους. ἀρχηγὸς δὲ πάσης σοφίας γενόμενος, ἀλληγορικῶς παρέδωκε τοῖς μετ' αὐτὸν ἀρύσασθαι κατὰ μέρη πάνθ', ὅσα πρῶτος πεφιλοσόφηκε.

35. Νομίζουσι τοίνυν ἔνιοι μηδὲ Διόνυσον εἶναι παρ' Ὁμήρῳ θεόν·

[15] Κερυνείαν Muncker. ad Hygin. p. 72.

[16] ἀνθρώποις accessit ex Vat. Pro ἀηδίαν Sch. Ven. ἀσέλγειαν.

[17] συντημένους Vat. συνανέμους Sch. Ven. ὑπηνέμους Hemsterhus. ad Lucian. Dial. M. V. 2.

[n] ὕδραν τινὰ om. Schol. Ven. ubi mox ἐξέκαυσεν pro ἐξέκοψεν.

[o] Cf. Il. Θ. 368.

[18] Sic Schol. Ven. Vulgo ὑπαινίττεται.

[p] αὐχένος e MS. Angl. inserui. Vulgo legebatur: ἀφ' ἑνὸς ἐκπεφυκότα. SCHOW.

[19] τὴν deest Vat. Schol. Ven.

[q] Vid. Il. E. 392.

[20] διάρθρωσε Schow.

[r] Il. E. 393.

[s] Respicit Il. E. 395. seqq.

[21] μετὰ δὲ Ἥραν Schol. Ven. Vulgo ἡμέραν.

[22] αἱ accedit ex Vat.

ἐπειδήπερ ὑπὸ Λυκούργου διώκεται, καὶ μόλις δοκεῖ σωτηρίας τυχεῖν, Θέτιδος αὐτῷ παραστάσης. τὸ δ' ἐστὶν οἴνου συγκομιδῆς γεωργοῖς ἀλληγορία, δι' ὧν φησιν·

> [t]Ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
> Σεῦε κατ' ἠγάθεον Νυσσήϊον· αἱ δ' ἅμα πᾶσαι
> Θύσθλα χαμαὶ κατέχευον, ὑπ' ἀνδροφόνοιο Λυκούργου
> Θεινόμεναι βουπλῆγι. Διώνυσος δὲ φοβηθεὶς
> Δύσεθ' ἁλὸς κατὰ κῦμα· Θέτις δ' ὑπεδέξατο κόλπῳ
> Δειδιότα.

μαινόμενον μὲν εἴρηκεν ἀντὶ Διονύσου τὸν οἶνον· ἐπειδήπερ οἱ [23]πλείονι τῷ ποτῷ χρώμενοι, τοῦ λογισμοῦ διασφάλλονται. [u]ὥσπερ τὸ δέος, εἰ τύχοι, χλωρὸν λέγει, [x]καὶ πευκεδανὸν τὸν πόλεμον· ἃ γὰρ ἀπ' αὐτῶν συμβαίνει, ταῦτα ἐκείνοις περιῆψεν, ὅθεν ἄρχεται τὰ πάθη. Λυκοῦργος δὲ, ἀνὴρ εὐαμπέλου λήξεως δεσπότης, μετὰ τὴν ὀπωρινὴν ὥραν, ὅτε συγκομιδὴ τῶν διονυσιακῶν καρπῶν ἐστιν, ἐπὶ τὴν εὐφορωτάτην ἐξεληλύθει Νύσαν. τιθήνας δὲ νομίζειν δεῖ τὰς ἀμπέλους. καὶ μετὰ τοῦτο, ἔτι δρεπομένων τῶν βοτρύων, φησί·—Διόνυσος δὲ φοβηθείς. ἐπειδήπερ ὁ μὲν φόβος εἴωθε τρέπειν τὴν διάνοιαν· ὁ δὲ τῆς σταφυλῆς καρπὸς τρέπεται θλιβόμενος εἰς οἶνον. ἔθος γε μὴν τοῖς πολλοῖς, ἐπὶ φυλακῇ τοῦ διαμένειν ἀκλινῆ τὸν καρπὸν, ἐπικιρνάναι θαλαττίῳ ὕδατι· παρὰ τοῦτο ὁ Διόνυσος

> [y]Δύσεθ' ἁλὸς κατὰ κῦμα· Θέτις δ' ὑπεδέξατο κόλπῳ.

ἡ τελευταία μετὰ τὴν ἀπόθλιψιν τοῦ καρποῦ θέσις· αὕτη γὰρ ἐσχάτη δέχεται τὸν οἶνον, δειδιότα τὸν ἐν ἀρχῇ τοῦ νεοθλιβοῦς γλεύκους παλμὸν, καὶ τὴν μεθαρμόζουσαν ὁρμήν· δέος εἶπε γὰρ [24]τρόμον. οὕτως Ὅμηρος, οὐ φιλοσοφεῖν μόνον ἀλληγορικῶς, ἀλλὰ καὶ [25]γεωργεῖν θεωρητικῶς ἐπίσταται.

36. Φυσικῆς δὲ ἅπτεται θεωρίας, καὶ ὅταν ὁ Ζεὺς, εἰς τὸ αὐτὸ συναθροίσας [26]τοὺς θεοὺς ἅπαντας, ἄρχηται τῶν μεγάλων ἀπειλῶν.

> [z]Ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο

πρῶτος ἕστηκεν αὐτός· ἐπειδὴ τὴν ἀνωτάτω τάξιν, ὥσπερ ἐδηλοῦμεν, ἡ αἰθριώδης ἐπέχει φύσις. σειρὰν δ' ἀπήρτησεν ἀπὸ τοῦ αἰθέρος ἐπὶ πάντα χρυσῆν· οἱ γὰρ δεινοὶ τῶν φιλοσόφων περὶ ταῦτα, ἀνάμματα

[t] Il. Z. 132. seqq. Διωνύσσοιο et Διώνυσσος edebatur etiam hic. Mox in Homeri edd. κατέχευαν. Schow.

[23] Sic Vat. Vulgo πλείονες. Mox Vat. articulum præbet ante πόλεμον.

[u] Ut Il. H. in fine.

[x] Ut Il. K. 8.

[y] Il. Z. 136.

[24] Sic Vat. Vulgo τὸν τρόμον.

[25] θεωρεῖν Vat. Schol. Ven.

[26] Duæ voces accedunt ex Vat. Schol. Ven.

[z] Il. Θ. 3.

πυρὸς εἶναι τὰς τῶν ἀστέρων περιόδους, νομίζουσι. τὸ δὲ σφαιρικὸν ἡμῖν τοῦ κόσμου σχῆμα δι' ἑνὸς ἐμέτρησε στίχου·

[a]Τόσσον ἔνερθ' αἴδεω, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.

μεσαιτάτη γὰρ ἁπάντων ἑστία τις οὖσα, καὶ δύναμιν κέντρου ἐπέχουσα, [b]καθίδρυται βεβαίως ἡ γῆ πᾶσα. κύκλῳ δ' ὑπὲρ αὐτὴν [27]ὁ οὐρανὸς, ἀπαύστοις περιφοραῖς εἱλούμενος, ἀπ' ἀνατολῆς εἰς δύσιν τὸν ἀεὶ δρόμον ἐλαύνει. συγκαθέλκεται δ' ἡ τῶν ἀπλανῶν σφαῖρα. πᾶσαί γε μὴν, αἱ ἀπὸ τοῦ περιέχοντος ἀνωτάτω κυκλοφορούμεναι πρὸς τὸ κέντρον, εὐθεῖαι καὶ κατ' ἀναγωγάς εἰσιν ἀλλήλαις ἴσαι. διὰ τοῦτο γεωμετρικῇ θεωρίᾳ τὸ σφαιρικὸν σχῆμα διεμέτρησεν, εἰπών·

Τόσσον ἔνερθ' αἴδεω, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.

37. Ἔνιοι δ' εἰσὶν οὕτως ἀμαθεῖς, ὥστ' αἰτιᾶσθαι τὸν Ὅμηρον καὶ περὶ τῶν Λιτῶν, [c]εἰ τὰς Διὸς γονὰς οὕτως ὕβρισε, διάστροφον αὐταῖς περιθεὶς ἀμορφίας χαρακτῆρα.

[d] Καὶ γάρ τε Λιταί εἰσι Διὸς κοῦραι μεγάλοιο,
Χωλαί τε, ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμώ.

ἐν δὲ τούτοις τοῖς ἔπεσι τὸ τῶν ἱκετευόντων σχῆμα διαπέπλασται. πᾶσα γὰρ οὖν συνείδησις ἁμαρτόντος ἀνθρώπου βραδεῖα, καὶ μόλις οἱ δεόμενοι τοῖς ἱκετευομένοις προσέρχονται, [28]τὴν αἰδῶ κατὰ ῥῆμα μετροῦντες, οὔτε μὴν ἀτρεμὲς δεδόρκασιν, ἀλλ' ὀπίσω τὰς τῶν ὀμμάτων βολὰς ἀποστρέφουσι· καὶ μὴν ἔν γε τοῖς [29]πρώτοις οὐδὲν γεγηθὸς τῶν ἱκετευόντων ἡ διάνοια περιτίθησιν ἔρευθος, ἀλλ' ὠχρὰ [30]καὶ κατηφὴς, διὰ τῆς πρώτης ὄψεως ἐκκαλουμένη τὸν ἔλεον. ὅθεν εὐλόγως, οὐ τὰς Διὸς θυγατέρας, ἀλλὰ τοὺς ἱκετεύοντας ἀπεφήνατο,

Χωλούς τε, ῥυσούς τε, παραβλῶπάς τ' ὀφθαλμώ.

[e]τοὔμπαλιν δὲ τὴν Ἄτην, σθεναράν τε καὶ ἀρτίπουν· κρατερὸν γὰρ αὐτῆς τὸ ἄφρον. ἀλογίστου γὰρ ὁρμῆς ὑπόπλεως, δρομὰς ὥς, ἐπὶ πᾶσαν ἀδικίαν [31]ἵεται. παθῶν οὖν ἀνθρωπίνων ὡσπερεὶ ζωγράφος, Ὅμηρός ἐστιν ἀλληγορικῶς τὸ συμβαῖνον ἡμῖν θεῶν περιθεὶς ὀνόμασιν.

38. Οἶμαι δ' ἔγωγε, [f]καὶ τὸ ἑλληνικὸν τεῖχος, ὃ πρὸς καιρὸν ἔρυμα τῆς ἰδίας ἀσφαλείας ἐπύργωσαν, [g]οὐχ ὑπὸ τοῦ συμμάχου

a Il. Θ. 16.

b καθίδρυται καὶ βεβαίως MS. Angl.

27 Articulus ex Vat. Schol. Ven.

c εἰ τὰς Διὸς e MS. Angl. reposui. Antea edebatur εἰς. Schow.

d Il. I. 498.

28 f. κατὰ τὴν αἰδῶ ῥήματα μετροῦντες Heyne.

29 f. προσώποις Heyne.

30 καὶ om. Vat. ὠχροὶ καὶ κατηφεῖς —ἐκκαλοῦσιν Schol. Ven.

e Il. I. 501.

31 ὥητο Vat.

f Vid. Il. M. 4. seqq.

g Neptunus Græcorum σύμμαχος præcipue Il. Z. N. O. T. Φ. Schow.

καθηρῆσθαι Ποσειδῶνος, ἀλλ' ὡς ὑετοῦ δαψιλοῦς γενομένου, καὶ τῶν ἀπ' Ἴδης ποταμῶν πλημμυράντων, συνέβη καταῤῥιφῆναι· ὅθεν ἐπώνυμος τοῦ πάθους γέγονεν ὁ τῆς ὑγρᾶς φύσεως προστάτης, Ποσειδῶν. εἰκὸς δὲ καὶ σεισμοῖς διατιναχθὲν ὑποστῆσαι τὸ κατασκεύασμα· δοκεῖ δὲ ὁ Ποσειδῶν ἐννοσίγαιος καὶ σεισίχθων εἶναι. τοῖς τοιούτοις τῶν παθημάτων [32]ἐπιγραψάμενος, ἀμέλει φησίν·

[h]Αὐτὸς δ' Ἐννοσίγαιος, ἔχων χείρεσσι τρίαιναν,
Ἡγεῖτ'· ἐκ δ' ἄρα πάντα θεμείλια κύμασι πέμπε
Φιτρῶν καὶ λάων, τὰ θέσαν μογέοντες Ἀχαιοί.

σεισμοῦ τινος φορᾷ διαδονήσας ἐκ βάθρων τὰ τοῦ τείχους θεμέλια. δοκεῖ δέ μοι, λεπτῶς ἐξετάζοντι τὰ τοιαῦτα, μηδὲ τὸ κατὰ τὴν τρίαιναν ἀφιλοσόφητον εἶναι, δι' ἧς ὑφίσταται τοὺς λίθους ἀναμεμοχλεῦσθαι τοῦ τείχους. τὰ γάρ τοι σεισμῶν, διαφέροντα τοῖς παθήμασιν οἱ φυσικοὶ λέγουσιν εἶναι, [33]ὅσον καί τινας ἰδίους χαρακτῆρας ὀνομάτων ἐπιγράφουσιν αὐτοῖς, βρασματίαν τινὰ [34]καὶ χασματίαν καὶ κλιματίαν προσαγορεύοντες. τριπλαῖς οὖν καθώπλισεν ἀκμαῖς τὸν τῶν σεισμῶν αἴτιον θεόν. ἀμέλει, πρὸς βραχὺ κινηθέντος αὐτοῦ,

[i]Τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη.

τὸ τῶν σεισμῶν ἰδίωμα τοῦ ποιητοῦ διασημήναντος ἡμῖν.

39. Ἔτι τοίνυν πολλήν τινα χλεύην, καὶ μακρὸν ἡγοῦνται καταγέλωτα, [k]τοὺς ἀκαίρους Διὸς ὕπνους ἐν Ἴδῃ, καὶ τὴν ὄρειον, ὥσπερ ἀλόγοις ζώοις ὑπεστρωμένην, εὐνήν· ἐν ᾗ δυσὶ τοῖς ἀφρονεστάτοις πάθεσι δεδούλωται Ζεὺς, ἔρωτι καὶ ὕπνῳ. νομίζω τοίνυν ἔγωγε, αὐτὰ ταῦτα δι' ἀλληγορίας ἐαρινὴν ὥραν ἔτους εἶναι, καθ' ἣν ἅπαντα φυτὰ καὶ πᾶσα ἐκ γῆς ἀνίεται χλόη, τοῦ παγετώδους ἡσυχῇ λυομένου κρύους. ὑφίσταται δὲ τὴν Ἥραν, τουτέστι, τὸν ἀέρα στυγνὸν ἀπὸ τοῦ χειμῶνος ἔτι καὶ κατηφῆ, διὰ τοῦτο, οἶμαι, πιθανῶς αὐτῆς στυγερὸς ἔπλετο θυμός· μετὰ μικρὸν δὲ, ἀποκρουσαμένη τὸ συννεφὲς τῆς ἀηδίας,

[l]Λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ,
Ἀμβροσίῳ, [35]ἑανῷ, τό ῥα οἱ τεθυωμένον ἦεν.

ἡ λιπαρὰ καὶ γόνιμος ὥρα μετὰ τῆς τῶν ἀνθέων εὐωδίας ὑποσημαί-

[32] ἐπιγραψόμενος Vat.
[h] Il. M. 27.
[33] ἴσα Vat. Schol. Ven.
[34] καὶ χασματίαν accedunt ex Vat. Schol. Ven. ubi et κλιματίαν pro vulg. κληματίαν. Aristoteles de Mundo c. 4. p. 11, 22. ed. Sylburg. τῶν δὲ σεισμῶν, οἱ μὲν εἰς πλάγια σείοντες κατ' ὀξείας γωνίας, ἐπικλίνται καλοῦνται· οἱ δὲ ἄνω ῥιπτοῦντες καὶ κάτω κατ' ὀρθὰς γωνίας, βράσται· οἱ δὲ συνιζήσεις ποιοῦντες εἰς τὰ κοῖλα, χασματίαι.
[i] Il. N. 18.
[k] Vid. Il. Ξ. 352.
[l] Il. Ξ. 171. ubi pro ἑανῷ editur ἑδανῷ. Schow.
[35] ἐδαιῷ Vat.

νεται τοιούτῳ χρίσματι τῆς Ἥρας ἀλειψαμένης. τούς τε πλοκαμοὺς φησιν αὐτὴν ἀναπλέξασθαι

[m] Καλοὺς, ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο,

τὴν τῶν φυτῶν αἰνιττόμενος [36] αὔξησιν· ἐπειδὴ δένδρον ἅπαν κομᾷ, καὶ θριξὶν ὁμοίως ἀπὸ τῶν κλάδων [37] ἀπαρτᾶται τὰ φύλλα. δίδωσι δὲ ἐγκόλπιον τῷ ἔαρι καὶ τὸν κεστὸν ἱμάντα,

[n] Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς.

ἐπειδήπερ αὕτη μάλιστα τοῦ ἔτους ἡ ὥρα τὸ τερπνότατον ἐπλήρωσε τῶν ἡδονῶν μέρος. οὔτε γὰρ λίαν ὑπὸ τοῦ κρύους πεπήγαμεν, οὔτε ἄγαν θαλπόμεθα· μεταίχμιον δέ τι τῆς ἑκατέρωθεν εὐκρασίας ἐν τοῖς σώμασιν ἀνεῖται. τοῦτον τοίνυν τὸν ἀέρα συνέμιξεν Ὅμηρος μετὰ μικρὸν τῷ αἰθέρι. διὰ τοῦτο ἐπὶ τῆς ὑψηλοτάτης ἀκρωρείας καταλαμβάνεται Ζεὺς, ἐν ᾗ

[o] Δι' ἠέρος αἰθέρ' ἵκανεν.

ἐνθάδε κιρνᾶται, καθ' ἓν ἀναμιχθεὶς, ὁ ἀὴρ τῷ αἰθέρι. ἐμφαντικῶς σὺν τοῖς ὀνόμασιν εἶπεν·

[p] [38] Ἥραν τ' ἀγκὰς ἔμαρπτε Κρόνου παῖς, ἣν παράκοιτιν.

ἐναγκαλίζεται γὰρ ἐν κύκλῳ περιέχων ὁ αἰθὴρ ὑφηπλωμένον αὐτῷ τὸν ἀέρα. τῆς δὲ συνόδου καὶ κράσεως αὐτῶν τὸ πέρας ἐδήλωσε τὴν ἐαρινὴν ὥραν.

[q] Τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
Λωτόν θ' ἑρσήεντα, ἰδὲ κρόκον, ἠδ' ὑάκινθον
Πυκνὸν καὶ μαλακὸν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν.

ἴδια στέφη ταῦτα τῆς [r] ἀρτιθαλοῦς ὥρας, ἐπειδὰν ἐκ τῶν χειμερίων παγετῶν ἡ στερίφη καὶ μεμυκυῖα πηγὰς, ὡς κυοφορουμένας ἔνδον ὠδῖνας, ἐκφήνῃ. προσεπισφραγιζόμενος δὲ τοῦτο, τὸν λωτὸν εἶπεν ἑρσήεντα, [39] τὸν δροσερὸν, τῆς ἐαρινῆς καταστάσεως ἐμφανέστερον ποιῶν τὸν καιρόν.

[s] Ἐπὶ δὲ νεφέλην ἕσσαντο
Καλὴν, χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.

τίς ἀγνοεῖ τοῦθ', ὅτι χειμῶνος μὲν ἐπάλληλα πυκνώματα τῶν νεφῶν

m Il. Ξ. 177.
36 αὔξην Schol. Ven.
37 ἀναρτᾶται Schol. Ven.
n Il. Ξ. 216.
o Ibid. 288.
p Ibid. 346.
38 ἧρα κατ' ἀγκὰς Vat. ex mox ἀγκαλίζεται.
q Il. Ξ. 347.
r ἀρτιθαλοῦς MS. Angl. et Vat. pro ἀμφιθαλοῦς. Schol. Ven. ἄρτι θαλλούσης.
39 Sic Vat. Vulgo τὸ δρ. Ex eodem addidimus ἐμφανέστερον. Ibid. mox τοῦ καιροῦ. ἐπεί.
s Il. Ξ. 350.

ἐκμελαίνεται, καὶ μετὰ θολερᾶς ἀχλύος κατηφὴς ἅπας ὁ οὐρανὸς ἀμαυροῦται· τοῦ δὲ ἀέρος ὑποσχίζοντος, ἀργὰ τὰ νέφη μαλακῶς ὑποσπείρεται, ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐναγκαλιζόμενα, καὶ παραπλήσιόν τι χρυσαῖς μαρμαρυγαῖς ἀποστίλβει. τοῦτο δὴ τὸ περὶ τὴν Ἴδην κορυφαῖον ἡμῖν νέφος ὁ τῆς ἐαρινῆς ὥρας δημιουργὸς Ὅμηρος [40]ἐδήλωσεν.

40. Ἀλλ' ἐφεξῆς ἡ τῶν ἐπιφυομένων αὐτῷ τόλμα τοὺς Ἥρας δεσμοὺς αἰτιᾶται, καὶ νομίζουσιν ὕλην τινὰ δαψιλῆ τῆς ἀθέου πρὸς Ὅμηρον ἔχειν μανίας.

> [t]Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν· ἐκ δὲ ποδοῖιν
> Ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
> Χρύσεον, ἄῤῥηκτον· σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
> Ἐκρέμω.

λέληθε δ' αὐτοὺς, ὅτι τούτοις τοῖς ἔπεσιν ἡ τοῦ παντὸς ἐκτεθεολόγηται γένεσις, καὶ τὰ συνεχῶς ᾀδόμενα τέτταρα στοιχεῖα· τούτων τῶν [41]στίχων ἐστὶ τάξις, καθάπερ ἤδη μοι λέλεκται. πρῶτος αἰθὴρ, καὶ μετὰ τοῦτον ἀὴρ, εἶθ' ὕδωρ τε, καὶ γῆ τελευταία, [42]τὰ πάντων δημιουργὰ στοιχεῖα· ταῦτα δ', ἀλλήλοις [43]ἐπικιρνάμενα, ζωογονεῖται, καὶ τῶν ἀψύχων ἀρχέγονα καθίσταται. Ζεὺς τοίνυν ὁ πρῶτος [44]τὸν ἑαυτοῦ ἀέρα κατήρτηκε· στερεοὶ δ' ἄκμονες ὑπὸ ταῖς ἐσχάταις ἀέρος βάσεσιν, ὕδωρ τε καὶ γῆ. καὶ τοῦθ', ὅτι τοιοῦτόν ἐστιν, ἐφ' ἑκάστης λέξεως, εἴ τις ἀκριβῶς [45]ἐθέλει σκοπεῖν, τἀληθὲς εὑρήσει.

> Ἦ οὐ μέμνῃ, [46]ὅτε τ' ἐκρέμω ὑψόθεν.

ἀπὸ γὰρ τῶν ἀνωτάτω καὶ μετεώρων τόπων φησὶν αὐτὴν ἀπηρτῆσθαι. περὶ χερσὶ δὲ δεσμὸν ἴηλα χρύσεον, ἄῤῥηκτον. τί τοῦτο [47]τὸ καινὸν αἴνιγμα τῆς κολακευούσης τιμωρίας; πῶς ὀργιζόμενος Ζεὺς πολυτελεῖ δεσμῷ τὴν κολαζομένην ἠμύνατο, χρυσοῦν ἀντὶ τοῦ [48]κραταιοτέρου σιδήρου τὸν δεσμὸν ἐπινοήσας; ἀλλ' ἔοικε τὸ μεταίχμιον αἰθέρος τε καὶ ἀέρος χρυσῷ μάλιστα τὴν χρόαν ἐμφερὲς εἶναι, πάνυ δὴ πιθανῶς, καθ' ὃ μέρος ἀλλήλοις ἐπισυνάπτουσι· λήγων μὲν [49]γὰρ ὁ αἰθὴρ, ἀρχόμενος δὲ μετ' ἐκεῖνον ὁ ἀὴρ, χρυσοῦν ὑπεστήσατο δεσμόν. ἐπιφέρει γοῦν· Σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν ἐκρέμω. τὸν ἄχρι νεφῶν τόπον ὁρίσας μέτρον ἀέρος. ἐκ δὲ τῶν τελευταίων μερῶν τοῦ ἀέρος, ἃ

[40] ἐφήλωσεν Vat.
[t] Il. O. 18.
[41] στοιχείων Heyne.
[42] τὰ insertum ex Schol. Ven.
[43] ἐπικιρνώμενα Vat. Schol. Ven.
[44] ἑαυτοῦ τὸν ἀέρα Heyne.
[45] θέλοι Schol. Ven.
[46] Sic Vat. Vulgo ὅτ'.
[47] τὸ ex Vat. Schol. Ven.
[48] Sic Vat. Schol. Ven. Vulgo κραταιοτάτου.
[49] γὰρ ex Vat. Mox ὑπεστήσαντο Schol. Ven.

[50]καλεῖ πόδας, ἀπήρτησε στιβαρὰ βρίθη, γῆν τε καὶ ὕδωρ· ἐκ δὲ ποδοῖιν ἄκμονας ἧκα δύω. πῶς [51]οὖν εἶπε δεσμὸν ἄῤῥηκτον, αὐτίκα τῆς Ἥρας λυθείσης, εἴγε τῷ μύθῳ προσεκτέον; ἀλλ', ἐπειδήπερ ἡ τῶν ὅλων ἁρμονία δεσμοῖς ἀῤῥαγέσι συγκέχρωται, καὶ δυσχερὴς ἡ τοῦ παντὸς εἰς τἀναντία μεταβολὴ, τὸ μὴ δυνηθὲν ἂν διαζευχθῆναί ποτε, κυρίως ὠνόμασεν ἄῤῥηκτον.

41. Ταύτην δὲ τὴν τετράδα τῶν στοιχείων καὶ μετὰ μικρὸν ἐν τοῖς ὅρκοις διεσάφησεν Ἥρα·

[u]Ἴστω νῦν τόδε γαῖα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ.

τρισὶ γὰρ ὅρκοις τὴν ὁμόφυλον [x]αὐτῆς καὶ συγγενῆ φύσιν ὠνόμασεν, ὕδωρ τε καὶ γῆν, [52]καὶ τὸν ὕπερθεν οὐρανὸν, τουτέστι, τὸν αἰθέρα· τέταρτον γὰρ στοιχεῖον ἦν ἡ ὀμνύουσα. [53]διευπορῶν γέ τοι καὶ ἐπὶ καλοῖς ἀλληγορικῶς παριστάναι βουλόμενος ταυτὶ τὰ στοιχεῖα, καὶ μετ' ὀλίγον ἐν τοῖς Ποσειδῶνος πρὸς Ἶριν λόγοις αὐτὰ ταῦθ' ὑφίσταται λέγειν·

[y]Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
Παλλομένων· Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα·
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι.
Γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.

οὐ μὰ Δί' οὐ κλῆρος ὁ μυθευόμενος ἐν Σικυῶνι ταῦτα, καὶ διαίρεσις ἀδελφῶν οὕτως ἀνώμαλος, ὥστ' οὐρανὸν ἀντιθεῖναι θαλάττῃ καὶ ταρτάρῳ· πᾶς γὰρ ὁ μῦθος ἠλληγόρηται περὶ τῶν ἐπ' ἀρχαῖς τεττάρων στοιχείων. [z]Κρόνον μὲν γὰρ ὀνομάζει τὸν χρόνον κατὰ μετάληψιν ἑνὸς στοιχείου· πατὴρ δὲ τῶν ὅλων ὁ χρόνος, καὶ τελέως ἀμήχανόν, τι γενέσθαι τῶν ὄντων δίχα χρόνου· διὸ δὴ ῥίζα τῶν τεττάρων στοιχείων οὗτός ἐστι. μητέρα δ' αὐτῆς ἔνειμεν εἶναι Ῥέαν· ἐπειδὴ ῥύσει τινὶ καὶ ἀενάῳ κινήσει τὸ πᾶν οἰκονομεῖται. χρόνου [54]δὲ καὶ ῥύσεως τέκνα, γῆν τε καὶ ὕδωρ, αἰθέρα τε καὶ ἀέρα σὺν αὐτῷ ὑπεστήσατο· καὶ τῇ μὲν πυρώδει φύσει τόπον ἔνειμεν οὐρανόν· τὴν δ' ὑγρὰν οὐσίαν Ποσειδῶνι προσέθηκε· τρίτον δὲ Ἀΐδην, τὸν ἀφώτιστον ἀέρα, δηλοῖ. κοινὸν δὲ πάντων καὶ ἑδραιότατον ἀπεφήνατο στοιχεῖον εἶναι τὴν γῆν, ὥσπερ ἑστίαν τινὰ τῆς τῶν ὅλων[55] δημιουργόν.

50 καλεῖ Schol. Ven. Vulgo καλεῖται.
51 ἂν Vat. Schol. Ven.
u Il. O. 36.
x Ita MS. Angl. editum erat: αὐτῆς συγγενῆ. GALE. Sic et Vat.
52 καὶ ex Vat. Schol. Ven. et mox τὰ ante στοιχεῖα.
53 διαπορῶν καὶ ἐπὶ πολλοῖς Schol. Ven.
y Il. O. 190. seqq.
z Respicit Il. O. 187.
54 δὴ Vat.
55 δημιουργίας Schol. Ven.

Γαῖα δ' [56]ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.

[57]Διὰ τοῦτο δέ μοι δοκεῖ συνεχῶς ἀλληγορεῖν ὑπὲρ αὐτῶν, [58]ἵν' ἡ δοκοῦσα τοῖς ἔπεσιν ἐφεδρεύειν ἀσάφεια τῷ διηνεκεῖ τῆς παραδόσεως ᾖ γνωριμωτέρα.

42. [a]Τάγε μὴν ἐπὶ Σαρπηδόνι δάκρυα λύπην μὲν οὐ καταψεύδεται θεοῦ, ὃ καὶ παρ' ἀνθρώποις νόσημα· αὐτῷ δὲ, βουλομένῳ τἀκριβὲς ἐρευνᾷν, ἐπινοεῖται τρόπος ἀλληγορουμένης ἀληθείας. πολλάκις γὰρ ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων πραγμάτων ἱστοροῦσι τεράστια τῷ βίῳ συμφέρεσθαι σημεῖα, ποταμῶν τε καὶ πηγῶν ναμάτων [59]αἱμοφορύκτοις ῥεύμασιν ἐκμιαινομένων, ὡς ἐπ' Ἀσωποῦ τε καὶ Δίρκης παραδιδόασιν οἱ παλαιοὶ μῦθοι. λόγος δ' ἔχει, καὶ κατὰ νεφῶν ψεκάδας ὕεσθαι, φόνου τισὶ κηλῖσιν ἐπικεχρωσμένας. ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλε τοῖς βαρβάροις, ἐγγὺς δ' ἦν ὁ τοῦ κατ' ἀλκὴν ἀρίστου Σαρπηδόνος ὄλεθρος, ὡσπερεὶ τεράστια προὐφάνη ταύτης τῆς συμφορᾶς ἀγγελτικά· αἱματοέσσας δὲ [60]ψεκάδας κατέχευεν ἔραζε. τοῦτον δὴ τὸν [61]φονέα ὄμβρον ἀλληγορικῶς εἴρηκεν αἰθέρος δάκρυα. Διὸς μὲν οὔ, ἄκλαυστος γὰρ, ἐκ δὲ τῶν ὑπεράνω τόπων, ὡσπερεὶ θρήνοις μεμιγμένου, καταῤῥαγέντος ὑετοῦ.

43. Ταυτὶ μὲν ἴσως ἐλάττω τεκμήρια περὶ τῶν ἠλληγορημένων. [b]ἐπὶ μέν τοι τῆς ὁπλοποιΐας, μεγάλῃ καὶ κοσμοτόκῳ διανοίᾳ τὴν τῶν ὅλων περιήθροισε γένεσιν· ὅθεν γὰρ αἱ πρῶται τοῦ παντὸς ἔφυσαν ἀρχαὶ, καὶ τίς ὁ τούτων δημιουργὸς, καὶ πῶς ἕκαστα πληρωθέντα διεκρίθη, σαφέσι τεκμηρίοις παρέστησε, τὴν Ἀχιλλέως ἀσπίδα τῆς κοσμικῆς περιόδου χαλκευσάμενος εἰκόνα. καὶ [c]τὸ πρῶτον ὑπεστήσατο τῆς παντελοῦς δημιουργίας νύκτα καιρόν· ἐπειδήπερ αὕτη χρόνου πτερὰ πάτρια πρεσβεῖα κεκλήρωται, καὶ, πρὶν ἢ διακριθῆναι τὰ νῦν βλεπόμενα, νὺξ ἦν τὸ σύμπαν, ὃ δὴ χάος ποιητῶν ὀνομάζουσι παῖδες. οὐ γὰρ οὕτως ἄθλιόν τινα καὶ κακοδαίμονα παρεισάγει τὸν Ἥφαιστον, ὡς μηδὲ νυκτὸς ἀνάπαυσιν ἔχειν τῆς χειρωνακτικῆς ἐργασίας, ὅπου γε καὶ παρ' ἀνθρώποις ἀθλίοις ἄτοπον εἶναι δοκεῖ, τὸ μηδὲ [62]νυκτὸς τῶν πόνων ἐκεχειρίαν ἄγειν. ἀλλ' οὐκ ἐστὶ ταῦτα χαλκεύων Ἀχιλλεῖ πανοπλίαν Ἥφαιστος, οὐδ' ἐν οὐρανῷ βουνοὶ χαλκοῦ

56 ἔστι Vat.

57 Καὶ διὰ Vat.

58 ἵνα μὴ δοκοῦσα—ἀσάφεια σαφὴς τῷ—παραδόσεως ᾖ.

a Vid. Il. Π. 459.

59 Sic Vat. αἱμοφύρτοις Vat. B. Vulgo αἱμοφρύκτοις. Schol. Ven. αἱμορρφύτοις, ubi πηγαίων pro πηγῶν.

60 ψιάδας Vat. Schol. Ven.

61 f. φόνιον Heyne.

b Cf. Il. Σ. 468. usque ad finem libri.

c Sic MS. Angl. pro vulg. τὸν πρῶτον. respicit autem Il. Σ. 239. 240. Schow. Sic et Vat.

62 Sic Vat. B. vulgo νύκτα. τὴν νύκτα Schol. Ven.

καὶ κασσιτέρου, ἀργύρου τε καὶ χρυσοῦ εἰσιν· ἀμήχανον γὰρ, τὰς ἀηδεῖς καὶ φιλαργύρους γῆς νότους ἐπ' οὐρανὸν ἀναβῆναι. φυσικῶς δὲ τῆς ἀμόρφου [63]τε καὶ μὴ διακεκριμένης ὕλης τὸν καιρὸν ἀποφηνάμενος εἶναι νύκτα, δημιουργὸν, ἡνίκα ἔμελλε πάντα μορφοῦσθαι, τὸν Ἥφαιστον ἐπέστησε, τουτέστι, τὴν θερμὴν οὐσίαν· [d]πυρὸς γὰρ δὴ, κατὰ τὸν φυσικὸν Ἡράκλειτον, ἀμοιβῇ τὰ πάντα γίγνεται. [e]ὅθεν συνοικοῦσαν οὐκ ἀπιθάνως τῷ τῶν ὅλων ἀρχιτέκτονι πεποίηκε τὴν Χάριν· ἔμελλε γὰρ ἤδη τῷ κόσμῳ χαριεῖσθαι τὸν ἴδιον κόσμον. ὗλαι δὲ τίνες [64]αὐτοῦ τῆς κατασκευῆς;

[f] Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε.

εἰ μὲν Ἀχιλλεῖ κατεσκεύασε πανοπλίαν, πάντα ἔδει χρυσὸν εἶναι· [g]καὶ γὰρ, οἶμαι, σχέτλιον, Ἀχιλλέα μηδὲ Γλαύκῳ κατὰ τὴν πολυτέλειαν ἴσον εἶναι. νῦν δὲ τὰ τέτταρα στοιχεῖα κίρναται· καὶ χρυσὸν μὲν ὠνόμασε τὴν αἰθερώδη φύσιν, ἄργυρον δὲ τὸν αὐτῇ τῇ χρόᾳ συνομοιούμενον ἀέρα· χαλκὸς δὲ καὶ κασσίτερος, ὕδωρ τε καὶ γῆ προσαγορεύεται διὰ τὴν ἐν ἀμφοτέροις βαρύτητα. [h]πρώτη δὲ ἀπὸ τούτων τῶν στοιχείων ἀσπὶς ὑπ' αὐτοῦ χαλκεύεται, σφαιροειδὲς ἔχουσα τὸ σχῆμα, δι' οὗ τὸν κόσμον ἡμῖν ἐμφανῶς ἐσήμηνεν· ὃν οὐκ ἀπὸ τῆς ὁπλοποιΐας μόνον, ἀλλὰ καὶ δι' ἄλλων τεκμηρίων [65]ἐπίσταται κυκλοειδῆ.

44. Συντόμως δὲ ἐν παρεκβάσει τὰς ὑπὲρ τούτων φιλοτεχνοῦντες ἀποδείξεις δηλώσομεν. [i]συνεχῶς τοίνυν τὸν ἥλιον ἀκάμαντα, [k]καὶ ἠλέκτορα, [l]καὶ ὑπερίονα προσαγορεύει, διὰ τῶν ἐπιθέτων οὐκ ἄλλο τι πλὴν τοῦτο τὸ σχῆμα σημαίνων. [66]ὅ τε γὰρ ἀκάμας, ὁ μὴ κάμνων, ἔοικεν ὅρους ἔχειν οὐκ ἀνατολὴν καὶ δύσιν, ἀλλὰ τὴν ἀεὶ περίδρομον ἀνάγκην. ἠλέκτωρ δὲ δυοῖν θάτερον· ἢ γὰρ ἀλέκτωρ ὁ θεὸς ὀνομά-

63 ποτε Vat. Schol. Ven.

d Heracliti jam supra Heraclides c. 24. mentionem fecerat. Inter præcipua ejus dogmata hæc referuntur: ἐκ πυρὸς τὰ πάντα συνεστάναι, καὶ εἰς τοῦτο ἀναλύεσθαι. Porro etiam: πυρὸς ἀμοιβὴν τὰ πάντα ἀραιώσει καὶ πυκνώσει τὰ γιγνόμενα. Diog. Laert. in vita Heracliti lib. IX. p. 551. segm. 7. Rationem autem, qua omnia ex igni orta erant, hanc esse ille statuit: ex igni nempe aquam, ex aqua terram, ex terra denique aerem et ætherem exstitisse. Idem, hæc omnia, ignis vi aliquando resoluta, ad primas suas origines esse reversura, docuit. Diog. Laert. l. cit. p. 552, 553. segm. 8. Clarius adhuc et disertius exponitur hoc Heracliti dogma a Plutarcho de Plac. Philosoph. lib. I. cap. 3. p. 877. Schow.

e Respicit Il. Σ. 382.

64 αὐτῷ Vat. B.

f Il. Σ. 474.

g Alludit ad Il. Z. 236.

h Respicit Il. Σ. 478, 479.

65 l. ὑφίσταται Heyne.

i Ut Il. Σ. 239. 484.

k Ut Il. Z. 513.

l Ut Od. M. 133. et sæpe.

66 H. l. ex Schol. Venet. refinxit Hasius. Vulgo ὅτι—ἡ ἤλεκτρος et om. ὡς.

ζεται, ὡς μηδέποτε κοίτης ἐπιψαύων· ἢ τάχα πιθανώτερον, [67]ἐπιελίκτωρ τις ὢν, καὶ κυκλοτερεῖ φορᾷ [m]δι' ἡμέρας καὶ νυκτὸς ἀναμετρούμενος τὸν κόσμον. ὑπερίονα δὲ νομιστέον αὐτὸν, τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς, ὥσπερ, οἶμαι, καὶ Ξενοφάνης ὁ κολοφώνιός φησιν·

Ἠέλιός θ' ὑπεριέμενος, γαῖάν τ' ἐπιθάλπων.

εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἂν ὑπεριονίδην· ὡς ἀτρείδην, εἰ τύχοι, τὸν Ἀγαμέμνονα, καὶ πηλείδην, τὸν Ἀχιλλέα.

45. [n]Ἥ τε θοὴ νὺξ οὐκ ἄλλό τι σημαίνει, πλὴν τὸ σφαιροειδὲς ὅλου τοῦ [68]κόσμου σχῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει, καὶ πᾶς ὁ καταλειφθεὶς ὑπ' ἐκείνου τόπος, εὐθὺς ὑπὸ ταύτης ἐκμελαίνεται. σαφῶς γοῦν ἑτέρωθί που τοῦτο μηνύων, φησί·

[o]Ἐν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
Ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.

ὥσπερ γὰρ ἀπηρτημένην ἑαυτοῦ, τὴν νύκτα κατόπιν ἐφέλκεται, συγχρονοῦσαν τοῖς ἡλίου τάχεσιν. εἰκότως οὖν αὐτὴν Ὅμηρος εἴρηκε θοήν. δύναταί γε μὴν πιθανώτερόν τις ἐπιχειρῶν θοὴν ὀνομάζειν μεταληπτικῶς, οὐ τὴν κατὰ κίνησιν ὀξεῖαν, ἀλλὰ τὴν κατὰ σχῆμα· καὶ γὰρ ἑτέρωθί που φησίν·

[p]Ἔνθεν δ' αὖ νήσοισιν [69]ἐπιπροέηκε θοῇσιν,

οὐ τὸ τάχος τῶν ἐῤῥιζωμένων νήσων ἠλιθίως [70]δηλώσειν ἐσπουδακὼς, ἀλλὰ τὸ σχῆμα, πρὸς [71]ὀξεῖαν ἀπολήγουσαν [72]ἀποτελοῦν γραμμήν. εἰκότως οὖν νύκτα θοὴν [73]ὠνόμασε, τὴν ἐπ' ὀξὺ τέλος τῆς ἐσχάτης σκιᾶς ἀποτερματίζουσαν.

46. Φυσικῶς δὲ περὶ τούτου ὁ λόγος ἀποδείκνυσιν, ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. τριχῇ [74]δὲ οἱ μαθηματικοὶ τὰ σχήματα τῶν σκιῶν φασιν ἀποπίπτειν· ἐπειδὰν γὰρ ἔλαττον ᾖ τὸ περιλάμπον τοῦ καταλαμπομένου, τὴν σκιὰν συμβέβηκε καλαθοειδῶς ἐπὶ τὴν ὑστάτην πλατύνεσθαι βάσιν, ἀπὸ λεπτῆς ἀνισταμένην τῆς κατὰ κορυφὴν ἀρχῆς· ὅταν δὲ μεῖζον ᾖ τὸ καταλάμπον φῶς τοῦ καταλαμπομένου τόπου, κωνοειδῆ συμβέβηκε τὴν σκιὰν ἀπὸ πλατείας τῆς ἀρχῆς εἰς λεπτὸν ἀποστενοῦσθαι πέρας. ἐπειδάν γε μὴν ἴσον ᾖ τῷ καταλαμπο-

[67] ἐπιελίκτωρ Vat. Vulgo. ἐπιελέκτωρ.
[m] ἐπὶ ἡμέρας. MS. Angl.
[n] Ut Il. Ω. 366. et saepe.
[68] πόλου Vat. Schol. Ven.
[o] Il. Θ. 485.
[p] Od. O. 298.
[69] ἐπιπροέηκα Vat.
[70] γὰρ δηλώσειν Vat. γὰρ Schol. Ven.
[71] ὀξὺ Heyne.
[72] ἀποτελεῖν Vat. Schol. Ven.
[73] λέγεσθαι Vat. Schol. Ven. pro ὠνόμασε.
[74] γὰρ Vat. Schol. Ven. διὰ τούτου Vat. B. ubi om. ἐστιν.

μένῳ τὸ καταλάμπον, κυλίνδρου δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς. βουλόμενος οὖν Ὅμηρος τὸν ἥλιον ἄλλως μείζονα τῆς γῆς κατὰ τὴν τῶν πλείστων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, [q]εὐλόγως θοὴν τὴν νύκτα προσηγόρευσεν, εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι σχῆμα λήγουσαν· ἅτε, οἶμαι, μήτε κυλινδροειδῶς, μήτε καλαθοειδῶς τῆς σκιᾶς πίπτειν δυναμένης, ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελούσης. ὁ δὴ πρῶτος Ὅμηρος, ἐκ μιᾶς λέξεως ὑπαινιξάμενος, τὰς μυρίας τῶν φιλοσόφων ἁμίλλας [75]ἐπιτέτμηται.

47. Καὶ μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τοῦ [r]κόσμου σφαιροειδές. βορέας μὲν γὰρ, ἀπὸ τῆς ἄρκτου πνέων μετέωρος, [s]μέγα κῦμα κυλίνδει· τὴν γὰρ ἀπὸ τοῦ μεταρσίου φορὰν ἐπὶ τὸ ταπεινότερον ἐκ μιᾶς λέξεως κατεκύλισεν ὁ στίχος. τοὔμπαλιν δὲ ἐπὶ τοῦ νότου, πνέοντος ἀπὸ τῶν κάτω τόπων, ἱστόρησεν·

[t]Ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ.

τὴν ἀπὸ τοῦ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον [76]ἀνακυλίει. [u]ἔτι γε μὴν μετὰ τῶν ἄλλων ἀπείρονα γαῖαν ὀνομάζει. καὶ πάλιν ἐπὶ τῆς Ἥρας·

[x]Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης.

Οὐ δή που μαχομέναις δόξαις πρὸς αὐτὸν στασιάζων· ἀλλ᾽ ἐπειδὴ πᾶν σφαιροειδὲς σχῆμα καὶ ἄπειρόν ἐστι, καὶ πεπερασμένον· τῷ μὲν γὰρ ὅρον τινὰ καὶ περιγραφὴν ἔχειν, εὐλόγως αὐτὸ πεπερᾶσθαι νομιστέον. ἄπειρον δ᾽ ἂν ὁ κύκλος ὀνομάζοιτο δικαίως· ἐπειδήπερ ἀμήχανόν ἐστι δεῖξαι πέρας ἐν αὐτῷ τι· τὸ γὰρ νομισθὲν εἶναι τέλος ἐξ ἴσου γένοιτ᾽ ἂν ἀρχή.

48. Ταυτὶ μὲν οὖν ἀθρόα τεκμήρια τοῦ σφαιροειδῆ τὸν κόσμον εἶναι παρ᾽ Ὁμήρῳ. τὸ δ᾽ ἐναργέστατόν ἐστι σύμβολον [y]ἡ τῆς Ἀχιλλέως ἀσπίδος κατασκευή· [z]κυκλοτερὲς γὰρ τῷ σχήματι [77]κεχάλκευκεν ὅπλον Ἥφαιστος, ὥσπερ εἰκόνα τῆς κοσμικῆς περιόδου. μυθικῶς μὲν οὖν ἀσπίδα χαλκευομένην ὑποστησάμενος ἁρμόζουσαν Ἀχιλλεῖ, τὴν διὰ πάντων ἐνεχάραξε πορείαν· τίς δὲ ἦν αὕτη;

[z]Στησάμενοι δ᾽ ἐμάχοντο μάχην ποταμοῖο παρ᾽ ὄχθας,

q Ex MS. Angl. vocem θοὴν addidimus. Schow. Sic et Vat.

75 Sic Vat. Gale. ἐπιτετίμηται. Gesn. Schow.

r τοῦ κόσμου ex MS. Angl. revocavi, pro vitioso σεισμοῦ. Schow. κόσμου item Vat.

s Od. E. 296. ubi κυλίνδων.

t Od. Γ. 295.

76 ἀνακυλεῖ Vat. ἀνακυκλοῖ Schol. Ven.

u Uti Od. E. 46.

x Il. Ξ. 200.

y Ita e MS. Angl. Gale. Edebatur τῇ Ἀχιλλέως ἀσπίδος κατασκευῇ. Schow. Sic et Vat. ἡ τῆς—κατασκευὴ Schol. Ven.

z Ex Il. Σ. 479.

77 μετεχάλκευεν Schol. Ven.

a Il. Σ. 533. ubi in ultimo versu

Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ,
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ [78] μόθον ἕλκε ποδοῖιν.

Ταῦτα γὰρ ἦν ὁ διηνεκὴς Ἀχιλλέως βίος. νῦν δὲ Ὅμηρος, [b] ἰδίᾳ τινὶ φιλοσοφίᾳ δημιουργῶν τὸν κόσμον, εὐθὺς τὰ μέγιστα τῆς προνοίας ἔργα μετὰ τὴν ἀδιευκρίνητον καὶ κεχυμένην ὕλην ἐχάλκευσεν.

Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλατταν,
Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν.

ἡ τῆς κοσμικῆς γενέσεως εἱμαρμένη πρῶτον θεμελιοῦχον ἐκρότησε τὴν γῆν· εἶτα ἐπὶ ταύτῃ, καθάπερ τινὰ θείαν στέγην, τὸν οὐρανὸν ἐπωρόφωσε, καὶ κατὰ τῶν ἀναπεπταμένων αὐτῆς κόλπων ἀθρόαν ἔχεε τὴν θάλατταν, εὐθύς τε ἡλίῳ τε καὶ σελήνῃ τὰ διακριθέντα τῶν στοιχείων ἀπὸ τοῦ πάλαι χάους ἐφώτισεν.

[c] Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται.

δι' οὗ μάλιστα σφαιροειδῆ παραδέδωκεν ἡμῖν τὸν κόσμον. ὥσπερ γὰρ ὁ στέφανος κυκλοτερὴς τῆς κεφαλῆς κόσμος ἐστιν, οὕτω τὰ διεζωκότα τὴν οὐράνιον ἀψῖδα, κατὰ σφαιροειδοῦς [79] ἐσπαρμένα σχήματος, εἰκότως οὐρανοῦ στέφανος ὠνόμασται.

49. Διακριβολογησάμενος δ' ὑπὲρ τῶν [d] ὁλοσχερῶν ἀστέρων, καὶ κατὰ μέρος ἐπιφανέστατα δεδήλωκεν. οὐ γὰρ ἠδύνατο πάντα θεολογεῖν, ὥσπερ Εὔδοξος, ἢ Ἄρατος, Ἰλιάδα γράφειν ἀντὶ τῶν φαινομένων ὑποστησάμενος ἑαυτῷ. μεταβέβηκεν οὖν ἀλληγορικῶς ἐπὶ τὰς δύο πόλεις, τὴν μὲν εἰρήνης, τὴν δὲ πολέμου [e] παρεισάγων· ἵνα μηδ' [f] Ἐμπεδοκλῆς ὁ ἀκραγαντῖνος ἀπ' ἄλλου τινὸς, ἢ παρ' Ὁμήρου, τὴν

pro κατὰ χθονὸς legitur: κατὰ μόθον. Schow.

78 Sic Vat. Vulgo χθονός.

b ἰδίᾳ τινὶ φιλοσοφίᾳ e MS. Angl. edidi. τινὶ vulgo omissum. Schow. τινι habet Vat.

c Il. Ξ. 485.

79 ἐπηρμένα Hasius e Schol. Venet. ubi ἐπηρμένην. Heynius excidisse putat ἄστρα.

d ὁλοσχερῶν ἀστέρων e MS. Angl. revocavi. posterior vox male ab ed. Gale. aberat. Sch. Consentit Vat.

e Ita e MS. Angl. Gale. Male edebatur: προεισάγων. Sch. Consentit Vat.

f Notum est illud Empedoclis philosophema: continuo quodam totius naturæ virium motu sive fluxu, quo, pro mutua earum naturae convenientia vel disconvenientia, aut in unum consociantur, aut in diversa tendunt, harmoniam, ordinem et concentum totius universi effici et constitui. Diog. Laert. in vita Empedoclis lib. VIII. segm. 76. Hoc Empedoclis dogma diserte etiam exprimitur in fragmento quodam Empedoclis, quod exstat in Henr. Stephani Poesi Philos. p. 21. et in Stobæi Eclog. Physic. lib. I. p. 26.

Ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα·
Ἄλλοτε δ' οὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει. Schow.

σικελικὴν ἀρύσηται δόξαν. ἅμα γὰρ τοῖς τέσσαρσι στοιχείοις κατὰ τὴν φυσικὴν θεωρίαν παραδέδωκε τὸ νεῖκος καὶ τὴν φιλίαν. τούτων δ' ἑκάτερον Ὅμηρος ὑποσημαίνων, πόλεις ἐνεχάλκευσε τῇ ἀσπίδι· τὴν μὲν εἰρήνης, τουτέστι, τῆς φιλίας· τὴν δὲ πολέμου, τουτέστι νείκους.

50. [g]Πτύχας δ' ὑπεστήσατο τῆς ἀσπίδος πέντε, σχεδὸν οὐκ ἄλλο τι, [h]πλὴν τὰς ἐμπεποικιλμένας τῷ κόσμῳ ζώνας ὑπαινιξάμενος. ἡ μὲν γὰρ ἀνωτάτω περὶ τὸν βόρειον εἱλεῖται πόλον· ἀρκτικὴν δὲ αὐτὴν ὀνομάζουσιν. ἡ δ' ἐφεξῆς εὔκρατός ἐστιν. εἶτα τὴν τρίτην διακεκαυμένην καλοῦσιν. ἡ [80]δὲ τετάρτη ὁμωνύμως τῇ δευτέρᾳ [81]πρότερον εὔκρατος ὀνομάζεται. πέμπτη δ' ἐπωνύμως τοῦ νοτίου μέρους, ἡ νότιός τε καὶ ἀνταρκτικὸς καλουμένη. τούτων αἱ μὲν δύο τελέως ἀοίκητοι διὰ τὸ κρύος, ἥ τε τὸν βόρειον εἰληχυῖα πόλον, [82]καὶ ἡ τὸν ἀπαντικρὺ νότιον. ὁμοίως δ' ἐν αὐταῖς ἡ διακεκαυμένη καθ' ὑπερβολὴν τῆς πυρώδους οὐσίας οὐδενὶ βατὴ ζώῳ. δύο δὲ τὰς εὐκράτους φασὶν οἰκεῖσθαι, τὴν μέσην ἀφ' ἑκατέρας ζώνῃ κρᾶσιν ἐπιδεχομένας. ὁ γοῦν Ἐρατοσθένης καὶ σφοδρότερον ἐν τῷ Ἑρμῇ [83]ταύτῃ διηκρίβωσεν, εἰπών·

[i]Πέντε δέ οἱ ζῶναι περιηγέες ἐσπείρηνται.
Αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο.
Ἡ δὲ μία ψαφαρή τε καὶ ἔκπυρος, οἷον ἐρυθρή,
Τυπτομένη φλογμοῖσιν· ἐπεί ῥά ἑ μοῖραν ἐπ' αὐτὴν
Κεκλιμένην ἀκτῖνες ἀειθερέες πυρόωσιν.
Αἱ δὲ δύω, ἑκάτερθε πόλοιο περιπεπηγυῖαι,
Αἰεὶ κρυμαλέαι, αἰεὶ δ' ὕδατι μογέουσαι.

51. Ταύτας οὖν Ὅμηρος πτύχας ὠνόμασεν, ἐξ ὧν φησιν·

[k]Ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων,
Τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
Τὴν δὲ μίαν, χρυσῆν.

τὰς μὲν ἀνωτάτω κατὰ [84]τοὺς ἀλαμπεῖς μυχοὺς τοῦ κόσμου κειμένας δύο ζώνας χαλκῷ προσεικάσας· ψυχρὰ γὰρ ἡ ὕλη, καὶ κρύους

g Vid. Il. Σ. 481.

h In Gesneri codice: πλὴν οὐκ ἐμπεποικιλμένας, quod ille sic emendavit. Schow. οὐκ item Vat.

80 τετάρτη δ' Vat. Schol. Ven.

81 πρότερον delet Heyne.

82 Sic Vat. Schol. Ven. Vulgo deest ἡ.

83 Sic Vat. Vulgo ταύτας.

i Eratosthenis versus hi etiam apud Achillem Tatium Isagoge in Arati Phænomen. p. 153. habentur: unde, comparatione cum hoc loco facta, ut jam Gale monuit, eos restituit Jos. Scaliger ad Manilium p. 320. ed. Argent. Etiam Fell in Fragmentis Eratosth. repetiit ad Arati calcem p. 46. Schow.

k Il. Υ. 270. seqq.

84 Sic Vat. Vulgo, τὸν ἀλαμπῆ μυχόν.

μεστή. λέγει γοῦν ἑτέρωθί που·—[l]ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι. τὴν δὲ μίαν χρυσῆν τὴν διακεκαυμένην· ἐπειδήπερ ἡ πυρώδης οὐσία κατὰ τὴν χρόαν ἐμφερεστάτη χρυσῷ. δύο δ' ἔνδοθι κασσιτέροιο, τὰς εὐκράτους ὑποσημαίνων· ὑγρὰ γὰρ ἡ ὕλη, καὶ τελέως εὔθικτος ἡ τοῦ κασσιτέρου, δι' ἧς τὸ περὶ τὰς ζώνας εὐαφὲς ἡμῖν καὶ μαλθακὸν δεδήλωκε. τὸ μὲν οὖν ἐν οὐρανῷ σεμνὸν ἐργαστήριον Ἡφαίστου τὴν ἱερὰν φύσιν οὕτως ἐδημιούργησεν.

52. Ἀνίσταται δ' εὐθὺς ὁ φρικώδης καὶ χαλεπὸς ἐφ' Ὁμήρῳ τῶν συκοφαντούντων φθόνος ὑπὲρ τῆς θεομαχίας. [m]οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνὴ παρ' αὐτῷ [85]συνέῤῥωγεν· ἀλλ' οὐράνιαι ταραχαὶ καὶ στάσεις τὸ θεῖον ἐπινέμονται.

[n]Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων φοῖβος, ἔχων ἰὰ πτερόεντα.
Ἄντα δ' ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη.
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινή,
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη ἑκάτοιο.
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς.
Ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης.

οὐκέτι ταῦθ' Ἕκτωρ πρὸς Αἴαντα μαχόμενος, οὐδ' Ἀχιλλεὺς πρὸς Ἕκτορα, καὶ μετὰ Πατρόκλου Σαρπηδών· ἀλλὰ τὸν μέγαν οὐρανοῦ πόλεμον ἀγωνοθετήσας Ὅμηρος, οὐδ' ἄχρι μελλήσεως τὸ κακὸν ὥπλισεν· ἀλλ' ὁμόσε τοὺς θεοὺς συνέῤῥαξεν ἀλλήλοις. [o]ἑπτὰ μὲν γὰρ Ἄρης

—— ἐπέσχε πέλεθρα πεσών, ἐκόνισσε δὲ χαίτας.

μετὰ ταῦτα δὲ Ἀφροδίτης

[p]λύτο γούνατα καὶ φίλον ἦτορ.

[q]Ἄρτεμις δὲ καὶ προσεξύβρισται, τοῖς ἰδίοις τόξοις [86]ὡς νηπία κόρη σωφρονισθεῖσα. [r]Ξάνθος δὲ παρ' ὀλίγον οὐδὲ ποταμὸς ἐῤῥύη διὰ Ἥφαιστον.

53. Ὅμως δ' οὖν πάντα ταῦτα κατ' ἀρχὰς μὲν οὐδ' ὅλως σφόδρα πείθειν δύναται τοὺς πολλούς. εἰ δ' [87]ἐθελήσει τὶς, ἐνδοτέρω καταβὰς τῶν ὁμηρικῶν ὀργίων, ἐποπτεῦσαι τὴν μυστικὴν αὐτοῦ σοφίαν, ἐπιγνώσεται, τὸ δοκοῦν αὐτῷ ἀσέβημα πηλίκης μεστόν ἐστι φιλοσοφίας. ἐνίοις μὲν οὖν ἀρέσκει, τὴν τῶν ἑπτὰ πλανήτων ἀστέρων ἐν ἑνὶ

[l] Il. E. 75.
[m] Il. Z. pr.
[85] Sic Vat. Schol. Ven. Vulgo συνέῤῥωσεν. Ex iisdem mox ἐπινέμονται pro ἀπονέμονται.
[n] Il. Υ. 67. seqq.
[o] Il. Φ. 407.
[p] Ibid. 425.
[q] Ad hæc cf. Il. Φ. 489. seqq.
[86] ἀνηπία Vat.
[r] Cf. Il. Φ. 366.
[87] ἐθελήσαι Vat. θελήσει Schol. Ven.

ζωδίῳ σύνοδον ὑφ' Ὁμήρου διὰ τούτων δὴ λεχθεῖσαν· φθορὰ δὲ παντελὴς, ὅταν τοῦτο γένηται. σύγχυσιν οὖν τοῦ παντὸς [88]ὑπαινίττεται, συνάγων εἰς ἓν Ἀπόλλωνα, τουτέστιν, ἥλιον, καὶ Ἄρτεμιν, ἣν φαμὲν εἶναι σελήνην, τόν τε τῆς Ἀφροδίτης καὶ [89]Ἄρεως, ἔτι δὲ καὶ Ἑρμοῦ καὶ Διὸς ἀστέρα. ταύτην μὲν οὖν πιθανότητος μᾶλλον ἢ ἀληθείας ἐχομένην τὴν ἀλληγορίαν, ἄχρι τοῦ μὴ δοκεῖν ἀγνοεῖν, παρειλήφαμεν. ἃ δ' ἔστιν ἐναργέστερα, καὶ τῆς Ὁμήρου σοφίας ἐχόμενα, ταύτῃ δὴ σκοπεῖν ἀναγκαῖον.

54. Ἀντέταξε γοῦν κακίαις μὲν ἀρετάς· ταῖς δὲ μαχομέναις φύσεσι τὰς ἀντιπάλους. αὐτίκα τῶν θεῶν ἡ ζεῦξις οὕτω πεφιλοσόφηται τῆς μάχης· Ἀθηνᾶ καὶ Ἄρης, τουτέστιν, ἀφροσύνη καὶ φρόνησις. ὁ μὲν γὰρ, ὥσπερ ἔφην, [s]μαινόμενός ἐστι, τυκτὸν κακὸν, ἀλλοπρόσαλλον· [t]ἡ δ' ἐν πᾶσι [90]θεοῖσι

Μήτι τε κλέεται καὶ κέρδεσιν.

ἀδιάλλακτός γε μὴν ἔχθρα τοῖς τὰ βέλτιστα διευκρινοῦσι λογισμοῖς πρὸς τὴν οὐδὲν ὁρῶσαν ἀφροσύνην. ὡς δὲ μάλιστα τὸν βίον ὀνήσειν ἔμελλεν, οὕτω τὰ τῆς μάχης διευκρίνησεν· οὐ γὰρ ἡ μεμηνυῖα καὶ παραπλὴξ ἀναισθησία τῆς συνέσεως γέγονε κρείσσων. ἐνίκησε δὲ Ἀθηνᾶ τὸν Ἄρην, καὶ κατὰ γῆς ἐξέτεινεν· ἐπειδήπερ ἅπασα κακία χαμαιπετὴς ἐν τοῖς ταπεινοτάτοις ἔῤῥιπται βαράθροις, πατούμενον νόσημα, καὶ πρὸς πᾶσαν ὕβριν ὑποκείμενον· ἀμέλει συνεξέτεινεν αὐτῷ τὴν Ἀφροδίτην, τουτέστι, τὴν ἀκολασίαν.

[u]Τὼ μὲν ἄρ' ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ,

συγγενῆ, καὶ τοῖς πάθεσι γειτνιῶντα τὰ νοσήματα.

55. Λητοῖ δ' ἀνθέστηκεν Ἑρμῆς· ἐπειδήπερ ὁ μὲν οὐδὲν ἄλλο πλὴν λόγος ἐστὶ τῶν ἔνδον ἐν ἡμῖν παθῶν. λόγῳ δὲ παντὶ μάχεται Λητὼ, οἱονεὶ ληθώ τις οὖσα καθ' ἑνὸς στοιχείου μετάθεσιν· τὸ γὰρ ἀμνημονούμενον οὐκ ἔτι ἀγγελθῆναι δύναται. διὸ δὴ καὶ μητέρα Μουσῶν Μνημοσύνην ἱστοροῦσι, τὰς προστατίδας [91]τοῦ λόγου θεὰς ὑπὸ μνήμην γεγενῆσθαι λέγοντες. εἰκὸς οὖν, τὴν λήθην πρὸς ἀντίπαλον ἅμιλλαν ἐξωρμηκέναι· [x]δικαίως δ' ὑπεῖξεν αὐτῇ· λόγου γὰρ ἧττα λήθη, καὶ τὸ φανερὸν ὑπ' ἀμνηστίας ἐν κωφῇ [y]νενίκηται σιωπῇ· τῶν γε μὴν ὑπολειπομένων θεῶν ἡ μάχη φυσικωτέρα.

56. [z]Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων Φοῖβος.

88 Sic Vat. pro ἐπαινίττεται.
89 Ἄρεος Vat.
s Il. E. 831.
t Od. N. 298.
90 θεοῖς Vat.
u Il. Φ. 426. ubi legitur: ποτὶ χθονί.
91 τοῦ deest Vat. Schol. Ven.
x Eadem fere hic et in sqq. in vita Homeri p. 193. T. V. ed. Ern.
y Sic e MS. Angl. Gale. In editis νενίκηκε. SCHOW. νενίκηται Vat.
z Il. Y. 67.

ὕδατι πῦρ ἀντέθηκε, τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύσας, τὴν δ' ὑγρὰν φύσιν, Ποσειδῶνα. τούτων δὲ ἑκάτερον ὡς ἐναντίαν [92]ἔχει δύναμιν, τί δεῖ καὶ λέγειν; φθαρτικὸν ἀεὶ κατ' ἐπικράτειαν θατέρου θάτερον. καὶ μὴν ὑπὸ λεπτῆς τῆς περὶ τὴν ἀλήθειαν θεωρίας διαλύει ἀμφοῖν τὴν μάχην· ἐπειδήπερ ἡλίου τροφὴν ἀπεφηνάμεθα τὴν ἔνυγρον οὐσίαν, καὶ μάλιστα τὴν ἁλμυράν· λεληθότως γὰρ [a]ἀπὸ γῆς τὸ δίϋγρον ἀνασπῶν τῆς ἀτμίδος, τούτῳ μάλιστα τὴν πυρώδη φύσιν [93]αὔξει. χαλεπὸν δ' ἦν τῷ τρέφοντι τὸ τρεφόμενον ἀνθιστάμενον· διὰ τοῦθ' ὑπεῖξαν ἀλλήλοις.

57. [b]Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινή,
[c]Ἄρτεμις ἰοχέαιρα.

Οὐδὲ τοῦτ' ἀλόγως εἰσήγαγεν Ὅμηρος· ἀλλ', ὥσπερ ἔφην, Ἥρα μέν ἐστιν ἀήρ· τὴν δὲ σελήνην Ἄρτεμιν ὀνομάζει. πᾶν δὲ τὸ τεμνόμενον, ἀεὶ πολέμιόν ἐστι τῷ τέμνοντι· καὶ διὰ τοῦτο ἐχθρὰν ἀέρι τὴν σελήνην ὑπεστήσατο, τὴν ἐν ἀέρι αὐτῆς φορὰν καὶ τοὺς δρόμους ὑποσημαίνων. εἰκὸς δὲ ταχέως νενικῆσθαι τὴν σελήνην· ἐπειδήπερ ὁ μὲν ἀὴρ πολὺς, καὶ [d]πάντῃ κεχυμένος· ἡ δ' ἐλάττων, καὶ συνεχῶς ὑπὸ τῶν ἀερίων παθημάτων ἀμαυρουμένη, τοῦτο μὲν ἐκλείψεσι, τοῦτο δ' ἀχλύϊ, καὶ ταῖς ὑποτρεχούσαις νεφέλαις. διὰ τοῦτο τῆς νίκης τὰ βραβεῖα τῷ μείζονι καὶ συνεχῶς βλάπτοντι προσέθηκεν.

58. [e]Ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης·

Ἐν τοῖς ὑπὲρ Ἀπόλλωνος καὶ Ποσειδῶνος λόγοις τὸν [94]οὐράνιον ἡμῖν αἰθέρα καὶ τὴν ἀκήρατον ἡλίου φλόγα δηλώσας, νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν πῦρ, καὶ τοῦτο ἀνθώπλισε ποταμῷ, τὴν διάφορον ἑκατέρου φύσιν εἰς μάχην παροξύνας. πρότερον μὲν [95]οὖν εἴκοντα τὸν ἥλιον Ποσειδῶνι παρεισάγει· νῦν δὲ τὴν ὑγρὰν οὐσίαν ὑπὸ τῆς πυρώδους ἡττωμένην· δυνατώτερον γὰρ τόδε τὸ στοιχεῖον θατέρου. εἰς οὖν οὕτω μέμηνεν, ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν, Ὁμήρου φυσικῶς ταῦτα δι' ἀλληγορίας θεολογήσαντος.

59. [f]Ἐπὶ τέλει οὖν τῆς Ἰλιάδος, [96]καὶ σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα, Πριάμῳ δεδήλωκεν, ἀλληγορήσας. οὐδὲν γὰρ ἔοικεν οὕτω πειθήνιον ἀνδράσιν ὀργιζομένοις, οὐκ ἄργυρος, οὐ χρυσὸς,

[92] ἔχειν Vat. et mox διαλύειν. ἔχον—διαλύειν Schol. Ven.

[a] ἀπὸ γῆς e MS. Angl. edidit Gale. legebatur antea ὑπό. Schow. ἀπὸ Vat. ἀπὸ τῆς γ. Schol. Ven.

[93] αὔξεῖ Vat.

[b] Il. Υ. 70.

[c] Hæ duæ voces: Ἄρτεμις ἰοχέαιρα deerant in MS. Angl.

[d] πάνυ MS. Angl. pro πάντῃ. Sch. πάντη Vat.

[e] Il. Υ. 73.

[94] ἐνουράνιον Vat.

[95] οὖν om. Vat.

[f] Il. Ω. 360. seq.

[96] καὶ om. Vat.

οὐδὲ ἡ διὰ δώρων πολυτέλεια· μειλίχιον δὲ καὶ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν ἡ διὰ τοῦ λόγου πειθώ. πάνυ γοῦν ἀληθῶς Εὐριπίδης·

Οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο, πλὴν λόγος.

Τούτῳ τε Πρίαμος, ὥσπερ ὀχυρᾷ παντευχίᾳ, καθώπλισται· ἃ καὶ μάλιστα τὴν Ἀχιλλέως [97] ἐπέκλασεν ὀργὴν, οὐκ ἐν ἀρχῇ δείξας [g] δώδεκα πέπλους, δώδεκα [98] διπλοίδας χλαίνας, τά τε λοιπὰ τῶν κομισθέντων δώρων· ἀλλ᾽ αἱ πρῶται τῆς ἱκεσίας φωναὶ τοὺς ἄρσενας αὐτοῦ θυμοὺς ἐξεθήλυναν.

[h] Μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ,
Τηλίκου, οἷος ἐγὼν, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.

δι᾽ ὀλίγου προοιμίου τῶν λόγων συνήρπασεν Ἀχιλλέα, καὶ σχεδὸν ἀντὶ Πριάμου γέγονε Πηλεύς. διὰ τοῦτο [i] [99] ἠλέηται μὲν ἄχρι τραπέζης· [k] λουτροῖς δὲ κοσμηθὲν ἀποδίδοται τὸ Ἕκτορος σῶμα. τοσοῦτον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος, ὃν ἀπέστειλεν Ὅμηρος αὐτῷ, τῆς ἱκεσίας παράκλητον.

60. Ἆρ᾽ οὐκ ἀπόχρη δι᾽ ὅλης τῆς Ἰλιάδος συνᾴδουσα καὶ διηνεκὴς ἡ Ὁμήρου φιλοσοφία, ἐν ᾗ τὰ περὶ θεῶν ἠλληγόρησε; ζητοῦμεν δὲ τούτων τι περιττότερον, καὶ, μετὰ τοσαύτας ἀποδείξεις, ἐνδεῖν ἔτι τὰ κατὰ τὴν Ὀδύσσειαν ἡγούμεθα;

Πλὴν ὅμως ἀκόρεστον ἅπαν τὸ καλόν· [1] ἀπὸ τῆς ἐναγωνίου καὶ πολεμικῆς Ἰλιάδος ἐπὶ τὴν ἠθικὴν μεταβῶμεν Ὀδύσσειαν. οὐδὲ γὰρ αὕτη [2] τελέως ἀφιλοσόφητος· ἀλλ᾽ ἐν ἑκατέροις τοῖς σωματίοις ὅμοιον εὑρίσκομεν Ὅμηρον, μηδὲν περὶ θεῶν ἀπρεπὲς ἱστοροῦντα, δίχα δὲ τῆς τοιαύτης [1] ἐμπειρίας αἰνιττόμενον.

61. [m] Αὐτίκα τοίνυν ἐν ἀρχῇ τὴν Ἀθηνᾶν ὑπὸ Διὸς ἀποστελλομένην πρὸς Τηλέμαχον εὑρίσκομεν εὐλόγως· [n] ἐπειδὴ ἐκ τῆς ἄγαν νεότητος ἤδη τὴν εἰκοσαετῆ ἡλικίαν ὑπερκύπτων, μετέβαινεν [o] εἰς τὸν ἄνδρα. καί τις αὐτὸν ὑπέδραμε τῶν γιγνομένων λογισμὸς, ὡς οὐκ ἔτι χρὴ [p] διακαρτερεῖν ἐπὶ τῇ τετραετεῖ τῶν μνηστήρων ἀσωτίᾳ· τούτων

97 Sic Vat. Vulgo, ἐπήλασεν. Schol. Ven. ἐπέκλα.

g Respicit Il. Ω. 229. 230. ubi in edd. legitur: δ᾽ ἁπλοΐδας. Sch.

98 δ᾽ ἁπλοΐδας Schol. Ven.

h Il. Ω. 486. ubi pro σοῖο legitur σεῖο. et pro οἷος, ὥσπερ. sed οἷος præstat. Schow.

i Respicit Il. Ω. 601. 626.

99 ἥλεκται Vat.

k Il. Ω. 582.

1 Hinc usque ad γέροντι ἥκει habet Schol. Odyss. I.

2 τελείως Vat. Schol. ἀλλ᾽ ἐν ἑκατ. —αἰνιττόμενον om. Schol.

1 ἀπρεπείας legendum putavit Gesnerus. f. ἀπειρίας. Schow.

m Od. A. 88.

n Respicit Od. A. 296. seqq.

o εἰς τὸν ἄνδρα MS. Angl. melius quam antea vulgatum erat: ἐπὶ τὸν ἄ. Schow. Consentit Vat. εἰς ἄνδρας Schol.

p διακαρτερεῖν legendum conjicie-

οὖν τὸν ἀθροιζόμενον ἐν Τηλεμάχῳ λογισμὸν Ἀθηνᾶς ἐπιφάνειαν ἠλληγόρησεν. ὁμοιωθεῖσα γὰρ γέροντι, ἥκει· [q]παλαιὸς γοῦν ὁμολογεῖται ξένος Ὀδυσσέως ὁ Μέντης εἶναι. πολιὰ δὲ καὶ γῆρας, ἱεροὶ τῶν τελευταίων χρόνων λιμένες, ἀσφαλὲς ἀνθρώποις ὅρμισμα, καὶ ὅσον ἡ τοῦ σώματος ἰσχὺς ὑποφθίνει, τοσοῦτον ἡ τῆς διανοίας αὔξεται ῥῶσις.

62. Τίνα τοίνυν παρεισελθὼν ὁ νοῦς ἐξεπαίδευσε τὸν Τηλέμαχον; οὐ θεᾶς παρακαθημένης, καὶ ταῦθ', ἃ λέγει, παραινούσης διαπεττεύοντος· [r]ἄγε δή, φησιν, ὦ Τηλέμαχε· μειρακίου γὰρ ἤδη τὶ φρονεῖς πλέον·

[s]Νῆ' ἄρσας ἐρέτῃσιν ἐείκοσιν, ἥ τις ἀρίστη,
Ἔρχεο, πευσόμενος πατρὸς δὴν οἰχομένοιο.

πρῶτος εὐσεβὴς καὶ δίκαιος ἐκ βαθείας [3]τῆς διὰ τὴν ἡλικίαν ἀφροσύνης ὑπεισῆλθε λογισμὸς, ὡς οὐκ ἄξιόν ἐστιν ἀργοὺς ἐν Ἰθάκῃ κατατρίβειν χρόνους, ἀμνηστίαν ἔχοντα τοῦ γεγεννηκότος· ἀλλ' ἀναγκαῖον ἤδη ποτὲ τὸν φιλοπάτορα ναῦν εὐτρεπισάμενον ἐπὶ τὰς διαποντίους [t]ἐκδραμεῖν κληδόνας, ἵνα τὴν Ὀδυσσέως [4]ἀπόδημον ἄγνοιαν ἀνιχνεύσῃ. δεύτερον δ' ἐπὶ τούτοις διεσκέψατο, ὅπου μάλιστα δεῖ τὴν πατρῴαν ἐρευνῆσαι τύχην· ὑπηγόρευσε δ' ἡ φρόνησις, [u]ἐγγὺς αὐτοῦ καθεζομένη·

[x]Πρῶτα μὲν ἐς Πύλον ἐλθὲ καὶ εἴρεο Νέστορα δῖον·
Κεῖθεν δὲ [5]Σπάρτηνδε παρὰ ξανθὸν Μενέλαον.

ὁ μὲν γὰρ εἶχε τὴν ἀπὸ γήρως ἐμπειρίαν· ὁ δ' ἀπὸ τῆς ὀκταετοῦς πλάνης ἐπανεληλύθει νεωστί.

[y]Δεύτατος γὰρ ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.

ἔμελλεν οὖν ὠφέλιμος αὐτῷ παραινῶν γενήσεσθαι Νέστωρ· τἀληθῆ δὲ περὶ τῆς Ὀδυσσέως πλάνης ἐρεῖν Μενέλαος.

63. Ἅμα δὲ ταῦτ' ἐννοούμενος, ὡσπερεὶ παρακροτῶν ἑαυτὸν, εἶπεν·

[z]——Οὐδέ τί σε χρὴ
[6]Νηπιάας ὀχέειν· ἐπεὶ οὐκ ἔτι τηλίκος ἐσσίν.

ὡσπερεὶ παιδαγωγὸς καὶ πατὴρ ὁ λογισμὸς αὐτοῦ τὸ μεθεκτικὸν τῶν

bat Gesnerus; quod verum: vulgo διαμαρτυρεῖν. Schow. διακαρτερεῖν Vat. Schol.

q Vid. Od. A. 187.

r Respicit Od. A. 222.

s Od. A. 280.

3 Quatuor vv. accedunt ex Vat. ubi mox ἔχοντας.

t ἐκδραμεῖν e MS. Angl. recepi. vulgo: δραμεῖν. Sch. Consentit Vat.

4 f. ἀποδήμου Heyne.

u Respicit Od. A. 120. 121.

x Od. A. 284.

5 Σπάρτην τε Vat.

y ὃς γὰρ δεύτατος] Od. A. 286. unde Gale refinxit: quod non necessarium. Antea legebatur: δεύτατος γὰρ ἦλθεν. Schow.

z Od. A. 296.

6 νηπιάσας Vat.

φροντίδων ἀνήγειρεν. εἶτα καθ' ὁμοίωσιν ἡλικιώτιδος ἀρετῆς εἰς τὴν ἴσην φρόνησιν αὐτὸν παρακέκληκεν·

[a]Ἦ οὐκ ἀΐεις, οἷον κλέος ἔλλαβε δῖος Ὀρέστης
Πάντας ἐπ' ἀνθρώπους· ἐπεὶ ἔκτανε πατροφονῆα;

τοιούτοις ἐπαρθεὶς λογισμοῖς, εὐλόγως μετέωρον αὐτοῦ τὴν διάνοιαν ἐλαφρίζει· [7]διὸ καὶ προσείκασεν αὐτὴν Ὅμηρος ὄρνιθι, λέγων·

[b]Ὄρνις δ' ὡς ἀνόπαια διέπτατο.

μεταρσία γὰρ ἡ φρόνησις, ὡς ἄν, οἶμαι, τηλικοῦτον ὄγκον ἐν αὐτῇ πραγμάτων [c]κυοφοροῦσα, διανέστηκεν. ἀμέλει ταχέως ἐκκλησία συναθροίζεται, καὶ πατρῴοις λόγοις ἐγρηγορεύει. τὸν δ' ἀπόπλουν εὐτρέπιζεν ὁ τῆς ἀλληγορίας [d]ἐπώνυμος, [e]Φρονίου μὲν υἱός, Νοήμων δὲ τοὔνομα. δι' ὧν ἀμφοτέρων οὐδὲν ἄλλο, πλὴν τοὺς ὑπογυίους αὐτοῦ λογισμοὺς ὑπεσήμαινεν. ἐπιβαίνοντι δ' αὐτῷ τῆς νεὼς συνεμβέβηκεν Ἀθηνᾶ, Μέντορι τὴν μορφὴν εἰκασμένη [8]πάλιν, ἀνδρὶ πρὸς φροντίδας τὴν διάνοιαν ἔχοντι, φρονήσεως μητέρα. δι' ὧν ἁπάντων ἡ κατ' ὀλίγον ἐν τῷ Τηλεμάχῳ τρεφομένη σύνεσις ἐν τοῖς ἔπεσιν ἱστόρηται.

64. Καὶ μὴν ὁ περὶ Πρωτέως λόγος, [f]οὕτω πολὺς ἐκταθεὶς ὑπὸ Μενελάου, τὴν ἐξαπατῶσαν εὐθὺς ἔχει φαντασίαν, πάνυ [9]μυθώδης· γεγονέναι τῆς ἐν Αἰγύπτῳ [g]νησίδος ἄθλιον ἔποικον, εἰς ἀθανάτου μέτρα τιμωρίας παρελκόμενον, ᾧ βίος ἠπείρου καὶ θαλάττης κοινός, ἀτυχεῖς [h]ὕπνους μετὰ φωκῶν [10]κοιμώμενος, ἵν' αὐτοῦ κολάζηται καὶ τὸ τερπνόν. [i]θυγάτηρ δ' Εἰδοθέα, διὰ πατρὸς ἀδικίας ξένον εὖ ποιοῦσα, καὶ γενομένη προδότις αὐτοῦ. [k]δεσμοὶ μετὰ τοῦτο, καὶ Μενέλαος ἐνεδρεύων. [l]εἶθ' ἡ πολυπρόσωπος εἰς ἅπαντα, ἃ βούλεται, Πρωτέως μεταμόρφωσις, ποιητικοὶ καὶ τεράστιοι μῦθοι δοκοῦσιν, εἰ μή τις οὐρανίῳ ψυχῇ τὰς ὀλυμπίους Ὁμήρου τελετὰς [m]ἱεροφαντήσειε.

65. Τὴν γοῦν προμήτορα τῶν ὅλων ὑφίσταται γένεσιν, ἀφ' ἧς τὸ

a Od. Α. 298.
7 διὸ καὶ om. Vat.
b Od. Α. 320.
c E Gesneri conjectura edidit Gale pro vitioso κυοφθοροῦσαι. Sch. κυοφοροῦσα Vat.
d ἐπώνυμος e MS. Angl. reposuit Gale. Excusum antea ὑπώνυμος. Schow. ἐπώνυμος Vat.
e Vid. Od. Β. 386. et de seqq. 416. et 401.
8 πάλιν post συνεμβέβηκεν collocat Heyne.
f Cf. Od. Δ. 349. 370. et 354.
9 μυθώδης ὢν Heyne.
g νησίδος e MS. Angl. vulgo νησιάδος. Schow. νησίδος Vat.
h Vid. Od. Δ. 439. seqq.
10 κοιμώμενον Heyne.
i Vid. Od. Δ. 366. seqq.
k Ibid. 454.
l Ibid. 456.
m Ex MS. Angl. reposui: ἱεροφαντήσειε. τὴν γοῦν. Vulgo: ἱεροφαντήσει. τὴν οὖν. Schow. Consentit Vat.

πᾶν ῥιζωθὲν, εἰς ὃ νῦν βλέπομεν, ἥκει κατάστημα. παλαιοὶ γὰρ ἦσαν ποτὲ χρόνοι, καθ' οὓς ἀτύπωτον ἢ [11]ὑπόλιμνον ἦν, οὐδέπω κεκριμένοις χαρακτῆρσιν εἰς τέλεον [12]ἥκουσα μορφῆς· οὔτε γὰρ γῆ τῇ τῶν ὅλων ἑστίᾳ κέντρον ἐπεπήγει βέβαιον, οὔτ' οὐρανὸς, περὶ [n]τὴν αὐτὴν, τὴν ἀΐδιον φορὰν ἱδρυμένος ἐκυκλεῖτο. πάντα δ' ἦν ἀνήλιος ἠρεμία καὶ κατηφοῦσα σιγὴ, καὶ πλέον οὐδὲν ἦν, ἢ κεχυμένης ὕλης [13]ἄμορφος ἀργία, πρὶν ἢ δημιουργὸς ἁπάντων καὶ κοσμοτόκος ἀρχὴ σωτήριον ἑλκύσασα τῷ βίῳ τύπον, τὸν κόσμον ἀπέδωκε τῷ κόσμῳ, [14]διεζεύγνυ τὸν μὲν οὐρανὸν γῆς, ἐχώριζε δὲ τὴν ἤπειρον θαλάττης, τέτταρα δὲ στοιχεῖα, τῶν ὅλων ῥίζα καὶ γέννα, ἐν τάξει τὴν ἰδίαν μορφὴν ἐκομίζετο. τούτων δὲ προμηθῶς κιρναμένων, ὁ θεὸς, μηδεμιᾶς οὔσης διακρίσεως, περὶ τὴν ἄμορφον ὕλην[o].

66. Πρωτέως δὲ θυγάτηρ Εἰδοθέα δικαίως εἴδους ἑκάστου γενομένη θέα· διὰ τοῦτο, μία τὸ πρὶν ὢν φύσις, ὁ Πρωτεὺς εἰς πολλὰς ἐμερίζετο μορφὰς, ὑπὸ τῆς προνοίας διαπλαττόμενος.

Ἤτοι μὲν πρώτιστα λέων γένετ' ἠϋγένειος·
Αὐτὰρ ἔπειτα δράκων, καὶ πάρδαλις, ἠδὲ μέγας σῦς·
[15]Γίνετο δ' ὑγρὸν ὕδωρ, καὶ δένδρεον ὑψιπέτηλον.

διὰ μὲν οὖν τοῦ λέοντος, ἐμπύρου ζώου, τὸν αἰθέρα δηλοῖ. δράκων δ' ἐστὶν ἡ γῆ· το γὰρ αὐτόχθον αὐτοῦ καὶ γηγενὲς οὐδὲν ἄλλο, πλὴν τοῦτο, σημαίνει. δένδρον γε μὴν ἅπαν αὐξανόμενον, καὶ τὴν [16]ἀπὸ γῆς ὁρμὴν μεταρσίαν ἀεὶ λαμβάνον, συμβολικῶς εἶπεν ἀέρα. τὸ μὲν γὰρ ὕδωρ εἰς ἀσφαλεστέραν, ὧν προῃνίξατο, δήλωσιν ἐκ τοῦ φανερωτέρου παρέστησεν, εἰπών· [17]Γίνετο δ' ὑγρὸν ὕδωρ. ὥστε εὔλογον, τὴν μὲν ἄμορφον ὕλην Πρωτέα καλεῖσθαι, τὴν δ' εἰδωλοπλαστήσασαν ἕκαστα πρόνοιαν, Εἰδοθέαν· ἐξ ἀμφοῖν δὲ πᾶν διακριθὲν εἰς τὰ συνεχῆ καὶ [p]προστακτικὰ τῶν ὅλων σχισθῆναι. πιθανῶς δὲ [q]καὶ τὴν νῆσον, ἐν ᾗ ταῦτα διέπλασε, Φάρον ὠνόμασεν· ἐπειδήπερ ἐστὶ [r]τὸ φέρσαι, τὸ γεννῆσαι. [s]καὶ τὴν γῆν [t]ἀφάρωτον ὁ Καλλίμαχος εἶπε τὴν ἀγο-

11 ὑπόλημνον Vat.
12 ἡκούσης Heyne.
n Hæ duæ voces: τὴν αὐτὴν, decrant in MS. Angl. et Vat.
13 ἄμορφος γὰρ ἀ. Vat.
14 διεζεύγνυτο μὲν οὐρανὸς γῆς Vat.
o Animadvertitur statim, sententiam non esse absolutam: forsan excidit πάντα διευκρίνησεν. ad eandem fere lectionem vertit interpres. Schow.
15 γείνετο Vat.
16 Sic Vat. Vulgo ὑπό.
17 γείνετο Vat.
p Gesnerus conj. συστατικὰ aut συνεκτικά. f. προστατικά. Schow.
q Alludit ad Od. Δ. 354.
r τὸ φέρσαι e MS. Angl. scripsi. Omissum vulgo τό. Schow. τὸ φέρσαι γεννῆσαι Vat.
s Exprimenda curavi: καὶ τὴν γῆν ἀφάρωτον ὁ Καλλίμαχος εἶπε. Male legebatur: ἀφάρωτον, ὁ Καλλ. Sch.
t Necesse est φέρσαι ductum putasse grammaticum a φέρω, φέρσω. Similiter Φερσεφόνην interpretatur

νου· ἀφάρωτος οἷον γυνή. φυσικῶς οὖν τὸν ἁπάντων πατέρα χῶρον ὠνόμασε Φάρον, ἐκ τῆς γονίμου προσηγορίας, ὃ μάλιστα ἐβούλετο, σημήνας.

67. Τίσι γε μὴν ἐπιθέτοις καὶ τὸν Πρωτέα κεκόσμηκεν, ἤδη σκοπῶμεν.

[u]Πωλεῖταί τις δεῦρο γέρων ἅλιος, νημερτής.

[18]τὸ μὲν γὰρ, οἶμαι, τῆς ἀρχεγόνου καὶ πρώτης οὐσίας γεραίτερον, ὥστε ἀποσεμνῦναι τῇ πολιτείᾳ τοῦ χρόνου τὴν ἄμορφον ὕλην. ἅλιον δὲ ὠνόμασεν, οὐ μὰ Δί', οὐ θαλάττιόν τινα δαίμονα, καὶ κατὰ κυμάτων ζῶντα· τὸ δ' ἐκ πολλῶν καὶ παντοδαπῶν συνηλισμένον, ὅπερ ἐστι, συνηθροισμένον. νημερτὴς δὲ εὐλόγως εἴρηται· τί γὰρ ταύτης τῆς οὐσίας ἀληθουργέστερον, ἐξ ἧς ἅπαντα γεγενῆσθαι νομιστέον; Καὶ μὴν καὶ ἡ Καλυψὼ τὴν πειθὼ τῶν ποικίλων παρ' Ὀδυσσέως [x]λόγων Ἑρμῆν προσηγόρευσε· μόγις μὲν, ἀλλ' ὅμως καταθέλξαντος αὐτοῦ τὸν ἔρωτα τῆς νύμφης, ἵν' εἰς Ἰθάκην [19]προπεμφθείη. [y]διὰ τοῦτ', ὄρνιθι προσωμοιωμένος, Ἑρμῆς ἐλήλυθεν ἀπ' Ὀλύμπου· [z]πτερόεντα γὰρ τὰ ἔπη κατὰ τὸν Ὅμηρον, καὶ τάχιον οὐδὲν ἐν ἀνθρώποις λόγου.

68. Δεῖ δὲ ἡμᾶς οὐδὲ τὰ μικρὰ παροδεύειν, ἀλλὰ καὶ δι' ἐκείνων τὴν λεπτὴν ἐξετάζειν Ὁμήρου φροντίδα. τὸν γὰρ Ἡμέρας καὶ Ὠρίωνος ἔρωτα, πάθος οὐδ' ἀνθρώποις εὔσχημον, ἠλληγόρησεν.

[a]Ὣς μὲν, ὅτ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος Ἠώς.

[20]παρεισάγει γὰρ αὐτὸν, ἔτι νεανίαν, ἐν ἀκμῇ τοῦ σώματος, ὑπὸ τοῦ

Etymol. M. in h. v. deficit tamen ratio etymologica, si Φάρον a φέρσαι ducas. Deducunt tamen et ἄφαρον, quod mox sequitur, ab eodem φέρω Grammatici v. Etymol. M. in ἀφαυρός. Melius idem in φαρῶ ducit ἄφαρος a φαρῶ, ἀροτριῶ, et in voce ἀφάρωτος a φάρσαι, ὃ ἐστὶ σχίσαι. Sic etiam Hesych. in v. φαρῶσαι. Exstat Fragmentum Callimachi in edit. Spanhemii p. 246.

Ἠ ἄφαρον φαρόωσι.

Plenius adhuc idem ex Etymol. M. in v. φαρῶ desumtum p. 252.

Ἠ ἄφαρον φαρόωσι, μέλει σφίσιν ὄμπνιον ἔργον.

Cujus etiam fragmenti auctor noster hoc in loco rationem habuisse videri potest, unde pro ἀφάρωτον et ἀφάρωτος emendandum esse ἄφαρον et ἄφαρος facile putet aliquis: sed alius locus esse potuit, in quo ἀφάρωτον occurrebat. Hoc idem jam Hemsterhusius ex loco Etymol. M. corrupto monuit ad Hesych. in voce ἀφάρωτος. Quid vero Galei nota ad h. l. (p. 491. 4.) sibi velit, cum γῇ legendum esse contendat, non adsequi licet. Forte pro γυνή. Schow.

[u] Od. Δ. 384.

[18] f. οὐδὲν γὰρ—τῇ πολιᾷ Heyne.

[x] Respicit Od. E. 87. seqq.

[19] προσπεμφθείη Vat.

[y] Respicit Od. E. 51.

[z] Ut Il. A. 201. et sæpe al.

[a] Od. E. 121.

[20] Hinc usque ad ἀνηρπασμένου habet Schol. Odyss. 121.

χρεὼν πρὸ μοίρας συνηρπασμένον. [b]ἦν δὲ παλαιὸν ἔθος τὰ σώματα τῶν καμνόντων, ἐπειδὰν ἀναπαύσηται τοῦ βίου, μήτε νύκτωρ ἐκκομίζειν, μήθ', ὅταν ὑπὲρ γῆς τὸ μεσημβρινὸν ἐπιτείνηται θάλπος, ἀλλὰ πρὸς βαθὺν ὄρθρον, ἀπύροις ἡλίου ἀκτῖσιν ἀνιόντος. ἐπειδὰν οὖν εὐγενὴς νεανίας, ἅμα καὶ κάλλει προέχων, τελευτήσῃ, τὴν ὄρθριον ἐκκομιδὴν [c]ἐπευφήμουν Ἡμέρας ἁρπαγὴν, ὡς οὐκ ἀποθανόντος, ἀλλὰ δι' ἐρωτικὴν ἐπιθυμίαν ἀνηρπασμένου. καθ' Ὅμηρον δὲ τοῦτο φασίν. Ἰασίων, ἀνὴρ γεωργίας ἐπιμελούμενος, καὶ δαψιλῶς τοὺς ἀπὸ τῶν ἰδίων ἀγρῶν καρποὺς λαμβάνων, εἰκότως [d]ὑπὸ τῆς Δήμητρος ἔδοξεν ἠγαπῆσθαι. δι' ὧν Ὅμηρος οὐκ ἀσελγεῖς ἔρωτας ἱστορεῖ θεῶν, οὐδ' ἀκολασίας· σημαίνει δὲ τὰς εὐαγεστάτας, Ἡμέραν τε καὶ Δήμητραν· τοῖς εὐσεβῶς ἐρευνᾷν ἐθέλουσι φυσικῆς [21]θεωρίας ἀκριβῆ ἀφορμὴν χαρίζεται.

69. [22]Νῦν, ἅπαντα τἄλλα ἀφέντες, ἐπὶ τὴν διηνεκῆ, καὶ χαλεπῶς θρυλλουμένην ὑπὸ τῶν συκοφαντῶν, κατηγορίαν τραπῶμεν. ἄνω γὰρ οὖν καὶ κάτω τραγῳδοῦσι, τὰ περὶ Ἄρεος καὶ Ἀφροδίτης ἀσεβῶς διαπεπλάσθαι λέγοντες. ἀκολασίαν γὰρ ἐμπεπολίτευκεν [23]ἐν οὐρανῷ· καὶ τὸ παρ' ἀνθρώποις, ὅταν γένηται, θανάτου [24]τιμώμενον οὐκ ἐδυσωπήθη παρὰ θεοῖς ἱστορῆσαι, λέγω δὲ μοιχείαν.

[e]Ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτης,
Ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισιν.

[f]Εἶτα μετὰ τοῦτο δεσμοὶ, [g]καὶ θεῶν γέλωτες, [h]ἱκεσία τε πρὸς Ἥφαιστον Ποσειδῶνος. ἅπερ [i]εἰ θεοὶ νοσοῦσιν, οὐκ ἔτι τοὺς παρ' ἀνθρώποις ἀδικοῦντας ἔδει κολάζεσθαι. νομίζω δ' ἔγωγε, καίπερ [k]ἐν Φαίαξιν, ἀνθρώποις ἡδονῇ δεδουλωμένοις, ᾀδόμενα, ταῦτα φιλοσόφου τινὸς ἐπιστήμης ἔχεσθαι. [25]τὰ γὰρ σικελικὰ δόγματα καὶ τὴν ἐμπεδόκλειον γνώμην ἔοικεν ἀπὸ τούτων βεβαιοῦν, [26]Ἄρην μὲν ὀνομάσας τὸ νεῖκος, τὴν δ' Ἀφροδίτην φιλίαν. τούτους οὖν, διεστηκότας ἐν ἀρχῇ, παρεισήγαγεν Ὅμηρος ἐκ τῆς πάλαι φιλονεικίας εἰς μίαν ὁμόνοιαν κιρναμένους. ὅθεν [27]εὔλογος ἐξ ἀμφοῖν Ἁρμονία γεγένηται,

[b] Sic v. c. Il. H. 421. seqq. Od. Ω. 72.
[c] ἐπευφήμουν reposui e MS. Angl. pro vulg. ἐπεφήμουν. Schow. Consentit Vat. ἐπ' εὐφήμου Schol.
[d] Cf. Od. E. 125.
[21] ἀκριβῆ θεωρίας Vat.
[22] νῦν τοίνυν Vat.
[23] ἐν deest Vat.
[24] τιμωρούμενον Vat.
[e] Od. Θ. 267.
[f] Ut Ibid. 296.
[g] Ibid. 343. seqq.
[h] Ibid. 344.
[i] εἰ θεοὶ Gesn. legendum monuit, et firmavit MS. Angl. In cod. Gesn. erat: οἱ θεοί. Schow. οἱ θ. Vat.
[k] Cf. Od. Θ. 371. 383.
[25] Hinc usque ad εἰρήνην ἀγόντων Schol. ad Odyss. Θ. 266.
[26] ἄρη Vat.
[27] εὐλόγως Vat. Schol.

τοῦ παντὸς ἀσαλεύτως καὶ κατ' ἐμμέλειαν ἁρμοσθέντος. γελᾷν δ' ἐπὶ τούτοις, εἰκὸς ἦν, καὶ [l]συνήδεσθαι τοὺς θεοὺς, ἅτε δὴ τῶν ἰδίων Χαρίτων οὐκ [28]ἐπὶ φθοραῖς διϊσταμένων, ἀλλ' ὁμονοοῦσαν εἰρήνην ἀγόντων. δύναταί γε μὴν καὶ περὶ τῆς χαλκευτικῆς τέχνης ἀλληγορεῖν. ὁ μὲν γὰρ Ἄρης εἰκότως ἂν ὀνομάζοιτο σίδηρος, τοῦτον δὲ ῥᾳδίως Ἥφαιστος ἐχειρώσατο· τὸ γὰρ πῦρ, ἅτ', οἶμαι, σιδήρου κραταιοτέρας δυνάμεως μετειληχὸς, εὐκόλως ἐν αὐτῷ τὴν ἐκείνου στεῤῥότητα θηλύνει. δεῖ δὲ τῷ τεχνίτῃ πρὸς τὸ κατασκευαζόμενον καὶ Ἀφροδίτης· ὅθεν, οἶμαι, διὰ πυρὸς μαλάξας τὸν σίδηρον, ἐπαφροδίτῳ τινὶ τέχνῃ τὴν ἐργασίαν κατώρθωσε. Ποσειδῶν [29]δ' ὁ ῥυόμενος παρ' Ἡφαίστου τὸν Ἄρη πιθανῶς· ἐπειδήπερ ἐκ τῶν [m]βαναύσων διάπυρος ὁ τοῦ σιδήρου μύδρος ἑλκυσθεὶς ὕδατι βαπτίζεται, καὶ τὸ φλογῶδες, ὑπὸ τῆς ἰδίας φύσεως [30]κατασβεσθὲν, ἀναπαύεται.

70. Καθόλου δὲ τὴν Ὀδυσσέως πλάνην, εἴ τις ἀκριβῶς ἐθέλει σκοπεῖν, ἠλληγορημένην εὑρήσει· πάσης γὰρ ἀρετῆς καθάπερ ὄργανόν τι τὸν Ὀδυσσέα παραστησάμενος ἑαυτῷ, [n]διὰ τοῦτο πεφιλοσόφηκεν, ἐπειδὴ τὰς ἐκνεμομένας τὸν ἀνθρώπινον βίον ἤχθηρε κακίας, [o]ἡδονὴν [31]μὲν, τὸ [32]λωτοφάγον χωρίον, ξένης γεωργὸν ἀπολαύσεως, [p]ἣν Ὀδυσσεὺς ἐγκρατῶς παρέπλευσε. [q]τὸν δ' ἄγριον ἑκάστου θυμὸν, ὡσπερεὶ [r]καυτηρίῳ, τῇ παραινέσει τῶν λόγων ἐπήρωσε. Κύκλωψ δὲ οὗτος ὠνόμασται, ὁ τοὺς λογισμοὺς [33]ὑπολωπῶν. τί δὲ, οὐχὶ πρῶτος, εὔδιον πλοῦν δι' ἐπιστήμης ἀστρονόμου τεκμηράμενος, [s]ἔδοξεν ἀνέμους δεδωκέναι; φαρμάκων τε τῶν παρὰ Κίρκης γέγονε κρείττων, ὑπὸ πολλῆς σοφίας πεμμάτων, ἐπεισάκτων [t]κακῶν, οὐχ ἡττώμενος. [u]ἡ δὲ φρόνησις ἕως ᾅδου καταβέβηκεν, ἵνα μηδὲ τῶν νέρθεν [x]ἀδιερεύνητον [34]ᾖ.

[l] συνήδεσθαι e MS. Angl. Gale edidit. Edebatur συνιέσθαι. Schow. συνήδεσθαι item Vat. et Schol.

[28] ἐπιφοραῖς Schol.

[29] δ' ἐστιν ὁ Vat.

[m] Si βαναύσων recte legitur, necesse est, Heraclidem βάναυσον de fornace dixisse. Sed probabilius est cum Valck. ad Ammon. p. 215. emendandum esse βαύνων. Nam βαῦνος ἡ κάμινος. Schow.

[30] Sic Vat. Vulgo ὕδατι κατασβ.

[n] Edidi: διὰ τοῦτο πεφιλοσόφηκεν. e MS. Angl. Vulgo: διαπεφιλοσόφηκεν. Schow. Consentit Vat.

[o] Cf. Od. I. 84.

[31] μέν γε Vat.

[32] Λωτοφάγων Heyne.

[p] V. Od. I. 100.

[q] Respicit ibid. 259.

[r] καυτερίῳ MS. Angl. Scribebatur: καυστηρίῳ. Schow. καυτηρίῳ Vat.

[33] ὑποκλωπῶν Bredow.

[s] Od. K. 19. Ventos ab Æolo in utre conclusos accipere dicitur; itaque δεδεκέναι scribendum videtur, quamvis et MS. Angl. habeat δεδωκέναι. Gale.

[t] κακῶν ὁ λυσόμενος MS. Angl. κακῶν λύσιν εἰρόμενος Vat.

[u] In Od. Λ.

[x] ἀδιερεύνητον ᾖ. Τίς δὲ Σειρήνων ἀκούει MS. Angl. (sic item Vat.) M. Meibom. emendavit: τί δέ;

[34] τι ᾖ Heyne.

Τί δέ; Σειρήνων οὐκ ἀκούει, τὰς πολυπείρους ἱστορίας παντὸς αἰῶνος ἐκμαθών; [y] καὶ Χάρυβδις μὲν ἡ [35] πολυδάπανος ἀσωτία, καὶ περὶ πότους ἄπληστος, εὐλόγως ὠνόμασται· Σκύλλαν δὲ τὴν πολύμορφον ἀναίδειαν ἠλληγόρησε. [z] διὸ δὴ [36] κύνας οὐκ ἀλόγως ὑπέζωσται προτομαῖς, ἁρπαγῇ, τόλμῃ, καὶ πλεονεξίᾳ πεφραγμέναις. [a] αἱ δ' ἡλίου βόες [37] ἐγκράτεια γαστρός εἰσιν· εἰ μηδὲ λιμὸν ἔσχεν, ἀδικίας ἀνάγκην. ἃ δὴ μυθικῶς μέν ἐστιν εἰρημένα [38] περὶ τοὺς ἀκούοντας· εἰ δ' ἐπὶ τὴν ἠλληγορημένην σοφίαν καταβέβηκεν, [b] ὠφελιμώτατα τοῖς μιμουμένοις γενήσεται.

71. [c] Τὸν μὲν γὰρ Αἴολον ἐξαιρέτως ἔγωγε νομίζω τὸν ἐνιαυτὸν εἶναι, [d] ταῖς δωδεκαμήνοις τοῦ χρόνου περιόδοις ἐνδεδεμένον. ὠνόμασται γοῦν αἴολος, τουτέστι, ποικίλος· ἐπειδήπερ οὐκ ἰσοχρόνῳ καὶ μονοειδεῖ κατὰ πᾶσαν ὥραν τῇ φύσει συνήνωται, διάφοροι δ' αὐτὸν αἱ παρ' ἕκαστα μεταβολαὶ ποικίλλουσιν. ἔκ τε γὰρ ἀργαλέου κρύους εἰς πραεῖαν ἡδονὴν ἔαρος [e] γαληνοῦται, καὶ τὸ νοτερὸν τῆς ἐαριζούσης καταστάσεως ἔμπυρος ἡ τοῦ θέρους βία πυκνοῖ. μετόπωρον δὲ φθινὰς ὥρα καρπῶν ἐτησίων τὸ θέρειον [39] ἑλκύσασα θάλπος, ὥραις χειμερίαις προοιμιάζεται. ταύτης δὲ τῆς ποικιλίας ὁ ἐνιαυτὸς ὢν πατὴρ, εἰκότως αἴολος ὠνόμασται. [f] παῖδα δὲ αὐτὸν ὠνόμασεν Ἱππότου· τί γὰρ ὀξύτερον χρόνου; τί δ' οὕτω ποδώκες; ἀεὶ φερομένῳ καὶ ῥέοντι τῷ τάχει τοὺς ὅλους αἰῶνας ἐκμετρουμένου. δώδεκα δ' αὐτοῦ παῖδές εἰσιν οἱ μῆνες·

[g] Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.

τὸ μὲν εὔκαρπον καὶ γόνιμον τῶν τὸ θέρος [40] ἐμπιμπλάντων μηνῶν θηλείᾳ γονῇ προσείκασε· τὸ δὲ στεῤῥὸν καὶ πεπηγὸς τῶν χειμερίων ἠῤῥένωσεν. [h] οὐκ ἀσεβὴς δ' οὐδ' ὁ περὶ τῶν γάμων μῦθος. ἀλλὰ τοὺς ἀδελφοὺς ἀνέμιξε ταῖς ἀδελφαῖς· ἐπειδήπερ ὑπ' ἀλλήλων συμβέβηκε τὰς ὥρας ὀχεῖσθαι. [i] ταμίας δ' ἐστὶν ἀνέμων,

y Pro ἱστορία Gesnerus legere voluit: γαστριμαργία. f. ἡ δάπανος περὶ εὐωχίας ἡδυπάθεια, καὶ περὶ πότους ἀπληστία. Vid. Od. M. 104. Schow.

35 Sic Heyne ex Eustathio p. 1716, 32. Vulgo ἡ δάπανος ἱστορία.

z Respicit Od. M. 96. ubi tamen ἰχθυάα κύνας. non ὑπέζωσται Schow.

36 κυνῶν — προτομὰς — πεφραγμένη Heyne.

a Respicit Od. M. 128. seqq.

37 ἀκράτεια Heyne et mox ἔσχον.

38 παρὰ vel πρὸς Heyne, et mox εἰ δέ τις.

b Ita e MS. Angl. Gale. (et Vat.) Edebatur: ὠφελιμωτάτη. Sch.

c V. Od. K. 2. et Schol. v. 6.

d Od. K. 5.

e ἔαρος γαληνοῦται. καὶ τὸ νοτερὸν e MS. Angl. (et Vat.) rescripsimus, pro eo, quod legebatur: ἔαρος εἰαρινοῦ μεταβάλλει καὶ τὸ ν. Schow.

39 ἐκλύσασα Heyne.

f Respicit Od. K. 2.

g Od. K. 6.

40 ἐκπιμπλάντων Vat.

h Respicit Od. K. 7. 8.

i Ibid. 21.

[k]Ἠμὲν παυέμεναι, ἠδ' ὀρνύμεν, ὅν κ' ἐθέλῃσιν.

ἔμμηνοι γὰρ αἱ τούτων φοραὶ, καὶ κατὰ προθεσμίαν πνέουσαι, [41]δεσπότης δ' ἁπάντων ὁ ἐνιαυτός. Καὶ τὰ μὲν ὑπὲρ Αἰόλου τοιαύτης ἠξίωται φυσιολογίας. Ὁ δὲ Κίρκης κυκεὼν ἡδονῆς ἐστιν ἀγγεῖον, ὃ πίνοντες οἱ ἀκόλαστοι διὰ τῆς ἐφημέρου πλησμονῆς, συῶν ἀθλιώτερον βίον ζῶσι. Διὰ τοῦτο οἱ μὲν Ὀδυσσέως ἑταῖροι, χορὸς ὄντες ἠλίθιος, ἥττηνται τῆς γαστριμαργίας, ἡ δ' Ὀδυσσέως φρόνησις ἐνίκησε τὴν παρὰ Κίρκῃ τρυφήν. Ἀμέλει τὸ πρῶτον ἐκ τῆς νεὼς ἀνιόντι καὶ πλησίον ὄντι τοῖς προθύροις Ἑρμῆς ἐφίσταται, τουτέστιν, ὁ ἔμφρων λόγος. Ὑφιστάμεθα γοῦν ἐτύμως αὐτὸν Ἑρμῆν λέγεσθαι, παντὸς τοῦ νοουμένου κατὰ ψυχὴν ἑρμηνέα τινὰ ὄντα· τετράγωνόν τε ζωγράφων καὶ λιθοξόων χεῖρες αὐτὸν ἐλείαναν, ὅτι πᾶς ὀρθὸς λόγος ἑδραίαν ἔχει τὴν βάσιν, οὐκ ὀλισθηρῶς ἐφ' ἑκάτερα κυλινδούμενος· καὶ μὴν πτεροῖς ἀνέστειλαν αὐτὸν, αἰνιττόμενοι τὸ παντὸς λόγου τάχος· εἰρήνῃ τε χαίρει, πόλεμοι γὰρ [οὐχ] ἥκιστα λόγων ἐνδεεῖς, τὸ γὰρ πλεῖστον ἐν αὐτοῖς κράτος εἰλήχασι χεῖρες. Ὅμηρος δὲ καὶ διὰ τῶν ἐπιθέτων τοῦτ' ἔοικεν ἡμῖν σαφέστερον ποιεῖν. Ἀργειφόντην τε καὶ αὐτὸν ὀνομάζει τὸν θεὸν, οὐ μὰ Δί' οὐχὶ τοὺς Ἡσιοδείους μύθους ἐπιστάμενος, ὅτι τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν, ἀλλ' ἐπειδὴ μία παντὸς λόγου φύσις ἐκφαίνει ἐναργῶς τὸ νοούμενον, διὰ τοῦτο εἶπεν αὐτὸν Ἀργειφόντην ἐριούνιον καὶ σῶκον. Ἔτι δ' ἀκάκητα λόγων ἐμφρόνων τὸ τελειότατόν ἐστι μαρτύριον· ἐκτός τε γὰρ κακίας ὁ λογισμὸς ᾤκισται, σώζει δὲ πάντα τὸν χρώμενον αὐτῷ, καὶ μέγα ὠφέλησεν. Τί οὖν δὴ διπλᾶς καὶ διχρόνους διένειμε τῷ θεῷ τιμὰς, τὴν μὲν ὑπὸ γῆν χθονίαν, τὴν δ' ὑπὲρ ἡμᾶς οὐράνιον; ἐπειδὴ διπλοῦς ὁ λόγος, τούτων δὲ φιλόσοφοι τὸν μὲν ἐνδιάθετον καλοῦσι, τὸν δὲ προφορικὸν, ὁ μὲν οὖν τῶν ἔνδον λογισμῶν ἐστι διάγγελος, ὁ δὲ ὑπὸ τοῖς στέρνοις καθεῖρκται· φασὶ δὲ τούτῳ χρῆσθαι καὶ τὸ θεῖον, μηδενὸς γὰρ ὄντες ἐνδεεῖς, τὴν φωνὴν τῆς χρείας ἐν αὐτοῖς στέγουσι· διὰ τοῦτ' οὖν Ὅμηρος τὸν μὲν ἐνδιάθετον εἶπε χθόνιον, ἀφανὴς γὰρ ἐν τοῖς τῆς διανοίας βυθοῖς ἀπεσκότωται, τὸν δὲ προφορικὸν, ἐπειδὴ πόῤῥωθεν ἐστὶ δῆλος, ἐν οὐρανῷ [42]κατῴκισε. Γλῶττα δ' αὐτῷ θυσία, τὸ μόνον λόγου μέρος, καὶ [l]τελευταίῳ κατὰ κοίτην ἰόντες Ἑρμῇ σπένδουσιν, ἐπειδὴ πάσης φωνῆς ἐστιν ὅρος ὕπνος. Οὗτος οὖν Ὀδυσσεῖ παρέστηκε σύμβολος ἐπὶ Κίρκην βαδίζοντι, καὶ κατ' ἀρχὰς μὲν ὑπὸ ὀργῆς τε καὶ λύπης φερόμενος ἀκρίτως ἐνθουσιᾷ, κατὰ μικρὸν δ' ἐκείνων τῶν παθῶν μαραινομένων, ὑπαναλίεται τὸ μετὰ τοῦ συμφέροντος

[k] Od. K. 22.

[41] Sequentia e cod. Vat. nunc primum typis descripta exhibentur.

[42] κατῴκησε MS. et paullo supra, στέργουσι.

[l] Od. H. 138.

εὐλόγιστον· ὅθεν Ἑρμείας χρυσόῤῥαπις ἀντεβόλησεν αὐτῷ, τὸ μέν γε χρυσοῦν ἀντὶ τοῦ καλοῦ παρείληπται, τὸ δὲ ῥαπτὸν μεταφορικῶς ἀντὶ τοῦ συντιθέναι τε καὶ διανοεῖσθαι· λέγει γοῦν ἐν ἑτέροις

Κακὰ ῥάπτομεν ἀμφιέποντες.

διὰ τοῦτο καὶ μύθους πλοκίους εἶπεν, ἐπειδὴ λόγος ἐκ λόγου γινόμενος καὶ συῤῥαφῆσαι αὐτῷ γινόμενος, εὑρίσκει τὸ συμφέρον. Οὐκοῦν χρυσόῤῥαπιν εἶπε τὸν λόγον, ἐκ τοῦ δύνασθαι καλῶς βουλεύεσθαί τε καὶ ῥάπτειν πράγματα. Παραστὰς οὖν οὗτος ὁ λογισμὸς ἀπὸ τῆς ἀκρατοῦς ὀργῆς ἐπέπληξεν αὐτῷ μάτην κατασπεύδοντι,

Τίφθ' αὔτως δύστηνε δι' ἄκρας ἔρχεαι οἶος,
Χώρου ἄϊδρις ἐών.

ταῦτα πρὸς αὐτὸν ἐλάλησεν Ὀδυσσεύς, μετανοοῦντι λογισμῷ τὴν πρότερον ὁρμὴν ἀναχαλινώσας, τὴν δὲ φρόνησιν οὐκ ἀπιθανῶς μῶλυ, μόνους ἀνθρώπους, ἢ μόλις εἰς ὀλίγους ἐρχομένην· φύσις δὲ αὐτῆς ῥίζα μέλαινα, γάλακτι δὲ εἴκελον ἄνθος. Πάντα γὰρ οὖν συλλήβδην τὰ τηλικαῦτα τῶν ἀγαθῶν τὰς μὲν ἀρχὰς προσάντεις καὶ χαλεπὰς ἔχει· γενικῶς δ' ὅταν ὑποστῇ τις ἐναθλήσας τῷ κατ' ἀρχὴν πόνῳ, τηνικαῦτα γλυκὺς ἐν φωτὶ τῶν ὠφελειῶν ὁ καρπός. Ὑπὸ τοιούτου φρουρούμενος Ὀδυσσεὺς λογισμοῦ, τὰ Κίρκης νενίκηκε φάρμακα.

Μεταβὰς δὲ ὑπὲρ γῆς θεωρημάτων Ὅμηρος, οὐδὲ τὴν ἀφανῆ καὶ νεκρὰν φύσιν εἴασεν ἀναλληγόρητον, ἀλλὰ καὶ τὰ ἐν ᾅδου συμβολικῶς ἐφιλοσόφησε. Κωκυτὸς γοῦν ὁ πρῶτος ὀνομάζεται ποταμὸς ἐπώνυμος ἀνθρωπίνου πάθους κακὸν, θρῆνοι γὰρ ἐπὶ τοῖς τεθνεῶσιν οἱ παρὰ τῶν ζώντων, Πυριφλεγέθοντα δὲ ἐφεξῆς ὀνομάζει, μετὰ γὰρ τὰ δάκρυα ταφαὶ, καὶ πῦρ ἀφανίζον, ὅ ἐστι θνητῆς σαρκὸς ἐν ἡμῖν. Ἀμφοτέρους δὲ τοὺς ποταμοὺς εἰς ἕνα τὸν Ἀχέροντα συῤῥέοντας εἶδεν, ἐπειδήπερ ἐνδέχεται μετὰ τοὺς πρώτους κωκυτοὺς καὶ τὴν ὀφειλομένην ταφὴν, ἄχη τινὰ καὶ λῦπαι χρόνιοι πρὸς ὀλίγας ὑπομνήσεις ἐρεθίζουσαι τὰ πάθη. Στυγὸς δ' ἀποῤῥῶγες οἱ ποταμοὶ διὰ τὴν στυγνότητα καὶ τὴν ἐπὶ τῷ θανάτῳ κατήφειαν. Ἀιδης μὲν οὖν ὁ ἀφανὴς τόπος ἐπωνύμως ὠνόμασται, Φερσεφόνη δ' ἄλλως ἡ τὰ πάντα πεφυκυῖα διαφθείρειν. ἐν οἷς οὐκ ὄχνη ἐπ' ὄχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ, τὰ δ' ἐνεῤῥιζωμένα πρέμνα τοῖς ἄρσεσιν, αἴγειροι καὶ ἰτέαι ὀλεσίκαρποι· τὰς δὲ θυσίας συνοικείωσε τῷ τόπῳ, τῆς σελήνης ἀμαυρούμενος ὁ τοῦ ἡλίου κύκλος ἀμβλύνεται, καὶ πολλάκις ἄστρων διαφεγγεῖς μαρμαρυγὰς ὁρῶμεν· εὐλόγως οὖν τοῦτο Θεοκλύμενος εἶπεν ὁ τὰ θεῖα κλύων· εὗρε γὰρ ἄξιον τῆς φυσικῆς θεωρίας καὶ τοὔνομα.

νυκτὶ μὲν ὑμέων
Εἰλύαται κεφαλαί τε, πρόσωπα (τε) νέρθε τε γοῦνα.

καὶ μὴν ἐν ταῖς ἐκλείψεσιν αἵματι προσφερὴς χρόα τὸ βλεπόμενον, ἐκφοινίσσεται γάρ. Διὰ τοῦτ' ἐπήνεγκεν,

Αἵματι δ' ἐῤῥάδαται τοῖχοι καλαί τε μεσόδμαι.

Προθεσμία δὲ τῆς ἐκλείψεως ἣν Ἵππαρχος ἠκρίβωσε κατὰ τὴν ὀνομαζομένην τριακάδα καὶ νουμηνίαν, ἣν Ἀττικῶν παῖδες ἕνην τε καὶ νέαν ὀνομάζουσιν, οὐδ' ἂν ἄλλην τις εὕροι τῆς ἐκλείψεως ἡμέραν. Ὅτε οὖν Θεοκλύμενος ἱστορεῖ ταῦτα, τίς ἦν ὁ χρόνος ἔξεστι παρ' αὐτοῦ μαθεῖν Ὁμήρου,

Τοῦ μὲν φθίνοντος μηνὸς, τοῦ δ' ἱσταμένοιο.

τοσαύτη καὶ περὶ τῶν παρακολουθούντων καὶ τῆς προθεσμίας ἡ κατὰ τὴν ἔκλειψιν ἀκρίβεια. Τί δεῖ τούτοις ἅπασι προστιθέναι, τὴν ἐπὶ τέλει τῆς μνηστηροφονίας παρεστῶσαν Ἀθηνᾶν Ὀδυσσεῖ, τουτέστι τὴν φρόνησιν. Εἰ μὲν γὰρ ἐκ τοῦ φανεροῦ καὶ βιαζόμενος ἠμύνατο τοὺς λελυπηκότας, ἄριστ' ἂν ὁ πόλεμος συναγωνίζετο· νῦν δὲ δόλῳ καὶ τέχνῃ περιελθὼν ἵν' ἀγνοούμενος ἕλῃ, διὰ συνέσεως κατώρθωσε.

Διὰ δὴ πάντα καθ' ἓν ἀθροίσαντες ἀλληγορίας πλήρη τὴν ὅλην ποίησιν εὑρίσκομεν. Ἆρ' οὖν ἐπὶ τούτοις ὁ μέγας οὐρανοῦ καὶ θεῶν ἱεροφάντης Ὅμηρος, ὁ τὰς ἀβάτους καὶ κεκλεισμένας ἀνθρωπίναις ψυχαῖς ἀτραποὺς ἐπ' οὐρανὸν ἀνοίξας, ἐπιτήδειός ἐστι κατακριθῆναι δυσσεβεῖν, ἵνα ταύτης τῆς ἀνοσίου καὶ μιαρᾶς ψήφου διενεχθείσης, ἀναιρεθέντων τε τῶν ποιημάτων, ἄφωνος ἀμαθία τοῦ κόσμου κατασκεδασθῇ, καὶ μήτε νηπίων παίδων χορὸς ὠφελῆται τὰς σοφίας παρ' Ὁμήρου πρῶτον ὡς ἀπὸ τιθήνης γάλα, μήτε ἀντίπαιδες ἢ νεανίαι καὶ τὸ παρηβηκὸς ἤδη τῷ χρόνῳ γῆρας ἀπολαύῃ τινὸς ἡδονῆς, πᾶς δ' ὁ βίος ἀναιρεθεὶς τὴν γλῶτταν ἐν κωφότητι διάγῃ; Φυγαδευέτω τοίνυν ἀπὸ τῆς ἰδίας πολιτείας Πλάτων Ὅμηρον, ὡς αὐτὸν ἐξ Ἀθηνῶν ἐφυγάδευσεν εἰς Σικελίαν· ἔδει δὲ ταύτης τῆς πολιτείας Κριτίαν ἀπωστὸν εἶναι, τύραννος γάρ· ἢ Ἀλκιβιάδην τὸν ἐν παισὶ μὲν ἀπρεπῶς θῆλυν, ἐν δὲ μειρακίοις ἄνδρα, τὸν ἐν συμποσίοις Ἐλευσίνεια παίζοντα, καὶ Σικελίας μὲν ἀποστάτην, Δεκελίας δὲ κτιστήν. Ἀλλά τοι Πλάτων μὲν Ὅμηρον ἐκβέβληκε τῆς ἰδίας πόλεως, ὁ δὲ σύμπας κόσμος Ὁμήρου μία φησὶν εἶναι πατρίς. Ποίας γοῦν ἀστὸν Ὅμηρον ἀναγραψώμεθα πάτρης; κεῖνον ὃν φῶτα καὶ χείρους ἔχουσι πόλεις, ἐξόχως δ' Ἀθῆναι, αἱ Σωκράτην μὲν ἀρνησάμεναι πολίτην μέχρι φαρμάκου, μίαν δ' εὐχὴν ἔχουσαι δοκεῖν Ὁμήρου πατρὶς εἶναι· πῶς γε μὴν αὐτὸς Ὅμηρος ἐμπολιτεύεσθαι τοῖς Πλάτωνος ἂν ἐκαρτέρησε νόμοις, οὕτως ἐναντίᾳ καὶ μαχομένῃ στάσει διῳκισμένων αὐτῶν; ὁ μέν γε συμβουλεύει κοινοὺς γάμους καὶ τέκνα, τῷ δ' ἄμφω τὰ σωμάτια γάμοις σώφροσι καθωσίωται· διὰ μὲν γὰρ Ἑλένην ἐστρατεύκασιν Ἑλ-

ληνες, διὰ Πηνελόπην δ' Ὀδυσσεὺς πλανᾶται· καὶ θεσμοὶ μὲν δικαιότατοι παντὸς ἀνθρωπίνου βίου δι' ἀμφοῖν τῶν Ὁμήρου σωματίων ἐμπολιτεύονται· τοὺς δὲ Πλάτωνος διαλόγους ἄνω καὶ κάτω παιδικοὶ καθυβρίζουσιν ἔρωτες, οὐδαμοῦ δ' οὐχὶ τῆς ἄρσενος ἐπιθυμίας μεστός ἐστιν ἀνήρ. Μούσας μὲν Ὅμηρος ἐπικαλεῖται, θεὰς παρθένους, ἐπὶ τοῖς λαμπροτάτοις τῶν κατορθωμάτων, ὅπου τι καὶ γεννικόν ἐστιν ἐπίταγμα καὶ τῆς Ὁμηρικῆς θειότητος ἄξιον ἔλασσον ἢ κατὰ πόλεις διαταττομένη καὶ μεγάλων ἡρώων ἀριστείας· συνεχῶς οὖν καθάπερ εἰς χῶρον αὐτῷ συνήθη τὸν Ἑλικώνιον ἐφίσταται, λέγων,

Ἔσπετε νῦν μοι Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
Οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν.

ἢ πάλιν ἡνίκα τῆς Ἀγαμέμνονος ἀνδραγαθίας ἀνέρχεται, τοῖς τρισὶ θεοῖς ἥρωα σύμμορφον ὑμνῶν,

Ἔσπετε νῦν μοι Μοῦσαι——————
Ὅστις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίος ἦλθεν.

Ἀλλ' ὅ γε θαυμαστὸς Πλάτων ἐν τῷ περικαλλεῖ Φαίδρῳ τῆς σώφρονος ὑπὲρ ἐρώτων διακρίσεως ἀρχόμενος ἐτόλμησεν, ὡς ὁ Λοκρὸς Αἴας ἐν τῷ παρθενῶνι τῆς ἁγιωτάτης θεᾶς, ἄγος τι Μουσῶν κατασπείσας, τὰς σώφρονας ἔργων ἀσελγῶν καλέσαι βοηθούς· Ἄγετε δὴ, Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος τι μουσικὸν τὸ λιγύων ταύτην ἔσχετε τὴν ἐπωνυμίαν, σύμμοι λαβέσθαι τοῦδε τοῦ μύθου. Περὶ τίνος εἴποιμ' ἂν, ὦ θαυμασιώτατε Πλάτων, ὑπὲρ οὐρανοῦ καὶ τῆς τῶν ὅλων φύσεως, ἢ περὶ γῆς καὶ θαλάττης, ἀλλ' οὐδὲ περὶ ἡλίου καὶ σελήνης, οὐδ' ὑπὲρ ἀπλανῶν τε καὶ πλανήτων κινήσεως; Ἀλλὰ τί τῆς εὐχῆς πέρας ἐστὶν αἰσχύνομαι καὶ λέγειν· ἦν δὲ παῖς οὕτω καλὸς, μᾶλλον δὲ μειρακίσκος, οὗ πολλοὶ μὲν ἦσαν ἐρασταὶ, εἷς δέ τις αἱμύλος, ὃς ἐπεπείκει αὐτὸν ἐρῶν ὅτι οὐκ ἐρῴη, καί ποτε αὐτὸν αἰτῶν ἔλεγεν ὧδε· γυμνοῖς τοῖς ὄμμασι τὴν ἀσέλγειαν ὡς ἐπὶ τέγους ἀνέῳξεν, οὐδ' εὐπρεπεῖ σχήματι τὸ τοῦ πράγματος αἰσχρὸν ὑποκλέψας. Τοιγαροῦν εἰκότως ὁ μὲν Ὁμήρου λόγος ἡρώων ἐστὶ βίος, οἱ δὲ Πλάτωνος διάλογοι μειρακίων ἔρωτες, καὶ πάντα τὰ παρ' Ὁμήρῳ γεννικῆς ἀρετῆς γέμει, φρόνιμος Ὀδυσσεὺς, ἀνδρεῖος Αἴας, σώφρων Πηνελόπη, δίκαιος ἐν ἅπασι Νέστωρ, εὐσεβὴς εἰς πατέρα Τηλέμαχος, ἐν φιλίαις πιστότατος Ἀχιλλεὺς, ὧν παρὰ Πλάτωνι τῷ φιλοσόφῳ πλὴν εἰ μὴ νὴ Δία τιμὴν [43]. . . . . ὠφελήσομεν εἶναι τὰ σεμνὰ τῶν ἰδεῶν τερετίσματα, καὶ παρ' Ἀριστοτέλει τῷ μαθητῇ γελώμενα διὰ τοῦτ' ἀξίας οἶμαι τῶν καθ' Ὁμήρου λόγων δίκας ὑπέσχεν,

[43] Lacuna in Cod.

Ἀκόλαστον ἔχων γλῶσσαν, αἰσχίστην νόσον

ὡς Τάνταλος, ὡς Καπανεὺς, ὡς οἱ διὰ γλωσσαλγίαν μυρίαις κεχρημένοι συμφοραῖς, πολλάκις ἐπὶ τὰς τυραννικὰς ἐφθείρετο θύρας, ἐν ἐλευθέρῳ δὲ σώματι δουλικὴν τύχην ἠνέσχετο καὶ μέχρι πράσεως· οὐδὲ εἷς γὰρ ἀγνοεῖ τὸν Σπαρτιάτην [44] Πόλλιν, ᾧ οὐδ' ὡς λιβυκοῦ χάρις ἐλέου σέσωσται, καὶ μνῶν εἴκοσι καθάπερ ἀνδράποδον εὐτελὲς ἐτιμήθη. Καὶ ταῦτα τῶν εἰς Ὅμηρον ἀσεβημάτων ὀφειλομένων τιμωρίαν τῆς ἀχαλίνου καὶ ἀπυλώτου γλώττης. Πρὸς μὲν οὖν Πλάτωνα καὶ πλείω λέγειν δυνάμενος, ἐῶ, τοὔνομα τῆς Σωκρατικῆς σοφίας αἰδούμενος· ὁ δὲ Φαίαξ φιλόσοφος Ἐπίκουρος, ὁ τῆς ἡδονῆς ἐν τοῖς ἰδίοις κήποις γεωργὸς, ὁ πᾶσαν ποιητικὴν ἄστροις σημηνάμενος, οὐκ ἐξαιρέτως μόνον Ὅμηρον, ἆρ' οὐχὶ καὶ ταῦθ' ἃ μόνα τῷ βίῳ παρέδωκεν αἰσχρῶς ἀγνοήσας παρ' Ὁμήρου κέκλοφεν; ἃ γὰρ Ὀδυσσεὺς ὑποκρίσει παρ' Ἀλκινόῳ μὴ φρονῶν ἐψεύσατο, ταῦθ' ὡς ἀληθειῶν ἀπεφήνατο τέλη βίου·

Ἀλλ' ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα,
Δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ,
Τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.

λέγει δ' Ὀδυσσεὺς, οὐχ ὁ παρὰ Τρωσὶν ἀριστεύων, οὐχ ὁ Θρᾴκην κατασκάπτων, οὐχ ὁ παρὰ τὰς Λωτοφάγους ἡδονὰς παραπλέων, οὐδ' ὁ τοῦ μεγίστου Κύκλωπος ἔτι μείζων, ὃς ἐπέζευσε τὴν ἅπασαν γῆν, ὃς ἔπλευσε τὴν ὠκεάνιον θάλατταν, ὃς ἔτι ζῶν εἶδεν Ἀΐδην, οὐχ οὗτος Ὀδυσσεύς ἐστιν ὁ ταῦτα λέγων, ἀλλὰ τὸ βραχὺ τῆς Ποσειδῶνος ὀργῆς λείψανον, ὃν οἱ βαρεῖς χειμῶνες ἐπὶ τὸν Φαιάκων ἔλεον ἐξεκύμηναν, ἃ δὴ παρὰ τοῖς ὑποδεξαμένοις ἐνομίζετο τίμια, τούτοις ἐξ ἀνάγκης συγκαταινεῖ.

44 Vid. Diogen. Laert. III. 19. et Menagium.

BOOKS

PRINTED AT

THE CLARENDON PRESS, OXFORD,

And Published for the University

BY MACMILLAN AND CO.,

29, 30, BEDFORD STREET, COVENT GARDEN, LONDON.

LEXICONS, GRAMMARS, &c.

A Greek-English Lexicon, by Henry George Liddell, D.D., and Robert Scott, D.D. *Sixth Edition, Revised and Augmented.* 1870. 4to. *cloth,* 1*l.* 16*s.*

A Greek-English Lexicon, abridged from the above, chiefly for the use of Schools. *Fifteenth Edition,* carefully revised throughout. 1872. square 12mo. *cloth,* 7*s.* 6*d.*

A copious Greek-English Vocabulary, compiled from the best authorities. 1850. 24mo. *bound,* 3*s.*

Graecae Grammaticae Rudimenta in usum Scholarum. Auctore Carolo Wordsworth, D.C.L. *Seventeenth Edition.* 1870. 12mo. *bound,* 4*s.*

A Practical Introduction to Greek Accentuation, by H. W. Chandler, M.A. 1862. 8vo. *cloth,* 10*s.* 6*d.*

Scheller's Lexicon of the Latin Tongue, with the German explanations translated into English by J. E. Riddle, M.A. 1835. fol. *cloth,* 1*l.* 1*s.*

A Sanskrit-English Dictionary, Etymologically and Philologically arranged, with special reference to Greek, Latin, German, Anglo-Saxon, English, and other cognate Indo-European Languages, by Monier Williams, M.A. 1872. 4to. *cloth,* 4*l.* 14*s.* 6*d.*

A Practical Grammar of the Sanskrit Language, arranged with reference to the Classical Languages of Europe, for the use of English Students, by Monier Williams, M.A. *Third Edition.* 1864. 8vo. *cloth,* 15*s.*

An Icelandic-English Dictionary. By the late R. Cleasby. Enlarged and completed by G. Vigfússon. Parts I. and II. 4to. 21*s. each.*

Part III. *just ready. Price* 25*s. This Part completes the Work.*

GREEK AND LATIN CLASSICS.

Aeschylus: Tragoediae et Fragmenta, ex recensione Guil. Dindorfii. *Second Edition.* 1851. 8vo. *cloth,* 5*s.* 6*d.*

Sophocles: Tragoediae et Fragmenta, ex recensione et cum commentariis Guil. Dindorfii. *Third Edition.* 2 vols. 1860. fcap. 8vo. *cloth,* 1*l.* 1*s.*

Each Play separately, *limp,* 2*s.* 6*d.*

The Text alone, square 16mo. *cloth,* 3*s.* 6*d.*

Each Play separately, *limp,* 6*d.*

Sophocles: Tragoediae et Fragmenta, ex recensione Guil. Dindorfii. *Second Edition.* 1849. 8vo. *cloth,* 5*s.* 6*d.*

Euripides: Tragoediae et Fragmenta, ex recensione Guil. Dindorfii. Tomi II. 1834. 8vo. *cloth,* 10*s.*

Aristophanes: Comoediae et Fragmenta, ex recensione Guil. Dindorfii. Tomi II. 1835. 8vo. *cloth,* 11*s.*

Aristoteles: ex recensione Immanuelis Bekkeri. Accedunt Indices Sylburgiani. Tomi XI. 1837. 8vo. *cloth,* 2*l.* 10*s.*

Each volume separately, 5*s.* 6*d.*

Catulli Veronensis Liber: recognovit, apparatum criticum prolegomena appendices addidit, Robinson Ellis, A.M. 1867. 8vo. *cloth,* 16*s.*

Catulli Veronensis Carmina Selecta, secundum recognitionem Robinson Ellis, A.M. Extra fcap. 8vo. *cloth,* 3*s.* 6*d.*

Demosthenes: ex recensione Guil. Dindorfii. Tomi IV. 1846. 8vo. *cloth. Price reduced from* 2*l.* 2*s.* to 1*l.* 1*s.*

Homerus: Ilias, ex rec. Guil. Dindorfii. 1856. 8vo. *cloth,* 5*s.* 6*d.*

Homerus: Odyssea, ex rec. Guil. Dindorfii. 1855. 8vo. *cloth,* 5*s.* 6*d.*

Plato: The Apology, with a revised Text and English Notes, and a Digest of Platonic Idioms, by James Riddell, M.A. 1867. 8vo. *cloth,* 8*s.* 6*d.*

Plato: Philebus, with a revised Text and English Notes, by Edward Poste, M.A. 1860. 8vo. *cloth,* 7*s.* 6*d.*

Plato: Sophistes and Politicus, with a revised Text and English Notes, by Lewis Campbell, M.A. 1866. 8vo. *cloth,* 18*s.*

Plato: Theaetetus, with a revised Text and English Notes, by Lewis Campbell, M.A. 1861. 8vo. *cloth,* 9*s.*

Plato: The Dialogues, translated into English, with Analyses and Introductions, by B. Jowett, M.A., Master of Balliol College, and Regius Professor of Greek. 4 vols. 1871. 8vo. *cloth,* 3*l.* 6*s.*

Xenophon: Historia Graeca, ex recensione et cum annotationibus L. Dindorfii. *Second Edition.* 1852. 8vo. *cloth,* 10*s.* 6*d.*

Xenophon: Expeditio Cyri, ex rec. et cum annotatt. L. Dindorfii. *Second Edition.* 1855. 8vo. *cloth,* 10*s.* 6*d.*

Xenophon: Institutio Cyri, ex rec. et cum annotatt. L. Dindorfii. 1857. 8vo. *cloth,* 10*s.* 6*d.*

Xenophon: Memorabilia Socratis, ex rec. et cum annotatt. L. Dindorfii. 1862. 8vo. *cloth,* 7*s.* 6*d.*

Xenophon: Opuscula Politica Equestria et Venatica cum Arriani Libello de Venatione, ex rec. et cum annotatt. L. Dindorfii. 1866. 8vo. *cloth* 10*s.* 6*d.*

THE HOLY SCRIPTURES, &c.

The Holy Bible in the earliest English Versions, made from the Latin Vulgate by John Wycliffe and his followers: edited by the Rev. J. Forshall and Sir F. Madden. 4 vols. 1850. royal 4to. *cloth. Price reduced from* 5*l.* 15*s.* 6*d.* *to* 3*l.* 3*s.*

The Holy Bible: an exact reprint, page for page, of the Authorized Version published in the year 1611. Demy 4to. *half bound*, 1*l.* 1*s.*

Vetus Testamentum Graece secundum exemplar Vaticanum Romae editum. Accedit potior varietas Codicis Alexandrini. Tomi III. 1848. 12mo. *cloth*, 14*s.*

Novum Testamentum Graece. Accedunt parallela S. Scripturae loca, necnon vetus capitulorum notatio et canones Eusebii. Edidit Carolus Lloyd, S.T.P.R., necnon Episcopus Oxoniensis. 1869. 18mo. *cloth*, 3*s.*

The same on writing paper, with large margin, small 4to. *cloth*, 10*s.* 6*d.*

Novum Testamentum Graece juxta exemplar Millianum. 1868. 12mo. *cloth*, 2*s.* 6*d.*

The same on writing paper, with large margin, small 4to. *cloth*, 6*s.* 6*d.*

Evangelia Sacra Graece. *The Text of Mill.* 1870. fcap. 8vo. *limp*, 1*s.* 6*d.*

The New Testament in Greek and English, on opposite pages, arranged and edited by E. Cardwell, D.D. 2 vols. 1837. crown 8vo. *cloth*, 6*s.*

Novum Testamentum Graece. Antiquissimorum Codicum Textus in ordine parallelo dispositi. Accedit collatio Codicis Sinaitici. Edidit E. H. Hansell, S.T.B. Tomi III. 1864. 8vo. *half morocco*, 2*l.* 12*s.* 6*d.*

Diatessaron; sive Historia Jesu Christi ex ipsis Evangelistarum verbis apte dispositis confecta. Ed. J. White. 1856. 12mo. *cloth*, 3*s.* 6*d.*

Canon Muratorianus. The earliest Catalogue of the Books of the New Testament. Edited with Notes and a Facsimile of the MS. in the Ambrosian Library at Milan, by S. P. Tregelles, LL.D. 1868. 4to. *cloth*, 10*s.* 6*d.*

Horae Hebraicae et Talmudicae, a J. Lightfoot. *A new Edition*, by R. Gandell, M.A. 4 vols. 1859. 8vo. *cloth. Price reduced from 2l. 2s. to 1l. 1s.*

ECCLESIASTICAL HISTORY, &c.

The Orations of St. Athanasius against the Arians. With an Account of his Life. By William Bright, D.D., Regius Professor of Ecclesiastical History, Oxford. Crown 8vo. *cloth*, 9*s.*

Baedae Historia Ecclesiastica. Edited, with English Notes, by G. H. Moberly, M.A., Fellow of C.C.C., Oxford. 1869. crown 8vo. *cloth*, 10*s.* 6*d.*

Bingham's Antiquities of the Christian Church, and other Works. 10 vols. 1855. 8vo. *cloth. Price reduced from 5l. 5s. to 3l. 3s.*

Burnet's History of the Reformation of the Church of England. *A new Edition.* Carefully revised, and the Records collated with the originals, by N. Pocock, M.A. With a Preface by the Editor. 7 vols. 1865. 8vo. *cloth*, 4*l.* 4*s.*

Councils and Ecclesiastical Documents relating to Great Britain and Ireland. Edited, after Spelman and Wilkins, by A. W. Haddan, B.D., and William Stubbs, M.A. Vol. I. 1869. medium 8vo. *cloth*, 1*l.* 1*s.*

Vol. II. Part I. medium 8vo. *cloth*, 10*s.* 6*d.* *Just Published.*
Vol. III. medium 8vo. *cloth*, 1*l.* 1*s.*

Records of the Reformation. The Divorce, 1527–1533. Mostly now for the first time printed from MSS. in the British Museum, and other Libraries. Collected and arranged by N. Pocock, M.A. 2 vols. 8vo. *cloth,* 1*l.* 16*s.*

Eusebius' Ecclesiastical History, according to the text of Burton. With an Introduction by William Bright, D.D. 1872. Crown 8vo. *cloth,* 8*s.* 6*d.*

Fuller's Church History of Britain. Edited by J. S. Brewer, M.A. 6 vols. 1845. 8vo. *cloth,* 1*l.* 19*s.*

Hussey's Rise of the Papal Power traced in three Lectures. *Second Edition.* 1863. fcap. 8vo. *cloth,* 4*s.* 6*d.*

Le Neve's Fasti Ecclesiae Anglicanae. *Corrected and continued from* 1715 *to* 1853 by T. Duffus Hardy. 3 vols. 1854. 8vo. *cloth. Price reduced from* 1*l.* 17*s.* 6*d. to* 1*l.* 1*s.*

Noelli (A.) Catechismus sive prima institutio disciplinaque Pietatis Christianae Latine explicata. Editio nova cura Guil. Jacobson, A.M. 1844. 8vo. *cloth,* 5*s.* 6*d.*

Patrum Apostolicorum, S. Clementis Romani, S. Ignatii, S. Polycarpi, quae supersunt. Edidit Guil. Jacobson, S.T.P.R. Tomi II. *Fourth Edition.* 1863. 8vo. *cloth,* 1*l.* 1*s.*

Prideaux's Connection of Sacred and Profane History. 2 vols. 1851. 8vo. *cloth,* 10*s.*

Shuckford's Sacred and Profane History connected (in continuation of Prideaux). 2 vols. 1848. 8vo. *cloth,* 10*s.*

Reliquiae Sacrae secundi tertiique saeculi. Recensuit M. J. Routh, S.T.P. Tomi V. 1846–1848. 8vo. *cloth. Price reduced from* 2*l.* 11*s. to* 1*l.* 5*s.*

Scriptorum Ecclesiasticorum Opuscula. Recensuit M. J. Routh, S.T.P. Tomi II. *Third Edition.* 1858. 8vo. *cloth. Price reduced from* 1*l. to* 10*s.*

Stubbs's (W.) Registrum Sacrum Anglicanum. An attempt to exhibit the Course of Episcopal Succession in England. 1858. small 4to. *cloth,* 8*s.* 6*d.*

ENGLISH THEOLOGY.

Butler's Works, with an Index to the Analogy. 2 vols. 1849. 8vo. *cloth,* 11*s.*

Greswell's Harmonia Evangelica. *Fifth Edition.* 1856. 8vo. *cloth,* 9*s.* 6*d.*

Hall's (Bp.) Works. *A new Edition,* by Philip Wynter, D.D. 10 vols. 1863. 8vo. *cloth. Price reduced from* 5*l.* 5*s. to* 3*l.* 3*s.*

Heurtley's Collection of Creeds. 1858. 8vo. *cloth,* 6*s.* 6*d.*

Homilies appointed to be read in Churches. Edited by J. Griffiths, M.A. 1859. 8vo. *cloth. Price reduced from* 10*s.* 6*d. to* 7*s.* 6*d.*

Hooker's Works, with his Life by Walton, arranged by John Keble, M.A. *Fifth Edition.* 1865. 3 vols. 8vo. *cloth,* 1*l.* 11*s.* 6*d.*

Hooker's Works; the text as arranged by John Keble, M.A. 2 vols. 1865. 8vo. *cloth,* 11*s.*

Jackson's (Dr. Thomas) Works. 12 vols. 1844. 8vo. *cloth,* 3*l.* 6*s.*

Jewel's Works. Edited by R. W. Jelf, D.D. 8 vols. 1847. 8vo. *cloth. Price reduced from* 2*l.* 10*s. to* 1*l.* 10*s.*

Patrick's Theological Works. 9 vols. 1859. 8vo. *cloth. Price reduced from* 3*l.* 14*s.* 6*d. to* 1*l.* 1*s.*

Pearson's Exposition of the Creed. Revised and corrected by E. Burton, D.D. *Fifth Edition.* 1864. 8vo. *cloth,* 10*s.* 6*d.*

Pearson's Minor Theological Works. Now first collected, with a Memoir of the Author, Notes, and Index, by Edward Churton, M.A. 2 vols. 1844. 8vo. *cloth. Price reduced from* 14*s. to* 10*s.*

Sanderson's Works. Edited by W. Jacobson, D.D. 6 vols. 1854. 8vo. *cloth. Price reduced from* 1*l.* 19*s. to* 1*l.* 10*s.*

South's Sermons. 5 vols. 1842. 8vo. *cloth. Price reduced from* 2*l.* 10*s.* 6*d. to* 1*l.* 10*s.*

Stanhope's Paraphrase and Comment upon the Epistles and Gospels. *A new Edition.* 2 vols. 1851. 8vo. *cloth. Price reduced from* 18*s. to* 10*s.*

Wall's History of Infant Baptism, with Gale's Reflections, and Wall's Defence. *A new Edition,* by Henry Cotton, D.C.L. 2 vols. 1862. 8vo. *cloth,* 1*l.* 1*s.*

Waterland's Works, with Life, by Bp. Van Mildert. *A new Edition,* with copious Indexes. 6 vols. 1857. 8vo. *cloth,* 2*l.* 11*s.*

Waterland's Review of the Doctrine of the Eucharist, with a Preface by the present Bishop of London. 1868. crown 8vo. *cloth,* 6*s.* 6*d.*

Wheatly's Illustration of the Book of Common Prayer. *A new Edition,* 1846. 8vo. *cloth,* 5*s.*

Wyclif. Select English Works. By T. Arnold, M.A. 3 vols. 1871. 8vo. *cloth,* 2*l.* 2*s.*

ENGLISH HISTORY.

Two of the Saxon Chronicles parallel, with Supplementary Extracts from the Others. Edited, with Introduction, Notes, and a Glossarial Index, by J. Earle, M.A. 1865. 8vo. *cloth,* 16*s.*

Burnet's History of His Own Time, with the suppressed Passages and Notes. 6 vols. 1833. 8vo. *cloth,* 2*l.* 10*s.*

Carte's Life of James Duke of Ormond. *A new Edition,* carefully compared with the original MSS. 6 vols. 1851. 8vo. *cloth. Price reduced from* 2*l.* 6*s. to* 1*l.* 5*s.*

Clarendon's (Edw. Earl of) History of the Rebellion and Civil Wars in England. To which are subjoined the Notes of Bishop Warburton. 7 vols. 1849. medium 8vo. *cloth,* 2*l.* 10*s.*

Clarendon's (Edw. Earl of) History of the Rebellion and Civil Wars in England. 7 vols. 1839. 18mo. *cloth,* 1*l.* 1*s.*

Freeman's (E. A.) History of the Norman Conquest of England: its Causes and Results. Vols. I. and II. *A new Edition,* with Index. 8vo. *cloth,* 1*l.* 16*s.*

Vol. III. The Reign of Harold and the Interregnum. 1869. 8vo. *cloth,* 1*l.* 1*s.*

Vol. IV. The Reign of William. 8vo. *cloth,* 1*l.* 1*s.*

May's History of the Long Parliament. 1854. 8vo. *cloth*, 6*s*. 6*d*.

Rogers's History of Agriculture and Prices in England, A.D. 1259–1400. 2 vols. 1866. 8vo. *cloth*, 2*l*. 2*s*.

Whitelock's Memorials of English Affairs from 1625 to 1660. 4 vols. 1853. 8vo. *cloth*, 1*l*. 10*s*.

PHILOSOPHICAL WORKS, AND GENERAL LITERATURE.

The Logic of Hegel; translated from the Encyclopaedia of the Philosophical Sciences. With Prolegomena. By William Wallace, M.A., Fellow and Tutor of Merton College, Oxford. 8vo. *cloth*, 14*s*.

Bacon's Novum Organum, edited, with English notes, by G.W. Kitchin, M.A. 1855. 8vo. *cloth*, 9*s*. 6*d*.

Bacon's Novum Organum, translated by G. W. Kitchin, M.A. 1855. 8vo. *cloth*, 9*s*. 6*d*.

The Works of George Berkeley, D.D., formerly Bishop of Cloyne; including many of his writings hitherto unpublished. With Prefaces, Annotations, and an Account of his Life and Philosophy, by Alexander Campbell Fraser, M.A. 4 vols. 1871. 8vo. *cloth*, 2*l*. 18*s*.

Also separately. The Works. 3 vols. *cloth*, 2*l*. 2*s*.
The Life and Letters, &c. 1 vol. *cloth*, 16*s*.

Smith's Wealth of Nations. *A new Edition*, with Notes, by J. E. Thorold Rogers, M.A. 2 vols. 8vo. *cloth*, 1*l*. 1*s*.

A Course of Lectures on Art, delivered before the University of Oxford in Hilary Term, 1870. By John Ruskin, M.A., Slade Professor of Fine Art. Demy 8vo. *cloth*, 6*s*.

A Critical Account of the Drawings by Michel Angelo and Raffaello in the University Galleries, Oxford. By J. C. Robinson, F.S.A. Crown 8vo. *cloth*, 4*s*.

The Student's Handbook to the University and Colleges of Oxford. *Second Edition.* Extra fcap. 8vo. *cloth*, 2*s*. 6*d*.

MATHEMATICS, PHYSICAL SCIENCE, &c.

Treatise on Infinitesimal Calculus. By Bartholomew Price, M.A., F.R.S., Professor of Natural Philosophy, Oxford.

Vol. I. Differential Calculus. *Second Edition.* 1858. 8vo. *cloth*, 14*s*. 6*d*.

Vol. II. Integral Calculus, Calculus of Variations, and Differential Equations. *Second Edition.* 1865. 8vo. *cloth*, 18*s*.

Vol. III. Statics, including Attractions; Dynamics of a Material Particle. *Second Edition.* 1868. 8vo. *cloth*, 16*s*.

Vol. IV. Dynamics of Material Systems; together with a Chapter on Theoretical Dynamics, by W. F. Donkin, M.A., F.R.S. 1862. 8vo. *cloth*, 16*s*.

Vesuvius. By John Phillips, M.A., F.R.S., Professor of Geology, Oxford. 1869. crown 8vo. *cloth*, 10*s*. 6*d*.

Rigaud's Correspondence of Scientific Men of the 17th Century, with Index by A. de Morgan. 2 vols. 1841–62. 8vo. *cloth*, 18*s*. 6*d*.

Clarendon Press Series.

The Delegates of the Clarendon Press having undertaken the publication of a series of works, chiefly educational, and entitled the Clarendon Press Series, have published, or have in preparation, the following.

Those to which prices are attached are already published; the others are in preparation.

I. GREEK AND LATIN CLASSICS, &c.

A Greek Primer in English, for the use of beginners. By the Right Rev. Charles Wordsworth, D.C.L., Bishop of St. Andrews. *Fourth Edition.* Ext. fcap. 8vo. *cloth*, 1s. 6*d*.

Greek Verbs, Irregular and Defective; their forms, meaning, and quantity; embracing all the Tenses used by Greek writers, with reference to the passages in which they are found. By W. Veitch. *New Edition.* Crown 8vo. *cloth*, 10s. 6*d*.

The Elements of Greek Accentuation (for Schools): abridged from his larger work by H. W. Chandler, M.A., Waynflete Professor of Moral and Metaphysical Philosophy, Oxford. Ext. fcap. 8vo. *cloth*, 2s. 6*d*.

The Orations of Demosthenes and Aeschines on the Crown. With Introductory Essays and Notes. By G. A. Simcox, M.A., and W. H. Simcox, M.A., Fellows of Queen's College, Oxford. 8vo. *cloth*, 12s.

Aristotle's Politics. By W. L. Newman, M.A., Fellow and Lecturer of Balliol College, and Reader in Ancient History, Oxford.

The Golden Treasury of Ancient Greek Poetry; being a Collection of the finest passages in the Greek Classic Poets, with Introductory Notices and Notes. By R. S. Wright, M.A., Fellow of Oriel College, Oxford. Extra fcap. 8vo. *cloth*, 8s. 6*d*.

A Golden Treasury of Greek Prose, being a Collection of the finest passages in the principal Greek Prose Writers, with Introductory Notices and Notes. By R. S. Wright, M.A., Fellow of Oriel College, Oxford; and J. E. L. Shadwell, M.A., Senior Student of Christ Church. Extra fcap. 8vo. *cloth*, 4s. 6*d*.

Homer. Iliad. By D. B. Monro, M.A., Fellow and Tutor of Oriel College, Oxford.

Also a small Edition for Schools.

Homer. Odyssey, Books I–XII (for Schools). By W. W. Merry, M.A., Fellow and Lecturer of Lincoln College, Oxford. *Third Edition.* Extra fcap. 8vo. *cloth*, 4s. 6*d*.

Homer. Odyssey, Books I–XII. By W.W. Merry, M.A., Fellow and Lecturer of Lincoln College, Oxford; and the late James Riddell, M.A., Fellow of Balliol College, Oxford.

Homer. Odyssey, Books XIII–XXIV. By Robinson Ellis, M.A., Fellow of Trinity College, Oxford.

Plato. Selections (for Schools). With Notes, by B. Jowett, M.A., Regius Professor of Greek; and J. Purves, M.A., Fellow and Lecturer of Balliol College, Oxford.

Sophocles. The Plays and Fragments. With English Notes and Introductions by Lewis Campbell, M.A., Professor of Greek, St. Andrews.

Vol. I. Oedipus Tyrannus, Oedipus Coloneus, Antigone. 8vo. *cloth*, 14*s*.

Sophocles. In Single Plays, with English Notes, &c. By Lewis Campbell, M.A., Professor of Greek, St. Andrews, and Evelyn Abbott, M.A., of Balliol College.

Oedipus Tyrannus is now ready; the others will follow at intervals of six months.

Sophocles. The Greek Text of the Seven Plays. For the use of Students in the University of Oxford. By Lewis Campbell, M.A., Professor of Greek, St. Andrews. Extra fcap. 8vo. *cloth*, 4*s*. 6*d*. *Just Published.*

Sophocles. Oedipus Rex: Dindorf's Text, with Notes by the Ven. Archdeacon Basil Jones, M.A., formerly Fellow of University College, Oxford. *Second Edition.* Ext. fcap. 8vo. *limp cloth*, 1*s*. 6*d*.

Theocritus (for Schools). With Notes, by H. Snow, M.A., Assistant Master at Eton College, formerly Fellow of St. John's College, Cambridge. Extra fcap. 8vo. *cloth*, 4*s*. 6*d*.

Xenophon. Selections (for Schools). With Notes and Maps, by J. S. Phillpotts, B.C.L., Assistant Master in Rugby School, formerly Fellow of New College, Oxford. *Second Edition.* Extra fcap. 8vo. *cloth*, 3*s*. 6*d*.

Part II. By the same Editor.

Arrian. Selections (for Schools). By the same Editor.

Caesar. The Commentaries (for Schools). Part I. The Gallic War, with Notes and Maps, by Charles E. Moberly, M.A., Assistant Master in Rugby School; formerly Scholar of Balliol College, Oxford. Extra fcap. 8vo. *cloth*, 4*s*. 6*d*.

Part II. The Civil War: Bk. 1. By the same Editor. Extra fcap. 8vo. *cloth*, 2*s*.

Cicero's Philippic Orations. With Notes, by J. R. King, M.A., formerly Fellow and Tutor of Merton College, Oxford. Demy 8vo. *cloth*, 10*s*. 6*d*.

Cicero pro Cluentio. With Introduction and Notes. By W. Ramsay, M.A. Edited by G. G. Ramsay, M.A., Professor of Humanity, Glasgow. Extra fcap. 8vo. *cloth*, 3*s*. 6*d*.

Cicero. Selection of interesting and descriptive passages. With Notes. By Henry Walford, M.A., Wadham College, Oxford, Assistant Master at Haileybury College. In three Parts. *Second Edition.* Extra fcap. 8vo. *cloth*, 4*s*. 6*d*.

Each Part separately, *limp*, 1*s*. 6*d*.

Part I. Anecdotes from Grecian and Roman History.
Part II. Omens and Dreams: Beauties of Nature.
Part III. Rome's Rule of her Provinces.

Cicero. Select Letters. With English Introductions, Notes, and Appendices. By Albert Watson, M.A., Fellow and Tutor of Brasenose College, Oxford. 8vo. *cloth*, 18*s*.

Cicero. Selected Letters (for Schools). With Notes. By the late C. E. Prichard, M.A., formerly Fellow of Balliol College, Oxford, and E. R. Bernard, M.A., Fellow of Magdalen College, Oxford. Extra fcap. 8vo. *cloth*, 3*s*.

Cicero de Oratore. With Introduction and Notes. By A. S. Wilkins, M.A., Professor of Latin, Owens College, Manchester.

Cornelius Nepos. With Notes, by Oscar Browning, M.A., Fellow of King's College, Cambridge, and Assistant Master at Eton College. Extra fcap. 8vo. *cloth*, 2*s*. 6*d*.

Horace. With Essays and Notes. By Edward C. Wickham, M. A., Head Master of Wellington College. *In the Press.*

Also a small edition for Schools.

Livy, Book I. By J. R. Seeley, M.A., Fellow of Christ's College, and Regius Professor of Modern History, Cambridge. 8vo. *cloth*, 6*s*.

Also a small edition for Schools.

Livy. Selections (for Schools). With Notes, by Henry Lee-Warner, M.A., Assistant Master at Rugby School. *In Parts.*

Part II. Hannibal's Campaign in Italy. Extra fcap. 8vo. *cloth*, 1*s*. 6*d*.

In the Press.

Part I. The Caudine Forks. Part III. The Disaster of Pydna.

Ovid. Selections for the use of Schools. With Introductions and Notes, and an Appendix on the Roman Calendar. By W. Ramsay, M.A. Edited by G. G. Ramsay, M.A., Professor of Humanity, Glasgow. Ext. fcap. 8vo. *cloth*, 4*s*. 6*d*.

Persius. The Satires. With a Translation and Commentary. By John Conington, M.A., late Corpus Professor of Latin in the University of Oxford. Edited by Henry Nettleship, M.A., formerly Fellow of Lincoln College, Oxford. 8vo., *cloth*, 7*s*. 6*d*.

Pliny. Selected Letters (for Schools). By the late C. E. Prichard, M.A., formerly Fellow of Balliol College, Oxford, and E. R. Bernard, M.A., Fellow of Magdalen College, Oxford. Extra fcap. 8vo., *cloth*, 3*s*.

Fragments and Specimens of Early Latin. With Introduction, Notes, and Illustrations. By John Wordsworth, M.A., Fellow of Brasenose College, Oxford. *In the Press.*

Selections from the less known Latin Poets. By North Pinder, M.A., formerly Fellow of Trinity College, Oxford. Demy 8vo. *cloth*, 15*s*.

Passages for Translation into Latin. For the use of Passmen and others. Selected by J. Y. Sargent, M.A., Tutor, formerly Fellow, of Magdalen College, Oxford. *Third Edition.* Ext. fcap. 8vo. *cloth*, 2*s*. 6*d*.

II. MENTAL AND MORAL PHILOSOPHY.

The Elements of Deductive Logic, designed mainly for the use of Junior Students in the Universities. By T. Fowler, M.A., Fellow and Tutor of Lincoln College, Oxford. *Fifth Edition*, with a Collection of Examples. Extra fcap. 8vo. *cloth*, 3*s*. 6*d*.

The Elements of Inductive Logic, designed mainly for the use of Students in the Universities. By the same Author. *Second Edition.* Extra fcap. 8vo. *cloth*, 6*s*

Principles of Morals. By J. M. Wilson, B.D., President of Corpus Christi College, Oxford, and T. Fowler, M.A., Fellow and Tutor of Lincoln College, Oxford. *Preparing.*

A Manual of Political Economy, for the use of Schools. By J. E. Thorold Rogers, M.A., formerly Professor of Political Economy, Oxford. *Second Edition.* Extra fcap. 8vo. *cloth,* 4*s.* 6*d.*

III. MATHEMATICS, &c.

Figures made Easy: a first Arithmetic Book. (Introductory to 'The Scholar's Arithmetic.') By Lewis Hensley, M.A., formerly Fellow and Assistant Tutor of Trinity College, Cambridge. Crown 8vo. *limp cloth,* 6*d.*

Answers to the Examples in Figures made Easy, together with two thousand additional Examples, formed from the Tables in the same, with Answers. By the same Author. Crown 8vo. *cloth,* 1*s.*

The Scholar's Arithmetic. By the same Author. Crown 8vo. *cloth,* 4*s.* 6*d.*

Book-keeping. By R. G. C. Hamilton, Accountant to the Board of Trade, and John Ball (of the Firm of Messrs. Quilter, Ball, and Co.), Examiners in Book-keeping for the Society of Arts' Examination. *Third Edition.* Extra fcap. 8vo. *limp cloth,* 1*s.* 6*d.*

A Course of Lectures on Pure Geometry. By Henry J. Stephen Smith, M.A., F.R.S., Fellow of Balliol College, and Savilian Professor of Geometry in the University of Oxford.

An Elementary Treatise on Quaternions. By P. G. Tait, M.A., Professor of Natural Philosophy in the University of Edinburgh; formerly Fellow of St. Peter's College, Cambridge. *Second Edition.* Demy 8vo. *cloth,* 14*s.*

Acoustics. By W. F. Donkin, M.A., F.R.S., Savilian Professor of Astronomy, Oxford. Crown 8vo. *cloth,* 7*s.* 6*d.*

A Treatise on Electricity and Magnetism. By J. Clerk Maxwell, M.A., F.R.S., Professor of Experimental Physics in the University of Cambridge. In two volumes. Demy 8vo. *cloth,* 1*l.* 11*s.* 6*d.*

A Series of Elementary Works is being arranged, and will shortly be announced.

IV. HISTORY.

Select Charters and other Illustrations of English Constitutional History; from the Earliest Times to the Reign of Edward I. Arranged and edited by W. Stubbs, M.A., Regius Professor of Modern History in the University of Oxford. Crown 8vo. *cloth,* 8*s.* 6*d.*

A Constitutional History of England. By the same Author. *Nearly ready.*

Genealogical Tables illustrative of Modern History. By H. B. George, M.A., Fellow of New College. *Nearly ready.*

A History of France, down to the year 1453. With Maps, Plans, and Tables. By G. W. Kitchin, M.A., formerly Censor of Christ Church. Crown 8vo. *cloth,* 10*s.* 6*d.* *Just Published.*

A Manual of Ancient History. By George Rawlinson, M.A., Camden Professor of Ancient History,-formerly Fellow of Exeter College, Oxford. Demy 8vo. *cloth,* 14*s.*

A History of Germany and of the Empire, down to the close of the Middle Ages. By J. Bryce, B.C.L., Fellow of Oriel College, Oxford.

A History of Germany, from the Reformation. By Adolphus W. Ward, M.A., Fellow of St. Peter's College, Cambridge, Professor of History, Owens College, Manchester.

A History of British India. By S. J. Owen, M.A., Lee's Reader in Law and History, Christ Church, and Teacher of Indian Law and History in the University of Oxford.

A History of Greece. By E. A. Freeman, M.A., formerly Fellow of Trinity College, Oxford.

V. LAW.

Elements of Law, considered with reference to principles of General Jurisprudence. By William Markby, M.A., Judge of the High Court of Judicature, Calcutta. Crown 8vo. *cloth*, 6*s*. 6*d*.

Gaii Institutionum Juris Civilis Commentarii Quatuor; or, Elements of Roman Law by Gaius. With a Translation and Commentary, by Edward Poste, M.A., Barrister-at-Law, and Fellow of Oriel College, Oxford. 8vo. *cloth*, 16*s*.

The Elements of Jurisprudence. By T. Erskine Holland, B.C.L., Barrister-at-Law, and formerly Fellow of Exeter College, Oxford.

The Institutes of Justinian, edited as a recension of the Institutes of Gaius. By the same Editor. Extra fcap. 8vo. *cloth*, 5*s*.

Select Titles from the Digest of Justinian. By T. E. Holland, B.C.L., Barrister-at-Law, and formerly Fellow of Exeter College, Oxford, and C. L. Shadwell, B.C.L., Fellow of Oriel College, Oxford. *In the Press.*

Authorities Illustrative of the History of the English Law of Real Property. By Kenelm E. Digby, M.A., Vinerian Reader in Law, formerly Fellow of Corpus Christi College, Oxford. *In the Press.*

VI. PHYSICAL SCIENCE.

Natural Philosophy. In four Volumes. By Sir W. Thomson, LL.D., D.C.L., F.R.S., Professor of Natural Philosophy, Glasgow; and P. G. Tait, M.A., Professor of Natural Philosophy, Edinburgh; formerly Fellows of St. Peter's College, Cambridge. Vol. I. 8vo. *cloth*, 1*l*. 5*s*.

Elements of Natural Philosophy. By the same Authors; being a smaller Work on the same subject, and forming a complete Introduction to it, so far as it can be carried out with Elementary Geometry and Algebra. Part I. 8vo. *cloth*, 9*s*.

Descriptive Astronomy. A Handbook for the General Reader, and also for Practical Observatory work. With 224 illustrations and numerous tables. By G. F. Chambers, F.R.A.S., Barrister-at-Law. Demy 8vo. 856 pp., *cloth*, 1*l*. 1*s*.

Chemistry for Students. By A. W. Williamson, Phil. Doc., F.R.S., Professor of Chemistry, University College, London. *A new Edition, with Solutions.* Extra fcap. 8vo. *cloth*, 8*s*. 6*d*.

A Treatise on Heat, with numerous Woodcuts and Diagrams. By Balfour Stewart, LL.D., F.R.S., Director of the Observatory at Kew. *Second Edition.* Ext. fcap. 8vo. *cloth,* 7*s.* 6*d.*

Forms of Animal Life. By G. Rolleston, M.D., F.R.S., Linacre Professor of Physiology, Oxford. Illustrated by Descriptions and Drawings of Dissections. Demy 8vo. *cloth,* 16*s.*

Exercises in Practical Chemistry. By A. G. Vernon Harcourt, M.A., F.R.S., Senior Student of Christ Church, and Lee's Reader in Chemistry; and H. G. Madan, M.A., Fellow of Queen's College, Oxford.

Series I. Qualitative Exercises. Crown 8vo. *cloth,* 7*s.* 6*d.*
Series II. Quantitative Exercises.

Geology of Oxford and the Valley of the Thames. By John Phillips, M.A., F.R.S., Professor of Geology, Oxford. 8vo. *cloth,* 21*s.*

Electricity. By W. Esson, M.A., F.R.S., Fellow and Mathematical Lecturer of Merton College, Oxford.

Crystallography. By M. H. N. Story-Maskelyne, M.A., Professor of Mineralogy, Oxford; and Deputy Keeper in the Department of Minerals, British Museum.

Mineralogy. By the same Author.

Physiological Physics. By G. Griffith, M.A., Jesus College, Oxford, Assistant Secretary to the British Association, and Natural Science Master at Harrow School.

Magnetism.

VII. ENGLISH LANGUAGE AND LITERATURE.

A First Reading Book. By Marie Eichens of Berlin; and edited by Anne J. Clough. Extra fcap. 8vo. *stiff covers,* 4*d.*

Oxford Reading Book, Part I. For Little Children. Extra fcap. 8vo. *stiff covers,* 6*d.*

Oxford Reading Book, Part II. For Junior Classes. Extra fcap. 8vo. *stiff covers,* 6*d.*

On the Principles of Grammar. By E. Thring, M.A., Head Master of Uppingham School. Extra fcap. 8vo. *cloth,* 4*s.* 6*d.*

Grammatical Analysis, designed to serve as an Exercise and Composition Book in the English Language. By E. Thring, M.A., Head Master of Uppingham School. Extra fcap. 8vo. *cloth,* 3*s.* 6*d.*

An English Grammar and Reading Book. For Lower Forms in Classical Schools. By O. W. Tancock, M.A., Assistant Master of Sherborne School. Extra fcap. 8vo. *cloth,* 3*s.* 6*d.*

The Philology of the English Tongue. By J. Earle, M.A., formerly Fellow of Oriel College, and Professor of Anglo-Saxon, Oxford. *Second Edition.* Extra fcap. 8vo. *cloth,* 7*s.* 6*d.*

Specimens of Early English. A New and Revised Edition. With Introduction, Notes, and Glossarial Index. By R. Morris, LL.D., and W. W. Skeat, M.A.

Part I. *In the Press.*

Part II. From Robert of Gloucester to Gower (A.D. 1298 to A.D. 1393). Extra fcap. 8vo. *cloth*, 7*s*. 6*d*.

Specimens of English Literature, from the 'Ploughmans Crede' to the 'Shepheardes Calender' (A.D. 1394 to A.D. 1579). With Introduction, Notes, and Glossarial Index, by W. W. Skeat, M.A., formerly Fellow of Christ's College, Cambridge. Extra fcap. 8vo. *cloth*, 7*s*. 6*d*.

The Vision of William concerning Piers the Plowman, by William Langland. Edited, with Notes, by W. W. Skeat, M.A., formerly Fellow of Christ's College, Cambridge. Extra fcap. 8vo. *cloth*, 4*s*. 6*d*.

Milton. The Areopagitica, with Notes. By J. W. Hales, M.A., late Fellow of Christ's College, Cambridge. *In the Press.*

Typical Selections from the best English Authors from the Sixteenth to the Nineteenth Century, (to serve as a higher Reading Book,) with Introductory Notices and Notes, being a contribution towards a History of English Literature. Extra fcap. 8vo. *cloth*, 4*s*. 6*d*.

Specimens of the Scottish Language; being a Series of Annotated Extracts illustrative of the Literature and Philology of the Lowland Tongue from the Fourteenth to the Nineteenth Century. With Introduction and Glossary. By A. H. Burgess, M.A.

See also XII. below for other English Classics.

VIII. FRENCH LANGUAGE AND LITERATURE.

An Etymological Dictionary of the French Language, with a Preface on the Principles of French Etymology. By A. Brachet. Translated by G. W. Kitchin, M.A., formerly Censor of Christ Church. Crown 8vo. *cloth*, 10*s*. 6*d*. *Just Published.*

Brachet's Historical Grammar of the French Language. Translated into English by G. W. Kitchin, M.A., formerly Censor of Christ Church. *A new Edition, with a full Index.* Extra fcap. 8vo. *cloth*, 3*s*. 6*d*.

Corneille's Cinna, and **Molière's** Les Femmes Savantes. Edited, with Introduction and Notes, by Gustave Masson. Extra fcap. 8vo. *cloth*, 2*s*. 6*d*.

Racine's Andromaque, and **Corneille's** Le Menteur. With Louis Racine's Life of his Father. By the same Editor. Extra fcap. 8vo. *cloth*, 2*s*. 6*d*.

Molière's Les Fourberies de Scapin, and **Racine's** Athalie. With Voltaire's Life of Molière. By the same Editor. Extra fcap. 8vo. *cloth*, 2*s*. 6*d*.

Selections from the Correspondence of **Madame de Sévigné** and her chief Contemporaries. Intended more especially for Girls' Schools. By the same Editor. Extra fcap. 8vo. *cloth*, 3*s*.

Voyage autour de ma Chambre, by **Xavier de Maistre**; Ourika, by **Madame de Duras**; La Dot de Suzette, by **Fievée**; Les Jumeaux de l'Hôtel Corneille, by **Edmond About**; Mésaventures d'un Écolier, by **Rodolphe Töpffer**. By the same Editor. Extra fcap. 8vo. *cloth*, 2*s*. 6*d*.

IX. GERMAN LANGUAGE AND LITERATURE.

Goethe's Egmont. With a Life of Goethe, &c. By Dr. Buchheim, Professor of the German Language and Literature in King's College, London; and Examiner in German to the University of London. Extra fcap. 8vo. *cloth*, 3s.

Schiller's Wilhelm Tell. With a Life of Schiller; an historical and critical Introduction, Arguments, and a complete Commentary. By the same Editor. Extra fcap. 8vo. *cloth*, 3s. 6*d*.

Lessing's Minna von Barnhelm. A Comedy. With a Life of Lessing, Critical Analyses, &c. By the same Editor. Extra fcap. 8vo. *cloth*, 3s. 6*d*.

X. ART, &c.

A Handbook of Pictorial Art. By R. St. J. Tyrwhitt, M.A., formerly Student and Tutor of Christ Church, Oxford. With coloured Illustrations, Photographs, and a chapter on Perspective by A. Macdonald. 8vo. *half morocco*, 18s.

A Music Primer for the use of Schools. By J. Troutbeck, M.A., and R. F. Dale, M.A., B. Mus. Crown 8vo. *cloth*, 2s. 6*d*.

A Treatise on Harmony. By Sir F. A. Gore Ouseley, Bart., M.A., Mus. Doc., Professor of Music in the University of Oxford. 4to. *cloth*, 10s.

A Treatise on Counterpoint, Canon, and Fugue, based upon that of Cherubini. By the same Author. 4to. *cloth*, 16s.

The Cultivation of the Speaking Voice. By John Hullah. Crown 8vo. *cloth*, 3s. 6*d*.

XI. MISCELLANEOUS.

Outlines of Textual Criticism applied to the New Testament. By C. E. Hammond, M.A., Fellow and Tutor of Exeter College, Oxford. Extra fcap. 8vo. *cloth*, 3s. 6*d*.

A System of Physical Education: Theoretical and Practical. By Archibald Maclaren, The Gymnasium, Oxford. Extra fcap. 8vo. *cloth*, 7s. 6*d*.

The Modern Greek Language in its relation to Ancient Greek. By E. M. Geldart, B.A., formerly Scholar of Balliol College, Oxford. Extra fcap. 8vo. *cloth*, 4s. 6*d*.

XII. A SERIES OF ENGLISH CLASSICS.

Designed to meet the wants of Students in English Literature: under the superintendence of the Rev. J. S. Brewer, M.A., *of Queen's College, Oxford, and Professor of English Literature at King's College, London.*

It is also especially hoped that this Series may prove useful to Ladies' Schools and Middle Class Schools; in which English Literature must always be a leading subject of instruction.

A General Introduction to the Series. By Professor Brewer, M.A.

1. **Chaucer.** The Prologue to the Canterbury Tales; The Knightes Tale; The Nonne Prestes Tale. Edited by R. Morris, Editor of 'Specimens of Early English,' &c., &c. *Third Edition.* Extra fcap. 8vo. *cloth*, 2s. 6*d*.

2. **Spenser's Faery Queene.** Designed chiefly for the use of Schools. With Introduction, Notes, and Glossary. By G. W. Kitchin, M.A., formerly Censor of Christ Church.

   Book I. *Fifth Edition.* Extra fcap. 8vo. *cloth*, 2s. 6d.

   Book II. *Second Edition.* Extra fcap. 8vo. *cloth*, 2s. 6d.

3. **Hooker.** Ecclesiastical Polity, Book I. Edited by R. W. Church, M.A., Dean of St. Paul's, formerly Fellow of Oriel College, Oxford. *Second Edition.* Extra fcap. 8vo. *cloth*, 2s.

4. **Shakespeare.** Select Plays. Edited by W. G. Clark, M.A., Fellow of Trinity College, Cambridge; and W. Aldis Wright, M.A., Trinity College, Cambridge.

   I. The Merchant of Venice. Extra fcap. 8vo. *stiff covers*, 1s.

   II. Richard the Second. Extra fcap. 8vo. *stiff covers*, 1s. 6d.

   III. Macbeth. Extra fcap, 8vo. *stiff covers*, 1s. 6d.

   IV. Hamlet. Extra fcap. 8vo. *stiff covers*, 2s.

5. **Bacon.** Advancement of Learning. Edited by W. Aldis Wright, M.A. *Second Edition.* Extra fcap. 8vo. *cloth*, 4s. 6d.

6. **Milton.** Poems. Edited by R. C. Browne, M.A. and Associate of King's College, London. *Second edition.* 2 vols. extra fcap. 8vo. *cloth*, 6s. 6d.

   Also separately, Vol. I. 4s., Vol. II. 3s.

7. **Dryden.** Stanzas on the Death of Oliver Cromwell; Astraea Redux; Annus Mirabilis; Absalom and Achitophel; Religio Laici; The Hind and the Panther. Edited by W. D. Christie, M.A., Trinity College, Cambridge. Extra fcap. 8vo. *cloth*, 3s. 6d.

8. **Bunyan.** Grace Abounding; The Pilgrim's Progress. Edited by E. Venables, M.A., Canon of Lincoln.

9. **Pope.** With Introduction and Notes. By Mark Pattison, B.D., Rector of Lincoln College, Oxford.

   I. Essay on Man. Extra fcap. 8vo. *stiff covers*, 1s. 6d.

   II. Satires and Epistles. Extra fcap. 8vo. *stiff covers*, 2s.

10. **Johnson.** Rasselas; Lives of Pope and Dryden. Edited by C. H. O. Daniel, M.A., Fellow and Tutor of Worcester College, Oxford.

11. **Burke.** Thoughts on the Present Discontents; the two Speeches on America; Reflections on the French Revolution. By Edward John Payne, B.A., Fellow of University College, Oxford. *In the Press.*

12. **Cowper.** The Task, and some of his minor poems. Edited by H. T. Griffith, M.A., Pembroke College, Oxford. *In the Press.*

Published for the University by

MACMILLAN AND CO., LONDON.

The DELEGATES OF THE PRESS *invite suggestions and advice from all persons interested in education; and will be thankful for hints, &c. addressed to either the* Rev. G. W. KITCHIN, *St. Giles's Road East, Oxford, or the* SECRETARY TO THE DELEGATES, *Clarendon Press, Oxford.*